This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

[illegible]
[illegible]
[illegible]
P14 d

SCHOLIA GRAECA

IN

HOMERI ILIADEM TOWNLEYANA

RECENSUIT

ERNESTUS MAASS

SCHOLIA GRAECA

IN

HOMERI ILIADEM

EX CODICIBUS AUCTA ET EMENDATA

EDITIONIS

A G. DINDORFIO INCOHATAE

TOMUS V

OXONII
E TYPOGRAPHEO CLARENDONIANO
PROSTANT APUD T. O. WEIGEL SUCCESSOREM
(CH. HERM. TAUCHNITZ)
LIPSIAE

M.DCCC.LXXXVIII

SCHOLIA GRAECA

IN

HOMERI ILIADEM

TOWNLEYANA

RECENSUIT

ERNESTUS MAASS

TOMUS I

OXONII
E TYPOGRAPHEO CLARENDONIANO
PROSTANT APUD T. O. WEIGEL SUCCESSOREM
(CH. HERM. TAUCHNITZ)
LIPSIAE
M.DCCC.LXXXVIII

LIBRARY OF THE
LELAND STANFORD JR. UNIVERSITY.
Q. 42430
JUL 19 1900

LIPSIAE

APUD T. O. WEIGEL SUCCESSOREM

(CH. HERM. TAUCHNITZ)

VDALRICO DE WILAMOWITZ-MOELLENDORFF

PIETATIS ERGO

[*All rights reserved*]

PRAEFATIO.

I.

Codex Iliadis scholiorumque in Iliadem qui Townleyanus usu solemni dicitur membranaceus inter Burneyanos Musei Britannici 86 in 4° litteris minusculis diligenter ita exaratus, ut infra lineas quae 27 in singulis paginis numerantur sedem plerumque occuparent, folia 281 mala bibliopegae arte nunc hic illic in margine circumcisa continet. Accedit quod primorum foliorum scriptura umore temporisque culpa non mediocriter hodie affecta est. Codex quando finitus esset olim libro ultimo accuratissime ipse librarius subscripserat, annum postea alius quis subscriptum fraudulenter erasit. Haec supersunt:

ἐτελειώθη μηνὶ σεπτεμβρίωι ιη̄
ἡμέρα ζ̄ ἰνδικτῖ ιγ̄ ////////

Annum 1059 ex indictionis mensis diei numeris ratione instituta Herm. XIX (1884) p. 275 sq. recuperavi[1], unde litterarum formas, quae tales sunt quales s. XI et XII inveniuntur, nequaquam abhorrere peritis puto

[1] Nota enim haec sunt: (1) diem anni illius duodevigesimum septembris et septimum hebdomadis, (2) indictionem fuisse tertiam decimam. Iam tabulas calendarias perlegenti (cf. Pilgram, Calendarium chronologicum medii potissimum aevi monumentis accommodatum Viennae 1781 et L'art de vérifier les dates) inde a 900–1500 septem anni offeruntur, in quos duo illa indicia conveniant 924, 969, 1059, 1344, 1389, 1434, 1479. Optio nulla patet, dummodo codicis litteraturam saeculi XI vel XII esse propriam concedatur. Negarunt hoc palaeographi Londinenses (Palaeographical Society 67) et ad annum 1210 vel 1255 [illegible] devenerunt, quos satis et Lehmannus [illegible] et ego ib. XIX p. 27[illegible] [illegible]guimus. [illegible] (Griechische Palaeogr[illegible] 405), [illegible] videtur: contra [illegible] [illegible]ficiunt [illegible]. Verum ia[illegible] idem [illegible]

[*All rights reserved*]

PRAEFATIO.

I.

Codex Iliadis scholiorumque in Iliadem qui Townleyanus usu solemni dicitur membranaceus inter Burneyanos Musei Britannici 86 in 4° litteris minusculis diligenter ita exaratus, ut infra lineas quae 27 in singulis paginis numerantur sedem plerumque occuparent, folia 281 mala bibliopegae arte nunc hic illic in margine circumcisa continet. Accedit quod primorum foliorum scriptura umore temporisque culpa non mediocriter hodie affecta est. Codex quando finitus esset olim libro ultimo accuratissime ipse librarius subscripserat, annum postea alius quis subscriptum fraudulenter erasit. Haec supersunt:

ἐτελειώθη μηνὶ σεπτεμβρίωι ιη̅
ἡμέρα ζ̅ ἰνδικτι̅ ιγ̅ ////////

Annum 1059 ex indictionis mensis diei numeris ratione instituta Herm. XIX (1884) p. 275 sq. recuperavi[1], unde litterarum formas, quae tales sunt quales s. XI et XII inveniuntur, nequaquam abhorrere peritis puto

[1] Nota enim haec sunt: (1) diem anni illius duodevigesimum septembris et septimum hebdomadis, (2) indictionem fuisse tertiam decimam. Iam tabulas calendarias perlegenti (cf. Pilgram, Calendarium chronologicum medii potissimum aevi monumentis accommodatum Viennae 1781 et L'art de vérifier les dates) inde a 900–1500 septem anni offeruntur, in quos duo illa indicia conveniant 924, 969, 1059, 1344, 1389, 1434, 1479. Optio nulla patet, dummodo codicis litteraturam saeculi XI vel XII esse propriam concedatur. Negarunt hoc palaeographi Londinenses (Palaeographical Society 67) et ad annum 1210 vel 1255 ratiocinando devenerunt, quos satis et Lehmannus Herm. XIV (1879) p. 408 sqq. et ego ib. XIX p. 274 redarguimus. Negavit etiam Gardthausenus (Griechische Palaeographie p. 405), quamquam codicem inspexisse non videtur: contra quem sufficiunt quae et Lehmannus et ego disputavimus. Verum iam ante me idem divinaverat Lehmannus.

constabit, modo ipsum librum inspexerint[1]. Patriam codicis Athoem montem probabiliter p. 287 adsecutus sum. Certum est Townleyanum et Venetum B Eustathiique in Iliadem commentarios, alia ut taceam, saeculo XIV ab eodem homine, eodem scilicet loco, compilatos esse, ab eo nimirum qui Lipsiensem saec. XIV codicem descripsit (ib. p. 264 sqq.). Saeculo proximo cum in Italiam nescio qua via advectus in Florentina Salviatorum bibliotheca 'pro cimelio' adservaretur[2], famam quidem mox apud eruditos videtur adeptus paucis tamen patuisse. Petro Victorio Florentino (1499–1584) contigit, ut integrum apographum a diligenti scriba confectum nancisceretur: unde Victoriana scholia haec inde a Bekkero vocantur.

Codex igitur V(ictorianus) N°. 16 chartaceus in 4° 31 fere lineis per singulas paginas exaratis 457 foliis eadem manu scriptis compositus est[3]. Hunc ex T(ownleyano) derivatum esse postquam Heynius examinato utroque libro breviter dixit, saepius et adfirmatum est[4] et dubitatum[5]: tamen Heynius verum vidit. Neque enim primae tantum manus scholia T sed etiam alterius in V leguntur prorsus eadem, et locis quibusdam in T fere

[1] Imaginem Townleyani vulgavit Heyne post I Iliadis volumen tab. D non satis accuratam, pulcherrimam Thompsonus editor Londinensis (Pal. Soc. tab. 67).

[2] Holstenius cum in M. Lilienthalii Selectis Historicis et Literariis (a. 1715 p. 98 sq. cf. Heyne Il. III p. CIV) de codice quodam Iliadis Mediceo exponeret, haec scripsit:

'Hunc scholiasten eundem esse deprehendi cum eo quem Salviati pro cimelio asservant, nisi quod illi primis aliquot paginis diversarum annotationum farrago adiuncta sit, quo assumento codex Mediceus caret. Sane operae pretium esset exemplar hoc (scil. Mediceum) vetustate passim arrosum et exesum recenseri a viro quodam docto et componi cum codice Salviatorum et cum altero itidem vetusto qui exstat apud Marchionem Riciardum: posset enim ex cunctis egregius scholiorum cento contexi.'

[3] Homeri scholia excipit codex Hesiodeus ab antiquiore scriba confectus et per bibliopegam subnexus.

[4] Velut a Dindorfio III p. IX*.

[5] Velut a Roemero (Die exegetischen Scholien der Ilias im Codex Venetus B, München 1879 p. 110*), contra quem dixi Herm. XIX p. 274.

exesis vel erasis vacua saepius in V spatia respondent. Omisit quidem V scholia nonnulla, recentiora praesertim et interlinearia, sed nihil in V deprehendi quin ex T sumptum esset: exemplo sit liber octavus quem cum Townleyano meo integrum contuli, alia passim inspexi. Videtur ipse Petrus Victorius, vir ingentis laboris, manu sua vitia apographi nonnulla coniectando vel etiam iterata libri lectione emendasse. Qua in opera perrexisset, nisi edendi consilium, quod cepisse se professus erat, deficiente redemptoris auxilio abicere coactus esset[1]. Prodiit igitur tunc ex Victoriano apographo nonus tantummodo liber iussu Ioannis Caselii Gottingensis (1533—1613) descriptus et ab Horneio 1620 Helmstadii editus[2]. Ipse Victorii liber paene latuit, donec simul cum aliis Victorianis a Carolo Theo-

[1] Testimonia mihi O. de Gebhardt, qui de Salviatorum bibliotheca scripturus est, apud Bandinium 'Clarorum Italorum et Germanorum epistulae ad P. Victorium' (Florentiae 1758 I p. 133 sqq.) et in editione epistularum P. Victorii a. 1586 p. 109 indicavit; hoc loco ita ad Petrum Maphaeum scribit Id. Febr. a. 1562 Victorius:

'Epistula tua valde grata mihi fuit: perspexi enim ex ipsa id quod etiam in primo illo nostro congressu mihi cognosse visus fueram, te probum iuvenem esse . . . Theonem accuratius magistrum dicendi, quem pollicitus sum cura mea multo emendatiorem quam circumferatur me ad te missurum, propediem exspecta. Utinam idem de scholiis illis in Iliadem Homeri tibi ceterisque studiosis eius divinissimi poetae recipere possem: vereor enim, ne nimis lentum hoc negotium futurum sit: quod tamen mea culpa non fiet sed librariorum, qui non libenter excudendos suscipiunt libros illos, unde non celeres eosdemque satis magnos quaestus se facturos esse existiment. Ipse tamen, ut hoc aliquando aliqua ratione efficiatur, curabo. Quemadmodum nulli sumptui peperci et infinitos paene labores sustinui, ne hae vetustissimae eruditissimaeque declarationes perirent, ita omnia faciam, ut tandem ipsae in manus doctorum virorum perveniant. Vale.'

Altero loco idem Maphaeus Genua ita ad Victorium scribit a. d. IV Kal. Febr. a. 1563:

'Genuam veni a. d. VIII Kal. Febr. quinto abs te die . . . de libro non urgeo: quem tamen, ut mihi liberaliter recepisti, emendatum exspecto; et simul aurea illa in Homerum scholia, quae tua sollertia virtusque ab interitu vindicat, ad quod tempus expectemus scire mirabiliter aveo. Vale.'

[2] 'Scholia vetusta et oppido erudita in IX^{um} librum Iliadis Homeri e msc. nunc primum edita' praef. p. X:

'Attulit ea olim ex Italia Joan. Caselius praeceptor meus, vir

doro electore Romae coemptis[1] in publicam bibliothecam Monacensem pervenit. Magnam Victoriani partem[2] Immanuelis Bekkeri editio princeps repetivit, plerumque tamen cum ceterarum codicum memoria ita confusam, ut quantum illi debeatur, aut reapse obscuratum sit, aut videatur saltem obscurari. Accedit quod et omisit nec pauca nec pusilla Bekkerus et notulam suam V immerito scholiorum parti subscripsit. Ita factum est, ut addenda tollenda significanda accuratius denique corrigenda ex ipso Victoriano superesse perquam multa cum alii[3] tum ego conferendo facile cognoscerem.

Scio alterum qui post Victorium Townleyano apud Salviatos usus est Donium Florentinum (1594—1647), cardinalis Barberinii notarium. Qui quae excerpserat pauca illa quidem et Porphyriana potissimum Lucae Holstenio Hamburgensi (1596—1661) suo apud Barberinium socio, cum Porphyrio operam navaret, tradidit[4].

magnus et non tantum huius academiae et patriae nostrae sed universae Saxoniae aeternum decus, qui apud cl. v. Petrum Victorium ea sibi describi curaverat: penes hunc enim si non in utramque *ποίησιν*, at in alteram vel plusculos eius libros, ni fallor, erant msc. huius scholia. Caselius cum excerpi curasset quae in IX illum librum scripta erant eaque diu adservasset, tandem, ut erat animo in me propensissimo et studiis meis praesertim graecis maxime cupiebat, mihi donavit utque ederem iussit' etc. Ioannem Caselium anno 1565 Florentiae degisse ex quadam Victorii ad Joachimum Fridericum Marchionem Brandenburgensem epistula consequitur: cf. 'Victorii et Caselii epistulae' Francoforti 1597 p. 42.

[1] Cf. Hardtii catalogum I p. 91: hinc Dindorfius vol. III p. IX*.

[2] Iam Villoiso a. 1788 ex Lipsiensi horum scholiorum partem Venetis A et B adiunxerat. Lipsiensem totum edidit L. Bachmann (Lipsiae 1835–38), de quo cf. Herm. XIX p. 265.

[3] Cf. Roemeri 'de scholiis Victorianis Homericis' commentationem Monachi 1874.

[4] 'De vita et scriptis Porphyrii philosophi' p. 47 postquam quaestionum Porphyrianarum codicem Vaticanum commemoravit, haec addidit:

'Tum et illud hoc loco monendum, exstare Florentiae apud Ducem Salviatum scholia antiqua in Poetam *ἀδέσποτα* et multis in locis vetustate exesa, quae nonnulli Porphyrio, alii etiam antiquioribus auctoribus tribuunt. Ego ut Porphyrii non esse certo credo, ita de auctoris aetate nihil temere pronuntio. Gustum praebebit eruditis principium operis, quod eruditissimus antiquitatis pervestigator Ioannes Bapt. Donius mecum communicavit: *μῆνιν ἄειδε θεά*] *ζητοῦσι*

Tum liber ex Salviatorum pluteis incertum quibus fatis Romam delatus est ibique a. 1771 a Carolo Townley viro nobili Britanno emptus et Londinum asportatus[1]. Patuit a. 1790 Gottingae et Heynio et Noehdenio, Heynii discipulo; ille Iliadis suae vol. III sqq., hic in disputatiuncula de scholiis Porphyrii Gott. 1799 pauca vulgavit. A. 1814 Burneyo doctori Londinensi veniit Townleyanus, denique cum aliis Burneyanis a Museo Britannico comparatus est[2]. Ibi igitur I. A. Cramerus eclogas suas deprompsit Anecd. Paris. III (1841) 271 sqq. Iam cum novam scholiorum in Iliadem recensionem Universitas Oxoniensis per Dindorfium institueret, Townleyani apographum Delegatorum iussu D. B. Monro confecit. Finitis Venetorum A et B quattuor voluminibus editurus etiam Townleyanum rem ita inco-

διὰ τί ἀπὸ τῆς μήνιδος ἤρξατο, οὕτω δυσφήμου ὀνόματος; διὰ δύο ταῦτα· πρῶτον μέν, ἵν' ἐκ τοῦ πάθους ἀποκαθαρεύσῃ τὸ τοιοῦτον μόριον τῆς μάχης (!), καὶ προσεκτικωτέρους τοὺς ἀκροατὰς ἐπὶ τοῦ μεγέθους ποιήσῃ καὶ προεθίσῃ φέρειν γενναίως ἡμᾶς τὰ πάθη (c. 50 litt. om.) κροα—(2 om.) μέλλων πολέμους ἀπαγγέλλειν· δεύτερον δέ, ἵνα τὰ ἐγκώμια τῶν Ἑλλήνων πιθανώτερα ποιήσῃ· ἐπεὶ δὲ ἔμελλε νικῶντας ἀποφαίνειν τοὺς Ἕλληνας, εἰκότως οὐ κατατρέχει ἀξιοπιστότερον (!) ἐκ τοῦ μὴ πάντα χαρίζεσθαι τοῖς ἐκείνων ἐπαίνοις· ἤρξατο μὲν ἀπὸ μήνιδος, ἐπείπερ αὕτη τοῖς πρακτικοῖς ὑπόθεσις γέγονεν· ἄλλως τε καὶ τραγῳδίαις τραγικὸν ἐξεῦρε προοίμιον· καὶ γὰρ προσεκτικοὺς ἡμᾶς ἡ τῶν σχημάτων (!) διήγησις ἠργάζετο (!), καὶ ὡς ἰατρὸς ἄριστος πρῶτον ἀναστέλλων τὰ νοσήματα τῆς ψυχῆς ὕστερον τὴν ἴασιν ἐπάγει. Ἑλληνικὸν δὲ τὸ πρὸς τέλει τὰς ἡδονὰς ἐπάγειν· ἰστέον δέ· ὥσπερ ἐπὶ συκῆς πρῶτον μὲν φύλλα (!) ὅλυνθος εἶτα φύλης (!) σῦκον ἰσχάς, οὕτω πρῶτον ὀργὴ θυμὸς χόλος κότος μῆνις· ὅμως ὁ ποιητὴς ὡς συνωνύμοις ὀνόμασιν ἐπὶ Ἀχιλλεῖ (!) χρῆται· "ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν." "οὐδ' ὅθομαι κοτέοντος." "αὐτὰρ ὃ μήνιε νηυσὶ παρήμενος." μῆνις]ἀπὸ τοῦ μένω μῆνις, ὡς ἑνὸς (!)ἦνις. οἱ δὲ περὶ Γλαῦκον τὸν Ταρσέα ἠξίουν ὀξύνειν τὸ ὄνομα, οὐκ ὀρθῶς.

Deinde ad v. 3 πολλάς] πόσον.—ἰφθίμους] ποῖον.—ψυχάς] οὐσίαν.—Ἄιδι] τόπον.—προΐαψεν] χρόνον. Postea ad v. 5 Διὸς βουλή] λέγει νῦν ὁ ποιητὴς τὴν ἐπαγγελείαν (!) τὴν πρὸς Θέτιδα "Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην." Εὐκλείδης δέ φησιν, ὅτι οὐχ ὡς ἑπόμενον τοῖς πρώτοις τοῦτο εἴρηται, ἀλλ' ὡς κεχωρισμένον καὶ καθ' ἑαυτὸ λεγόμενον· ἡ δὲ τοῦ Διὸς "ἐτελείετο βουλή" τῷ τοὺς ἠδικηκότας ἀξίαν δοῦναι δίκην ὧν ἠδίκησαν, ὅπερ ἐστὶ τέλος τῇ Ἰλιάδι. Plura adscribere piget . . . Id certo affirmare possum esse συλλογὴν ex variis antiquis expositionibus collectam, cum unus idemque locus paucis mutatis subinde repetatur, aut diversae eorundem verborum afferantur explicationes praemissa voce ἄλλως: quae propria nota est collectaneorum.'

[1] Cf. editores Pal. Soc. 67. [2] Ibidem.

haverat, ut apographo Monroniano passim correctiunculas notasque criticas adscriberet, pleraque tamen omnia in futurum purgandarum plagularum tempus seponere mallet, cum subita morte decessit. Exponam cur in locum Dindorfii ego successerim. Cum grammaticorum quorundam, quos et scholia Iliadis A B V, praecipue tamen A, et homonymorum indices Laertiani commemorant, aetatem definirem[1] et nonnullos, quos per Didymum in Venetum A pervenisse propter subscriptiones illas vulgo crederetur, aliquanto Didymo fuisse posteriores perspexissem, confirmatum vidi quod alias ob causas iam alii coniecerant[2], cum quattuorvirorum commentario subscriptionibus iam instructo ante Venetum A non solum quaedam inferioris aevi excerpta glossematica etymologica zetematica verum alios quoque commentarios, certe duos, in quibus cum interpretationis tum crisis Homericae criticorumque saeculi p. Chr. primi ratio haberetur, esse confusos. Cuius generis etiam in B V non modo vestigia sed vasta inesse excerpta intellexi. Itaque absoluto Dindorfii Veneto B, ut aliis idem aliquando persuaderetur, nihil duxi antiquius quam iustam Townleyani, quem scholiis B saepe praestare Roemerus[3] demonstraverat, editionem parari. Adde quod censor quidam meum de Veneti A compositione iudicium cum argumentis non posset clamando profligare laboravit aliisque imposuit. Nesciebam tum quod nuper peritis probavi[4], alterum ex his quos dixi commentariis etsi contractum misere et decurtatum in scholiis D etiamnunc servari: cf. Herm. XIX (1884) p. 559 sqq. Quae tunc ignorans omnem a

[1] De biographis graecis quaestiones selectae (Philologische Untersuchungen herausg. v. Kiessling und v. Wilamowitz-Moellendorff III p. 32–36).

[2] Velut Beccardus ('de scholiis in Homeri Iliadem Venetis' diss. Berol. 1850) et Wilamowitzius.

[3] Die exegetischen Scholien der Ilias im Ven. B.

[4] Cf. Schrader Herm. XX (1885) p. 396 sqq.

Townleyano salutem huic quaestioni me exspectasse fateor. Itaque cum per eximiam MINISTERII nostri BORVSSICI quod cultui praeest munificentiam mihi a. 1882 adeundi Aratea Parisina et Britannica copia fieret isque labor spe celerius confectus esset[1], in Museo Britannico consedi per sex menses continuos, codicem quanta potui fide meum in usum descripsi. Quod vel post Dindorfii collationem operae fore pretium censui, siquidem ex iis quae passim ad A B adnotata legeram tunc male de ea existimandum videbatur. Quod secus esse postea perspexi. Reversus in patriam defuncto interim Dindorfio impetravi, ut edendi codicis officium mihi a Delegatis mandaretur. Usus etiam sum collatione Monronis, quem nunquam non honoris causa nomino, idque ita ut quotiescunque ab apographo meo discederet meis ego oculis confidere mallem.

Recensionem meam iusta adnotatione critica ex ceteris codicibus subsidiisque Homericis concinnata instruxi. Nec tamen omnem varietatem subscripsi —quod in his scholiis absurdum esset—verum quantum vel necessarium vel utile mihi videretur selegi; signa illa exegetica quae etiam in B inveniuntur praetermisi[2]; scholia secunda et recentiora in voluminis alterius appendice consocianda putavi, quo facilius unde provenissent patefieret. Interlinearia stellula *, intermarginalia[3] quae vocantur geminatis stellulis * * a marginalibus distinxi, quoniam sciri interest quo quidque paginae loco legatur. Supplementa mea et aliorum cancellis ⟨ ⟩ inclusi[4], quae delenda ducerem [ ], quae evanuerunt vel erasa sunt [ ] saepsi[5] spatii am-

[1] Cf. Herm. XIX p. 93 sqq.

[2] De his Dindorfius III p. VI exposuit. Eadem in multis codicibus insunt, velut Arati Veneto: cf. Herm. XIX p. 108.

[3] 'Textscholien' aptius dicit Roemerus.

[4] Mea lemmatum supplementa et integra scholiorum interlinearium lemmata e textu Townleyani suscepi, quem ideo ipse contuleram.

[5] Pg. 259, 3 [γράφει] velim rescribatur.

bitu diligenter observato. Emendationem frequenter admodum periclitatus sum: tanta depravatorum locorum copia suppetebat. Increbuit autem ista depravatio casu et per scribarum imprudentiam, non voluntate et perdito quodam corrumpendi amore. Permulta igitur litterarum apices rimando ab aliis velut Bekkero ipsoque me certo aut probabiliter sanata sunt, supplendo alia nec pauca redintegravimus; acriora remedia paene invitus in adnotatione nonnunquam obtuli: quae desperata viderentur, eorum plurima ibidem sive signo interrogationis (?) sive apertis verbis indicavi: quae alii velim expediant. Ut ad signa veniam partim margini a me adpicta partim in textum inserta, de his breviter dicendum est, soli ea lectoris commodo destinata esse. Nam cum necessarium sit non prius scholiis uti Homericis, quam comparatis inter se et suppletis singulis codicibus archetypum renovaveris, pupugit animum, quod propter edendi morem Dindorfii, qui vel scholia aperte inter se aliena et vix leviter in codicibus copulata dissociare supersedebat, rectus scholiorum usus nisi magno temporis detrimento taedioque maiore redimi non potest. Townleyana igitur ut potui discrevi signo § Boeckhiano simpliciter interiecto, quod sibi auferat addatve cui opus videbitur: nam dubiam modo modo fere certam intuenti quorundam scholiorum compositionem videri varie expertus didici. Deinde taedium vici et margini adscripsi, utrum libri A et B Dindorfii plus habeant (+) an minus (−) an legantur similia (~). Aegre conferendis Eustathio et scholiis D quae minora dicuntur abstinui, his quia iusta deest editio, Eustathio, quia quae hodie solus testari fertur ea magnam partem scio aliis scholiorum ac vetustis codicibus per bibliothecas dispersis propagari. Escorialensis Laurentianus Harleyanus alii si quando examinati et qua par est diligentia expilati erunt, fore auguror ut Homerica Eustathii rarius multo adire liceat quam hodie conceditur.

In adornando recensendo emendando textu socium habui, quo gratiorem mihi et promptiorem non inveniri spondeo, WILAMOWITZIVM, cuius inventa W littera significavi. Teneatur ad omnes muneris mei partes exsequendas aliquanto plus indefessam Wilamowitzii societatem valuisse quam aperire ego potuerim.

II.

Si per me stetisset, Lehrsii de horum scholiorum inutilitate iudicium hac praefatione non amplius commemorassem, quoniam illud satis esse iniquum nec ferendum ex correctiore quam Lehrsio praesto erat codicis V notitia aequos harum rerum existimatores consentire viderem[1] et novis certisque argumentis nuper ipse ex Townleyano depromptis confirmavissem (Herm. XIX p. 568 sqq.). Et videbatur mihi in Lehrsii memoriam impium. Tamen iterum de manifesta re ut invito dicendum sit, iniuriosa convicia propulsandi extorsit necessitas. Itaque 'nullum unum verbum Victoriano (eiusque sociis) credendum esse' cum Lehrsius propter nonnulla scholiastae errata conclusisset (Aristarch.[2] p. 31), mordicus hoc tenet Ludwichius (Aristarchs Textkritik I p. 88 sqq.) piumque duxit incredulorum pertinaciam cum indignatione castigare. Ego qui illo Lehrsii iudicio multiplicem huius codicis utilitatem quanto litterarum damno praecluderetur perpetuo usu didicissem, Ludwichium duobus argumentis ita fere redargui. Si quis testi 'nullum unum verbum credendum esse' fortiter adseveravit, ab eo certe postulandum est, ne ipse sine aliorum praesidio testi eidem unquam confidat. Alioquin apertum est, conlabi illud quod ipse adfirmavit. Hoc ad Ludwichium transtuli, cum scho-

[1] Ex. gr. cf. Roemer Sitzungsber. d. Bayr. Ak. d. Wiss. 1884 p. 311 adn.

liastae V, quamvis perdito quodam corrumpendi amore eum flagrasse dictitaret, tamen per totum librum vel soli crederet saepissime: en viri inconstantia! Et dixi quod verum est, Lehrsianum illud vel hinc ab ipso Ludwichio refelli. Hoc ille intellegere non valet, sed suum fuisse persistit testi 'totiens ac tanto opere mendaci et maligno nullo adiuvante altero aliquotiens tamen fidem habere[1].' Mira haec cogitandi ratio[2]: dehinc quem quis nonagiens noviens non casu sed 'consilio et manifesta fraude veritatem pervertisse' arbitratur, ei nihilo minus credat credulus centesimum! Diffidere ego oculis coepi, cum serio et cum mea qui dissentirem contumelia tale quid responderi legerem (II p. 718 sq.)—verum laetabar laetorque: nam rem meam expeditam vidi, postquam sese ad absurdum illud adversarius ipse deduxit. Haec tunc ita disserueram, ut errata quae culpavit Ludwichius reapse esse omnia inter gravissima et ex perdito vitiandi consilio coorta parumper cederem. Non cedebam amplius: partem eorum committi fere debuisse invito ideoque tam esse levia, ut ad minuendam scholiastae fidem nihil prorsus valerent, ex facie archetypi (Townleyani) et condicione externa ostendi. Putares accepta haec etiam Ludwichio fuisse[3]! Quid tamen

[1] Iam propriam quandam voculam quae cum contemptu dicitur huic scholiastae adscivit II p. 719:

'In der Regel hatte ich, wo ich die vielfachen Sünden des Scholiasten V durchgehen musste, dabei einzig und allein denjenigen Unbekannten im Auge, dem die "Verballhornung" der betreffenden Scholien thatsächlich zur Last fällt. Ob Hinz oder Kunz sie "verballhornt" habe, war und ist mir nahezu gleichgültig.'

[2] Tamen ne nova quidem est. Velut nuper mythologi quidam Roscheriani (Ausführliches Lexikon der Griech. u. Röm. Mythologie fasc. V fin.) eandem sese amplexari perversitatem publice mihi testati sunt. Offerri a falsariis mythographis (velut a Ps.-Plutarcho 'de fluviis' scriptore et Ptolemaeo Chenno) etiam quaedam, quae proba esse *aliunde* constat, ego neque ignorabam nec reticueram: cf. Philol. Untersuchungen VI (1883) p. 95 sqq.

[3] Audias ipsum: 'Das Vorhandensein und die Folgen fehlerhafter Lemmata also fasse ich ins Auge: der Kritikus ertheilt mir in banalen Phrasen eine Lection über die Entstehung solcher Fehler?' Ego

ille? Ridentem se finxit, quasi scholia V T ego maculis intacta dixissem [1]. Plane ego dixi contrarium, mendis scilicet et lacunis ut cetera scholiorum genera satis illa quoque deformata esse, et ita dixi, ut apertius non potuerim (p. 573) [2]. Ergo prorsus falsa de me rettulit Ludwichius.

Denique quod mihi imputavit saepius, tanquam suo de Didymo libro diuturno studio procreato ego de industria obtrectassem, hoc ego deprecor: neque enim in hac re quid existimarem retinui, sed vel admirationem expressi (p. 575). Quid igitur homini facias, qui descendere ad talia maluit quam commissum a se errorem vel arreptam potius superstitionem ingenue fateri? Istum sincero aliorum iudicio et magis etiam ipsius conscientiae libens relinquas [3].

scilicet prohibere volui, ne quis praeter Ludwichium ob depravata quaedam lemmata, quae cur depravari potuerint facillime pateret, malam scholiastae fidem increparet. Infeliciter idem Ludwichius schol. N 339 leviter corruptum in eandem suam sententiam retractavit, quo de quae dixi l. c. p. 570 repetere nolo.

[1] Ita ille l. c. . . . der Kritikus . . . singt nun ein langes Loblied auf ihn (librarium V) nach der Melodie: *Diess Kind, kein Engel ist so rein* (sic !).

[2] En mea verba:

'Vorwitz, Zerstörungswuth, eine *incredibilis oscitantia*, und was dergleichen Ehrentitel bei Lehrs und Ludwich mehr sind, darf weder dem Schreiber des Townleyanus noch seinen Copisten V Lp meines Erachtens vorgeworfen werden. *Fehler Missverständnisse u. s. f. finden sich freilich in allen dreien: giebts denn aber überhaupt eine Handschrift, die davon frei wäre? Und nun gar Handschriften von Scholien, die einen fortwährenden Kürzungs- und Verderbungsprocess notorisch durchgemacht haben*' etc.

[3] Iis, quae de Aristarcho et Didymo l. c. breviter exposui, ne nunc quidem velim quicquam demi, addi non nulla: quae in aliam occasionem differenda sunt.—De Lehrsio Ludwichius I p. 88 haec ipse scripserat: Er stellte nur in Abrede, dass wir verpflichtet seien, ihnen (V Lp Eust.) allein gleich aufs Wort zu glauben, während er diese Verpflichtung dem Ven. A gegenüber im Grossen und Ganzen *rückhaltslos anerkannt wissen wollte*. Itaque quod p. 574 Lehrsium 'non recte summam Veneto A fidem habuisse' ego dixi, frustra ut solet Ludwichius vituperavit.—Ceterum me nondum paenitet eius iudicii, quod de nova Dionysii Thracis recensione (D L Z 1884 p. 1579) tuli: cf. Ludwichium p. 719 fin.

III.

Ego integram scholiorum in Iliadem editionem si paraturus essem longe aliter atque Dindorfius instituerem. Venetum quidem A propter quattuorvirorum excerpta separatim ego quoque emitterem; Venetum tamen B quod item seorsum vulgandum censuit, hoc ille cum harum litterarum detrimento peccavit. Patere enim Dindorfio debuit et patuit (II p. ix) quanto scholiorum numero uterque codex non re tantum sed verbis quoque et corruptelis congrueret, quanta etiam eorum esset frequentia, ubi modo B modo T plura et meliora servasset, denique quam saepe scholia etsi origine diversa eadem tamen copula conexa utrobique legerentur. Unde communis archetypus efficitur. Qui Dindorfio ita refingendus erat, ut consentientibus B et T in universum T utpote praestantiorem in textum reciperet adnotata ex B lectionis discrepantia, ubi inter se distarent supplerentve, utrumque repraesentaret. Nunc quoniam deserta hac tam necessaria quam molesta officii parte codicem fratre gemello orbatum edidit: quid mihi aliud relictum erat nisi ut T submitterem? Adpositis tamen signis meis marginalibus levasse quoad potui hoc quod dixi incommodum mihi videor.

Ad codicum B T archetypum revertor, de quo ni fallor accuratiora sciri possunt. Velut dolemus quod ad I 266—299 T nulla scholia continet. Casum vix incusaverit, qui ea ipsa quae copiose et diligenter ut B ita T exhibere consuevit, dico res geographicas et fabulares, solito plura in hac carminis parte attingi consideravit. Verum nihil de Oreste tribusve sororibus (284—286), nihil de septem illis urbibus ad sedandam Achillis iram ab Agamemnone destinatis (290—295), ut mittam cetera. Iisdem scholiis caret etiam B: carebat igitur archetypus. Iam Venetum A inspicienti nihil ne

hunc quidem habere patet, nisi quae ex quattuorvirorum sylloga proveniunt. Ergo is quoque fonte illo altero unde antea et post haurire perrexit abstinere coactus erat. Ceterum res eadem vel in editione scholiorum D Lascaridea cernitur, de qua cf. cap. IV. Quae cum ita sint, amiserat iam aliquantum ante saec. X haec scholia uno ut videtur folio perscripta commentarius A B D T codicibus communis. Quod nolim ita accipi quasi ex exemplari eodem derivati sint: quae res ne in B et T quidem accidit: saepius enim ubi alter librarius verum propagat alter archetypum legere non valuit, sed ineptam litterarum congeriem descripsit; item alia.

Notum est duplicem scholiorum criticorum seriem in A inductam esse ambitu diversam[1], quorum altera eaque brevior ad B T proxime accedat, discedat tamen altera: sunt etiam quae utrique generi adscribas. Haec per unum librum persequar accuratius. Ad Γ undeviginti T codex tradidit, quorum (I) duo in B (II) octo in A solo (III) quinque in A B sic iterantur, ut eandem redactionem agnoscas; conferas modo:

I.

13. *κονίσαλος—ἀελλής*] *Ἀριστοφάνης γράφει "κονισάλου ὥρνυτ' ἀελλής"* T.

Ἀριστοφάνης γράφει "κονισάλου ὥρνυτ' ἀελλής" B.

42. *ὑπόψιον ἄλλων*] . . . *Ἀριστοφάνης δὲ "ἐπόψιον" γράφει, ἵν' ᾖ 'ἐπὶ πάντων ὁρώντων κερδᾶναι τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην'* T.

. . . *Ἀριστοφάνης δὲ "ἐπόψιον" γράφει καὶ οὐ στίζει, ἵν' ᾖ οὕτω 'λώβην εἶναι καὶ κερδᾶναι τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην ἐπὶ τῆς πάντων ὄψεως'* B.

II.

99. *πέποσθε*] *"πέπασθε" οὕτω πᾶσαι* T.

πέπασθε] *διὰ τοῦ ᾶ τὸ "πέπασθε" Ἀρίσταρχος* A^{t}.[2]

[1] Cf. Roemer 'Ueber die Werke der Aristarcheer im Cod. Venet. A' (Sitzungsber. d. Bayr. Ak. d. Wiss. 1875 II p. 241 sqq.).

[2] A^{t} sunt scholia in A intermarginalia, A* interlinearia, A marginalia.

262. *βήσετο δίφρον*] *ὁ μὲν Ἀρίσταρχος ἄμεινόν φησι τὸ "βήσετο," οὐ μεταποιεῖ δὲ τὴν γραφήν* T.

προκρίνει μὲν τὴν διὰ τοῦ ε̄ γραφὴν "βήσετο," πλὴν οὐ μετατίθησιν, ἀλλὰ διὰ τοῦ ᾱ γράφει ὁ Ἀρίσταρχος A^{t}.

295. *ἀφυσσόμενοι*] *διὰ τῆς ō τὸ "ἀφυσσόμενοι" ἐν παρατατικῷ· καὶ ἀναλογεῖ τῷ* [τὸ cod.] *"ἔκχεον"* T.

ἀφυσσόμενοι] *Ἀρίσταρχος "ἀφυσσόμενοι" διὰ τοῦ ō· ἄλλοι δὲ διὰ τοῦ ᾱ* A^{t} et *ἀφυσσάμενοι*] *ἀφυσσόμενοι* A*.

352. *δάμασσον*] *γράφεται "δαμῆναι," ἵνα συνᾴδῃ τῷ "δὸς τίσασθαι"* T.

δάμασσον] *Ἀρίσταρχος "δαμῆναι"* A*.

362. *κόρυθος φάλον· ⟨ἀμφὶ δ' ἄρ' αὐτῷ⟩*] *αἱ χαριέστεραι καὶ πλείονες θηλυκῶς ἔχουσιν, ἵν' ᾖ "ἀμφὶ δ' ἄρ' αὐτῇ" τῇ κόρυθι· ἐὰν δὲ ᾖ ἀρσενικόν, ἐπὶ τοῦ λόφου κεῖται* T.

ἀμφὶ δ' ἄρ' αὐτῷ] *Ἀρίσταρχος "ἀμφὶ δ' ἄρ' αὐτῇ" τῇ περικεφαλαίᾳ* A^{t}.

373. *καί νυ κεν εἴρυσ⟨σ⟩έντε*] *ἐν τῇ Ἀριστοφάνους "καί νυ κεν ἐξείρυσσε," οὐ μέντοι ἐν τῇ Ἀριστάρχου* T.

ἐν τῇ Ἀριστοφάνους "καί νυ κεν ἐξείρυ⟨σ⟩σε" A^{t}.

402. *εἴ τις τοι καὶ κεῖθι φίλος*] *ἐκ πλήρους ὁ "καί" σύνδεσμος* T.

κἀκεῖθι] *Ἀρίσταρχος μετὰ τοῦ ῑ "καὶ κεῖθι"* A*.

416. *αἴσχεα λυγρά*] *ἡ μὲν ἑτέρα τῶν Ἀριστάρχου "αἴσχεα" (sic), ἡ δὲ ἑτέρα "ἄλγεα"* T.

ἔχθεα] *ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχειον "ἄχθεα" ἐγέγραπτο· τινὲς δὲ "ἄλγεα" γράφουσιν* A

et *ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου "ἄχθεα"· τινὲς δὲ "ἄλγεα"* A^{t}.

III.

150. *γήραϊ δὴ πολέμοιο*] *ἐντελῶς "γήραϊ" γράφεται δὲ καὶ "γήρει" ὡς οὔδει* T.

γήραϊ] *γράφεται καὶ "γήρει" ὡς οὔδει. ἀσυναλείπτως ⟨δὲ⟩ τὸ "γήραϊ"* [τῷ γ. cod.] *ἀναγνωστέον* A*.

γήραϊ] *ἐντελῶς μὲν τὸ* [τῷ cod.] *"γήραϊ" γράφεται δὲ καὶ "γήρει"* [τῷ γ. cod.] *ὡς οὔδει* B.

270. *ἐπὶ χεῖρας ἔχευαν*] *διὰ τοῦ ō τὸ "ἔχευον" καὶ ἔστιν ἀναλογοῦν τῷ "μίσγον"* T.

ἔχευαν] *Ἀρίσταρχος διὰ τοῦ ō· καὶ ἀναλογεῖ τῷ* [τὸ cod.] *"μίσγον"* A^{t}.

διὰ τοῦ ō τὸ "ἔχευον," ἵν' ᾖ ἀναλογοῦν τῷ "μίσγον" B.

273. *ἀρνέων ἐκ κεφαλέων*] *τινὲς ἀρνέων, ἵν' ᾖ ὡς "ἱππείων ὀπλέων"* T.

Ζηνόδοτος γράφει "ἀρνέων ἐκ κεφαλέων" A.

τινὲς "ἀρνέων," ἵν' ᾖ ὡς "ἱππείων ὀπλέων" B.

326. *ἦχι ἑκάστῳ*] *μόνως κατὰ γενικὴν τὸ "ἑκάστου"* T.

ἑκάστῳ] *Ἀρίσταρχος κατὰ γενικὴν "ἑκάστου"* A^{t}.

μόνως κατὰ γενικὴν τὸ "ἑκάστου" ἀντὶ τοῦ ἑκάστῳ [ἑκάστῳ ἀ. τ. ἑκάστου cod.] B.

348. οὐδ' ἔρρηξεν χαλκόν] οὕτως Ἀρίσταρχος· ἄμεινον δὲ διὰ τοῦ σ̄ γράφειν· καὶ γὰρ ὕστερόν φησιν "ὁ δὲ δεύτερος ὥρνυτο χαλκῷ" ἀντὶ τοῦ τῷ δόρατι T.

χαλκός] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διὰ τοῦ ν̄ "χαλκόν" A[b]

et οὕτως ἄμεινον διὰ τοῦ σ̄ γράφειν· καὶ γὰρ ὕστερόν φησιν "ὁ δὲ δεύτερος ὥρνυτο χαλκῷ" ἀντὶ τοῦ τῷ δόρατι A.

χαλκός] Ἀρίσταρχος μὲν "χαλκόν," ἄμεινον δὲ "χαλκός·" καὶ γὰρ ὕστερόν φησιν "ὁ δὲ δεύτερος ὥρνυτο χαλκῷ" ἀντὶ τοῦ δόρατι B.

Submittam reliqua, quae etsi eodem fonte derivata aliter tamen in A atque in B T (IV) vel in solo T (V) redacta aut sunt aut videntur:

IV.

18. αὐτὰρ ὁ δοῦρε δύω] ἄνευ τοῦ ἄρθρου τὸ "αὐτὰρ δοῦρε" ἐν πάσαις ταῖς χαριεστέραις· ἡ δὲ σὺν τῷ ἄρθρῳ γραφή, καίτοι μὴ οὖσα Ἀριστάρχου, ὅμως ἔχει Ὁμηρικὴν συνήθειαν· ἔθος γὰρ αὐτῷ περὶ τοῦ αὐτοῦ διαλεγομένῳ μεσολαβεῖν τὸ ἄρθρον, ὡς περὶ ἄλλου λέγοντι, ὡς ἐπὶ τοῦ Σαρπηδόνος "αὐτοῦ μὲν ἀπήμβροτεν—ὁ δὲ Πήδασον οὖτα⟨σεν⟩" T.

τὸ "αὐτάρ" παρὰ Ζηνοδότῳ καὶ τοῖς ἄλλοις οὐκ ἐπάγεται τὸ ἄρθρον. ὅμως οὖν ἐστι καὶ τοῦτο τῆς Ὁμηρικῆς συνηθείας· ἔθος γὰρ αὐτῷ περὶ τοῦ αὐτοῦ διαλεγομένῳ μεσολαβεῖν τὸ ἄρθρον, ὡς καὶ περὶ ἄλλου λέγων ποιεῖ "Σαρπηδὼν αὐτοῦ μὲν ἀπήμβροτεν—ὁ δὲ Πήδασον" B.

Ἀρίσταρχος ἄνευ τοῦ ἄρθρου "αὐτὰρ δοῦρε·" οὕτω καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Καλλιστράτου, καὶ σχεδὸν οὕτω καὶ αἱ χαριέστεραι· καὶ ὁ Ἰξίων ἐν τῷ πρώτῳ πρὸς τὰς ἐξηγήσεις ὁμοίως προφέρεται. ἔχει δὲ τὸν Ὁμηρικὸν χαρακτῆρα καὶ ἡ σὺν τῷ ἄρθρῳ γραφή, καίπερ οὐκ οὖσα Ἀριστάρχειος· σύνηθες γὰρ τῷ ποιητῇ ἐπὶ τῶν αὐτῶν μένοντι ὑπόνοιαν παρέχειν ὡς περὶ ἑτέρου διαλέγοιτο προσθέσει ἄρθρου καὶ μεταλλάξει τοῦ συνδέσμου, ὡς ἐπὶ τοῦ Κύκλωπος "κἀδ δέ μιν ὕπνος ἥρει πανδαμάτωρ, ὁ δ' ἐρεύγετο οἰνοβαρείων" ἀντὶ τοῦ καὶ ἐρεύγετο. Ζηνόδοτος δὲ συνηθέτηκε τοῖς ἑξῆς· οὐ συναθετουμένου δὲ δεῖ κοινὸν παραλαβεῖν "αὐτὰρ ὁ δοῦρε δύω ἔχων" καὶ νοεῖν τὸ ἄρθρον ἐξ ἐπαναλήψεως παρειλημμένον ἐπὶ τοῦ αὐτοῦ προσώπου A.

35. εἶλε παρειά] Ἀρίσταρχος οὐδετέρως, ἕν τισι δὲ θηλυκῶς. ὁ δὲ Σιδώνιος διὰ τοῦ η̄ διὰ τὸ παρήμον· τὸ δὲ "παρειά" ὡς ἀγαθά· τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν Ἰωνικῶς μεταποιούμενα εἰς οὐδέτερον γένος φυλάσσει τὸν αὐτὸν τόνον, πλευραί πλευρά T.

Ἀρίσταρχος οὐδετέρως, ἕν τισι δὲ θηλυκῶς· τὸ δὲ "παρειά" ὡς τὸ ἀγαθά· οὕτως ὀξυτόνως καὶ χωρὶς τοῦ σ̄ γραπτέον, ἵνα ᾖ οὐδέτερον· τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα· διάφορον γὰρ τὸ σημαινόμενον· οὕτω παρειαί παρειά. φασὶ μέντοι

τὰ γὰρ ἀπὸ τῶν θηλυκῶν Ἰωνικῶς μεταποιούμενα εἰς οὐδέτερον γένος φυλάσσει τὸν αὐτὸν τόνον, ἡ πλευρά τὰ πλευρά· οὕτως οὖν καὶ τὸ "παρειά" παρῆκται B.

126. δίπλακα μαρμαρέην] . . . αἱ πᾶσαι δὲ "πορφυρέην" εἶχον· καὶ ἔστι συνῳδὸν τῷ "ἰοδνεφὲς εἶρος ἔχουσα" καὶ "φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα" T.

. . . συνῳδὸν δὲ τοῦτο τῷ "ἰοδνεφὲς εἶρος ἔχουσα" καὶ τῷ "φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα" B.

Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν "παρειάς" σὺν τῷ σ̄, ἐπειδὴ καὶ "παρειάων ἀπαλάων" λέγει A.

δίπλακα μαρμαρέην] καὶ αἱ Ἀριστάρχου καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους "πορφυρέην" εἶχον, οὐ "μαρμαρέην·" καὶ ἔστι πρεπωδέστερον· καὶ γὰρ ἐπὶ τῶν νυμφῶν "φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα" A.

V.

368. οὐδ' ἔβαλόν μιν] πᾶσαι "οὐδὲ δάμασ⟨σ⟩α." §. γράφεται καὶ "οὐδ' ἔβαλόν μιν" T.

οὐδ' ἔβαλόν μιν] οὕτως· Ἀμμώνιος ἐν τῷ πρὸς Ἀθηνοκλέα συγγράμματι ὁμοίως εἶχεν "οὐδ' ἐδάμασσα·" καὶ ἔστι συνῳδον τοῖς λεγομένοις πρότερον ὑπὸ τοῦ Μενελάου "δῖον Ἀλέξανδρον, καὶ ἐμῆς ὑπὸ χερσὶ δαμῆναι" A.

Eadem esse in T et B scholia illa critica ultro adparet. Consentit T etiam cum A, tamen semper fere cum interlineari (A*) et intermarginali (A^t) adnotatione: quo consensu origo eadem efficitur.

Iam meum esset de scholiis exegeticis qualis inter B T et A necessitudo intercedat explorare, dummodo hodierno illud adparatu fieri posset. Verum donec iusta scholiorum D recensio desideratur, rei summam indicasse sufficere debet. Teneatur igitur magnam vel potius maximam redactionis D partem codicibus A B T iterari.

IV.

Nolo tamen futurum scholiorum D editorem subsidiis duobus fraudari nuper a me repertis, quae inter ea conloco quibus quasi fundamentis nova recensio inaedificanda est.

1. Puto enim vetustum s. X—XI codicem ex duobus fragmentis altero Romano Matritensi altero refingi

paene integrum. De Matritensi haec ab Iriartio comperi (Reg. bibl. Matr. cod. gr. I nº. LXXI p. 255 sq.):

'Membranaceus in 4° foliis constans 178 litteris satis elegantibus saec. ut videtur XIII exeunte vel ineunte XIV una tantum manu exaratus foliis aliquot sub initium et finem codicis improbo musculorum dente arrosus, sed ita ut omnibus paene litteris bestiolae quasi litteratulae pepercerint. Eo continentur scholia in Homericae Iliadis libros Didymo attribui solita [cf. infra p. xxx⁴.] sed in posteriores dumtaxat XVIII. Codex priore sui parte non parum mutilus est adeoque et auctoris nomine et operis titulo destitutus. Quod quidem vitium simulque scripturae series minutatim plerumque consectae vel libri dominum vel librarium induxerunt, ut liber intus forisque vocabularium graecum inscriberetur. Fol. cod. 2° operis 1° apparet sola in superiori margine littera H, septimi scilicet index Iliadis libri, unde mutila haec scholia incohantur ab his nimirum verbis in v. 89: *πάλαι κατατεθνειῶτος*] *πάλαι καταβανόντος*. In ceteros vero Iliadis libros ad totum usque XXIV^um^ scholia procedunt sine intermissu, ita ut nihil ex iis desideretur, tametsi postrema duo folia litteris partim deletis partim maculosis laborent. Universus denique codex in haec desinit: *ἀμφίεπον*] *περιείπον, ἠσχολοῦντο*. Statim excipit huiusmodi clausula eadem qua reliquum volumen manu sic descripta: *εὐτυχῶς πεπλήρωται καὶ ἡ ὦ τῆς Ἰλιάδος*. Postmodum subit Constantini Lascaris idiographa subscriptio: *Κωνσταντῖνος ὁ Λάσκαρις καὶ τοῦτο ἐν Μεσσήνῃ τῆς Σικελίας ὠνήσατο*. Extremo demum in codice id rarius obvium mireris, duo scilicet folia 176 et 177 graece conscripta duobus aliis includi Arabice exaratis in crassiore membrana. Iam vero ad scholia quod attinet suae illis per singulos libros praeeunt hypotheses vel argumenta grandibus oblongulis et ad dextram vergentibus litteris exarata. Ceterum opus minutis litteris descriptum dissimilis quidem formae, sed eiusdem manus. Immane sane discrimen in uno volumine una manu exarato minores litteras saeculum decimum tertium prae se ferre, maiores nonum(!). Ipsa autem scholia perinde atque hypotheses cum illis maxime consentiunt (tametsi conferri sit operae pretium), quae Homero expoliendo atque illustrando Josua Barnesius evulgavit.'

Iriartii descriptionem Torstrikius, cuius schedas nuper mihi commodavit Dielesius, confirmat, nisi quod sibi 'multo antiquiorem, fortasse saeculi XII' videri codicem diserte professus est. Quod antestatus cum fragmento Matritensi in H 69 incipienti codicem iungo s. X—XI bibliothecae Victorii Emanuelis Romanum, qui continet A—Z Iliadis desinitque in Z 373. De

quo quae olim mecum O. de Gebhardt benigne communicaverat (Herm. XIX p. 559 sqq.), quatenus opus est, repeto:

'Codex, quem olim Muretus Francogallus (1526–85) Romae, ubi inde ab anno 1563 versabatur, deinde collegium fidei propagandae Iesuitarum Romanum (conditum a. 1622) possederat, in 4° 167 folia non numerata trigenis ternis per singulas paginas lineis complectitur. Primo folio mature amisso recentius successit. Adde quod scriptura in initio et fine fere exesa aegre et ne aegre quidem legi potest. Fol. 1 et 2 Iliadis personae vita poetae signorum criticorum conspectus [1], denique libri primi summarium uncialibus a scholiorum minusculis ut cetera quoque summaria distinctum exhibetur; folio 3ª ad textum scholiaque transitur. Priores tres libri theologicis quibusdam excipiuntur.'

Hoc igitur fragmentum a Matritensi avulsum esse propter descriptionum consensum mihi paene certum videtur. Messinae igitur hunc librum olim emerat Constantinus Lascaris.

2. Meminimus Ianum Constantini fratrem principem scholiorum D editionem Romae 1519 typis gymnasii Mediceorum graeci, cui tunc praeerat, imprimendam curasse. De subsidiis suis librum ipsum ita Ianus facit praefantem:

'Homeri interpres pervetustus infinitis propemodum malignitate temporum laceratus plagis Mediceum olim Quirinalis iam Caballini montis gymnasium adii, ibique haud parvo negotio in integrum restitutus purus nitidusque . . . in lucem prodeo.'

Quaerat quispiam num forte librum Constantini Romanomatritensem ad principem editionem Ianus adhibuerit. Agedum conferamus nonnulla Gebhardti ex fragmento Romano (R) excerpta cum Lascaridea (La).

Prolegomena quae ex R enumeravi non habet La; inscriptionem *Ὁμήρου Ἰλιάς* R, *σχόλια παλαιὰ τῶν πάνυ δοκίμων εἰς τὴν Ὁμήρου Ἰλιάδα* La. Iam adponam R subiunctis editionis La discrepantiis:

[1] Cf. Dindorfii vol. I p. XLIII et Herm. l. c. p. 574.

Χρύσης ἱερεὺς τοῦ Ἀπόλλωνος παραγίνεται ἐπὶ τὸν ναύσταθμον τῶν Ἑλλήνων βουλόμενος λυτρώσασθαι τὴν θυγατέρα αὐτοῦ Χρυσηίδα, οὐκ ἀπολαβὼν δὲ ἀλλὰ καὶ μεθ' ὕβρεως ὑπὸ Ἀγαμέμνονος[1] ἀποδιωχθεὶς[2] ηὔξατο τῷ Ἀπόλλωνι κατὰ τῶν Ἑλλήνων· λοιμοῦ δὲ γενομένου καὶ πολλῶν ὡς εἰκὸς διαφθειρομένων ἐκκλησίαν Ἀχιλλεὺς συνήγαγεν· Κάλχαντος δὲ τὴν ἀληθῆ διασαφήσαντος αἰτίαν[3] καὶ κελεύσαντος Ἀχιλλέως ἐξιλάσκεσθαι τὸν θεὸν Ἀγαμέμνων ὀργισθεὶς διηνέχθη πρὸς τὸν Ἀχιλλέα καὶ αὐτοῦ τὸ γέρας ἀπέσπασε τὴν Βρισηίδα[4] [Βρησηίδα cod.]· ὁ δὲ ὀργίζεται τοῖς Ἕλλησιν· Θέτις δὲ τοῦ υἱοῦ δεηθέντος εἰς Ὄλυμπον ἀνελθοῦσα ἠτήσατο παρὰ τοῦ Διός, ὅπως τοὺς Τρῶας ἐπικρατεστέρους ποιήσῃ τῶν Ἑλλήνων[5]. Ἥρα δὲ γνοῦσα[6] διηνέχθη πρὸς τὸν Δία, ἕως αὐτοὺς διέλυσεν Ἥφαιστος οἰνοχοήσας[7]. οἱ δὲ τὸ λοιπὸν τῆς ἡμέρας εὐωχηθέντες εἰς ὕπνον τρέπονται.

ἀρχὴ τῆς ᾱ[8].

μῆνιν] ὀργήν, χόλον ἐπίμονον[9]. §. ἐζήτηται δὲ εὐθύς, διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο τοῦ πολέμου ὁ ποιητὴς γράφειν, καί φαμεν, ὅτι ἅπας μὲν ὁ χρόνος ὁ πρὸ τοῦ δεκαετοῦς[10] κτλ.— Ε 64. ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη] Λακεδαιμόνιοι λοιμῷ[11] κρατηθέντες ἐμαντεύοντο περὶ ἀπαλλαγῆς· ὁ δὲ θεὸς αὐτοῖς ἔχρησεν ἐξιλάσασθαι[12] τοὺς Τεύκρων δαίμονας· οὕτω δὲ πρότερον οἱ Ἰλιεῖς ἐκαλοῦντο. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον τὸ προσταχθὲν ἔπρασσεν, κἀκεῖθεν εἰς θεοὺς [corr. Δελφοὺς][13] παρεγένετο περὶ παίδων γενέσεως χρησμὸν ληψόμενος. συνείπετο δὲ αὐτῷ καὶ Ἀλέξανδρος περὶ γυναικὸς μαντευσόμενος· γενομένων γοῦν[14] ἀμφοτέρων ἐπὶ τὸ μαντεῖον λέγεται χρῆσαι τὴν Πυθίαν τάδε· "τίπτε δύο[15] [corr. δύω] βασιλῆες, ὃ μὲν

[1] ὑπὸ Ἀγαμέμνονος etiam La : om. Par(isinus Bekkeri) ‖ [2] ἀποδιωχθεὶς etiam Eust. : διωχθεὶς La ‖ [3] διασαφ. τὴν ἀλ. αἰτίαν La Eust. ‖ [4] Βρισηίδα La Eust. ‖ [5] τῶν Ἑ. ποιήσῃ La Eust. ‖ [6] δὲ τοῦτο γν. La, γνοῦσα τοῦτο Eust. ‖ [7] post οἰν. ἐν ἐκπώματι χρυσῷ vel χρυσείῳ add. Par. Eust. ‖ [8] om. La ‖ [9] scholia inter se male coniuncta signo meo § interiecto diremi ‖ [10] δεκάτου ἔτους La ‖ [11] λημῷ La ‖ [12] ἐξιλάσκεσθαι La ‖ [13] Δελφοὺς La, θεὸς A ‖ [14] οὖν La ‖ [15] δύο etiam La A

Τρώων ὃ δ' Ἀχαιῶν, οὐκέθ' ὁμὰ φρονέοντες[1] ἐμὸν δόμον ε⟨ἰ⟩σανέβητε, ἤτοι ὃ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν, αὐτὰρ ὃ πῶλον ἑλεῖν [ἑλεῖν bis]; τί νυ μήσεαι, ὦ μέγαλε Ζεῦ;" τοὺς δὲ μὴ νοήσαντας τὸ λόγειον [corr. λόγιον][2] χωρισθῆναι. §. ὁ δὲ λόγος, ἐπεὶ οὐκ ἤδει[3] τὰ ἐκ τῶν θεῶν μαντεύματα. §. Ἑλληνικὸν[4] [corr. Ἑλλάνικος] δέ φησι χρησμὸν δοθῆναι τοῖς Τρωσὶν ἀπέχεσθαι μὲν ναυτιλίας γεωργίᾳ δὲ προσέχειν[5], μὴ τῇ θαλάσσῃ χρώμενοι ἀπολέσωσιν αὐτούς τε[6] καὶ τὴν πόλιν. Quibus manus prima in margine postea nonnulla addidit quae in La ceterisque scholiorum D editionibus (et in A B) frustra quaeruntur: οἱ μὲν ἤκουσαν κοινῶς τὴν εἱμαρμένην, οἱ δὲ τὸν δοθέντα τοῖς Τρωσὶ χρησμόν, ὃν περιέχει ἡ ἱστορία, τὸ ἀπέχεσθαι τῆς θαλάσσης· ἐπεὶ οὖν οἱ μὲν ἄλλοι Τρῶες δεδοικότες τὸν χρησμὸν ἀπείχοντο τοῦ ναυπηγεῖν, ὁ δὲ Ἀλέξανδρος καταφρονήσας τοῦ χρησμοῦ πηξάμενος ναῦς πλεύσας εἰς τὴν Ἑλλάδα ἥρπασεν Ἑλένην, διὰ ταύτην τὴν αἰτίαν ἀλώσεως καὶ πορθήσεως αἴτιος κατέστη τῇ πατρίδι.—οὔτι] οὐδαμῶς[7].—ἐκ θέσφατα] τὰ[8] ἐκ[9] θεῶν μαντεύματα.—κατέμαρπτεν] κατελάμβανεν.—διαπρό[10] διάμπαξ, διόλου.—κατὰ κύστην[11] κατὰ τὴν φύσκαν, ὅπερ ἐστὶν οὐροδόχον ὄργανον[12].—γνὺξ δ' ἔριπε] ἐπὶ γόνυ δὲ ἔπεσεν[13].—οἰμώξας] στενάξας, βοήσας.—E 126. σακέσπαλος] πολεμικός, ἀπὸ τοῦ πάλλειν τὸ σάκος καὶ κινεῖν τὴν ἀσπίδα[14]· εἴρηται δὲ σάκος[15], ἐπειδὴ παρὰ πρώτοις εὑρέθη Σάκεσιν [corr. Σάκαις]. Σάκες [corr. Σάκαι][16] δέ εἰσι μοῖρα Θρᾴκης[17].—ἄτρομον οἷον ἔχεσκε] Τυδεὺς ὁ Οἰνέως ἐν τῷ Θηβαϊκῷ πολέμῳ ὑπὸ Μελανίππου τὴν κεφαλὴν ἐκόμισεν καὶ ἀνοίξας αὐτὴν ὁ Τυδεὺς τὸν ἐγκέφαλον ἐρρόφει ὑπὸ [ἀπὸ cod.][18] θυμοῦ. Ἀθηνᾶ δὲ κομίζουσα Τυδεῖ ἀθανασίαν ἰδοῦσα τὸ μίασμα ἀπεστράφη αὐτόν. Τυδεὺς δὲ γνοὺς ἐδεήθη τῆς θεοῦ, ἵνα κἂν τῷ παιδὶ αὐτοῦ παράσχῃ τὴν ἀθανασίαν[19].—127. ἀχλὺν δ' αὖ

[1] ὁμὰ φρονέοντες etiam A: ὁμοφρονέοντες || [2] λόγον La || [3] ᾔδη La || [4] Ἑλλάνικος La || [5] προσανέχειν La || [6] τε om. La || [7] οὕτοι La || [8] θεόφατα ante τὰ add. La || [9] ἐκ om. La || [10] om. διαπρό] δ. δ. et add. γλουτόν] γλουτός τὸ περὶ τοῖς σφαιρώμασιν ἰσχίον ἡ κοτύλη La || [11] κύστιν La || [12] ἀγγεῖον pro ὄργανον La || [13] γνὺξ ἐριπών] ἐπὶ γόνυ πεσών La || [14] τὴν ἀσπίδα om. La || [15] σάκος om. La || [16] Σάκαις· Σάκαι La || [17] οἱ Θρᾷκες pro μοῖρα Θρᾴκης La || [18] ὑπὸ La || [19] ἱστορεῖ Φερεκύδης add. A, qui orationem paullo aliter conformavit

τοι ἀπ' ὀφθαλμῶν ἔλον] καὶ[1] τὴν ἀορασίαν δή σου τῶν ὀφθαλμῶν ἀφειλόμην· πῶς οὖν φησιν ἐν τοῖς ἑξῆς[2]· ἀγνοεῖ τὸν Γλαῦκον ὁ Διομήδης, λέγων "τίς δὲ σύ ἐσσι φέριστε;" καί φαμεν ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς, ἵνα τρώσῃ τὴν Ἀφροδίτην καὶ Ἄρεα· τρωθέντων δὲ τούτων πάλιν καὶ [corr. κατὰ][3] τὰ σιωπώμενα [corr. τὸ -ον][4] ἀνταποδίδοται[5] ἡ οἰκεία ἀχλύς, δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον. —E 150. οὐκ ἐρχομένοις] οὐχ ὑποστρέφουσιν. §. τὸ δὲ ὅλον, οἵστισι μὴ ἐπανιοῦσιν ⟨ἐκ⟩ τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους· ἔστι γὰρ ἓν[6] τῶν ἀμφιβόλων· ἤτοι γὰρ[7] ἐμαντεύσατο ὡς οὐκ ἐπανερχομένοις, ἢ ἐν ἤθει λέλεκται, καὶ οὐ προεῖπε διὰ τῶν ὀνείρων ὅτι ἀναιρεθήσονται.—E 194. πρωτοπαγεῖς] πρώτως πεπηγότες[8], νεοκατασκεύαστοι.—ἀμφὶ δὲ πέπλοι] περὶ αὐτοὺς δὲ πέπλοι. πέπλοι δὲ λεπτὰ ὑφάσματα ἢ σινδόνες· ἔστι δὲ καὶ[9] γυναικ⟨ε⟩ῖον[10] ἱμάτιον, ὡς ἐκεῖ "πέπλον κατέχευεν[11] ἑανὸν πατρὸς ἐπ' οὔδει" καὶ "πέπλος δ' ὃς χαριέστατος[12]."—195. πέπτανται] περιβέβληνται, ἥπλωνται.—203. ἄδην] δαψηλῶς [corr. -ιλῶς][13]. Αἰολὶς ἡ διάλεκτος.—291. [14]ἐζήτηται[15] πῶς Διομήδους μὲν[16] ἀκοντήσαντος[17] [corr. -ίσαντος] πεζοῦ, Πανδάρου δὲ ἀπὸ ἅρματος οὕτως ἐκ[18] τοῦ κοιλοτέρου φερόμενος[19] [corr. -ον] τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν. ἔστι δὲ λέγειν, ὅτι πρῶτον μὲν Ἀθηνᾶ ἦν ἡ κατευθύνουσα αὐτό, εἰ [corr. ᾗ] ἦν δυνατὸν[20] τοῦτο ποιῆσαι, ἔπειθ' ὅτι[21] προσεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεάσασθαι, εἰ καιρίως τέτρωται[22] ὁ Διομήδης, οὕτως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν· οἱ δέ, ὅτι ἐν ἀνομάλοις [corr. ἀνωμάλοις][23] τόποις μαχομένων εἰκὸς τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις τόποις τρέχειν, τοὺς δὲ πεζοὺς ἀπὸ[24] μετεώρου μάχεσθαι, ὥστε καὶ τὸν Διομήδην ἀφ' ὕψους βεβληκέναι.—384.[25] ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι

[1] καὶ om. A ‖ [2] ὅτι post ἑξῆς add. A ‖ [3] καὶ etiam A : κατὰ La ‖ [4] τὰ σιωπώμενα etiam La A ‖ [5] ἀνταποδίδοται etiam A : ἀποδίδοται La ‖ [6] ἕν τι La, ἐν om. A ‖ [7] γε pro γὰρ La A ‖ [8] παγέντες A ‖ [9] καὶ om. La ‖ [10] γυναικεῖον La ‖ [11] π. μὲν κ. La ‖ [12] πέπλος ὅστις τοι χ. ἠδὲ μέγιστος La ‖ [13] δαψιλῶς La ‖ [14] praefixit βέλος δ' ἴθυνεν Ἀθήνη ῥῖνα παρ' ὀφθαλμὸν καὶ τὰ ἑξῆς La ‖ [15] ζητεῖται La A ‖ [16] μὲν etiam A : om. La ‖ [17] ἀκοντίσαντος La A ‖ [18] ἐπὶ ἅρματος ὄντος ἐκ La ‖ [19] φερόμενον La A ‖ [20] ᾗ ἦν δυνατὸν La A ‖ [21] ἐπειδὴ ὅτι A ‖ [22] ἐτρώθη La ‖ [23] ἀνομάλοις etiam A : ἀνωμάλοις La ‖ [24] ἐνίοτε add. ante ἀπὸ La ‖ [25] A et hic et inferius lacunam passus deficit, de qua cf. Herm. XIX. p. 562

τιθέντες] ὑπὸ ἀνθρώπων, ἀλλήλους κακῶς πράσσοντες.—385. τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης] ἐκαρτέρησε μὲν[1] ὁ Ἄρης, ὑπέμεινεν. §. Ὦτος δὲ καὶ Ἐφιάλτης Ἀλωέως παῖδες καὶ Ἰφιμεδείας, κατ' ἐπίκλησιν δὲ Ποσ⟨ε⟩ιδῶνος, μέγιστοι καὶ ἰσχυροὶ γενόμενοι [γενάμενοι cod.][2] ἔπαυσαν τοὺς πολέμους· διὸ ἐμυθεύθη, ὅτι ἔδησαν τὸν Ἄρην.—τλῆ μὲν Ἄρης] Ἀρίσταρχος ἀξιοῖ τὰ φραζόμενα ὑπὸ τοῦ ποιητοῦ μυθικώτερον ἐκδέχεσθαι κατὰ[3] ποιητικὴν ἐξουσίαν μηδὲν ἔξω τῶν φραζομένων ὑπὸ τοῦ ποιητοῦ περιεργαζόμενος [-ένους cod.][4]. Ὦτος οὖν καὶ Ἐφιάλτης γόνῳ μὲν ἦσαν Ποσειδῶνος, ἐπίκλησιν [-σην cod.][5] δὲ Ἀλωέως· οὗτοι ὑπερφυεῖς κατὰ μέγεθος γενόμενοι [γενάμενοι][6] τὸν Ἄρη παρ' αὐτοῖς ἔδησαν· χρόνου δὲ διελθόντος Ἠερίβοια, μητρυιὰ μὲν τούτων γυνὴ δὲ Ἀλωέως, ἔπεισεν Ἑρμῆν[7], ὅπως κλέψῃ τὸν Ἄρη[8], κἀκείνους αὐτοὺς ἀντὶ τῶν δεσμῶν εἰσπράξηται τιμωρίαν· ὃ δὲ πεισθεὶς τοῦτο ἐποίησεν. οἱ δὲ οὐδὲ τότε τῆς ὑπερηφάνου ἀδικίας ἐπαύσαντο, ἀλλὰ Ἥραν καὶ Ἄρτεμιν [-ην cod.] ἐπείραζον· ἀγανακτήσασα δὲ Ἄρτεμις κυνηγετοῦσιν αὐτοῖς ἔλαφον ἔπεμψεν[9], ἥτις μεταξὺ τῶν δύο εἰσελθοῦσα παραιτία τελευτῆς αὐτοῖς ἐγένετο. προϊέμενοι γὰρ ὡς ἐπ' αὐτὴν τὰ δόρατα ἀμφότεροι τῆς μὲν ἀπέτυχον, ἀλλήλους δὲ πλήξαντες ἀπέθανον· ἄλλοι δὲ πιθανώτερον [πειθ- cod.] βουλόμενοι ἐξηγεῖσθαι τὸν Ὅμηρον[10] τοὺς Ἀλωι⟨ά⟩δας[11] τούτους φασὶ γενέσθαι βασιλεῖς τῆς Ἑλλάδος, πολλῆς[12] δὲ καὶ βαρβάρου γῆς ἐπικρατήσαντας καταπαῦσαι τὸν πόλεμον καὶ τὰς εἰς αὐτὸν [-ῶν cod.][13] παρασκευὰς καὶ ἐν εἰρήνῃ ποιῆσαι βιοτεύειν[14] τοὺς ἀνθρώπους· διὰ τοῦτο[15] ἔδοξαν [ἔδειξαν cod.][16] δῆσαι τὸν Ἄρη, τουτέστι τὸν πόλεμον. οἱ δὲ νεώτεροι[17] ἱστοροῦσι ποιηταὶ μόνον τὸν Ἄρη ἀπολειφθέντα τῶν ἄλλων θεῶν ἐν τοῖς Ὑπερβορε⟨ί⟩οις μέρεσι συλληφθῆναι καὶ συνδεθῆναι ὑπὸ τῶν Ἀλωιαδῶν[18] καὶ διαχθῆναι[19] εἰς Κέραμον πόλιν τῆς Καρίας καὶ ἐνταῦθα βασανισθῆναι μησὶ τρισὶ καὶ δέκα[20], μέχρις οὗ

[1] μὲν om. La ‖ [2] γενόμενοι La ‖ [3] τὴν post κατὰ add. La ‖ [4] -ένους etiam La ‖ [5] -σιν La ‖ [6] -όμενοι La ‖ [7] τὸν Ἑ. La ‖ [8] Ἄρην La ‖ [9] ἔπ. ἕλ. La ‖ [10] ἐξηγούμενοι τὰ Ὁμήρου La ‖ [11] Ἀλωείδας La ‖ [12] πολῆς La ‖ [13] αὐτὸν La ‖ [14] βοιωτεύειν La ‖ [15] τούτου La ‖ [16] ἔδοξαν La ‖ [17] νεώτεροι δὲ La ‖ [18] Ἀλωειδῶν La ‖ [19] διατεθῆναι La ‖ [20] τρισικαίδεκα La

Ἠερίβοια, ἡ τῶν Ἀλωιαδῶν[1] μήτηρ, ἐμήνυσὲ τῷ Ἑρμῇ [-εῖ cod.][2]· ὃ δὲ ὑπεξέκλεψεν[3] αὐτόν. οἱ δέ φασιν [Ἄρη add. cod.] περὶ τῆς ἱστορίας[4] τῶν ἄστρων καὶ περὶ τῶν μετεώρων διαλέγεσθαι τὸν Ὅμηρον μαθηματικὸν ὄντα [πιστὸν ἐπιδεικνύναι add. cod.]· ἐπεὶ γὰρ ὁ τοῦ[5] Ἄρεος ἀστὴρ ὁ Σ⟨ε⟩ίριος[6] καλούμενος ἐν τῷ Λέοντι γινόμενος[7] ὀκτὼ μησὶ στηρίζει, κατὰ τοῦ ⟨-το⟩[8] λέγειν τὸν ποιητὴν "χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας" τῷ πλείονι ἀριθμῷ χρησάμενος διὰ τὸ μέτρον[9]. χάλκεον δὲ πίθον λέγει τὸν Λέοντα· ἐν γὰρ τῷ ζῳδίῳ τούτῳ γενόμενος ὁ ἥλιος ἔξοπτα ποιεῖ καὶ μεγάλα καύματα, ὥς φησι καὶ Ἄρατος· "ἔνθα μὲν ἠελίοιο θερ⟨ε⟩ίταταί[10] εἰσι κέλευθοι· αἱ δέ που ἀσταχύων κενεαὶ [κερεαὶ cod.][11] φαίνονται ἄρουραι, ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι." βέλτιον[12] δ' ὅτι φιλοσοφεῖν βούλεται διὰ τῆσδε τῆς ῥαψῳδίας, ὡς καὶ δι' ὅλης τῆς ποιήσεως. Ἄρη[13] οὖν ὀνομάζει τὸν θυμόν, Ὦτον δὲ καὶ Ἐφιάλτην τοὺς ἐν παιδείᾳ λόγους· τούτων γὰρ τῶν λόγων ὁ μὲν[14] εἷς [τις cod.] ἐκ μαθήσεως καὶ διδασκαλίας κινεῖται, ὁ δὲ ἕτερος ἐνδιάθετός ἐστι[15] καὶ ἐκ φύσεως παρεπόμενος τοῖς ἀνθρώποις. τὸν μὲν οὖν διὰ τῆς μαθήσεως διδασκόμενον λόγον Ὦτον προσηγόρευσεν, ὅτι διὰ τῶν ὤτων αὐτὸν καὶ τῆς ἀκοῆς ἐκμανθάνομεν παιδευόμενοι, τὸν δὲ ἐνδιάθετον καὶ ἐκ φύσεως παρεπόμενον τοῖς ἀνθρώποις Ἐφιάλτην ὠνόμασεν, οἷον τὸν αὐτομάτως ἐφαλλόμενον[16], τουτέστιν ἐμβαλλόμενον ταῖς ἀκοαῖς. ὑπὸ τούτων δὲ ἀμφοτέρων φησὶ δεθῆναι τὸν Ἄρη[17], τουτέστι τὸν θυμόν, καὶ ἐπὶ πολὺ βασανισθῆναι, ἐπειδὴ οἱ ἐν παιδείᾳ λόγοι ἐκπαιδεύουσι[18] καὶ ἐκδιδάσκουσι[19] τοὺς ἀνθρώπους κατέχειν μὲν ὀργὴν[20] καὶ ἐπιθυμίαν, ἥκιστα δὲ θυμῷ χρῆσθαι [χρεῖσθαι cod.]. ὅπερ φησὶν Ὅμηρος [Ὅμηρον cod.][21] κατέχεσθαι θυμὸν μὲν ἐπὶ[22] τῶν λόγων τούτων, ἐπεὶ πάντοτε οἱ τῆς παιδείας λόγοι ἐκπαιδεύουσι[23] καὶ ἀναγκά-

[1] Ἀλωειδῶν La ‖ [2] Ἑρμῆ La ‖ [3] ἐξέκλεψεν La ‖ [4] οἱ δέ φασιν ἐν τῇδε τῇ ἱστορίᾳ περὶ τῶν μετεώρων διαλ. τ. Ὅ. μ. ὄντα ἐπεὶ La ‖ [5] τοῦ om. La ‖ [6] σιδήρειος La ‖ [7] γιγνόμενος La ‖ [8] τοῦτο La ‖ [9] δ. τὸ ἄστρον La ‖ [10] θερείτατοι La ‖ [11] κερεαὶ La ‖ [12] dehinc fere concinit Heracliteum B^2 cum La ‖ λέγειν post βέλ. add. La ‖ [13] Ἄρην La ‖ [14] τούτων ὁ μὲν La ‖ [15] ἐστιν ἐνδ. La ‖ [16] ἐφ. ἥτ' οὖν ἐπερχόμενον ταῖς διανοίαις ἡμῶν ὑπὸ La ‖ [17] Ἄρην La ‖ [18] ἐκπεδεύουσι La ‖ [19] διδάσκουσι La ‖ [20] κ. τὴν ante ὀργὴν add. La ‖ [21] Ὅμηρος La ‖ [22] μὲν τὸν θυμὸν ἐπὶ La ‖ [23] ἐκπεδεύουσι La

ζουσι τοὺς ἀνθρώπους μετὰ γνώμης ἅπαντα πράττειν, καὶ μὴ πολλάκις ὀργῇ χρωμένους [χρωμένων cod.][1] κατὰ τῶν φίλων ἀνήκεστόν τι πράττειν, ἐκδιδάσκουσι δὲ καὶ ὃν τρόπον δεῖ γονέων ἐπιμελεῖσθαι καὶ φίλων καὶ ἀδελφῶν κήδεσθαι καὶ τῶν ἄλλων ἁπάντων· αὖθις δὲ λυθῆναί φησιν αὐτὸν [αὐτῶν cod.][2] ὑπὸ Ἑρμοῦ, Ἠεριβοίας τοῦτο μηνυούσης, Ἑρμῆν πάλιν ὀνομάζων τὸν λόγον, ὅτι ἑρμηνεὺς γίνεται[3] πάντων πραγμάτων[4] ὁ λόγος. Ἠερίβοιαν δὲ ὀνομάζει τὴν στάσιν παρὰ τὸ μεγίστῃ βοῇ[5] χρῆσθαι [χρᾶσθαι cod.[6]] τὰ στασιάζοντα πλήθη ἐν ταῖς πόλεσιν, ἐπειδὴ πολλάκις[7] λόγος ἐξουσίαν δίδωσι τῷ θυμῷ χρῆσθαι [χρεῖσθαι cod.][8] τῇ οἰκείᾳ ῥώμῃ, ὅταν ὑπὲρ πατρίδος δέῃ καὶ ὑπὲρ παίδων καὶ γονέων καὶ κτημάτων καὶ πολιτείας πρὸς πολεμίους ἀγωνίζεσθαι· τότε γὰρ ὁ λόγος οὐκέτι κατέχει τὸν θυμὸν οὐδὲ εἴργει χρῆσθαι τῇ οἰκείᾳ δυνάμει, ἀλλὰ τοὐναντίον καὶ[9] αὐτὸς καὶ παρακελεύεται καὶ προτρέπεται χρῆσθαι [χρεῖσθαι cod.] κατὰ τῶν[10] οἰκείων, μᾶλλον δὲ τῶν ἐχθίστων, ἵνα μὴ ὑπὸ τῶν πολεμίων ληφθέντες κακῶς πείσονται[11].—386. Ἀλωῆος] Ἀλωέος[12].—κρατερῷ] ἰσχυρῷ.—387. χαλκέῳ δ' ἐν κεράμῳ] χαλκῷ ἀγγείῳ, πίθῳ ἢ δεσμωτηρίῳ· οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον [-οτήριον cod.][13] κέραμον καλοῦσιν.—396. "υἱὸς" δὲ[14] "Διὸς αἰγιόχοιο" ὁ Ἡρακλῆς.—ἐν Πύλῳ ἐν νεκύεσσι] ὁ μὲν Ἀρίσταρχος τὸν πύλον ἀκούει κατὰ μεταπλασμὸν ἀντὶ τοῦ πύλην, ὡς ἀπὸ τοῦ πολύαρνι πολυάρνῳ, καὶ τὸ [τῷ cod.] "ἐν νεκύεσσι" κυρίως ἀκούει 'ἔνθα αἱ τῶν τετελευτηκότων ἀναχωροῦσι ψυχαί.' §. καὶ[15] τὸν Ἀιδωνέα [τρωθῆναι add. cod.] ὑπὸ Ἡρακλέους εἰκὸς περὶ τὴν τοῦ Κερβέρου ἀναγωγὴν τετοξεῦσθαι ἐμποδὼν γινόμενον [γινομένων cod.] αὐτῷ καὶ κωλύοντα [κεκωλύοντι cod.], ἐπειδὴ καὶ ἐν ἑτέροις τῆς ἱστορίας ταύτης μέμνηται ὁ ποιητὴς λέγων "εὖτέ μιν εἰς Ἀίδαο πυλάρταο προὔπεμψεν ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀίδαο." οἱ δὲ νεώτεροι Ὁμήρου ποιηταὶ τὸ [τῷ cod.] "ἐν Πύλῳ" κυρίως περὶ Πύλον τὸν Μεσσηνιακὸν ἤκουσαν

[1] χρωμένους La ‖ [2] αὐτὸν La ‖ [3] γίγνεται La ‖ [4] πραγμάτων om. La ‖ [5] φωνῇ La ‖ [6] χρᾶσθαι etiam La ‖ [7] πολάκις ὁ La ‖ [8] χρῆσθαι La ‖ [9] καὶ ante et post αὐτὸς om. La ‖ [10] μὴ ante οἰκ. add. La ‖ [11] πάθωμεν La ‖ [12] Ἀλωέως posterius La ‖ [13] -οτήριον La ‖ [14] δὲ om. La ‖ [15] totum schol. om. La

τοῦτο πεπονθέναι αὐτόν, καθ' ὃν χρόνον Ἡρακλῆς ἐπόρθησε Πύλον καὶ προσεμυθεύσαντο ἴδιον διήγημα, ὅπερ ἀνωτέρω εἴπομεν [εἴσομεν cod.] ἐπὶ τῆς Ἥρας ἐν τῇ πρὸ ταύτης ἱστορίᾳ.

Denique, ut mittam ceteram eclogarum seriem, duo sexti libri summaria ex R et La adscripta conferas, quorum alterum diversam prodit recensionem adhuc ignotam, eandem alterum:

ἀρχὴ τῆς ζ̄.

ἀπαλλαγέντων εἰς τὸν Ὄλυμπον τῶν ἀμφοτέροις τοῖς στρατεύμασι βοηθούντων θεῶν πλέον ἰσχύσαντες οἱ Ἕλληνες διώκουσιν ἄχρι τοῦ τείχους τοὺς πολεμίους καὶ παρ' ὀλίγον εἰς τὴν πόλιν φεύγειν ἠνάγκασαν, εἰ μὴ ταῖς Ἑλένου τοῦ μάντεως ὑποθήκαις πεισθεὶς ὁ ἀδελφὸς Ἕκτωρ ἀντιστῆναί τε τοὺς Τρῶας τοῖς Ἀχαιοῖς παρώρμησε καὶ αὐτὸς εἰς τὴν πόλιν ἀπηλλάγη προτρεψόμενός τε τὴν μητέρα εὔξασθαι τοῖς θεοῖς κατὰ τῶν Ἑλλήνων καὶ τὸν Ἀλέξανδρον προάξων [προάγων cod.] εἰς τὴν μάχην· ἐν δὲ τῷ τέως συστάντες εἰς μονομαχίαν Γλαῦκός τε ὁ Ἱππολόχου καὶ Διομήδης ὁ Τυδέως καὶ γνωρίσαντες ἀλλήλους ἐκ προγονικῆς φιλίας ξένους ὑπάρχοντας ἀντιδόντες τὰς πανοπλίας διελύθησαν· ὁ δὲ Ἕκτωρ εἰς τὴν πόλιν ἀφικόμενος τῇ μὲν μητρὶ Ἑκάβῃ παρῄνεσε τὰς ὑπὲρ τῶν φίλων ἐπιτελεῖν εὐχάς, αὐτὸς δὲ τὸν Ἀλέξανδρον εἰς μάχην προελθεῖν ἐπιρρώσας καὶ τῇ [δία cod.] γυναικὶ διαλεχθεὶς [προσδιαλεχθεὶς cod.] πρόεισιν [προσεισίη cod.] εἰς τὸ πεδίον [παιδίον cod.] σὺν τῷ ἀδελφῷ Πάριδι R.

ὑπόθεσις τῆς ζ̄ Ὁμήρου ῥαψῳδίας.

τῶν θεῶν ἀποστάντων τῆς μάχης οἱ Ἕλληνες πολλοὺς ἀναιροῦσι τῶν Τρώων· Ἑλένου δὲ συμβουλεύσαντος Ἕκτωρ εἰς τὴν πόλιν ἄνεισι καὶ τῇ μητρὶ Ἑκάβῃ κελεύει[1] εὔξασθαι τῇ Ἀθηνᾷ καὶ ὑποσχέσθαι αὐτῇ δώδεκα βοῶν θυσίαν, ὅπως τὸν Διομήδην ἀποστήσειε τῆς μάχης·

τέως δὲ ὄντων αὐτῶν ἐν τῷ πεδίῳ Γλαῦκος καὶ Διομήδης ἀναγνωρίσαντες φιλίαν πατρικὴν[2] διαλλάσσουσι τὰ ὅπλα ἀλλήλοις. Ἕκτωρ δὲ διαλεχθεὶς τῇ μητρὶ καὶ τῇ γυναικὶ Ἀνδρομάχῃ σὺν τῷ ἀδελφῷ Ἀλεξάνδρῳ εἰς τὸν πόλεμον ἔξεισιν La.

[1] Ἑκάβῃ κελεύει etiam Par(isinus Bekkeri vol. iii. p. 687): κελεύει Ἑκάβῃ Eust.

[2] φιλίαν πατρικὴν etiam Par.: πατρῴαν φιλίαν Eust.

ἄλλως] *ἀνὰ μέσον Ξάνθου καὶ τοῦ*[1] *Σιμοῦντος τῶν ποταμῶν θάνατος Ἀκάμαντος τοῦ Θρᾳκὸς καὶ Γλαύκου καὶ Διομήδους*[2] *σύστασις καὶ ἀναγνωρισμὸς καὶ ἀμοιβὴ τῶν ὅπλων αὐτῶν*[3] *καὶ ἄνοδος Ἕκτορος εἰς Ἴλιον πρὸς τὴν μητέρα Ἑκάβην εἶτα πρὸς Ἀλέξανδρον καὶ Ἑλένην εἶτα πρὸς Ἀνδρομάχην τὴν γυναῖκα καὶ Ἕκτορος ἔξοδος ἐπὶ τὸν πόλεμον σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ.*

Nolo nimius esse in re aperta. Apertum enim est, testes R et La ita differre, ut non modo copiis uterque excellat quae in altero utro desiderantur, verum magis etiam eo abhorrere, quod etsi non perpetuum frequentem tamen aliorum codicum consensum, ubi inter se ipsi dissentiunt, consequuntur. Ut Lascaris librum Romanum passim consuleret, potuit quidem fieri, factum adhuc ignoratur. Quod utut est, nobis hodie, donec fons vel fontes Lascarideae reperti erunt, instar codicis editionem principem habendam esse demonstravi, idque alterum parandae novae scholiorum D editioni subsidium censeo[4]. Ceterae editiones quotquot vidi ex Lascaridea ita provenerunt[5], ut nonnulla aliunde reciperent casu oblata: velut Barnesius nono libro Lascarideae Horneyana scholia, i. e. Townleyana, addidit, alii alia. Hae igitur seponendae sunt post codices scholiorum D, qui per omnes fere bibliothecas feruntur, exhaustos.

Quae scholia cum propter ieiunitatem criticaeque doctrinae inopiam vehementer allicerent, accidit etiam pluriens, ut cum aliis ac diversis contaminarentur. Sic Leidensis—vel archetypus potius libri Leidensis—coniunxit scholia D B Eust., pauca sibi propria velut lemmata *Πορφυρίου* et quaedam etiam ipsa Porphyrii

[1] τοῦ om. La ‖ [2] καὶ Διομήδους om. La ‖ [3] αὐτοῦ καὶ Διομήδους La

[4] Ceterum momentum facit, quod Lascaris inventa sua in textum tacite induxit. Cf. etiam supra p. XXIX[12].

[5] Observavit Heynius (III p. LXXI*) Didymi nomen, cum desit in La et Aldina anno 1521 emissa, iam inveniri tamen in Francisci Asulani editione scholiorum ad Odysseam (Venetiis a. 1528) '*Διδύμου τοῦ παλαιοτάτου εἰς τὴν Ὀδύσσειαν ἐξήγησις*' inscripta.

zetemata scholiaque aliunde inseruit[1]. Vel Lipsiensis codex, quem ex B T et Eustathio conflatum esse constat, ex D nonnulla supplevit. Quod cum me fugeret Herm. XIX p. 285 sq., restare dixi rara quaedam (glossas praesertim) quorum ego originem nescirem. Novum igitur hoc meae de Lipsiensi commentationi velim adiungas[2]. Denique recentiores librarii, qui inde a s. XIII codices A B T additamentis multis auxerunt, genere D libenter utebantur. Quod quantum ad alteram Townleyani manum s. XIII et tertiam vel posteriorem recte aestimandas conferat, volumine altero patebit.

ERNESTUS MAASS.

Berolini m. Oct. 1885.

[1] Cf. meam de Leidensi commentationem Herm. XIX pp. 534–564 et Schraderum ib. XX pp. 380–406. Inesse pauca in Ld, quae neque in B neque in hodiernis scholiorum D editionibus Eustathiove reperiantur, ipse et tunc dixi p. 546 et 554 adn. et postea, cum mihi *ἱστορίας* mythographicas ex scholiis componerem, confirmatum vidi. Alia quaedam diligenter ut solet Schraderus nuper suggessit Herm. XX p. 387 sqq. Inter quae fuisse vel zetemata nonnulla Porphyrii effecit: quamquam sunt quae eximam. Hinc lemmata quoque Porphyrii in B et D omissa potuisse addi mihi idem persuasit p. 381 sqq. Transiisse tamen in Ld etiam scholia B^2 cogitatione iterata iisdem quae tunc attuli argumentis consequor.

[2] Velut schol. Leidense A 122 (Herm. l. c. p. 285) *ξυνήια*] *κοινὰ χρήματα* in solo D inest, item alia.

SIGLA.

A codex Venetus A Dindorfii Oxonii 1875, ex conlatione Ludwichii (Aristarchs Textkritik I) correctus.

B codex Venetus B Dindorfii Oxonii 1877.

B^2 manus codicis B recentior.

D Scholiorum minorum editio Lascaridea 1519, respecta passim etiam Barnesiana 1713.

L codex Lipsiensis (Lp.).

Eust. Eustathii commentarii in Iliadem ed. Stallbaum Lipsiae 1829.

W Wilamowitzius.

pr. manus Townleyani prima.

sec. „ „ secunda.

rec. „ „ recens.

Cetera signa quid sibi velint p. XIII sq. dictum est.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ΕΙΣ ΤΗΝ Α.

1. ΜΗΝΙΝ ἄειδε] ζητοῦσι διὰ τί ἀπὸ τῆς μήνιδος ἤρξατο, A =
οὕτω δυσφήμου ὀνόματος· διὰ δύο ταῦτα, πρῶτον μέν, ἵν' ἐκ τοῦ πάθους ἀποκαθαριεύσῃ τὸ τοιοῦτο μόριον τῆς ψυχῆς καὶ προσεκτικωτέρους τοὺς ἀκροατὰς ἐπὶ τοῦ μεγέθους ποιήσῃ καὶ προεθίσῃ φέρειν γενναίως ἡμᾶς τὰ πάθη, μέλλων πολέμους ἀπαγγέλλειν· δεύτερον δέ, ἵνα τὰ ἐγκώμια τῶν Ἑλλήνων πιθανώτερα ποιήσῃ· ἐπεὶ δὲ ἔμελλε νικῶντας ἀποφαίνειν τοὺς Ἕλληνας, εἰκότως [οὐ] κατατρέχει ἀξιοπιστότερον ἐκ τοῦ μὴ πάντα χαρίζεσθαι τῷ ἐκείνων ἐπαίνῳ.

§. ἤρξατο μὲν ἀπὸ μήνιδος, ἐπείπερ αὕτη τοῖς πρακτικοῖς ὑπόθεσις A =
γέγονεν· ἄλλως τε καὶ τραγῳδίαις τραγικὸν ἐξεῦρε προοίμιον· καὶ γὰρ προσεκτικοὺς ἡμᾶς ἡ τῶν ⌈ἀτυ⌋χημάτων διήγησις ἐργάζεται, καὶ ὡς ἄριστος ⟨ἰατρὸς⟩ πρῶτον ἀναστέλλων τὰ νοσήματα τῆς ψυχῆς ὕστερον τὴν ἴ⌈ασ⌋ιν ἐπάγει· Ἑλληνικ⌈ὸ⌋ν δὲ τὸ πρὸς τέλει τὰς ἡδονὰς ἐπάγειν. §. ἰστέον δέ· ὥσπερ ⌈ἐπὶ συ⌋κῆς πρῶτον μέν ⌈ἐστιν⌋ A =
ὄλυνθος, εἶτα φήληξ σῦκον ἰσχάς, οὕτω πρῶτον ὀργή, ⟨εἶτα⟩ θυμὸς χόλος κότος μῆνις· ὅμως ὁ ποιητὴς ὡς συνωνύμοις ὀνόμασιν ἐπὶ Ἀχιλλέως χρῆται· "ἠὲ χό⌈λον⌋ παύσειεν ἐρητύσειέ τε θυμόν" (192)· "οὐδ' ὄθομαι κοτέοντος" (181)· "αὐτὰρ ὃ μήνιε νηυσὶ παρήμενος" (488).

ζητεῖται διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο καὶ μὴ ἀπὸ τῶν A ~ B =
πρώτων ὁ ποιητής. καί φαμεν ὡς σποράδην οἱ πρὶν ἐγίνοντο πόλεμοι, καὶ οὐδὲ περὶ πόλεων μεγίστων. οἱ γὰρ Τρῶες Ἀχιλλέως παρόντος

Folii 1ª scholia (1–27) adeo aut evanuerunt aut rasuris deformata sunt, ut sine Veneti B et Lipsiensis auxilio restitui non possint ‖ 1–3. inscriptiones addidi ‖ 11. post ἐπαίνῳ nota finalis:—erasa ‖ 17. ἐστιν erasum: φ suppl. rec. ‖ 23. schol. post v. 54 scriptum; hinc ὄπισθεν post ζητεῖται add.

οὐδέποτε ἐξήεσαν τῶν πυλῶν καὶ σχεδὸν ἄπρακτοι τὴν ἐνναετίαν ἐτέλεσαν, τὰς ⟨δὲ⟩ ὁμορούσας πολίχνας οἱ Ἕλληνες διαστρέφοντες· περὶ ὧν ἀναγκαῖον αὐτῷ γράφειν οὐκ ἦν, μὴ παρούσης ὕλης τῷ λόγῳ. λέγουσι δὲ καὶ ἀρετὴν εἶναι ποιητικὴν τὸ τῶν τελευταίων
B = ἐπιλαμβάνεσθαι καὶ περὶ τῶν λοιπῶν ἀνέκαθεν διηγεῖσθαι. §. ἔτι ζητεῖται διὰ τί ἀπὸ δυσφήμου ὀνόματος τῆς μήνιδος ἄρχεται. ἐπιλύουσι δὲ αὐτὸ οἱ περὶ Ζηνόδοτον οὕτως, ὅτι πρέπον ἐστὶ τῇ ποιήσει τὸ προοίμιον, τὸν νοῦν τῶν ἀκροατῶν διεγεῖρον καὶ προσεχεστέρους ποιοῦν, εἰ μέλλει πολέμους καὶ θανάτους διηγεῖσθαι ἡρώων.
B = πάλιν ζητεῖται διὰ τί Ἀχιλλέως ὡς ἐπὶ τὸ πλεῖστον ἀριστεύοντος οὐκ Ἀχίλλειαν ὡς Ὀδύσσειαν ἐπέγραψε τὸ σωμάτιον. φαμὲν δ' ὅτι ἐκεῖ μέν, ἅτε μόνως ἐφ' ἑνὸς ἥρωος τοῦ λόγου πλακέντος, καλῶς καὶ τοὔνομα τέθειται, ἐνταῦθα δέ, εἰ καὶ μᾶλλον τῶν ἄλλων Ἀχιλλεὺς ἠρίστευεν, ἀλλά γε καὶ οἱ λοιποὶ ἀριστεύοντες φαίνονται· οὐ γὰρ μόνον τοῦτον οἷός ἦν δηλῶσαι βούλεται, ἀλλὰ σχεδὸν ἅπαντας, ὅπου γε καὶ ἐξισοῖ τινας αὐτῷ. ἐκ τινὸς οὖν ὀνομάσαι μὴ ἔχων αὐτό, ἀπὸ τῆς πόλεως ὀνομάζει καὶ τὸ αὐτοῦ καλῶς ὑποφαίνει ὄνομα.
A = B − μῆνιν] μῆνις παρὰ τὸ μένω ἐν ἐκτάσει μῆνις ὡς ἔνος ἦνις· οἱ δὲ περὶ Γλαύκωνα τὸν Ταρσέα ἠξίουν ὀξύνειν τὸ ὄνομα, οὐκ ὀρθῶς.
A + ἄειδε] ὅτι κατὰ τὴν ποιητικὴν ἤτοι ἄδειαν ἢ συνήθειαν λαμβάνει τὰ προστακτικὰ ἀντὶ εὐκτικῶν· ὁ γὰρ Ἡσ⌈ίοδός φησι "δεῦτε δὴ ἐννέ⌋πετε" (Opp. 2) καὶ Πίνδαρος ⌈"μαντεύεο Μοῦσα"⌋ (fr. 150 Bergk.)· δεύτερον δέ, ὅτι ⌈οὐ κατὰ ἀλήθειαν ταῖς Μού⌋σαις ἐπιτάσσουσιν, ἀλλ' ἑαυτοῖς.
B − ⌈ἄειδε⌋] ᾄδειν ποίει, μετωνυμικῶς ὡς "πάντας μέν ῥ' ἔλπει" (Od. 2. 91)· ἡδονῇ γὰρ αὐτὰ καλύπτειν θέλει δυσχερῆ ὄντα· περὶ δὲ τοῦ ῥή⌈τορος λέγων⌋ "ἔννεπε" ⌈φησίν⌋.
A − B = ἔθος τοῦτο ποιητικόν, ὃ πάντες μικροῦ ⌈δεῖν⌋ ἐφυλάξαντο, καλεῖν τὰς Μούσας ἤτοι τὸ θεῖ⌈ον ὡ⌋ς ἐπικουρῆσον αὐτοῖς· καὶ ἐν Ὀδυσσείᾳ γάρ φησιν "ἄ⌈νδρα⌋ μοι ἔννεπε Μοῦσα" καὶ πάλιν ἐπά⌈γει "τῶν ἀμό⌋θεν γε θεά·" καὶ ἀλλαχοῦ (Od. 8. 499) "ὃ δ' ὁρμηθ⌈εὶς θεοῦ ἤρ⌋χετο, φαῖνε δ' ἀοιδήν." οἱ δὲ λέγοντες, ⌈ὡς ἐχρῆν⌋ ἐπὶ τοῖς οὕτω δυσφήμοις ⌈λέγειν⌋ "ἄειδέ ⌈μοι ἠερο⌋φοῖτις Ἐρινύς," τοῦ δέ⌈οντος ἁμαρτάνουσιν⌋· οὐδὲ γάρ τι πρὸς γνῶσιν Ἐρινὺς συντελεῖ.

9. μέλλοι ‖ 16. ἔ. αὐτῶν ἀ. videtur ‖ 19. παρὰ ‖ 26. ἤδον γ. αὖται καὶ εἰπεῖν: corr. W ex B

ἐνθάδε μέντοι μίαν καλεῖ, ἐν [δὲ] τῇ ἀπαριθμήσει (Il. 2. 484) πάσας· "ἔσπετε νῦν μοι Μοῦσαι."

Πηληιάδεω Ἀχιλῆος] οὕτως ἀναγνωστέον δι' ἑνὸς λ διὰ τὸ μέτρον A=
καὶ διὰ τὸ ἄχο[ς, ὅ ἐστι λύπην,] ἐπενεγκεῖν τοῖς Ἰλιεῦσιν· οἷ δὲ
παρὰ τὸ μὴ θιγεῖν χείλε[σι] τροφῆς· ὅλως γὰρ οὐ μετέσχε γάλακτος.

*Πηληιάδεω] παραγωγόν.

2. ⟨οὐλομένην⟩] [τὴν ὀλέσ]ασαν ἢ τὴν ὀλεθρίαν· ὡς ἐπὶ ἰδίοις B=
δὲ ἀλγῶν δυσφημεῖ αὐτήν· ὅρα δὲ τὰς ἐν ἀρχῇ ἀναφωνήσεις, ὅσον
ὑποφαίνουσι τὸ [πλῆθος τῶν] ἱστορηθησομένων, ὡς [καὶ ἐν] Ὀδυσσείᾳ.
§. ἔχει δὲ τοὺς γεν⟨ν⟩ικωτάτους τῶν τόπων τὸ προοίμιον· ποσόν, B=
πολλάς· ποιόν, ἰφθίμους· οὐσίαν, [ψυχάς· τόπον, Ἅιδι·] χρόνον,
προΐαψεν.

ἢ μυρία] κατὰ συλλογισμὸν ἡ δ[ι]ή[γησις]. §. μυρίον τινὲς
θρηνητικὸν παρὰ τὸ μύρεσθαι, καὶ ἐπίθετον αὐτὸ τῶν ἀλγέων ἤκουσαν, A= B+
ἐφ' οἷς μ[ύρεσθαι] τὸ κλαῦσαι· οὐδὲν δὲ ἄτοπον, εἰ παρὰ Μού[σης
ταῦτα μαθεῖν] ἐρωτᾷ· φρόνησις μὲν γάρ ἐστιν ἡ πάντων εἴδησις,
προαίρεσις δὲ ἀκριβὴς ἡ τῶν ἀμεινόνων πράξεων αἵρεσις.

ἢ μυρία] ῥητορικὴ ἡ μετάληψις· παρ[ὸν] γὰρ "ὃς μυρί' B=
[Ἀχαιοῖς] ἄλγε' ἔθηκε" φάναι, ὡς φιλ[έλλην οὐ τῷ ἥρωι] ἐπάγει
τὴν βλασφημίαν ἀλλὰ τῷ [πάθει]. §. τὸ δὲ ἢ κατὰ δωτικὴν ἤκουσάν B=
[τινες, οὐκ ὀρθῶς].

3. πολλὰς δ' ἰφθίμους ψυχάς] [κίνησιν] οὐ τὴν τυχοῦσαν ἔχει τὸ B=
προοίμιον, εἰ μέλλει διηγεῖσθαι θανάτους πολλῶν ἰφθίμων ἡρώων.

ἰφθίμων ψυχάς] Ἀπολλώνιος ὁ Ῥόδιος γράφει "κεφαλάς." B=

ἐναντίον τῷ "μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι B=
ἀνδρῶν" (Il. 6. 488). ἀλλ' οὐ ταὐτὸν ἐκείνῳ τοῦτο. νῦν γὰρ δοκεῖ
λέγειν, ὡς οὐ διὰ τὴν Μοῖραν ἀλλὰ τὴν μῆνιν Ἀχιλλέως ἀπώλοντο·
ῥητέον οὖν, ὅτι μοῖραν ἐνταῦθα ἀκουστέον τὴν πρὸ τῆς ὡρισμένης
τελευτήν· πρεπώδης γὰρ ἀνθρώποις θάνατος ὁ ἐν γήρᾳ γινόμενος·
"γῆρας" γάρ φησι "καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται" (Od. 13. 59). §. "προΐαψεν" οὖν ἔβλαψε πρὸ ὅρου παραπέμψασα B=
Ἅιδῃ, τουτέστι πρὸ τοῦ πρέποντος ἀνθρώποις θανάτου· ἢ περιττεύει
ἡ "πρό," ὡς τὸ "νῆάς τε προπάσας" (Il. 2. 493).

5. τροφὰς: corr. W ‖ 10. repetitur *ποσόν· ποιόν· οὐσίαν· τόπον· χρόνον ‖ 13. μυρίον scripsi: . . οἳ ‖ 15. περὶ ‖ 22. ἔχει A: λέγει ‖ 24. repetitur * * Ἀπ. ὁ Ῥ. κ. γράφει

B= 4. αὐτοὺς δὲ ἑλώρια] καὶ ἀλλαχοῦ (Il. 9. 547) "ἡ δ' [ἀμ]φ' αὐτῷ θῆκε"—ἀντὶ 'τῷ σώματι αὐτοῦ'—"ἀμφὶ συὸς κεφαλῇ."

B+ αὐ[το]ὺς δὲ ἑλώρια] δυσμενεῖς φασι [τοὺς ἀκροω]μένους ἐργάζεται βλασφημ[εῖσθαι ποιῶν], ὅτι τὰ σώματα οὐκ ἐκήδευσαν ἀνελόμενοι· ἀλλ' οὐδὲ δι' ἀμέλειαν περιεῖδον ἀτάφους, ἀλλὰ καιρὸν τοῦ κηδεύειν οὐκ ἔχοντες· τεκμήριον δέ· ἐν μὲν τῇ πρώτῃ μάχῃ—ταύτῃ δὲ τῶν Τρώων ἐκράτουν—θάπτουσι τοὺς πεσόντας, τῇ δὲ μετ' αὐτὴν ἡττώμενοι διὰ τὴν Διὸς βούλησιν, ἐπαυλιζομένων ταῖς ναυσὶ τῶν βαρβάρων, οὐκέτι περὶ τοῦ θάψαι τοὺς τεθνεῶτας ἀλλὰ περὶ τῆς σφῶν σωτηρίας εἶχον τὴν φροντίδα. §. δασύνεται δὲ τὸ "ἑλώρια·" παρὰ γ[ὰρ τὸ] ἕλω ἕλωρ [ἐγ]ίνετο, ὡς παρὰ τὸ πέλω πέλωρ· καὶ κτητικὸν τὸ ἑλώριον, ᾧ ἐχρήσατο ἀντὶ 'ἕλωρ'. §. χρειώδης δέ ἐστιν ἐνταῦθα καὶ ἡ τοῦ "τεῦχε" παράτασις. Εὐκλείδης φησὶ τὸ ἐξῆς· "τεῦχε κύνες⟨σ⟩ιν οἰωνοῖσί τε πᾶσιν, ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε."

A= * κύνεσσιν] κατὰ Αἰολεῖς.

A+ B= **Διὸς βουλὴν λέγει νῦν ὁ ποιητὴς τὴν ἐπαγγελίαν τὴν πρὸς Θέτιδα· "Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο [κῦδος]"

B= (Il. 13. 347). Εὐκλείδης δέ φησιν, ὅτι οὐχ ὡς ἑπόμενον τοῖς πρώτοις τοῦτο εἴρηται, ἀλλ' ὡς κεχωρισμένον καὶ καθ' ἑαυτὸ λεγόμενον· ἡ δὲ τοῦ Διὸς ἐτελειοῦτο βουλή, τὸ τοὺς ἠδικηκότας ἀξίαν δοῦναι δίκην ὧν ἠδίκησαν, ὅπερ ἐστὶ τέλος τῆς Ἰλιάδος, ὡς εἶναι τὸ μὲν ἐπὶ τοῦ Ἀχιλλέως εἰρημένον κοινὸν τῆς ὅλης φράσεως, τὸ "πολλὰς δ' ἰφθίμους ψυχάς," τὸ δὲ ἐπὶ θεοῦ κεχωρισμένον, ὅτι δίκην ἔδοσαν ἱκανῶς τῇ βουλῇ αὐτοῦ.

B= 6. ** ⟨διαστήτην⟩] διέστησαν· ἡ δὲ τῶν δυϊκῶν κατάχρησις Ἀττική. §. τὸ δὲ "ἔριδι" ἀντὶ 'μετὰ ἔριδος,' ὡς μεθ' ὅπλων.

B= 7ᵃ. ** Ἀτρείδης] ἀντονομασία ὁ τρόπος ἀντὶ τοῦ Ἀγαμέμνων, [ὡς καὶ] ἡ Τριτογένεια ἀντὶ τοῦ Ἀθηνᾶ· ἐπεὶ δὲ Ἀτρείδης καὶ τὸν Μενέλεων ἐθήλου, ἀντιδιαστέλλων προσέθηκε "ἄναξ ἀνδρῶν."

B= 7ᵇ. ** δῖος] ὁ ἔνδοξος, ἀπὸ τῆς τοῦ Διὸς ὑπεροχῆς. ποσαχῶς δὲ

3. ἀπεργάζεται B: ὀρῶς legi ‖ 11. πέλωρ πέλωρ ‖ 12. ἀντὶ ἑλώρια ‖ ‖ 22. τὸ τέλος ‖ 28. schol. 7ᵃ post 7ᵇ scriptum, at fere deletum est; haec conspicua: . . . . ντονομ (secuntur circa 50 litt.) ἐπεὶ δὲ ἀτρείδης (et c. 80 litt. evanidae). sumpsi ex L ‖ 31. certo haec apparent: πάντων χάρ (versus scholii, quod 100 fere litt. constabat, finem). sumpsi ex L.

τὸ "διὸς" φησὶν ἡ κατὰ συλλογισμὸν διήγησις; Ἀχιλλεὺς μὲν γὰρ πάντων χάριν, Ὀδυσσεὺς δὲ φρονήσεως, Ἀλέξανδρος δὲ καὶ Κλυταιμνήστρα κάλλους, Εὔμαιος εὐνοίας, θάλασσα καὶ Χάρυβδις μεγέθους· τὸν δὲ Ἀχιλλέα καὶ διογενῆ δίχα τοῦ κυρίου· "αὐτὰρ ὁ διογενής" (Il. 21. 17).

8. ** τίς τ' ἄρ] οἱ [περὶ τὸν] Σιδώνιον τῇ "σφῶι" ἀρέσκονται, B+ οὐ καλῶς· ἡ γὰρ "σφῶι" δύο πτώσεις ἐπιδέχεται ὑμεῖς τε καὶ ὑμᾶς, ὧν οὐδέτερον ἁρμόζει· τὸ δὲ "σφωέ" μᾶλλον τρίτου ἐστὶ δυϊκοῦ προσώπου καὶ σημαίνει τὸ [αὐτούς].

ἔριδι ξυν[έηκε μάχεσθαι]] ὡς "δί' ὅ γε—Τρωσὶ μάχεσθαι."

10. ** ψιλωτέον τὸ "ὦρσε·" ἀπὸ γὰρ τοῦ ὄρω τὸ ὁρμῶ Αἰολικῶς A—B= γίνεται.

** ⟨λαοί⟩ καίτοι τοῦ λαός περιλημματικοῦ ὄντος πρὸς πλείονα B= ἔμφασιν τῷ πληθυντικῷ ἐχρήσατο.

11. ** οὕνεκα τὸν Χρύσην] ὑπερβατόν, ἵν' ᾖ τὸν ἀρητῆρα Χρύσην· A— B= τὰ γὰρ ἐπιθετικώτερον συντασσόμενα κυρίοις ἢ προσηγορικοῖς τὰ ἄρθρα δέχονται, εἰ μὴ τὰ ῥήματα διαφόρων γνώσεων κατ[ηγοροίη· τότε γὰρ] ἀδιάφορον τὸ ἄρθρον. ἔστιν οὖν καθ' ὑπερβατόν, ὡς τὸ "ἀλλ' ὅτε δὴ τάχ' ὁ μοχλὸς ἐλάινος" (Od. 9. 378). §. κατὰ συλλογισμὸν δὲ B= ἡ διήγησις· εἰ γὰρ θεοφιλεῖ τις ἀνδρὶ προσκρούων τοιαῦτα πάσχει, πόσῳ μᾶλλον θεῷ; καὶ εἰ βασιλεὺς οὕτω κολάζεται, πόσῳ μᾶλλον ἰδιώτης;

13. [πανταχόθεν] τὸν οἶκτον πεποίηται, τῷ γήρᾳ, τῇ χηρώσει B= τῆς παιδός, τῇ πρὸς τοὺς ἐχθροὺς παρόδῳ καὶ τῇ τῶν δώρων κομιδῇ· καὶ τὰ μὲν στέμματα κατέχει, [τὰ δὲ δ]ῶρα—χρυσὸς δὲ ταῦτα καὶ ἐσθὴς καὶ χαλκὸς ἦν—δι' οἰκετῶν προσῆγεν· καὶ τὰ μὲν τῶν θεῶν δείκνυσι, καὶ παραινεῖ ὡς θεοὺς τιμᾶν, τὰ δὲ [δί]δωσιν, ἵνα καὶ τὴν ἀπὸ τούτων ἀντιδέξηται φιλοφροσύνην.

[ἵνα, εἰ] μὲν θεοσεβής, τὰ στέμματα αἰδεσθῇ, εἰ δὲ φιλοχρήματος, A— B= τὰ δῶρα δέξηται, εἰ δὲ μή, τὸ γῆρας οἰκτειρήσῃ· πανταχόθεν δὲ τὸν ἔλεον θηρᾶται.

14. ** ⟨ἑκηβόλου⟩] τοῦ ἔκαθεν ἐπιτυγχάνοντος· πλεῖστοι γὰρ B=

6. in medio fere scholio legi ὑμεῖσ τε . . . . ὧν οὐδέτερον . . . . . δὲ σφωέ, cetera ex L supplevi ‖ 15. versus scholii finem legi εἰ γὰρ . . . . . ις ἀνδρὶ . . . . . τοιαῦτα . . . . . μᾶλλον . . . . . τω, cetera ex B et L, ubi 14 litt. ante ἀδιάφορον totidemque post καὶ εἰ evanidae, supplevi. remanet tamen spatium 30 fere litt. vacuum ‖ 27. κἂν τ.

ἔκαβεν βάλλουσιν, ἀλλ' οὐ τυγχάνουσι τοῦ σκοποῦ· "εἰκ ἔβαλες τὸν ξεῖνον" (Od. 20. 305) ἀντὶ τοῦ οὐκ ἔτυχες· βάλλειν γὰρ κυρίως τὸ ἐπιτυγχάνειν.

B= 15. εἰώθασι συνάγεσθαι οἱ Ἀχαιοὶ "παὶ παρὰ πρύμνῃ Ἀγαμέμνονος" (Il. 7. 383).

B= 16. εἴωθεν ὑπεξαίρειν τὰ προύχοντα πρόσωπα, ὡς τὸ "Τρῶάς τε
B= καὶ Ἕκτορα (Il. 13. 1). §. ἀπὸ τοῦ διηγηματικοῦ δὲ ἐπὶ τὸ μιμητικὸν μέτεισιν, ὡς τὸ "ἱππεῦσιν μὲν πρῶτ' ἐπετέλλετο" (Il. 4. 301).

B= 18. [οὐκ ἐν] οὐρανῷ μόνον ἀλλὰ καὶ ἐπὶ γῆς τοὺς θεοὺς φησιν οἰκεῖν, ἵνα μὴ καταφρονῶσιν αὐτῶν ὡς μακρὰν ὄντων.

B= 20. ⟨παῖδα δ' ἐμοὶ λύσαιτε φίλην⟩] ἀντιδιέσταλται πρὸς τὴν
B= "ὑμῖν" διὸ ὀρθοτονεῖται. §. ἐλεεινὴ δὲ ἡ προσθήκη τοῦ "φίλην" [δηλοῖ
AB= γὰρ τὴν] μόνην. §. τὸ δὲ "δέχεσθαι" ἀντὶ προστακτικοῦ ἀπαρέμφατον.

A-B= 21. ἵνα μὴ δοκοῖεν ἔμπειροι τῆς τοξικῆς εἶναι, τὸν Ἀπόλλωνα πολεμοῦντα αὐτοῖς ὡς "ἑκηβόλον" εἰσάγει, διὰ τῶν τούτου τόξων ἐκφ[οβῶν αὐτούς].

B= 22. ⟨ἐπευφήμησαν Ἀχαιοί⟩] [δεισίδα]ιμον [γὰρ] τὸ πλῆθος καὶ μισοπόνηρον.

B= 23. ὡς τιμῶντες μὲν οὗτοι ἱερέα καλοῦσι, λέγοντες ὡς χρὴ τὸν ἱκέτην μετ' αἰδοῦς δέχεσθαι· ὃ δὲ καὶ γέροντα αὐτὸν ὀνομάζει.

AB= 24. [ἀρχικὸν] τὸ μὴ ἐπιτρέπειν τοῖς ἀρχομένοις τὰς κρίσεις, ἄλλως τε καὶ οὐκ ἐπεκηρυκεύσατο, ἀλλὰ τὸ τοῦ βασιλέως γέρας ᾔτει παρὰ τῶν ἀρχομένων.

B= 25. ⟨κακῶς⟩] αὐστηρῶς, ἢ σὺν τῷ οἰκείῳ κακῷ ἤτοι τῇ ἀπραξίᾳ. §.
B= τὸ δὲ ["κρατερόν" ἀντὶ τοῦ ἀπηνῆ], ὡς τὸ "ἀνδρὶ παρὰ κρατερῷ" (Il. 24. 212), "κρατὺ δ' ἄλγεα πάσχων" (Il. 2. 721). §. τὸ δὲ ἑξῆς, ἐπέτελλεν.

B= 26. τὸ τοῖς ἄλλοις αἰδέσιμον γῆρας ἐπ' ὀνείδει προβάλλεται.

B= 27. ⟨ἢ νῦν δηθύνοντ' ἢ ὕστερον αὖτις ἰόντα⟩] ἢ γὰρ ἐπιμέν[οντες ἀνύομεν, ἢ πρὸς] τὸ ὀξὺ ἐνδιδόαμεν, ὕστερον δὲ ὀχλοῦμεν· ὧν ἁπάντων
A-B= αὐτὸν ἐκκόπτει. §. τὸ δὲ "νῦν" τὸν ἐνεστῶτα ἐσήμανεν, οὐ τὸν πλατικὸν χρόνον.

B= 29. πολλὰς περικοπὰς ἔχει ὁ λόγος τὸ θυμικὸν ἐμφαίνων.

A+B= μᾶλλον γηράσει παρ' ἐμοὶ ἢ λυθήσεται· ἔστι δὲ ὡς τὸ "οὐδέποτ' ἐκπέρσει, πρίν μιν κύνες ἠδ' οἰωνοί" (Il. 18. 283).

AB= κατ' ὀλίγον αὔξων τὰ τῆς διαστάσεως λυπεῖ τὸν γέροντα· ἔστι

8. πρώτοις ‖ 11. λύσαί τε ‖ 22. τε καὶ scripsi : τε δὲ ‖ 28. δηθύνοντα

δέ, ὥς που τὸ περὶ αὐτοῦ ἐπίγραμμα δηλοῖ, "βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής" (Il. 3. 179)· διὸ παρὰ [μὲν] τῶν ὑπηκόων ὑβρίζεται, τοῖς δὲ πολεμίοις λίαν ἐστὶν ἀπηνής, ὡς Ἀδράστῳ καὶ τοῖς Ἀντιμάχου παισίν.

31. ⟨ἱστὸν ἐποιχομένην⟩] ταῦτα λέγων ὑπ' ὄψιν ἄγει τὰ τῆς Ἑλένης. B=

**⟨ἐμὸν λέχος ἀντιόωσαν⟩] τῆς ἐμῆς κοίτης μεταλαμβάνουσαν, ὡς τὸ "ἀντιόων ταύρων τε" (Od. 1. 25). §. ἐφύβριστος δὲ ἡ παρὰ πολεμίοις μῖξις· ὅτι δὲ ἐφ' ὕβρει φησὶν αὐτῇ χρῆσθαι, δηλοῖ διὰ τοῦ ἐκφωνῆσαι τὸ "ἱστὸν ἐποιχομένην" καὶ τούτῳ τῷ λόγῳ συμπεριλαβεῖν τὸ λέχος. B=

32. μή μ' ἐρέθιζε] τὰ γὰρ ἀποθύμια ἐρεθιστικὰ ἡγούμεθα εἶναι· πρῶτος δὲ ὁ Ὅμηρος τὴν δύναμιν τῆς Ἀδραστ⟨ε⟩ίας ἐνεδείξατο· ὁ ⟨γὰρ⟩ τὸν ἱκέτην ἀτιμάσας αὐτὸς ἱκετεύων ἀποτυ[γχάνει]· ὁ δῶρα μὴ λαβὼν ἑτέρῳ δίδωσιν· ὁ κατασχὼν γέροντος θυγατέρα διδοὺς τὴν ἑαυτοῦ πρὸς γάμον ἀπαξιοῦται. B=

33. ἐπείθετο] ἀντὶ τοῦ οὐκ ἀντέπρασσεν· διδάσκ[ει δὲ] ὁ ποιητὴς εἴκειν ταῖς ὑπερβολαῖς. §. οἰκείως δὲ τὸν ἠτιμασμένον καὶ φοβούμενον γέροντα καλεῖ καὶ οὐχ ἱερέα, πλέον οἰκτιζόμενος. B=

34. ⟨ἀκέων⟩] οὐκ οἰμώξας διὰ τὸν καιρόν. §. "ἀπάνευθε" δέ, ἵνα ⟨μὴ⟩ ἀκούσωσιν οἱ πολέμιοι· ὑποθήκη δέ ἐστι τοῖς καταδεεστέροις καταφεύγειν ἐπὶ τὸ θ[εῖον] ἀδικουμένους. B=

36. ⟨Ἀπόλλωνι ἄνακτι⟩] ἢ ὅτι αὐτός ἐστι τῶν φαινομένων ⟨αἴτιος⟩, ἢ ὡς μουσικὸν ἄνακτα αὐτὸν ὁ ποιητής φησιν, ἢ τῷ ἰδίῳ ἄνακτι. B+

37. ⟨κλῦθί μευ⟩] ἐν γενικῇ τὸ μεῦ, οὐκ ἐν δοτικῇ· καὶ ἔστιν ἀναλογοῦν τὸ "τοῦ δ' ἔκλυε Φ[οῖβος] Ἀπόλλων" (43). B=

⟨ἀργυρότοξε⟩] διὰ τὴν χρείαν τῶν βελῶν τοῦτό φησιν· ἔοικε δὲ μηδὲν διαφέρεσθαι περὶ τὸν ἄργυρον καὶ χρυσόν. B+

⟨Χρύσην⟩] ἀπόρθητος αὕτη, ἡ δὲ Τένεδος ⟨πεπορθημένη⟩· "τὴν ἄρετ' [ἐ]κ Τενέδοιο γέρων" (Il. 11. 625)· τὸ δὲ παρὸν ἕτοιμον πρὸς B+

1. αὐτοὺς ἐπέγραφε πρᾶγμα δηλοῖ δέ: αὐτοῦ ἐπιγράφον γράμμα δηλοῦν A, αὐτοῦ ἐπιγράφει γράμμα B, corr. Bekker ‖ βασιλεὺς μ[έ] 7. repetitur in marg. sup. ἀντὶ τοῦ μεταλαμβάνουσαν, ὡς ταύρων ‖ 17. ὅπως εἴκειν τὰς ὑπερβολάς ‖ 19. οὐκ ‖ 22. st mmate signo adiecto schol. repetitur ** ἵνα μὴ ἀκούσωσιν οἱ ὑνηθες δέ ἐστι τ. κ. κ. ἐπὶ τὸ θεῖον. ‖ 29. παρὰ τ. ἅ.

ὑπόμνησιν, ὥς που φησὶ περὶ τῶν πρεσβευτῶν "πολλὰ μάλ' εὐχομένῳ γαιήοχῳ" (Il. 9. 183).

A + B= 38. Κίλλος ἡνίοχος Πέλοπος περὶ Λέσβον ἀποθανών· ἀθυμοῦντι δὲ αὐτῷ παρέστη κελεύων Κιλλαίῳ Ἀπόλλωνι θύειν διὰ τὸν αἰφνίδιον [θάνατον] καὶ νικήσειν· ὅθεν [καὶ] τῆς ὀνομασίας ἔτυχεν ἡ πόλις.

B= Κύκνου καὶ Σκαμανδροδίκης Τέννης καὶ Ἡμιθέα· ὃς ἀπελαθεὶς ὑπὸ τοῦ πατρὸς σὺν τῇ ἀδελφῇ Ἡμιθέᾳ διὰ τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς Καλύκης ᾤκησεν τὴν Λευκόφρυν, καὶ ἀφ' ἑαυτοῦ Τένεδον ὠνόμασεν.

A + 39. ⟨ἔρεψα⟩] ἐκ τοῦ ἐρέφω, ἐξ οὗ καὶ Εἰραφιώτης Διόνυσος· ἢ παρὰ τὸ ἐρίφῳ συνανατραφῆναι· ἢ παρὰ τὸ ἐρίῳ αὐτὸν πλέκεσθαι.

B= 41. ⟨ταύρων ἠδ' αἰγῶν⟩] θυσίαις ταύρων καὶ αἰγῶν ἥδεται ὁ Ἀπόλλων· ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα αὐτῶν.

B= 42. ⟨τίσειαν Δαναοί⟩] μικρῷ λόγῳ μεγάλα αἰτεῖ· ἀνταποδοῖεν τοῖς βέλεσί σου ταῦτα τὰ δάκρυα, ὅ ἐστι τοξεύων εἴσπραξαι αὐτούς ἅπερ ἐγὼ ἐξέχεα δάκρυα· ἐν σχήματι δ⟨ὲ ὃ παρῆκεν ἔφρασεν, ὡς ἄρα⟩ ἔκλαιεν ὁ γέρων.

B + πῶς Ἕλλησιν ἐπαρᾶται τοῖς ἐπευφημήσασι δοθῆναι αὐτῷ τὴν θυγατέρα καὶ μὴ μᾶλλον Ἀγαμέμνονι; φαμὲν οὖν· εἰ ἀπέθανεν Ἀγαμέμνων, ἀνεκζήτητος ⟨ἂν⟩ ἔμεινεν ἡ αἰτία τοῦ λοιμοῦ, ἢ πλεόντων ἐπὶ τὴν πατρίδα τῶν Ἑλλήνων ἀναπόδοτος ἔμεινεν ἡ Χρυσηίς. ἄλλως τε Ἕλλησιν ἀρᾶται, ἐπεὶ καὶ αὐτοὶ πορθήσαντες Θήβας ἀπέδωκαν ⟨αὐτὴν⟩ Ἀγαμέμνονι· εἰ δὲ προσθείης .... ὅτι βάρβαρος ὁ Χρύσης καὶ πᾶσιν ἐχθρός.

B − 43. ⟨τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων⟩] συνητίμαστο γὰρ τῷ ἱερεῖ ἐν τῷ "μή νυ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο," καὶ ὅτι Τρωικός ἐστιν ὁ θεός· ἀπολίτευτον δὲ τὸ πρὸ τῆς εὐχῆς ἐπικουρῆσαι. διδάσκει οὖν ὅσον ὀνίνησιν εὐχὴ καθαρά· ὅσον δὲ ἀνωφελὴς ἡ μυσαρὰ θυσία, Αἴγισθος.

B= 44. ⟨κῆρ⟩] παρὰ τὴν καῦσιν· τὸ δὲ ἔμφυτον θερμόν φασιν εἶναι τὴν ψυχήν.

B − 45. τόξα] προαναφώνησις· ἓν εἶχε τόξον, ἀλλὰ τῇ φωνῇ τοῦ πλήθους τῶν δεινῶν ἐμφαίνει τὸ μέγεθος.

*ἀμφηρεφέα] ἀμφοτέρωθεν ὠροφωμένην, ἐκ τοῦ ἐρέφω.

8. ᾤκησαν ‖ 9. ὠνόμασαν ‖ 10. Διόνυσος supra add. ‖ 14. ἀνταποδοῖεν B: ἀνταποδώσεις ‖ 16. supplevi ex B ‖ 22. suppl. W ex B ‖ 23. lacunam indicavi ‖ 28. ὡς ante Αἴγ. delevi ‖ 33. ὀροφωμένην ‖ ἐρέφθω

46. ἔκλαγξαν δ' ἄρ' ὀιστοί] ἐπιστρέφει πρὸς εὐσέβειαν τὸ καὶ τὰ ἄψυχα αἰσθάνεσθαι τῆς θείας δυνάμεως, ὡς καὶ ἐπὶ Ἀχιλλέως "τάδ' ἀνέκραγεν" (Il. 19. 13). B—

47. *αὐτοῦ κινηθέντος] ὅτι "αὐτοῦ" τοπικὸν ἐπίρρημα, ἢ ὅτι αὐτοῦ τοῦ δαίμονος.

⟨νυκτὶ ἐοικώς⟩] τὰ φοβερὰ νυκτὶ εἰκάζει. B—

48. τὸ "ἕζετο" ἐφεδρ⟨ε⟩ίαν τινὰ δηλοῖ καὶ πλείω διατριβήν. B+

49. ⟨κλαγγή⟩] λέγεται καὶ ἐπὶ ἐμψύχων, ὡς καὶ ἐπὶ Τρώων· ἐπὶ δὲ ἀνθρωπίνου τόξου ψιλῶς, ὡς τὸ "λίγξε βιός" (Il. 4. 125). B—

50. οὐρῆες λέγονται διὰ τὸ ἄγονον· καὶ οὔρια ᾠὰ καλοῦμεν· εὐπαθῆ δὲ τὰ ζῷα ταῦτα καὶ εὐά[λω]τα ὑπὸ νόσων· σύμμικτος γὰρ οὖσα ἡ φύσις αὐτῶν καὶ ἐκ διαφερόντων τοῖς εἴδεσιν οὐ μεγάλης εἰς τὸ φθείρεσθαι δεῖται ἀνάγκης, οὐδὲ ἀντέχει μέχρι πολλοῦ βλαπτομένη· οἱ δὲ κύνες καθαροῦ δέονται τοῦ ἀέρος ὀξυτέρᾳ τῇ ὀσφρήσει χρώμενοι. §. "ἀργούς" δὲ ἀκουστέον τοὺς λευκούς, ὅτι ἀσθενέστερά ἐστι ταῦτα τὰ σώματα τῶν ἐναντίως ἐχόντων, ἀραιότερα ὄντα καὶ εὐπαθέστερα· εἰσὶ δὲ [οἱ μὲν] πρὸς γεωργίαν, οἱ δὲ πρὸς θήρ[αν] χρειώδεις· ὅθεν μάλιστα τὰς τροφὰς ἐπορίζοντο. §. εἰ δὲ καὶ θεὸς ὢν καὶ πολέμιος [ἠτι]μασμένος καιρὸν δίδωσι μετανοίας, τί δεῖ τοὺς ἀνθρώπους ποιεῖν; A— B—

51. αὐτοῖς] τοῖς Ἕλλησιν· [πρὶν ἢ δὲ] τὸ ἄκρον καταλαβεῖν, [ἦ- τοι τοὺς] ἀρχηγούς, Ἀχιλλεὺς δημηγ[ορεῖ]. A— B—

52. ⟨βάλλε⟩] ἰοῖς ἔβαλλ[εν], ὡς τὸ ᾤχετο, κατὰ Ἰωνικὴν περίφρασιν· ἢ τὸ "βάλλε" ἀντὶ τοῦ ἐφόνευεν. B—

Πάμφιλος "θαμεῖαι" λέγει ὡς ὀξεῖαι, Ἀρίσταρχος δὲ ὡς πυκιναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί. B—

53. ⟨ἐννῆμαρ⟩] ἐπὶ θ' ἡμέρας, ὅτι οὐδὲ [ἄλλως] ἠδύνατο γνωσθῆναι τὸ ἴδιον τῆς νόσου, ὅτι λοιμικὴ καὶ φθαρτική· ἢ ἐν τοσούτῳ χρόνῳ· ὡς γὰρ ἐπὶ πλέον ἐν ταῖς θ' ἡμέραις καὶ μικρ[ὸν τι πρό]τερον ἢ ὕστερον [κρί]νεται τὰ τοιαῦτα [νοσ]ήματα ἢ ἀπόλλυσι τοὺς νοσοῦντας· καλῶς οὖν καὶ ἡ Ἥρα μετὰ τὰς θ' ἡμέρας ἐπὶ νοῦν τίθησι ζητῆσαι τὸν λοιμὸν Ἀχιλλεῖ, εἰ καὶ μὴ τοῦτο [ἔλα]ξεν—Ἥρα γὰρ ὁ ἀήρ—, καὶ φθαρτ[ὸν] γενόμε[νον] πρῶτος ὁ Ἀχιλλεὺς [ὡς ὢν] ἰατρὸς καὶ Χείρωνος μαθητὴς τοῦτον συνεβάλετο. §. "λευκώλενον" B—

17. novavit rec. ‖ 24. repetitur *ἀντὶ τοῦ ἐφόνευεν τὸ [illegible]" ‖ 28. τε post ὅτι del. W ‖ 32. καὶ scripsi : γὰρ ‖ supplevi ‖ 34

δὲ τὴν Ἥραν φησίν, ὅτι διαφανής [ἐστιν] ὁ ἀήρ, καὶ παρόντων τῶν φωσφόρων καὶ λαμπρύνεται· διὸ καὶ "βοῶπις," ὅτι δι' αὐτοῦ ἡ τῆς ὄψεως ἐνέργεια [ἐν νυκτὶ] καὶ ἡμέρᾳ γνωρίζει.

B= ⟨ᾤχετο⟩] οὐκ εἶπεν ἐπέμπετο, ἀλλ' ὥσπερ ἐπὶ ἐμψύχῳ εἶδει ἐπορεύετο.

B= ⟨κῆλα⟩] ὡς τὸ δόρυ κοινόν ἐστι καὶ εἰδικόν, οὕτω καὶ τὸ κῆλον· ἢ "κῆλα" τὰ δείματά φησιν ἢ τὰ καύσεως αἴτια.

B= 54. ⟨ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς⟩] αὐτοκράτωρ γάρ, οὐ μισθωτὸς ἦν· τὴν δὲ στρατιὰν ὁ θέλων συνῆγεν· συνάγει μὲν γὰρ Ὀδυσσεὺς ἐν τῇ Β̄ καὶ Ἀχιλλεὺς ἐν τῇ Γ̄, ἄλλως τε καὶ αὐτὸς ἡγεῖται τῆς ὑπαίθρου στρατιᾶς· ὅτι γὰρ οὐ τυραννὶς τοῦτο ἦν, ἐκ τῶν λόγων αὐτοῦ δῆλον, καὶ μάλιστα τῶν ἐν ταῖς Λιταῖς.

B= 55. προϊὼν ἤδη καὶ τοὺς ἐπικούρους θεοὺς διασαφεῖ, τοῦτο μὲν τὸ προνοητικὸν τῶν θεῶν ἐνδεικνύμενος, τοῦτο δὲ καὶ φαντασίαν παρεντιθείς.

B– 56. κήδετο] πῶς; ὅτι περ ἡ αἰτία γέγονε τῆς μήνιδος Ἀχιλλεῖ· εἰ γὰρ μὴ τοῦτο ὑπῆρξεν, οὐκ ἂν διηνέχθη ὁ Ἀγαμέμνων οὐδὲ ἔχθρα συνέβη, δι' ὧν μᾶλλον ἐβλάβησαν Ἕλληνες· ῥητέον οὖν, ὅτι συνέφερε τὸν Ἀχιλλέα μηνῖσαι, ἵνα θαρρήσαντες οἱ Τρῶες τῷ πεδίῳ προέλθωσι καὶ νικηθῶσιν ἐκ τοῦ ἴσου μαχόμενοι· εἰ γὰρ ἐν τῇ πόλει ἔμειναν πολιορκούμενοι, μακρὸς ἂν ἐγένετο ἢ καὶ ἀτελεύτητος ὁ πόλεμος.

B= ὅτι ῥα] βασυντέον τὸν ῥά· πάσης γὰρ λέξεως τὸ ρ̄ ἀρχόμενον βασύνεται, πλὴν τοῦ Ῥᾶρος.

B= 57. ἤγερθεν] κατ' ὀλίγον γὰρ συνιόντες πληθύνονται.

B= 59. Ἀτρεΐδη] κατ' ἰδίαν τὸ "Ἀτρεΐδη·" κλητικὴ γάρ ἐστι καὶ αὐτοτελής· οὐ μέντοι ἐν τῷ "Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν" (Π. 2. 434)· σχεδὸν δὲ πᾶσαι μιᾶς ἔχονται συνταξεως.

B= παλιμπλαγχθέντας] ὑφ' ἓν Ἀρίσταρχος τὸ "παλιμπλαγχθέν-
A+B= τας." §. τὸ "πάλιν" δὲ σημαίνει τὸ εἰς τοὐπίσω, ἤτοι μάτην ἀπράκτους ὑποστρέψαντας, μονονουχὶ πλάνην, οὐκ εἰσβολὴν ποιησαμένους.

** μάτην ἀπράκτους ὑποστρέψαντας, μονονουχὶ πλάνην, οὐκ εἰσβολὴν ποιησαμένους· τὰ γὰρ περὶ Μυσίαν ἀγνοεῖ.

AB= 62. Ἡρωδιανὸς τελείαν δίδωσιν εἰς τὸ "ἐρείομεν," ἵνα γενικὸν ᾖ

7. σήματα coni. W ‖ 10. ΙΒ et ΙΤ ‖ 12. αὐτῶν: corr. W ‖ 24. Ῥάρος ‖ 29–31. in marg. sup. ‖ 34. εἴη

τὸ μάντις· ὁ δὲ Πορφύριος τρία ἀποδέχεται, μάντιν λέγων τὸν διὰ οἰωνῶν ἢ σημείων ἢ τεράτων μαντευόμενον, ἱερέα δὲ τὸν διὰ θυσιῶν, ὀνειροπόλον ⟨δὲ⟩ τὸν ὀνειροκρίτην.

καὶ γάρ τ' ὄναρ] ⟨καὶ γάρ τι ὄναρ⟩, ὅ ἐστι τὸ τέλειον· ἐπειδὴ τὸ A + B =
ὄναρ [σαθρόν] ἐστιν, ὕψωσεν αὐτὸ τῇ προσθήκῃ.

τὸ "ἔστιν" ἐγκλιτικόν ἐστιν, εἰ μὴ ἄρχεται ἢ προηγεῖται αὐτοῦ B =
ἡ οὐ ἀπόφασις.

64. ⟨ἐχώσατο Φοῖβος⟩] τῶν αἰφνιδίων θανάτων αἴτιόν φασιν εἶναι B =
Ἀπόλλωνα. §. τ[ῷ] δὲ ὅ τι λείπει ἡ διά. B =

65. εὐχωλῆς] ὥσπερ παρὰ τὸ παύσω παυσωλή καὶ ἔλπω ἐλπωρή, B =
οὕτω παρὰ τὸ εὔχω εὐχωλή. §. "ἑκατόμβη" δὲ ἀπὸ τοῦ ἑκατόν καὶ A + B =
τοῦ βοῦς.

66. αἴ κεν πως] περισσὸς ὁ "κέν·" καὶ ἔστιν ἀντὶ τοῦ εἴ πως. A B =

κνίσης] Πυθαγορικός ἐστι μᾶλλον φιλόσοφος ἢ στρατιώτης, ὡς B =
δῆλον ἔκ τε τῶν νῦν καὶ ἐκ τοῦ "αὔριον ἱρὰ Διὶ ῥέξας" (Il. 9. 357)
καὶ τῶν περὶ τοῦ δέπαος τῆς Πατροκλείας (Il. 16. 225)· πῶς οὖν κατὰ
Κράτητα καὶ Περσαῖον οὔτε φρόνιμος οὔτε σώφρων οὔτε ἀνδρεῖος;
πηγὴ γάρ τις ἐστὶ τῆς ἄλλης ἀρετῆς τὸ δοκεῖν εἶναι θεούς.

67. ἡμῖν ἀπὸ λοιγόν] ὀρθοτονεῖται τὸ "ἡμῖν·" ἀρκτικὸν γάρ ἐστι B =
κατὰ τὴν τῆς "ἀπό" σύνταξιν, ὅτι πρὸς τὸ ἀμῦναι ἡ ἀπό φέρεται.

69. Θεστορίδης] ὅρα πῶς ἐν ἀρχῇ διασαφεῖ τὰ ὀνόματα ὡς καὶ B =
ἑτέρου ὑπάρχοντος.

70. τά τ' ἐόντα] τὰς αἰτίας φησίν, ἐπεὶ τὸν λοιμὸν ᾔδεσαν B =
πάντες, οὐ μὴν καὶ τὴν αἰτίαν αὐτοῦ· διὸ καὶ τρίποδα τίθησι
τῷ θεῷ.

71. καὶ νήεσσ' ἠγήσατο] διὰ τὰς διοσημίας· "πειθόμενοι" γάρ B =
φησι "τεράεσσι θεῶν" (Il. 4. 408).

72. πόρε Φοῖβος] τὰς εἰς ἄκρον εὐεξίας θεῶν δῶρά φησιν. B =
Εὐρύτῳ "πόρε τόξον Ἐκηβόλος" (Apoll. Rhod. 1. 88).

73. εὐφρονέων] πρὸς τὴν τοῦ βασιλέως ἀβελτηρίαν. B =

74. ὦ Ἀχιλεῦ] καὶ τῷ βασιλεῖ ἀπολογεῖται ὡς ἀναγκαζόμενος A B =
ὑπὸ Ἀχιλλέως, καὶ τῷ πλήθει ὡς δέει τοῦ βασιλέως ⟨μὴ⟩ προειπών.

4. supplevi ex B ‖ 15. ἱερὰ ‖ 16. τῶν R: τὰ ‖ οὖν B: ὁ ‖ 21. repetitur ** ἐν ἀρχῇ διασαφεῖ τὰ πρόσωπα, d [illegible] 3 fere litt. ‖ 24. μ. δὲ τ.: corr. W ‖ 28. inter εὐεξίας et β[illegible] litt. erasae ‖ φασιν W ‖ 29. τόξον πόρεν: transpos. W

B= 76. τοιγὰρ ἐγών] οὐκ ἔστιν ἀντωνυμ[ία ἡ "τοί"]—οὐδέποτε γὰρ ἀρκτική ἐστιν—[ἀλλ' ἀντὶ] τοῦ δή.

B= καί μοι ὄμοσσον] οὐκ ἀπιστῶν τῷ Ἀχιλλεῖ προβάλλει τὸν ὅρκον, ἀλλ' ἵνα σχῇ πρόφασιν πρὸς τὸν βασιλέα· ὁ συνεὶς Ἀχιλλεὺς οὐκ ἠγανάκτησεν ἐξαιτούμενος, ὤμοσε δὲ ἑτοίμως.

B= 77. ἠμέν μοι] ἀντὶ τοῦ ἦ μήν· ἔστι δὲ [ἐπίρρημα] ὁρκικόν· διὸ βαρύνομεν τὸν ῆ· εἰ γὰρ περισπάσομεν, ἔσται βεβ[αιωτικός].

B= 78. οἶομαι] ὡς ἐπιδιστάζων εἶπε τὴν ἐσομένην [αὐτῷ] μῆνιν.

B+ 80. κρείσσων] μέλλων βαρύνειν τὸν βασιλέα προαπολογεῖται

B+ αὐτῷ· κακῶς οὖν Ζηνόδοτος ⟨ἀθετεῖ⟩. §. πιθανῶς δὲ καὶ τὴν εἰσέπειτα σωτηρίαν αἰτεῖ· εἰκὸς γὰρ τὸ παρὸν αἰδεσθέντα τὸ πλῆθος παριδεῖν.

81. αὐτῆμαρ] ἐπίρρημα, ὡς καὶ τὸ ἐννῆμαρ καὶ ἑξῆμαρ· καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον ὡς βούκερως· ἀλλ' ἐπεὶ οὐδὲν τῶν εἰς ᾶρ συντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἣν παρηλλαγμένος καὶ ὁ τόνος· δεῖ δὲ εἰδέναι ὡς μετὰ ἀκλίτων συντίθενται.

B= 82. ⟨ἔχει κότον⟩] ἔδειξε διαφορὰν κότου πρὸς χόλον· διὰ πάντων δὲ ὑποφαίνει τὸ ὕπουλον Ἀγαμέμνονος καὶ ἁπλοῦν Ἀχιλλέως.

B= 85. θαρσήσας] ὡς ἀγαθὸς προτρέπει, μᾶλλον δὲ προκρίνει τὸ κοινῇ τοῦ ἰδίᾳ συμφέροντος.

B= ⟨θεοπρόπιον⟩] τὸ προειρημένον ὑπὸ θεοῦ σοι· πρὸς δυσώπησιν δὲ τῶν ἀκουόντων.

A+B= 88. ⟨ἐμεῦ ζῶντος⟩] πεφυλαγμένος καὶ δεισιδαίμων ὁ ὅρκος· συνέβαινε γὰρ ἀποθανόντος ἢ ἀποδημοῦντος Ἀχιλλέως αἱκισθῆναι τὸν μάντιν.

89. βαρείας] τὰς ὅπλῳ βεβαρημένας.

A−B= 90. οὐδ' ἧν Ἀγαμέμνονα] ὃ δεδιὼς ἔσκεπεν ὁ μάντις, τοῦτο θαρσύνων ἀπεκάλυπτεν Ἀχιλλεύς· οὐχ ὑβριστικῶς δὲ εἴρηται, ἀλλὰ φιλοφρόνως, ὡς ἂν ἐπιτρέποντος καὶ τοῦ βασιλέως τοιαύτην ἀσφαλείας ποιεῖσθαι ἐγγύην, καὶ τῇ ὑπερβολῇ θεραπεύει τὸν Ἀγαμέμνονα.

A= 91. Ἀχαιῶν] οὐχὶ "ἐνὶ στρατῷ·" οὕτω καὶ αἱ Ἀριστάρχειοι καὶ ἡ Σωσιγένους καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους.

9. προσαπολογεῖται: corr. W ‖ 10. supplevi ex B ‖ 11. τὸ παρασεθὲν τὸ πλῆθος ‖ sequitur iterum sed paullo plenius in marg. inf. εἴπερ γάρ τε] πιθανῶς τὴν εἰς τὸ μετέπειτα σωτηρίαν αἰτεῖ. εἰκὸς γὰρ ἦν τὸ μὲν παρὸν αἰδεσθέντα παριδεῖν αὐτόν, εἰς δὲ τὸ μετέπειτα τιμωρήσασθαι ‖ 13. ἀναπέμπειν//// τὸν ‖ 19. schol. sine lemmate repetitur * * ‖ 20. ἰδίου: ἰδίᾳ schol. alt. ‖ 28. ἀσφαλῆ π. τὴν ἐ.: corr. W ‖ 31. ἡ Σ, A: αἱ

93. οὔ ταρ ὅγ' εὐχωλῆς] οὐ δή· τέλειος δέ ἐστιν ὁ "τάρ," οὐκ ἐκ τοῦ τὲ ἄρ. §. προθεραπεύει δὲ τὸ πλῆθος, εἰς εὔνοιαν ἐπαγόμενος ὡς θυσίας οὐκ ὀφεῖλον. A+B=

96. τοὔνεκα] ἀθετεῖται ὡς περισσός· πρόκειται γὰρ "ἀλλ' ἕνεκ' ἀρητῆρος·" καὶ τὸ "ἐπιμέμφεται" ἀπὸ κοινοῦ δεῖ λαβεῖν. A−B=

97. οὐδ' ὅγε ⟨πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει⟩] καὶ ἡ Μασσαλιωτικὴ ⟨καὶ⟩ ἡ Ῥιανοῦ καὶ σχεδὸν πᾶσαι "οὐδ' ὅγε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει·" ἔοικε δὲ ἡ ἑτέρα Ζηνοδότου εἶναι. A+

* πρίν] πρότερον.

98. *πρίν] πρὸ τοῦ· πρότερον.

**⟨ἑλικώπιδα⟩] τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος, ἢ τὴν οὐκ ἀτενι⟨σ⟩τὴν τῇ θέᾳ, ἢ τὴν ἀξιοθέατον, ἢ πρὸς ἣν οἱ νέοι τοὺς ὤπας ἐλίσσουσιν. A+B=

99. ⟨ἀπριάτην⟩] ἐπιρρηματικῶς αὐτὸ ἀκούει Ἀπολλώνιος ἀντὶ τοῦ ἀπριάδην (39. 25 Bekk.). AB=

⟨ἑκατόμβην⟩] οὐ γὰρ ἐκ μόνης μεταμελείας ἀλλὰ καὶ ἐκ κόπου καὶ προσφορᾶς τοὺς προημαρτηκότας ἀπαλλάττεσθαι δεῖ· τὸ δὲ "ἄγειν" ἐπὶ νηὸς ἢ ἅρματος· "ὃ οἴκοθεν ἦγ' ὁ γεραιός" (Il. 11.632). "ἦγον δὲ Μαχάονα ποιμένα λαῶν" (ib. 598). A+B=

100. ⟨τότε κέν μιν⟩] "αἴ κεν μιν" Ζηνόδοτος· γελοῖον δὲ διαστα⟨κ⟩τικὰ λέγειν τὸν μάντιν. AB=

102. ἦρως] ἐκκλίνειν δεῖ θυμόν, ὅπου καὶ τοῦ τοιούτου ἤρωος περιγέγονεν ὁ θυμός. B=

103. ⟨ἀμφιμέλαιναι⟩] ἡ "ἀμφί" πρὸς τὸ "πίμπλαντο," ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς· ὡς γὰρ ἐκ κεράμου ὑπεξεχεῖτο ὁ θυμός. A+B=

104. ὄσσε δέ οἱ] παρὰ τὸ ὄπτω ὄσσω, ὥσπερ παρὰ τὸ πέττω πέσσω· ἐκ δὲ τοῦ ὄσσω γίνεται ὄνομα ὄσσος, τὸ δυϊκὸν ὄσσω καὶ τροπῇ "ὄσσε." B=

εἴκτην] εἴκω εἶκα εἴκειν εἰκείτην καὶ συγκοπῇ εἴκτην, ἐν διαλύσει "εἰκέτην." §. προδιατυποῖ δὲ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ δεινόν, καὶ δοκεῖ τὸ "ὑπόδρα ἰδών" ἔχειν καὶ ἐπεξήγησιν. §. διὰ δὲ τοῦ "πρώτιστα" σημαίνει τὸ⟨ν⟩ καὶ ἐπ' ἄλλους μετάξοντα τὸν λόγον τῆς τοιαύτης ὀργῆς. B=

1. οὐτ' ἄρ ‖ 4. falso haec etiam ad v. 94 leguntur ἀλλ' ἕνεκ' ἀρητῆρος] ἀθ. ὡς περιττός—ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων· τὸ δὲ ἐ. ἀ. κ. δ. λαμβάνειν ‖ 6–8. cum scholio v. 91 coniuncta ‖ 14. ad idem lemma add. ** πρὸς ἣν πάντες ἑλίσσουσι τὴν θέαν ‖ 22. τοῦτο· οὐ τοῦ ‖ 25. ἐπὶ κερ. ‖ 32. sequitur iterum κάκ' ὀσσόμενος] προδιατυποῖ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ

B= 105. κάκ' ὀσσόμενος] παρατηρητέον ὅτι, ὅταν ἐκ προσώπου τινὸς ἐπάγειν λόγους μέλλῃ ὁ ποιητής, προσημαίνει οἷος ἔσται ὁ λόγος· οἷον εἰπόντος "τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη" (148) ὑβριστικούς, καὶ πάλιν "καί μιν νεικείων" (Od. 18. 9), θεωρητέον, εἰ οἱ μέλλοντες ἐπάγεσθαι λόγοι ἔχουσιν ὀνείδη· ὅταν δὲ "ὅ σφιν ἐυφρονέων" (253), φρονίμους προσδεκτέον λόγους. φρόνιμον γὰρ τὸ τὰς αἰτίας τῶν ἐνεστηκότων εἰπεῖν καὶ μετὰ ταῦτα ἐπάγειν τὰ ποιητέα· πάλιν δὲ ὅταν προείπῃ "καὶ τό⌈τε⌋ κουφότερον μετεφώνεε Φαιήκε⟨σ⟩σιν" (Od. 8. 201), δεῖ ἡμᾶς τῶν λεχθησομένων ὡς κούφων ἀκούειν, ἐπηρμένου καὶ ὑψηγοροῦντος Ὀδυσσέως διὰ τὴν νίκην. §. πάλιν τοίνυν ὁ ποιητὴς τοῦ Ἀγαμέμνονος μέλλοντος λέγειν πρὸς τὸν Κάλχαντα "μάντι κακῶν" καὶ τὰ ἑξῆς προδιετύπωσεν ἡμῖν τοὺς λόγους διὰ τοῦ "κακοσσόμενος," οὐχ, ὥς τινες οἴονται, κακῶς ὑποβλεψάμενος, ἀλλ' ὅτι κακόμαντιν ἀποκαλῶν. ἐπεὶ γὰρ ὅσσα ἐστὶν ἡ θεία φωνή, τῆς ὀπὸς δὲ τῶν θεῶν ἀκούουσιν οἱ μάντεις—"ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν" (Il. 7. 53)—κακὸν ἄγγελον τῆς Διὸς ὅσ⟨σ⟩ης ἀποκαλεῖ.

*κάκ' ὀσσόμενος] κακοφημίσας.

B– 106. μάντι κακῶν] ὁ ζητῶν, τί κακὸν ἐμαντεύσατο, ὀργῆς οὐκ οἶδε φύσιν ἐπ' ἀλήθειαν οὐ φερομένην. τάχα δὲ κακόμαντιν αὐτόν φησι διὰ τὸ εἰπεῖν "τῷ ⟨δεκάτῳ⟩ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν" (Il. 2. 329). ᾤετο γὰρ ταχύτερον πορθήσειν αὐτὴν διὰ τὸ τὸν Δία "ἀστράπτειν ἐπιδέξι', ἐναίσιμα σήματα φαίνειν" (Il. 2. 353)· τὸ γὰρ Ἰφιγενείας ὄνομα οὐδὲ οἶδεν ὁ ποιητής. ἐπεὶ οὖν οὐ κατέγνωσται, οὐ ψευδῆ αὐτὸν ἀλλὰ κακόφημόν φησι διὰ τὴν ἀναβολὴν τῆς νίκης. εἰ γὰρ καὶ ἀληθεῖς αἱ τῶν φαύλων προγνώσεις, οὐδὲν ἧττον οἱ δυστυχοῦντες τοὺς προειρηκότας ὡς αἰτίους μισοῦσιν.

οὐπώποτέ μοι] δυσκαταπαύστως ἔχουσι πρὸς τὰς κατηγορίας οἱ ὀργιζόμενοι· τὸ δὲ "καὶ νῦν ἐν Δαναοῖσι" (109) μᾶλλον αὐτὸν λυπεῖ, ἐπεὶ μὴ κατ' ἰδίαν ἐκοινώνησεν αὐτῷ.

A–B+ *κρήγυον] τροπῇ τοῦ δ εἰς γ, ὡς γνοφερόν καὶ δνοφερόν, οἷον κρήδυνόν τι ὄν, τὸ ἡδὺνον τὸ κέαρ, ὅ ἐστι τὴν ψυχήν, οἷον τὸ θυμῆρες τῇ ψυχῇ μου.

δεινὸν καὶ δοκεῖ τὸ "ὑπόδρα ἰδών" ἐξηγεῖσθαι· διὰ δὲ τοῦ "πρώτιστα" σημαίνει καὶ ἐπὶ ἄλλους μετάξοντα τὸν θυμόν ‖ 2. μέλλει ‖ οἷός τε ὁ ‖ 16. ἀποκαλῶν ‖ 18. τὸ supra τί add. rubricator ‖ 22. ἐπιδέξια ἐναίσημα

108. [illegible] A B –
καὶ τὴν τάχιν τῆς μάσεως [illegible] ἐπεί, τὰς εἰς ἀγαθὰ τελευτᾷ· ἐπιτηδὲς δὲ ἔστιν ἐν τῷ τοιούτῳ ἁμαρτεῖν.

110. ** [illegible] A B –
ἀλλὰ σύντομος ἔστιν ἡ ἔκφρασις.

111. *κούρης] λείπει ἡ τοῦ A –

113. Κλυτοπολίστρης] ἔξωθεν τὰ τοιαῦτα ὀνόματα μεγάλην ἰσχὺν B –
κατατίθεσθαι τοῖς Ἀχαιοῖς χαρακτηριστικὸν γὰρ ἐστιν ἡ
ὅτι περισπᾶσθαι τῶν ἐν Αὐλίδι τὰ γυναικεῖα εἴδη.
ἀπάγων δὲ τοὺς Ἕλληνας τὰ τῶν γυναικῶν εἴδη ἐκπλήττει τὴν αἰχμάλωτον.

114. ἐπεὶ οὔ ἔθεν] τὸ μὲν πρῶτον καὶ δεύτερον τροπικὰ τοῦ "ἔθεν" A – B –
ὀρθοτονεῖται, τὸ δὲ τρίτον ἔστιν ἐκ τοῦ τόθι καὶ τῶν ἐγκλιτέων.

115. ** ⟨οὐ δέμας⟩] ὁ μὲν στοχασμὸς πᾶσιν ἀρετὴν γυναικὸς περι- B –
ἔλαβεν· καὶ ἀλλαχοῦ, "κάλλει καὶ ἔργοισι ἴδε φρεσὶ πεπνυμένησιν" (Il. 13. 432).

⟨οὐ δέμας⟩] "καλή τε μεγάλη τε καὶ ἀγλαὸν ἔργ' εἰδυῖα" B –
(Od. 15. 418). §. "φυήν" δὲ τὸ δι' ὅλου κάλλος, ὡς τὸ "φυήν γε μὲν B –
οὐ κακός" (Od. 8. 134).

117. ⟨σόον ἔμμεναι⟩] αἱ πᾶσαι "σῶν" εἶχον· καὶ στηρίζει τὸ A + B –
"νῦν τοι σῶς [αἰ]νὺς ὄλεθρος" (Il. 13. 773).

⟨ἢ ἀπολέσθαι⟩] ἤτοι, διασαφητικῶς, ὡς τὸ "ἢ ἀφνειότερει" A + B –
(Od. 1. 165)· ἔστι δὲ μετὰ ἤθους. Πορφύριος δὲ παραδιαζευκτικόν, ἀντὶ τοῦ 'καὶ ἀπολέσθαι ἐγώ.'

118. αὐτὰρ ἐμοί] ἀλλοιωτικῇ στάσει κέχρηται μετατιθεὶς τὰ B +
ὀνόματα πρὸς κόσμον ἑαυτοῦ.

μὴ οἷος] ἱκανὸν εἰ καὶ τῶν ἀριστέων εἶπεν· ὁ δὲ πάντων ἔφη, B –
αὔξων τὴν ἀτιμίαν.

119. ** ἀγέραστος] ὡς ἀπείραστος, ἀβίαστος. ἵνα μὴ δοκῇ τοῦ B –
μηδενὸς καταπεφρονηκέναι, τὸ ἴσον αἰτεῖ.

120. λεύσετε γὰρ τόγε πάντες] Ἀρίσταρχος μέλλοντά φησιν, A + H –
ἐγὼ δὲ ἐνεστῶτα ἀπὸ μέλλοντος, ὡς τὸ ἄξετε οἴσετε. §. τὸ δὲ "ὅ μοι" A B –
ἀποκοπὴ τοῦ ὅτι. §. τὸ δὲ "ἄλλῃ" μετὰ τοῦ ι γράφομεν. A + H –

2. ante καὶ τ. 6 litt. erasae || 5. ἀθετουμένη || 8. δοκεῖ || 20. καιῇς || 22. suppl. rec.

B= 121. πυδαρκής] ὁ ἄλλοις ἐπαρκῶν τοῖς ποσίν, ὡς τὸ λαο⟨σ⟩σόος.

B= 122. ⟨φιλοκτεανώτατε⟩] οὐ γέρως γὰρ ἀλλὰ κέρδους ἀντιποιεῖται.

B= φιλοκτεανώτατε] ὡς ἐν ἀρχῇ προσκρούει μετρίως, κατ' ὀλίγον ἐμφαίνων τὸ εἰρωνικόν. συνάξας δὲ ἐκκλησίαν δικαίως ὑπὲρ ἁπάντων στασιάζει, ὡς καὶ τῆς λείας ἄρχων ὤν. ἔστι δὲ καὶ τὸ "μεγάθυμοι" δημαγωγικόν.

A+ B= 124. πῶς γάρ τοι—οὐδέ ⟨τι⟩ πω] ὁ δέ ἀντὶ τοῦ γάρ. ἅπασαι

B= δὲ "πού" ἔχουσιν. §. πρὸς ἐντροπὴν δὲ τὴν κοινὴν ἀπορίαν προβάλλεται.

ξυνήια] ξυνὸν ξυνεῖον ὡς κοινὸν κοινεῖον, καὶ διαιρέσει Ἰωνικῇ

A+ B= ξυνήιον.

B= 125. ἀλλὰ τὰ μέν] τὰ καθόλου· πᾶν δὲ ἄρθρον ἀντὶ ἀντωνυμίας λαμβανόμενον βαρύνεται.

AB= ταῦτ' ἐπαγείρειν] "ταῦτα." Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά.

B= 127. θεῷ πρόες] πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδόσεως οὐκ εἶπε πατρὶ πρόες, ἀλλ' οὐδ' Ἀχαιοῖς.

128. *τριπλῇ] ἀντὶ τοῦ τριπλῶς.

A= B+ αἴ κε πιθὶ Ζεύς] πιστοῦται τὴν ὑπόσχεσιν ὡς ἐπὶ δανείου, καὶ ἑαυτὸν καθυπογράφει τῷ χρέει.

A+ B= 129. δῷσι] ἐξ ὑποτακτικοῦ τοῦ δῷ τρίτου προσώπου, κατὰ ἐπέκ-

B= τασιν τῆς σι συλλαβῆς "δῶσι." §. ἔμφασιν δὲ ἔχει καὶ ἡ προσθήκη τῆς ἐξ.

A+ *δῷσι] δίδωσιν, ὡς "φῇσιν ἐλεύσεσθαι" (Od. 1. 168).

B= 131. ἀγαθός περ] ἀντειρωνεύεται πρὸς τὸ "κύδιστε" §. ὁ δὲ "πέρ"

A~ ἐναντιωματικός.

B= 132. κλέπτε νόῳ—οὐ παρελεύσεαι] ἀπὸ τῶν δρομ[έ]ων. οὔτε τῷ κλέπτειν νικήσεις οὔτε πείσεις.

B= 133. ἦ ἐθέλεις] πράγματος προκειμένου περὶ κοινῆς σωτηρίας μέτεισιν ἐφ' ἑτέραν παρασκευήν, ὡς οὐκ ἐξὸν Ἀχιλλεῖ λέγειν ὡς ὅτι βλάπτει τὸ κοινὸν ἐχόμενος τῆς παλλακῆς αὐτοῦ.

3. schol. cum praecedenti coniunctum, sequitur schol. erasum || 9. schol. post v. 132 repetitur integrum lemmate οὐδέ τι πω ἴδμεν praefixo || αἱ πᾶσαι et 10. ὡς ante πρὸς schol. alt. || 18. postea add. pr. ἀλλὰ τῷ θεῷ, ut B || 24. repetitur *ἔμφασιν ἔχει ἡ πρ. τ. ἐξ. || 32. ἐχομένης

134. κέλεαι] καὶ μὴν ὁ μάντις εἶπε "πρίν γ' ἀπὸ πατρὶ φίλῳ B= δόμεναι" (98). ἀλλά γε αὐτὸς ἐκκλησιάζει.

135. ἀλλ' εἰ μέν] εὐφυῶς δὲ ἐπεισέρχεται [Ἀχιλλεύς].

ἀλλ' εἰ μὲν δώσουσι] Ἀττικὴ τῶν προτέρων ἡ παράλειψις, ὡς καὶ τὸ B+

"κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή,
ποιεῖτον ἤδη τοῦθ', ὅτι ἂν ὑμῖν δοκῇ"

(Plut. 468)· καὶ ἐν Θεσμοφοριαζούσαις (536)·

"εἰ μὲν οὖν τις ἔστιν· εἰ δὲ μή,
ἡμεῖς τε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι."

136. ἄρσαντες] Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι AB= καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ πρὸ τοῦ ρ̄ ὄν, ἑτέρου φωνήεντος ἐπιφερομένου, ψιλοῦται. §. ἔοικε δὲ βασιλικὸν εἶναι τὸ ἐκλέγεσθαι τῆς B= λείας ὃ θέλοι.

138. ⟨ἦ τεόν⟩] ἐνδεικνύμενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεται, B= μάλιστα τοῖς Ἀχιλλέως. Ὀδυσσέως δὲ γέρας Λαοδίκη ἡ Κύκνου. τούτων δὲ μέμνηται, ὅτι καὶ τελευτῶντος αὐτοῦ οὗτοι μόνοι προέστησαν τοῦ σώματος αὐτοῦ καὶ μόνοι πρεσβεύονται πρὸς αὐτόν, καὶ ὅτι ὃ μὲν συγγενής, ὃ δὲ φίλος.

ἰὼν γέρας] μέχρι τοῦ γέρας δεῖ ἀναπαύειν τὸν λόγον, τὰ δὲ λοιπὰ B= τοῖς ἑξῆς ἐπιφέρειν, ἵνα μὴ παρενοχλεῖν δοκῇ δὶς τὸ ἐλεῖν κείμενον.

139. **ὃ δέ κεν κεχολώσεται] δοκεῖ ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι, τὸ διάφορον οὐκ εἰδὼς τῆς ἀφαιρέσεως.

140. ἀλλ' ἦ τοι μὲν ταῦτα] εὐσεβῶς καὶ βασιλικῶς· καὶ οἵδε B= μὲν εὖ ἔχουσαν τὴν παραίνεσιν, ἐπεὶ οὐκ ἂν ἔπραξεν, τὴν δὲ δυσχέρειαν κατὰ τῶν συμβουλευσάντων τρέπει.

141. ⟨νῦν δ' ἄγε νῆα⟩] καὶ ταῖς φωναῖς κυρίως χρῆται, καὶ μίαν B= τὴν δωρεὰν οὖσαν πολλὰς ἐν τῇ διαιρέσει ποιεῖ. ἔστι δὲ ἐν τῷ λόγῳ καὶ τὸ ὁμοιοτέλευτον καλούμενον σχῆμα. §. τὸ δὲ "ἐπιτηδές" ὀξυντέον.

142. ἐπιτηδές] τὸ "ἐπιτηδές" ὀξυντέον· ἀπὸ τοῦ ἐπιτηδής γάρ. A – B= τὰ δὲ ὀνοματικὰ ἐπιρρήματα τὸν αὐτὸν τοῖς ὀνόμασι φυλάσσει τόνον.

1. πρί/// γὰρ ἀπὸ ‖ 4. παράληψις ‖ 5. ἀποφίνω ‖ 7. ὑμῖν ἀντὶ τοῦ δι' ‖ 10. ἔστι τις ‖ 14. ἀρέω· τ. δ. ᾱ πρὸ ‖ ὄντος ‖ ma repetuntur ἔοικε β.—θέλει ‖ 19. αὐτοῦ αὐτοί ‖ 32. ἐπιτηδεῖ

B= 144. *βουληφόρος*] ᾧ τὰ κοινὰ τῆς βουλῆς ἐπαναφέρεται. §. ἐκ τοῦ "ἀρχός" δὲ τὸν ναύαρχον ἐδήλωσεν.

B= 145. ⟨ἦ Αἴας⟩] θεραπεύει τοὺς δοκοῦντας σὺν τῷ Ἀχιλλεῖ διὰ τῆς ἀπειλῆς ὑβρίσθαι, παρενθεὶς ἕνεκα τοῦ μὴ δοκεῖν κολακεύειν τὸν Ἰδομενέα, ὅς ἐστι καὶ συγγενὴς αὐτῷ. παραφυλακτέον δὲ ὅτι, ὅτε μὲν ἀτιμάσαι ἀπειλεῖ, προτίθησι τῶν ἀτιμαζομένων τὸν Ἀχιλλέα "ἦ τεὸν ἢ Αἴαντος," ὅτε δὲ ὑπὲρ Ἑλλήνων θῦσαι ἔδει ἀπελθόντα, τελευταῖον αὐτὸν καταλέγει καὶ μετὰ ὕβρεως "ἐκπαγλότατε." ὑβριστικὸν γὰρ τὸ ἔκπαγλον καὶ ἀεικές.

B= 146. *ἠὲ σὺ Πηλείδη*] ἵνα ἢ ἀπελθὼν ἠπιωθῇ, ἢ μὴ ἀπελθὼν αἰτίαν ἔχῃ τοῦ λοιμοῦ.

B= 149. *ὦ μοι ἀναιδείην*] διετύπωσε νέον φιλότιμον, ἥττονα διακαοῦς θυμοῦ διὰ τοῦ "ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην" (104).

B+ *ἐπιειμένε*] προφανῆ τὴν ἀναίδειαν ἔχων. ἔστι δὲ φύσει ὁ φιλοχρήματος καὶ ἀναιδής. ἐάσας δὲ τὸ γέρας, ὃ ἄνω καὶ κάτω θρυλεῖ, κοινὰς ἀδικίας διέξεισι, φιλοτέχνως τὴν ἰδίαν ὕβριν κοινοποιούμενος καὶ ἐπισείων αὐτῷ τὸ πλῆθος.

AB= *κερδαλεόφρον*] ἁπλᾶ μὲν ὄντα μέσα ἐστί, συντιθέμενα δὲ ψόγον δηλοῖ, ὡς ὄψα ἐσθίειν καὶ ὀψοφαγεῖν. φησὶ γοῦν "κέρδεά θ' οἳ" οὔ πω τιν'

A+ ἀκούομεν" (Od. 2. 118). §. φυλάσσει δὲ τόνον τὰ παρὰ τὸ φρήν, τὰ δ' ἄλλα ἀναπέμπει—οἷον Ἀγάμεμνον, δαΐφρον δέ—πλὴν τοῦ Λακεδαίμων.

B= 151. *ἦ ὁδόν*] ὁδὸν ἔφη τὴν ἐνέδραν λέγειν, ἐπείπερ τὴν ὁδὸν λοχῶσι, ἵνα τοὺς δύο κινδύνους ὁρίζῃ, ὃν μὲν τῶν ἀριστέων ἴδιον, ὃν δὲ κοινόν· ὡς κἀκεῖ (226) "οὐδέ ποτ' [ἐ]ς πόλεμον ἅμα λαῷ—οὔτε λόχον ⟨δ'⟩ ἰέναι σὺν ἀριστῆεσσιν."

B= 152. ⟨αἰχμητάων⟩] ὁ ἔπαινος τῶν πολεμίων καὶ Ἀγαμέμνονα λυπεῖ καὶ Ἀχιλλεῖ δόξαν φέρει ὡς ἐπὶ γενναίους στρατεύσαντι.

B= 153. *οὔ τι μοι*] ἅμα μὲν δηλοῖ ὅτι οὐκ οἰκείαν πρόφασιν τῆς στρατείας ἔχει· ἄλλως γὰρ ἂν προβάσης αἰτίας εὐλόγου ἐστράτευσεν, ἢ διὰ βοῦς ἐλαθείσας ἢ διὰ δῃουμένην γῆν, οὐχὶ δ' ὡς

1. repetitur *ὃς τὰ κ. τ. β. ἐπαναφέρεται. || 2. repetitur *ναύαρχος || 4. ὑβρῆσθαι || 5. Ἰδομενῆα || 12. διακαοῦς Paris. 2766 : δικαίου || 13. τὸ || 16. διεξιοῖ || 20. φρίν || 21. δαΐφρων || 22. sequitur schol. erasum || 23. δύο post ἔφη omisi || 31. στρατιᾶς

Ἀτρεῖδαι διὰ πεπορνευκὸς γύναιον. ἅμα δέ γε παρυ⟨πο⟩φαίνει, ὡς βιασθεὶς πρὸς Ἴλιον ἔπλευσεν.

155. οὔτε ποτ' ⟨ἐν Φθίῃ—βωτιανείρῃ⟩] διὰ τούτων ἐξαίρων [δὲ] B= τὴν χάριν ἐπαινεῖ τὴν πατρίδα.

156. ἐπεὶ ἦ] καθόλου ὁ ἦ βεβαιωτικὸς περισπᾶται· "ἐπεὶ ἦ— AB– οἰκάδ' ἴμεν" (170)· "ἐπεὶ ἦ φατε" (Od. 17. 196).

157. σκιόεντα] ποία ἡ ἐκφώνησις τῶν ἐξ ὀρῶν καὶ γῆς καὶ B= θαλάσσης διαστημάτων. διὰ δὲ τῶν ἐπιθέτων τῶν μὲν ὀρέων τὸ ὕψος, τῆς δὲ θαλάσσης ἐδήλωσε τὴν τραχύτητα.

*σκιόεντα] αἱ Ἀριστάρχου "σκιόωντα." A=

158. ὦ μέγ' ἀναιδές] μεταξὺ τῆς δικαιολογίας ἐντίθησι τὸ B= ἄτιμον, τοῦ θυμοῦ τὰς βλασφημίας παραφωνοῦντος.

159. τιμὴν ἀρνύμενοι] τὴν παρὰ τῶν Τρώων ἐκδίκησιν ἀπαιτοῦντες B= Μενελάῳ. λελῃθότως δέ φησιν, ὅτι ταῦτα πάσχομεν οἱ διὰ σέ, Μενέλαε, στρατεύσαντες.

160. τῶν οὔτι μετατρέπῃ] τῶν ἀκολουθησάντων, ἢ τῶν προπεπονη- A + B= μένων, ἢ τῶν Τρώων, ὧν ἀμελήσας περὶ παλλακιδίου διαφέρῃ.

161. καὶ δή μοι γέρας] ὃ ἄλλοι δικαίως ἐδωρήσαντο—ἔκαμον B= γάρ—σὺ ἀπειλεῖς ἀφαιρήσεσθαι.

163. ἔχω] ἀντὶ τοῦ ἔσχον. ἐναργοῦς δὲ ἀπαγγελίας τὰ γεγονότα B= ὡς γινόμενα ἀπαγγέλλειν.

165. ⟨ἀλλὰ τὸ μὲν πλεῖον⟩] τὰ ἑαυτοῦ ἀνδραγαθήματα ἐπὶ τοὺς B= ἀκούοντας φέρει, ὑποθωπεύων τοὺς παρόντας, ἐπεὶ ὅταν μόνος ᾖ διαλογούμενος πρὸς τοὺς πρέ[σβεις] φησὶ "δώδεκα δὴ σὺ[ν] νηυσὶ πόλεις" (Il. 9. 328).

166. ⟨ἦν ποτε δασμός⟩] ὡς οὐκ ἀεὶ αὐτοῦ διανέμοντος, ἀλλὰ τὸ B= πᾶν σφετεριζομένου.

167. ὀλίγον τε φίλον τε] φίλον διὰ τὸ ἐξ ἰδίων εἶναι κατορθω- B= μάτων· αὕτη γὰρ ἡ κτῆσις εὐφραίνει, ἡ δὲ ἐναντία ἐλέγχει. ἐλεύθερον δὲ τὸ μὴ διὰ χρήματα ἀλλὰ δι' ἀρετὴν πονεῖν. καὶ γὰρ ἐξ ἐπιδρομῆς τῶν ἰδίων κατορθωμάτων μνησθεὶς εὔνοιαν οὐκ ἀπέχθειαν

5. ἐπεὶ ἦ οἰκαδ' ἴμεν scripsi: ἐπιτεῖ καὶ ἐμέ ‖ 7. ποιὰ ‖ 9. statim schol. iteratur ποιὰ ὄρη γῆς καὶ θαλάσσης διαστήματα· διὰ δὲ τῶν ἐπιθέτων τῶν μὲν ὀρῶν τὸ ὕψος τῆς δὲ θαλάσσης τὴν τραχύτητα ἐσήμανεν ‖ 12. ἄτιμον B: βλάσφημον ‖ 17. διαλέγει: corr. W ‖ 21. ἀπαγγελεῖν ‖ 23. φέρει B: εἰσφέρει ‖ παρόντας B: ἀκούοντας ‖ 28. θεῖναι ‖ 30. post πονεῖν :—signum scholii finiti, ut B

B= 76. τοιγὰρ ἐγών] οὐκ ἔστιν ἀντωνυμ⟦ία ἡ "τοί"⟧—οὐδέποτε γὰρ ἀρκτική ἐστιν—⟦ἀλλ' ἀντὶ⟧ τοῦ δή.

B= καί μοι ὄμοσσον] οὐκ ἀπιστῶν τῷ Ἀχιλλεῖ προβάλλει τὸν ὅρκον, ἀλλ' ἵνα σχῇ πρόφασιν πρὸς τὸν βασιλέα· ὃ συνεὶς Ἀχιλλεὺς οὐκ ἠγανάκτησεν ἐξαιτούμενος, ὤμοσε δὲ ἑτοίμως.

B= 77. ἠμέν μοι] ἀντὶ τοῦ ἦ μήν· ἔστι δὲ ⟦ἐπίρρημα⟧ ὁρκικόν· διὸ βαρύνομεν τὸν ῆ· εἰ γὰρ περισπάσομεν, ἔσται βεβ⟦αιωτικός⟧.

B= 78. ὀίομαι] ὡς ἐπιδιστάζων εἶπε τὴν ἐσομένην ⟦αὐτῷ⟧ μῆνιν.

B+ 80. κρείσσων] μέλλων βαρύνειν τὸν βασιλέα προαπολογεῖται

B+ αὐτῷ· κακῶς οὖν Ζηνόδοτος ⟨ἀθετεῖ⟩. §. πιθανῶς δὲ καὶ τὴν εἰσέπειτα σωτηρίαν αἰτεῖ· εἰκὸς γὰρ τὸ παρὸν αἰδεσθέντα τὸ πλῆθος παριδεῖν.

81. αὐτῆμαρ] ἐπίρρημα, ὡς καὶ τὸ ἐννῆμαρ καὶ ἑξῆμαρ· καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον ὡς βούκερως· ἀλλ' ἐπεὶ οὐδὲν τῶν εἰς ᾰρ συντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἦν παρηλλαγμένος καὶ ὁ τόνος· δεῖ δὲ εἰδέναι ὡς μετὰ ἀκλίτων συντίθενται.

B= 82. ⟨ἔχει κότον⟩] ἔδειξε διαφορὰν κότου πρὸς χόλον· διὰ πάντων δὲ ὑποφαίνει τὸ ὕπουλον Ἀγαμέμνονος καὶ ἁπλοῦν Ἀχιλλέως.

B= 85. θαρσήσας] ὡς ἀγαθὸς προτρέπει, μᾶλλον δὲ προκρίνει τὸ κοινῇ τοῦ ἰδίᾳ συμφέροντος.

B= ⟨θεοπρόπιον⟩] τὸ προειρημένον ὑπὸ θεοῦ σοι· πρὸς δυσώπησιν δὲ τῶν ἀκουόντων.

A+ B= 88. ⟨ἐμεῦ ζῶντος⟩] πεφυλαγμένος καὶ δεισιδαίμων ὁ ὅρκος· συνέβαινε γὰρ ἀποθανόντος ἢ ἀποδημοῦντος Ἀχιλλέως αἱκισθῆναι τὸν μάντιν.

89. βαρείας] τὰς ὅπλῳ βεβαρημένας.

A− B= 90. οὐδ' ἦν Ἀγαμέμνονα] ὃ δεδιὼς ἔσκεπεν ὁ μάντις, τοῦτο θαρσύνων ἀπεκάλυπτεν Ἀχιλλεύς· οὐχ ὑβριστικῶς δὲ εἴρηται, ἀλλὰ φιλοφρόνως, ὡς ἂν ἐπιτρέποντος καὶ τοῦ βασιλέως τοιαύτην ἀσφαλείας ποιεῖσθαι ἐγγύην, καὶ τῇ ὑπερβολῇ θεραπεύει τὸν Ἀγαμέμνονα.

A= 91. Ἀχαιῶν] οὐχὶ "ἐνὶ στρατῷ·" οὕτω καὶ αἱ Ἀριστάρχειοι καὶ ἡ Σωσιγένους καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους.

9. προσαπολογεῖται : corr. W ‖ 10. supplevi ex B ‖ 11. τὸ παρασεθὲν τὸ πλῆθος ‖ sequitur iterum sed paullo plenius in marg. inf. εἴπερ γάρ τε] πιθανῶς τὴν εἰς τὸ μετέπειτα σωτηρίαν αἰτεῖ. εἰκὸς γὰρ ἦν τὸ μὲν παρὸν αἰδεσθέντα παριδεῖν αὐτόν, εἰς δὲ τὸ μετέπειτα τιμωρήσασθαι ‖ 13. ἀναπέμπειν//// τὸν ‖ 19. schol. sine lemmate repetitur * * ‖ 20. ἰδίου : ἰδίᾳ schol. alt. ‖ 28. ἀσφαλῆ π. τὴν ἐ. : corr. W ‖ 31. ἡ Σ. A : αἱ

93. οὔ ταρ ὅγ' εὐχωλῆς] οὐ δή· τέλειος δέ ἐστιν ὁ "τάρ," οὐκ ἐκ A + B =
τοῦ τὲ ἄρ. §. προθεραπεύει δὲ τὸ πλῆθος, εἰς εὔνοιαν ἐπαγόμενος ὡς B =
θυσίας οὐκ ὀφεῖλον.

96. τοὔνεκα] ἀθετεῖται ὡς περισσός· πρόκειται γὰρ "ἀλλ' ἕνεκ' A − B =
ἀρητῆρος·" καὶ τὸ "ἐπιμέμφεται" ἀπὸ κοινοῦ δεῖ λαβεῖν.

97. οὐδ' ὅγε ⟨πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει⟩] καὶ ἡ Μασ- A +
σαλιωτικὴ ⟨καὶ⟩ ἡ Ῥιανοῦ καὶ σχεδὸν πᾶσαι "οὐδ' ὅγε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει·" ἔοικε δὲ ἡ ἑτέρα Ζηνοδότου εἶναι.

* πρίν] πρότερον.

98. *πρίν] πρὸ τοῦ· πρότερον.

** ⟨ἑλικώπιδα⟩] τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος, ἢ τὴν οὐκ A + B =
ἀτενι⟨σ⟩τὴν τῇ θέᾳ, ἢ τὴν ἀξιοθέατον, ἢ πρὸς ἣν οἱ νέοι τοὺς ὤπας ἐλίσσουσιν.

99. ⟨ἀπριάτην⟩] ἐπιρρηματικῶς αὐτὸ ἀκούει Ἀπολλώνιος ἀντὶ AB =
τοῦ ἀπριαδὴν (39. 25 Bekk.).

⟨ἑκατόμβην⟩] οὐ γὰρ ἐκ μόνης μεταμελείας ἀλλὰ καὶ ἐκ κόπου A + B =
καὶ προσφορᾶς τοὺς προημαρτηκότας ἀπαλλάττεσθαι δεῖ· τὸ δὲ "ἄγειν" ἐπὶ νηὸς ἢ ἅρματος· "ὃ οἴκοθεν ἦγ' ὁ γεραιός" (Il. 11.632). "ἦγον δὲ Μαχάονα ποιμένα λαῶν" (ib. 598).

100. ⟨τότε κέν μιν⟩] "αἴ κεν μιν" Ζηνόδοτος· γελοῖον δὲ δι- AB =
στα⟨κ⟩τικὰ λέγειν τὸν μάντιν.

102. ἦρως] ἐκκλίνειν δεῖ θυμόν, ὅπου καὶ τοῦ τοιούτου ἥρωος B =
περιγέγονεν ὁ θυμός.

103. ⟨ἀμφιμέλαιναι⟩] ἡ "ἀμφί" πρὸς τὸ "πίμπλαντο," ἀπὸ A + B =
τῆς τῶν ὑδάτων μεταφορᾶς· ὡς γὰρ ἐκ κεράμου ὑπεξεχεῖτο ὁ θυμός.

104. ὄσσε δέ οἱ] παρὰ τὸ ὄπτω ὄσσω, ὥσπερ παρὰ τὸ πέττω πέσσω· B =
ἐκ δὲ τοῦ ὄσσω γίνεται ὄνομα ὄσσος, τὸ δυϊκὸν ὄσσω καὶ τροπῇ "ὄσσε."

ἐΐκτην] εἴκω εἶκα εἴκειν εἰκείτην καὶ συγκοπῇ εἴκτην, ἐν διαλύσει B =
"ἐΐκτην." §. προδιατυποῖ δὲ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ δεινόν, B =
καὶ δοκεῖ τὸ "ὑπόδρα ἰδών" ἔχειν καὶ ἐπεξήγησιν. §. διὰ δὲ τοῦ B =
"πρώτιστα" σημαίνει τὸ⟨ν⟩ καὶ ἐπ' ἄλλους μετάξοντα τὸν λόγον τῆς τοιαύτης ὀργῆς.

1. οὐτ' ἄρ ‖ 4. falso haec etiam ad v. 94 leguntur ἀλλ' ἕνεκ' ἀρητῆρος] ἀθ. ὡς περιττός—ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων· τὸ δὲ ἐ. ἀ. κ. δ. λαμβάνειν ‖ 6–8. cum scholio v. 91 coniuncta ‖ 14. ad idem lemma add. ** πρὸς ἣν πάντες ἑλίσσουσι τὴν θέαν ‖ 22. τοῦτο· οὐ τοῦ ‖ 25. ἐπὶ κερ. ‖ 32. sequitur iterum κάκ' ὀσσόμενος] προδιατυποῖ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ

B= 105. κάκ' ὀσσόμενος] παρατηρητέον ὅτι, ὅταν ἐκ προσώπου τινὸς ἐπάγειν λόγους μέλλῃ ὁ ποιητής, προσημαίνει οἷος ἔσται ὁ λόγος· οἷον εἰπόντος "τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη" (148) ὑβριστικούς, καὶ πάλιν "καί μιν νεικείων" (Od. 18. 9), θεωρητέον, εἰ οἱ μέλλοντες ἐπάγεσθαι λόγοι ἔχουσιν ὀνείδη· ὅταν δὲ "ὅ σφιν ἐυφρονέων" (253), φρονίμους προσδεκτέον λόγους. φρόνιμον γὰρ τὸ τὰς αἰτίας τῶν ἐνεστηκότων εἰπεῖν καὶ μετὰ ταῦτα ἐπάγειν τὰ ποιητέα· πάλιν δὲ ὅταν προείπῃ "καὶ τό⌈τε⌋ κουφότερον μετεφώνεε Φαιήκε⟨σ⟩σιν" (Od. 8. 201), δεῖ ἡμᾶς τῶν λεχθησομένων ὡς κούφων ἀκούειν, ἐπηρμένου καὶ ὑψηγοροῦντος Ὀδυσσέως διὰ τὴν νίκην. §. πάλιν τοίνυν ὁ ποιητὴς τοῦ Ἀγαμέμνονος μέλλοντος λέγειν πρὸς τὸν Κάλχαντα "μάντι κακῶν" καὶ τὰ ἑξῆς προδιετύπωσεν ἡμῖν τοὺς λόγους διὰ τοῦ "κακοσσόμενος," οὐχ, ὥς τινες οἴονται, κακῶς ὑποβλεψάμενος, ἀλλ' ὅτι κακόμαντιν ἀποκαλῶν. ἐπεὶ γὰρ ὅσσα ἐστὶν ἡ θεία φωνή, τῆς ὀπὸς δὲ τῶν θεῶν ἀκούουσιν οἱ μάντεις—"ὡς γὰρ ἐγὼν ὅπ' ἄκουσα θεῶν" (Il. 7. 53)—κακὸν ἄγγελον τῆς Διὸς ὅσ⟨σ⟩ης ἀποκαλεῖ.

*κάκ' ὀσσόμενος] κακοφημίσας.

B– 106. μάντι κακῶν] ὁ ζητῶν, τί κακὸν ἐμαντεύσατο, ὀργῆς οὐκ οἶδε φύσιν ἐπ' ἀλήθειαν οὐ φερομένην. τάχα δὲ κακόμαντιν αὐτόν φησι διὰ τὸ εἰπεῖν "τῷ ⟨δεκάτῳ⟩ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν" (Il. 2. 329). ᾤετο γὰρ ταχύτερον πορθήσειν αὐτὴν διὰ τὸ τὸν Δία "ἀστράπτειν ἐπιδέξι', ἐναίσιμα σήματα φαίνειν" (Il. 2. 353)· τὸ γὰρ Ἰφιγενείας ὄνομα οὐδὲ οἶδεν ὁ ποιητής. ἐπεὶ οὖν οὐ κατέγνωσται, οὐ ψευδῆ αὐτὸν ἀλλὰ κακόφημόν φησι διὰ τὴν ἀναβολὴν τῆς νίκης. εἰ γὰρ καὶ ἀληθεῖς αἱ τῶν φαύλων προγνώσεις, οὐδὲν ἧττον οἱ δυστυχοῦντες τοὺς προειρηκότας ὡς αἰτίους μισοῦσιν.

οὐπώποτέ μοι] δυσκαταπαύστως ἔχουσι πρὸς τὰς κατηγορίας οἱ ὀργιζόμενοι· τὸ δὲ "καὶ νῦν ἐν Δαναοῖσι" (109) μᾶλλον αὐτὸν λυπεῖ, ἐπεὶ μὴ κατ' ἰδίαν ἐκοινώνησεν αὐτῷ.

A– B+ *κρήγυον] τροπῇ τοῦ δ εἰς γ, ὡς γνοφερόν καὶ δνοφερόν, οἷον κρήδυνόν τι ὄν, τὸ ἡδῦνον τὸ κέαρ, ὅ ἐστι τὴν ψυχήν, οἷον τὸ θυμῆρες τῇ ψυχῇ μου.

δεινὸν καὶ δοκεῖ τὸ "ὑπόδρα ἰδών" ἐξηγεῖσθαι· διὰ δὲ τοῦ "πρώτιστα" σημαίνει καὶ ἐπὶ ἄλλους μετάξοντα τὸν θυμόν ‖ 2. μέλλει ‖ οἷός τε ὁ ‖ 16. ἀποκαλῶν ‖ 18. τὸ supra τί add. rubricator ‖ 22. ἐπιδέξια ἐναίσημα

108. οὐδ' ἐτέλεσσας] ἐμφαντικόν ἐστι τὸ "οὐδέ" δὶς λεγόμενον, καὶ τὴν τύχην τῆς μαντείας λοιδορεῖ, ὡς εἴ τι καὶ χρηστὸν προείποι, οὐκ εἰς ἀγαθὸν τελευτᾷ. εὐτυχίας οὖν ἔργον καὶ τὴν τέχνην ἀμαυροῦν. AB+

110. **τοῦδ' ἕνεκά σφιν] ὅτι ἀθετουμένου αὐτοῦ οὐκ ἐλλιπὴς ἀλλὰ σύντομος ἔσται ἡ ἑρμηνεία. AB=

111. *κούρης] λείπει ἡ περί. A=

113. Κλυταιμνήστρης] ἐξαίρει τὸν πόθον, ὅπως μεγίστην δοκῇ κατατίθεσθαι τοῖς Ἀχαιοῖς χάριν—δημαγωγικώτατος γάρ ἐστιν—ἢ ὅτι περισπούδαστος τοῖς ἐπ' ἀλλοδαπῆς ὁ τῶν γυναικῶν πόθος. ἀπάγων δὲ τοὺς Ἕλληνας τοῦ τῶν γυναικῶν πόθου ἐπαινεῖ τὴν αἰχμάλωτον. B=

114. ἐπεὶ οὔ ἕθεν] τὸ μὲν πρῶτον καὶ δεύτερον πρόσωπον τοῦ "ἕθεν" ὀρθοτονεῖται, τὸ δὲ τρίτον δισσόν ἐστι τῷ τόνῳ· νῦν οὖν ἐγκλιτέον. A~ B=

115. **⟨οὐ δέμας⟩] ἐν μονοστίχῳ πᾶσαν ἀρετὴν γυναικὸς περιέλαβεν· καὶ ἀλλαχοῦ, "κάλλει καὶ ἔργοισιν ἴδὲ φρεσὶ πευκαλίμῃσιν" (Il. 13. 432). B+

⟨οὐ δέμας⟩] "καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' εἰδυῖα" (Od. 15. 418). §. "φυήν" δὲ τὸ δι' ὅλου κάλλος, ὡς τὸ "φυήν γε μὲν οὐ κακός" (Od. 8. 134). B=

117. ⟨σόον ἔμμεναι⟩] αἱ πᾶσαι "σῶν" εἶχον· καὶ συνᾴδει τὸ "νῦν τοι σῶς [αἰ]πὺς ὄλεθρος" (Il. 13. 773). A+ B=

⟨ἢ ἀπολέσθαι⟩] ἤπερ, διασαφητικῶς, ὡς τὸ "ἢ ἀφνειότεροι" (Od. 1. 165)· ἔστι δὲ μετὰ ἤθους. Πορφύριος δὲ παραδιαζευκτικόν, ἀντὶ τοῦ 'καὶ ἀπολέσθαι ἐγώ.' A+ B=

118. αὐτὰρ ἐμοί] ἀλλοιωτικῇ στάσει κέχρηται μετατιθεὶς τὰ ὀνόματα πρὸς κόσμον ἑαυτοῦ. B+

μὴ οἷος] ἱκανὸν εἰ καὶ τῶν ἀριστέων εἶπεν· ὁ δὲ πάντων ἔφη, αὔξων τὴν ἀτιμίαν. B=

119. **ἀγέραστος] ὡς ἀπείραστος, ἀβίαστος. ἵνα μὴ δοκῇ τοῦ μηδενὸς καταπεφρονηκέναι, τὸ ἴσον αἰτεῖ. B=

120. λεύσετε γὰρ τόγε πάντες] Ἀρίσταρχος μέλλοντά φησιν, ἐγὼ δὲ ἐνεστῶτα ἀπὸ μέλλοντος, ὡς τὸ ἄξετε οἴσετε. §. τὸ δὲ "ὅ μοι" ἀποκοπὴ τοῦ ὅτι. §. τὸ δὲ "ἄλλῃ" μετὰ τοῦ ι γράφομεν. A+ B= AB=

2. ante καὶ τ. 6 litt. erasae ‖ 5. ἀθετουμένη ‖ 8. δοκεῖ ‖ 20. κακῆς ‖ 22. suppl. rec.

B= 121. πυδαρκής] ὁ ἄλλοις ἐπαρκῶν τοῖς ποσίν, ὡς τὸ λαι⟨σ⟩σύος.

B= 122. ⟨φιλεκτεανώτατε⟩] οὐ γέρως γὰρ ἀλλὰ κέρδους ἀντιποιεῖται.

B= φιλεκτεανώτατε] ὡς ἐν ἀρχῇ προσκρούει μετρίως, κατ' ὀλίγον ἐμφαίνων τὸ εἰρωνικόν. συνάξας δὲ ἐκκλησίαν δικαίως ὑπὲρ ἁπάντων στασιάζει, ὡς καὶ τῆς λείας ἄρχων ὤν. ἔστι δὲ καὶ τὸ "μεγάθυμοι" δημαγωγικόν.

A+ B= 124. πῶς γάρ τοι—οὐδέ ⟨τι⟩ πω] ὁ δέ ἀντὶ τοῦ γάρ. ἅπασαι

B= δὲ "πού" ἔχουσιν. §. πρὸς ἐντροπὴν δὲ τὴν κοινὴν ἀπορίαν προβάλλεται.

ξυνήια] ξυνὸν ξυνεῖον ὡς κοινὸν κοινεῖον, καὶ διαιρέσει Ἰωνικῇ

A+ B= ξυνήιον.

B= 125. ἀλλὰ τὰ μέν] τὰ καθόλου· πᾶν δὲ ἄρθρον ἀντὶ ἀντωνυμίας λαμβανόμενον βαρύνεται.

AB= ταῦτ' ἐπαγείρειν] "ταῦτα." Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά.

B= 127. θεῷ πρόες] πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδόσεως οὐκ εἶπε πατρὶ πρόες, ἀλλ' οὔθ' Ἀχαιοῖς.

128. *τριπλῇ] ἀντὶ τοῦ τριπλῶς.

A= B+ αἴ κε ποθὶ Ζεύς] πιστοῦται τὴν ὑπόσχεσιν ὡς ἐπὶ δανείου, καὶ ἑαυτὸν καθυπογράφει τῷ χρέει.

A+ B= 129. δῷσι] ἐξ ὑποτακτικοῦ τοῦ δῷ τρίτου προσώπου, κατὰ ἐπέκ-

B= τασιν τῆς ⟨σι⟩ συλλαβῆς "δῶσι." §. ἔμφασιν δὲ ἔχει καὶ ἡ προσθήκη τῆς ἐξ.

A+ *δῶσι] δίδωσιν, ὡς "φῆσιν ἐλεύσεσθαι" (Od. 1. 168).

B= 131. ἀγαθός περ] ἀντειρωνεύεται πρὸς τὸ "κυδιστε·" §. ὁ δὲ "πέρ"

A- ἐναντιωματικός.

B= 132. κλέπτε νόῳ—οὐ παρελεύσεαι] ἀπὸ τῶν δρομ[έ]ων. οὔτε τῷ κλέπτειν νικήσεις οὔτε πείσεις.

B= 133. ἦ ἐθέλεις] πράγματος προκειμένου περὶ κοινῆς σωτηρίας μέτεισιν ἐφ' ἑτέραν παρασκευήν, ὡς οὐκ ἐξὸν Ἀχιλλεῖ λέγειν ὡς ὅτι βλάπτει τὸ κοινὸν ἐχόμενος τῆς παλλακῆς αὐτοῦ.

3. schol. cum praecedenti coniunctum, sequitur scl 9. schol. post v. 132 repetitur integrum lemmate σ praefixo ‖ αἱ πᾶσαι et 10. ὡς ante πρὸς schol. alt. ‖ 18. ἀλλὰ τῷ θεῷ, ut B ‖ 24. repetitur *ἔμφασιν ἔχει ἡ πρ. τ. ἐ

134. κέλεαι] καὶ μὴν ὁ μάντις εἶπε "πρίν γ' ἀπὸ πατρὶ φίλῳ Β=
δόμεναι" (98). ἀλλά γε αὐτὸς ἐκκλησιάζει.

135. ἀλλ' εἰ μέν] εὐφυῶς δὲ ἐπεισέρχεται [Ἀχιλλεύς].

ἀλλ' εἰ μὲν δώσουσι] Ἀττικὴ τῶν προτέρων ἡ παράλειψις, ὡς καὶ τὸ Β+

"κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή,
ποιεῖτον ἤδη τοῦθ', ὅτι ἂν ὑμῖν δοκῇ"

(Plut. 468)· καὶ ἐν Θεσμοφοριαζούσαις (536)·

"εἰ μὲν οὖν τις ἔστιν· εἰ δὲ μή,
ἡμεῖς τε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι."

136. ἄρσαντες] Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι ΑΒ=
καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ
μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ πρὸ τοῦ ῥ ὄν, ἑτέρου φωνήεντος
ἐπιφερομένου, ψιλοῦται. §. ἔοικε δὲ βασιλικὸν εἶναι τὸ ἐκλέγεσθαι τῆς Β=
λείας ὃ θέλοι.

138. ⟨ἦ τεόν⟩] ἐνδεικνύμενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεται, Β=
μάλιστα τοῖς Ἀχιλλέως. Ὀδυσσέως δὲ γέρας Λαοδίκη ἡ Κύκνου.
τούτων δὲ μέμνηται, ὅτι καὶ τελευτῶντος αὐτοῦ οὗτοι μόνοι προέ-
στησαν τοῦ σώματος αὐτοῦ καὶ μόνοι πρεσβεύονται πρὸς αὐτόν, καὶ
ὅτι ὃ μὲν συγγενής, ὃ δὲ φίλος.

ἰὼν γέρας] μέχρι τοῦ γέρας δεῖ ἀναπαύειν τὸν λόγον, τὰ δὲ λοιπὰ Β=
τοῖς ἑξῆς ἐπιφέρειν, ἵνα μὴ παρενοχλεῖν δοκῇ διὰ τὸ ἐλεῖν κείμενον.

139. **ὃ δέ κεν κεχολώσεται] δοκεῖ ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι,
τὸ διάφορον οὐκ εἰδὼς τῆς ἀφαιρέσεως.

140. ἀλλ' ἦ τοι μὲν ταῦτα] εὐσεβῶς καὶ βασιλικῶς· καὶ οἵδε Β=
μὲν εὖ ἔχουσαν τὴν παραίνεσιν, ἐπεὶ οὐκ ἂν ἔπραξεν, τὴν δὲ δυσχέ-
ρειαν κατὰ τῶν συμβουλευσάντων τρέπει.

141. ⟨νῦν δ' ἄγε νῆα⟩] καὶ ταῖς φωναῖς κυρίως χρῆται, καὶ μίαν Β=
τὴν δωρεὰν οὖσαν πολλὰς ἐν τῇ διαιρέσει ποιεῖ. ἔστι δὲ ἐν τῷ λόγῳ
καὶ τὸ ὁμοιοτέλευτον καλούμενον σχῆμα. §. τὸ δὲ "ἐπιτηδές" ὀξυντέον.

142. ἐπιτηδές] τὸ "ἐπιτηδές" ὀξυντέον· ἀπὸ τοῦ ἐπιτηδής γάρ. Α– Β=
τὰ δὲ ὀνοματικὰ ἐπιρρήματα τὸν αὐτὸν τοῖς ὀνόμασι φυλάσσει τόνον.

1. πρ[illegible] || 4. παράληψις || 5. ἀποφίνω || 7. ὑμῖν ἀντὶ τοῦ δι' || 1[illegible] || 14. ἀρέω· τ. δ. ᾱ πρὸ || ὄντος || 15. ultima repetunt[illegible]λει || 19. αὐτοῦ αὐτοί || 32. ἐπιτηδεῖς γ.

B= 144. *βουληφόρος*] ᾧ τὰ κοινὰ τῆς βουλῆς ἐπαναφέρεται. §. ἐκ τοῦ "ἀρχός" δὲ τὸν ναύαρχον ἐδήλωσεν.

B= 145. ⟨ἦ Αἴας⟩] θεραπεύει τοὺς δοκοῦντας σὺν τῷ Ἀχιλλεῖ διὰ τῆς ἀπειλῆς ὑβρίσθαι, παρενθεὶς ἕνεκα τοῦ μὴ δοκεῖν κολακεύειν τὸν Ἰδομενέα, ὅς ἐστι καὶ συγγενὴς αὐτῷ. παραφυλακτέον δὲ ὅτι, ὅτε μὲν ἀτιμάσαι ἀπειλεῖ, προτίθησι τῶν ἀτιμαζομένων τὸν Ἀχιλλέα "ἦ τεὸν ἦ Αἴαντος," ὅτε δὲ ὑπὲρ Ἑλλήνων θῦσαι ἔδει ἀπελθόντα, τελευταῖον αὐτὸν καταλέγει καὶ μετὰ ὕβρεως "ἐκπαγλότατε." ὑβριστικὸν γὰρ τὸ ἔκπαγλον καὶ ἀεικές.

B= 146. *ἠὲ σὺ Πηλείδη*] ἵνα ἢ ἀπελθὼν ἠπιωθῇ, ἢ μὴ ἀπελθὼν αἰτίαν ἔχῃ τοῦ λοιμοῦ.

B= 149. *ὤ μοι ἀναιδείην*] διετύπωσε νέον φιλότιμον, ἥττονα διακαοῦς θυμοῦ διὰ τοῦ "ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην" (104).

B+ *ἐπιειμένε*] προφανῆ τὴν ἀναίδειαν ἔχων. ἔστι δὲ φύσει ὁ φιλοχρήματος καὶ ἀναιδής. ἐάσας δὲ τὸ γέρας, ὃ ἄνω καὶ κάτω θρυλεῖ, κοινὰς ἀδικίας διέξεισι, φιλοτέχνως τὴν ἰδίαν ὕβριν κοινοποιούμενος καὶ ἐπισείων αὐτῷ τὸ πλῆθος.

AB= *κερδαλεόφρον*] ἁπλᾶ μὲν ὄντα μέσα ἐστί, συντιθέμενα δὲ ψόγον δηλοῖ, ὡς ὄψα ἐσθίειν καὶ ὀψοφαγεῖν. φησὶ γοῦν "κέρδεά θ' οἳ" οὔ πω τιν'
A+ ἀκούομεν" (Od. 2. 118). §. φυλάσσει δὲ τόνον τὰ παρὰ τὸ φρήν, τὰ δ' ἄλλα ἀναπέμπει—οἷον Ἀγάμεμνον, δαΐφρον δέ—πλὴν τοῦ Λακεδαίμων.

B= 151. *ἦ ὁδόν*] ὁδὸν ἔφη τὴν ἐνέδραν λέγειν, ἐπείπερ τὴν ὁδὸν λοχῶσι, ἵνα τοὺς δύο κινδύνους ὁρίζῃ, ὧν μὲν τῶν ἀριστέων ἴδιον, ὧν δὲ κοινόν· ὡς κἀκεῖ (226) "οὐδέ ποτ' [ἐ]ς πόλεμον ἅμα λαῷ—οὔτε λόχον ⟨δ'⟩ ἰέναι σὺν ἀριστῆεσσιν."

B= 152. ⟨*αἰχμητάων*⟩] ὁ ἔπαινος τῶν πολεμίων καὶ Ἀγαμέμνονα λυπεῖ καὶ Ἀχιλλεῖ δόξαν φέρει ὡς ἐπὶ γενναίους στρατεύσαντι.

B= 153. *οὔ τι μοι*] ἅμα μὲν δηλοῖ ὅτι οὐκ οἰκείαν πρόφασιν τῆς στρατείας ἔχει· ἄλλως γὰρ ἂν προβάσης αἰτίας εὐλόγου ἐστράτευσεν, ἢ διὰ βοῦς ἐλαθείσας ἢ διὰ δῃουμένην γῆν, οὐχὶ δ' ὡς

1. repetitur *ὃς τὰ κ. τ. β. ἐπαναφέρεται. ‖ 2. repetitur *ναύαρχος ‖ 4. ὑβρῆσθαι ‖ 5. Ἰδομενῆα ‖ 12. διακαοῦς Paris. 2766 : δικαίου ‖ 13. τὸ ‖ 16. διεξιοῖ ‖ 20. φρὶν ‖ 21. δαΐφρων ‖ 22. sequitur schol. erasum ‖ 23. δύο post ἔφη omisi ‖ 31. στρατιᾶς

Ἀτρεΐδαι διὰ πεπορνευκὸς γύναιον. ἅμα δέ γε παρυ⟨πο⟩φαίνει, ὡς βιασθεὶς πρὸς Ἴλιον ἔπλευσεν.

155. οὔτε ποτ' ⟨ἐν Φθίῃ—βωτιανείρῃ⟩] διὰ τούτων ἐξαίρων [δὲ] B=
τὴν χάριν ἐπαινεῖ τὴν πατρίδα.

156. ἐπεὶ ἦ] καθόλου ὁ η̄ βεβαιωτικὸς περισπᾶται· "ἐπεὶ ἦ— AB—
οἰκαδ' ἴμεν" (170)· "ἐπεὶ ἦ φατε" (Od. 17. 196).

157. σκιόεντα] ποία ἡ ἐκφώνησις τῶν ἐξ ὀρῶν καὶ γῆς καὶ B=
θαλάσσης διαστημάτων. διὰ δὲ τῶν ἐπιθέτων τῶν μὲν ὀρέων τὸ ὕψος, τῆς δὲ θαλάσσης ἐδήλωσε τὴν τραχύτητα.

*σκιόεντα] αἱ Ἀριστάρχου "σκιόωντα." A=

158. ὦ μέγ' ἀναιδές] μεταξὺ τῆς δικαιολογίας ἐντίθησι τὸ B=
ἄτιμον, τοῦ θυμοῦ τὰς βλασφημίας παραφωνοῦντος.

159. τιμὴν ἀρνύμενοι] τὴν παρὰ τῶν Τρώων ἐκδίκησιν ἀπαιτοῦντες B=
Μενελάῳ. λελῃθότως δέ φησιν, ὅτι ταῦτα πάσχομεν οἱ διὰ σέ, Μενέλαε, στρατεύσαντες.

160. τῶν οὔτι μετατρέπῃ] τῶν ἀκολουθησάντων, ἢ τῶν προπεπονη- A+ B=
μένων, ἢ τῶν Τρώων, ὧν ἀμελήσας περὶ παλλακιδίου διαφέρῃ.

161. καὶ δή μοι γέρας] ὃ ἄλλοι δικαίως ἐδωρήσαντο—ἔκαμον B=
γάρ—σὺ ἀπειλεῖς ἀφαιρήσεσθαι.

163. ἔχω] ἀντὶ τοῦ ἔσχον. ἐναργοῦς δὲ ἀπαγγελίας τὰ γεγονότα B=
ὡς γινόμενα ἀπαγγέλλειν.

165. ⟨ἀλλὰ τὸ μὲν πλεῖον⟩] τὰ ἑαυτοῦ ἀνδραγαθήματα ἐπὶ τοὺς B=
ἀκούοντας φέρει, ὑποθωπεύων τοὺς παρόντας, ἐπεὶ ὅταν μόνος ᾖ δικαιολογούμενος πρὸς τοὺς πρέ[σβεις] φησὶ "δώδεκα δὴ σὺ[ν] νηυσὶ πόλεις" (Π. 9. 328).

166. ⟨ἦν ποτε δασμός⟩] ὡς οὐκ ἀεὶ αὐτοῦ διανέμοντος, ἀλλὰ τὸ B=
πᾶν σφετεριζομένου.

167. ὀλίγον τε φίλον τε] φίλον διὰ τὸ ἐξ ἰδίων εἶναι κατορθω- B=
μάτων· αὕτη γὰρ ἡ κτῆσις εὐφραίνει, ἡ δὲ ἐναντία ἐλέγχει. ἐλεύθερον δὲ τὸ μὴ διὰ χρήματα ἀλλὰ δι' ἀρετὴν πονεῖν. καὶ γὰρ ἐξ ἐπιδρομῆς τῶν ἰδίων κατορθωμάτων μνησθεὶς εὔνοιαν οὐκ ἀπέχθειαν

5. ἐπεὶ ἦ οἴκαδ' ἴμεν scripsi: ἐπιτεῖ καὶ ἐμέ ‖ 7. ποιὰ ‖ 9. statim schol. iteratur πολλὰ ποιὰ ὄρη γῆς καὶ θαλάσσης διαστήματα· διὰ δὲ τῶν ἐπιθέτων τῶν μὲν ὀρῶν τὸ ὕψος τῆς δὲ θαλάσσης τὴν τραχύτητα ἐσήμανεν ‖ 12. ἄτιμον B: βλάσφημον ‖ 17. διαλέγει: corr. W ‖ 21. ἀπαγγελεῖν ‖ 23. φέρει B: εἰσφέρει ‖ παρόντας B: ἀκούοντας ‖ 28. θεῖναι ‖ 30. post πονεῖν :—signum scholii finiti, ut B

παρὰ τῶν ἀκουόντων ἐπηγάγετο. ἄκρα δὲ Ἀγαμέμνονος πλεονεξία ἐν τῷ δασμῷ· τὸ δίκαιον ὑπερβαίνων οὐδὲ τούτῳ ἀρκεῖται.

A~B= 168. ἐπήν κε] Ἡρωδιανὸς μὲν καὶ Ἀρίσταρχος "ἐπεί κε" γράφουσιν. οἱ δὲ γράφοντες "ἐπήν" τὸ "κεκάμω" ὑφ' ἓν ἀναγινώσκουσιν, ὡς τὸ λελάχωσι καὶ πεπίθωνται, ὅπερ καὶ ἄμεινον. εἰσὶ δὲ πολλάκις καὶ ἄμφω σύνδεσμοι, ὡς τὸ "ἃς οὔτ' ἄν κεν Ἄρης" (Il. 13. 127).

170. *οὐδέ σ' ὀίω] οὐδέ σοι τὸ τέλειον.

B= 171. ⟨ἄφενος καὶ πλοῦτον⟩] πικρῶς φησι σκοπὸν συναγωγῆς χρημάτων αὐτῷ τὸν πόλεμον ἐξευρεῖν.

B= 173. φεῦγε μάλα] τὴν ὑποχώρησιν φυγὴν ὀνομάζει καταισχύνων

B= αὐτόν. γράφεται δὲ καὶ "ἦ τοι θυμὸς ἐέλδεται." §. ταπεινὸν γὰρ ἦν τὸ δεῖσθαι μένειν, καὶ οὐκ ἂν ἐπένευσεν Ἀχιλλεὺς δεομένου. §. τὸ

A+B= δ' "ἔμοιγε" προπαροξυτόνως, ὡς ἔγωγε.

175. οἵ κε με τιμήσουσι] καὶ "τιμήσωσι." §. οὐχ ὁμότιμοι. οὐ[κ]

B= εἶπε δὲ ὑπηρετήσουσι. προσάγεται οὖν τὸ πλῆθος.

μάλιστα δὲ μητίετα Ζεύς] ὡς καὶ τὸ "ἐκ Διὸς βασιλῆες" (Hes.

B= Th. 96). §. θαρσύνει δὲ τοὺς ἄλλους παρατιθεὶς αὐτοῖς τὸν Δία ἀντὶ Ἀχιλλέως· τῇ δὲ πρὸς τὸν θεὸν κοινωνίᾳ οὐχ ὑπηρέτας αὐτοὺς πεποιήκεν, εἰς δὲ τὴν ἰσόθεον εὐεργεσίαν ἐξῆρε τοὺς Ἕλληνας.

A+ **μητίετα] τῶν εἰς ης̄ βαρυτόνων βραχείᾳ παραληγομένων, ἀπροσλήπτων τοῦ σ̄ κατὰ γενικήν, παροξυνομένων ἐν τῇ κλητικῇ σεσημείωται τὸ δέσποτα καὶ εὐρύοπα καὶ "μητίετα."

B= 177. αἰεὶ γάρ τοι ἔρις τε] τὰ πλεονεκτήματα τοῦ ἀνδρὸς εἰς ὀνείδη μεθίστησιν, ὡς εἴ τις τὸν ἀνδρεῖον βίαιον καλεῖ καὶ τὸν σιωπηλὸν δόλιον. §. τὸ δὲ "ἔχθιστος" ἀναγνωστέον ὡς τὸ "δικαιότατος Κενταύρων" (Il. 11. 832).

B= 178. θεός που σοι τό γ' ἔδωκεν] εὐτυχίαν, οὐκ ἀρετὴν ἰδίαν αὐτῷ μαρτυρεῖ. πιθανῶς δὲ ἐπὶ μὲν τοῦ Ἀχιλλέως ἀορίστως ἔφη τὸ "θεός," ἐπὶ δ' αὐτοῦ ὡρισμένως φέρει τὸν Δία.

181. ⟨οὐδ'⟩ ὄθομαι] οὐ ταράσσομαι, παρὰ τὸν ὄτοβον τὸν τάραχον.

B= 182. ὡς ἔμ' ἀφαιρεῖται] πιθανῶς οὐχ ὑπὸ τῶν Ἑλλήνων φησὶν ἀφαιρεῖσθαι τὸ γέρας, ἵνα μὴ ὕποπτος γένηται ὡς μισῶν αὐτούς,

5. πεπείθονται ‖ 7. οὐδ' ἔσοι τ. τ. ‖ 11. ultima iterantur λίσσομαι] ταπεινὸν γὰρ— ἔγωγε ‖ 12. μένειν· οὐκ ἂν γὰρ schol. alt. ‖ 17. ultima iterantur θαρσύνει τοὺς—Ἕλληνας lemmate παρ' ἐμοί γε καὶ ἄλλοι praefixo ‖ 27. iteratur schol. integrum * * lemmate θεός π. σ. τό γε praefixo ‖ 28 τὸ om. schol. alt. ‖ 30. τὸ οὐ τ.

ὅτι ἀποδιδωσιν, οὐδὲ ὑπὸ Ἀχιλλέως, ἵνα μὴ οἱ Ἕλληνες Ἀχιλλεῖ χάριν ἔχωσιν, ἀλλ' ὑπὸ θεοῦ ἀφαιρεῖσθαί φησιν, ὡς οὐκ ἀνθρώπων ἥττων ἀλλὰ θεοῦ γενόμενος. εὖ δὲ καὶ τὸ καθ' αὑτὸν ηὔξησεν, ὡς τοσοῦτον Ἀχιλλέως προὔχων ὅσον τοῦ θεοῦ ἀπολείπεται.

183. σὺν νηί τ' ἐμῇ] ἵνα μὴ δοκῇ ἐξ ἀνάγκης αὐτὴν ἀποπέμπειν, B=
ὡς οὐ γνωριοῦντος τοῦ θεοῦ τὸν αἴτιον τῆς ἀποστολῆς. §. οὗτος ὁ B=
λόγος ἤδη ἀποτέθειται τῶν φίλων τὸν Ἀχιλλέα.

185. αὐτὸς ἰών] ἐπειδὴ τὸ ἐγώ ἠδύνατο καὶ διὰ θεραπόντων B=
νοεῖσθαι, προσέθηκε τὸ "αὐτὸς ἰών." ὁμοία δέ ἐστιν ἡ ἀπαγγελία
"τὴν δ' ἐγὼ οὐ λύσω" (29).

186. *καὶ ἄλλος] τῶν φιλούντων Ἀχιλλέα.

187. ἶσον ἐμοί] ἀναιρεῖ τὴν ἐν ταῖς ἐκκλησίαις ἰσηγορίαν. διὸ B=
καὶ οἱ Ἀχαιοὶ φεύγουσιν, οὐ δυνάμενοι δικαιολογεῖσθαι αὐτῷ. ὁ δὲ
Διομήδης "ἢ θέμις ἐστίν, ἄναξ, ἀγορῇ" (Π. 9. 33).

189. λασίοισι] θερμοῖς· ἡ θέρμη δὲ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. A+ B=

μερμήριξε] θέλει δὲ εἰπεῖν ὡς δύο ἐβουλεύσατο, ἀναστῆσαι ἐκείνους A— B=
καὶ ἀνελεῖν Ἀγαμέμνονα· ὅθεν περισσόν φαμεν τὸ "ἠὲ χόλον παύ-
σειεν·" ἢ τὸ μὲν ἀναστῆσαι ἐκείνους καὶ ἀνελεῖν Ἀγαμέμνονα ἓν
θετέον, τὸ δὲ "χόλον παύσειε" δεύτερον· ὃ καὶ ἄμεινον. ἡ γὰρ ὕβρις
ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέστελλεν· τοῦτο δὲ ὑποφαίνει διὰ τοῦ
"κατὰ φρένα καὶ κατὰ θυμόν."

190. ⟨ἢ—ἦε⟩] τὸν μὲν πρῶτον ὀξυντέον, τὸν δὲ δεύτερον περισπα- AB+
στέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις.

*ἐρυσσάμενος] σπασάμενος.

192. χόλον] ἐπειδὴ τὸ διαχεόμενόν ἐστιν, ὡς ἐπὶ ὕδατος ῥέοντος B=
εἶπε "παύσειεν·" ὁ δὲ θυμὸς ἐπειδὴ τὸ θῦόν ἐστι, τῷ "ἐρητύσει[ε]"
ἐχρήσατο.

*ἐρητύσει[ε]] κωλύσει[ε]. A~

193. *ὦρμαινε] διενοεῖτο. A=

κατὰ φρένα] "φρένα" μὲν τὸν λογισμόν, "θυμόν" δὲ τὸ θυμικόν. τὸ B=
οὖν ἀναστῆσαι ἐκείνους ἀνελεῖν δὲ Ἀγαμέμνονα κατὰ τὸ θυμοειδὲς τῆς
ψυχῆς μέρος ἐλογίζετο, τὸ ⟨δὲ⟩ "ἠὲ χόλον παύσειε" κατὰ τὴν φρένα.

194. ἕλκετο] ἡ παράτασις τοῦ χρόνου τὴν ἀπὸ τῶν ἐπιλογισμῶν B=
ἔνστασιν δηλοῖ. §. τὸ δὲ "μέγα" καιρὸν δίδωσι καθόδου τῇ Ἀθηνᾷ. §. τὸ B=

1. ἔτι ἀπ. ‖ 5. τῇ ἐμῇ ‖ 18. τὸν ‖ 26. ἐστι τῷ B: ὅτι τὸ ‖ 34. δίδωσι/// κ.

B= δὲ "ἕως" νῦν ἀντὶ τοῦ τέως, ὡς τὸ "εἶος μέν ῥ' ἐπέτοντο" (Od. 2. 148),
B= ἐπεὶ ποῦ ἡ ἀνταπόδοσις τοῦ "ἕως;" ἤγουν τὸ "ἕλκετο" δοτέον. §. διδάσκει δὲ ὁ ποιητὴς μὴ ὑπερχρῆσθαι ταῖς ἐξουσίαις τοὺς βασιλεῖς.

B– 195. πρὸ γὰρ ἧκε] τοῦ μέν, ἵνα μή τι πάθῃ δεινόν, τοῦ δέ, ἵνα μή τι δράσῃ, ἐκήδετο· εἴωθε δὲ εἰς τοσοῦτον ἄγειν τὰς περιπετείας, ὡς μὴ δύνασθαι παῦσαι ἄνθρωπον αὐτάς, ὡς καὶ ἐπὶ τῆς πείρας χρείαν πάλιν ἔσχε τῆς Ἀθηνᾶς.

B= 198. οἷῳ φαινομένῃ] τοὺς γὰρ μεγαλοψύχους ὀργιζομένους οὐκ ἐμφανῶς δεῖ παύειν τῶν ἐχθρῶν ὁρώντων. γράφεται δὲ καὶ "φανησομένην" καὶ "φαινομένην." πολλὴ δὲ ἡ φαντασία, ὅτι καὶ ἐνεργείας ἐδέησε τῇ θεῷ.

A–B= **⟨ὁρᾶτο⟩] Ζηνόδοτος ἀγνοήσας τὸ τῆς διαλέκτου ἰδίωμα ὡς Ἰωνικὸν ἐξέ[θε]το ⟨ὁρῆτο⟩. ἔστι δὲ Δώριον· οἱ γὰρ Δωριεῖς τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὸ ᾱ εἰς ῑ τρέπουσιν.

B= 199. αὐτίκα δ' ἔγνω] εἶδεν. ἢ ὅτι συνήθης ἡ θέα τοῖς ἐπικουρουμένοις Ἕλλησιν, ἢ ὅτι τοῖς διογενέσι δηλοῦνται οἱ θεοί, ὡς τῇ Ἑλένῃ. καὶ "Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα ἔγνω ἐσάντα ἰδών" (Il. 17. 334). §. Παλλὰς δὲ παρὰ τὰς παλάμας, ἢ ὅτι εὐκίνητος ὁ νοῦς "ὡσεὶ πτερὸν ἠὲ νόημα" (Od. 7. 36).

B= 200. δεινὼ δέ οἱ ⟨ὅσσε φάανθεν⟩] ὁ "δέ" ἀντὶ τοῦ γάρ. §. διὰ δὲ
AB= τῆς ἐκπλήξεως Ἀχιλλέως τὴν γλαυκῶπιν παρέστησεν Ἀθηνᾶν. τινὲς δὲ "φάανθεν" ἀντὶ τοῦ ἐφωτίσθησαν οἱ τοῦ ἥρωος ὀφθαλμοί.

B= 201. φωνήσας] προσκαλεσάμενος, ἢ τὸ ὄνομα αὐτῆς προσειπών.

AB= 202. αἰγιόχοιο] ἀπὸ τῆς αἰγὸς ὀχὴν λαβόντος. ὅθεν ὁ Ζεὺς τῇ Ἀ[θ]μα[λ]θ[ε]ίᾳ τὸ κέρας δίδωσι πάσης τροφῆς πoριστικὸν τυγχάνον.

B= §. πυνθανομένου μᾶλλον ἢπερ ὀργιζομένου οἱ λόγοι.

A+B= 203. ἶδῃ] δίχα τοῦ σ. §. ὑψοῖ δὲ τὴν ὕβριν, ὡς καὶ θεοὺς κινήσα-
B= σαν εἰς θέαν.

AB= 204. *τετελέσθαι] Ἀρίσταρχος "τελέεσθαι," οὐ τετελέσθαι γράφει.

B= 205. ⟨τάχ' ἄν⟩] πρὸ τῶν λόγων ἐνδέδωκε τῇ παρουσίᾳ αὐτῆς.

B= ἄλλως. τάχ' ἄν] ταχέως· καὶ πλεονάζει τὸ "ποτέ." ὑπ' ἐμοῦ δέ φησιν ἀπολεῖται. διό φησιν ἡ θεὸς "μηδὲ ξίφος ἕλκεο χειρί."

B= 207. ἦλθον ἐγώ] τὸ σφριγῶν τοῦ θυμοῦ μαλακοῖς ἰᾶται λόγοις.

3. περιχρῆσθαι ‖ 17. ἐς ἅντα ‖ 18. τὸ ante τὰς omisi

ὅμως ἐκδειματοῖ καὶ τὸν ἐχθρὸν θεοφιλῆ εἶναι λέγουσα. οὐ πᾶς δὲ ὁ φιλῶν κήδεται, "ὡς λύκος ἄρνα."

210. ἀλλ' ⟨ἄγε⟩ λῆγ' ἔριδος] τεχνικῶς λίαν οὐχ ἅμα πάσης αὐτὸν ἐκκόπτει τῆς ἐπιθυμίας, ἀλλ' ὡς ἰατρὸς οἶνον ἀπαγορεύων ὕδωρ δίδωσιν, οὕτως διὰ τὸ τοῦ μείζονος ἐκτρέπειν συγχωρεῖ τὸ ὀλίγον, ὡς καὶ Ἡσίοδος, "τοῦ κε κορε⟨σ⟩σάμενος νείκεα καὶ δῆριν ὀφέλλοις" (Opp. 33). §. ἢ ὀνειδίσαι φησὶ τὸ ὑπομνῆσαι τῶν εὐεργεσιῶν, ὡς Πορφύριός φησιν· "ὑπόμνησίς ἐστιν ἀχάριστον αἰτιᾶσθαι." B=

** ἀναπαυστέον τὸν λόγον εἰς τὸ "ὀνείδισον·" τὸ δὲ "ὡς ἔσεταί περ, ὧδε γὰρ ἐξερέω" ἀναγνωστέον ἐν ταὐτ[ῷ]. A~B=

212. τετελεσμένον ἔσται] εἰ μὲν ὡς ἄνθρωπος, οἰῶ φησίν, εἰ δὲ ὡς θεός, διαβεβαιοῦται. A~B=

213. τρὶς τόσσα] πρὸς τὴν ὕβριν ἡ σύγκρισις ἢ τὴν κόρην. τὰς Λιτὰς δὲ οἰκονομεῖ. ἐν δὲ τῷ ἐπ' ἀτιμίᾳ δυσχεραίνοντι τὴν ἐσομένην τιμὴν προβέβληται. §. πόθεν δέ φασιν ἡ Ἀθηνᾶ οἶδεν, ὅτι ὁ Ἀχιλλεὺς λήψεται πολλαπλάσια δῶρα; οὐδέπω γὰρ τῇ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν ὑπέσχετο ὁ Ζεύς. ὅτι οὐ μόνον θεὸς ἀλλὰ καὶ ὁ τυχὼν ⟨ἂν⟩ ἄνθρωπος γνοίη, ὅτι οἱ τοὺς κρείττους ἀτιμάσαντες, ⟨εἰ⟩ κινδυνεύσειαν, ἐπὶ τοὺς ὑβρισμένους καταφεύγουσιν.

214. ⟨ὕβριος εἵνεκα⟩] μαλάσσουσα αὐτὸν συμφωνεῖ αὐτῷ, ὑβρίσθαι αὐτὸν λέγουσα. §. τὸ δὲ "ἡμῖν" ὀρθοτονητέον· διέσταλται γάρ, ἀντὶ τοῦ ἡμῖν πείθου καὶ μὴ τῇ σῇ ὀργῇ. κακῶς οὖν Ἀρίστarχος συστέλλει τὴν μιν. B= A–B=

218. *ἔκλυον] οἱ θεοί.

219. *ἀργυρέῃ] τῇ ἀργυροήλῳ. B=

*κώπῃ] τὸ κωπίον τοῦ ξίφους. B=

*βαρεῖαν] τὴν πρώην ἐπτερωμένην τῷ θράσει ἐπέσχε τῆς ὁρμῆς. B=

222. δαίμονας ἄλλους] τὸν τῶν δαιμόνων τόπον ὡς "ὕεσσι παρήμενον" (Od. 13. 407)· ἢ μόνους τοὺς ἄρσενάς φησιν ἕπεσθαι τῷ Διὶ εἰς Αἰθιοπίαν, "θεοὶ δ' ἅμα πάντες ἕποντο" (428)· ἢ "πάντες" ἀντὶ τοῦ πλείους. B–

223. *ἀταρτηροῖς] πλεονάζει ἡ ταρ, ὡς τὸ ἐπιτάρ⟨ρ⟩οθος. B+

1. λέγουσαν ‖ 2. sc. ἀγαπῶσ' ὡς παῖδα φιλοῦσιν ἐρασταί cf. Haupt, op. II. 404 ‖ 4. ὕδωρ B: οἶνον ‖ 6. ὀφέλλων ‖ 7. ὀνειδῆσαι ‖ 8. αἰτίας ‖ 9. ἔσσεται ‖ 11. φ. ἡ δὲ ‖ 23. οὐ add. ante συστέλλει: om. B ‖ 26. κοπτικὸν ‖ 30. οἱ et ἕπονται

AB– 225.** ⟨κραδίην δ' ἐλάφοιο⟩] λέγεται καρδίαν μὴ ἔχειν τὸ ἐλάφιον. μᾶλλον δὲ χολὴν οὐκ ἔχει ἐν τῷ ἥπατι περικειμένην ἡ ἔλαφος.

B– οἰνοβαρές] Ἰσοκράτης (4. 142) Κόνωνι τῷ Ἀθηναίων στρατηγῷ τρία μαρτυρεῖ, ἐπιμέλειαν πίστιν ἐμπειρίαν πολέμου. τούτων τὰ ἐναντία κατανοήσας—ἐξ οἰνοποσίας γὰρ ἀμέλεια, ἀπιστία δὲ ἐξ ἀναιδείας, καὶ πολέμων ἀπειρίαν ἐργάζεται δειλία—δειλὸν μὲν καὶ τρίτον ἐν Ἰλιάδι (7. 179) φαίνεται λέγων "φεύγωμεν σὺν νηυσί" (Il. 2. 140, 9. 27), μέθυσον δὲ διὰ τὸ "πλεῖαί τοι οἴνου κλισίαι" (Il. 9. 71) καὶ "σὸν δὲ πλεῖον δέπας αἰεί" παρ' Ἀτρείδῃσι (Il. 4. 262) καὶ Εὔνηος "χίλια μέτρα" αὐτοῖς ἀποστέλλει (Il. 7. 471) καὶ "Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν" (Il. 2. 127). μάλιστα μέν⟨τοι⟩ ἐπιμένει τῷ ἀναιδεῖ, ὅπου μὲν λέγων "ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδές" (158), ὅπου δὲ "ἀναιδείην ἐπιειμένε" (149), πῇ δὲ "σοί τε κυνῶπα" (159), ἐπεὶ προμεμαρτύρηται αὐτοῦ τὸ τῆς θέας ἰταμὸν ἐν τῷ πρὸς Κάλχαντα διαλόγῳ "ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην" (104) καὶ "κάκ' ὀσσόμενος προσέειπεν" (105). φύσει δὲ ἀλλήλαις αἱ κακίαι, ὡς καὶ αἱ ἀρεταί, παρέπονται.

B= καὶ ἄλλως: εἰώθασιν οἱ ἄνθρωποι τὰ πλεονεκτήματα πολλάκις ὡς ἐλαττώματα προάγειν "στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν" (Il. 20. 248)· ἐπειδὴ γὰρ τοῖς βασιλεῦσι πλεῖον δέπας οἴνου παρέκειτο ἀξιώματος χάριν, τοῦτο εἰς μέθην ὀνειδίζει τῷ βασιλεῖ· τὸ δὲ ἰταμὸν τῶν βασιλέων καὶ δυσπαράκλητον ἀναίδειαν εἶπεν· ἐπεὶ δὲ καὶ προκινδυνεύειν τῆς φάλαγγος οὐκ οἰκεῖόν ἐστι βασιλεῖ, τοῦτο δειλίαν ἐκάλεσεν. οὐκ οἰητέον δὲ τοιοῦτον εἶναι τὸν Ἀγαμέμνονα οἷον νῦν λοιδορεῖ, ὃν Ἕλληνες ἐν τοῖς πρώτοις ἠρίθμουν (Il. 7. 179) "ἢ Αἴαντα λαχεῖν ἢ Τυδέος υἱὸν ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο ⟨Μυκήνης⟩·" οὐχ ὅτι τρίτος ἦν κατ' ἀρετὴν Ἀγαμέμνων, τρίτον αὐτὸν ἀριθμοῦσιν, ἀλλ' ὡς ἧττον διὰ τὴν ἀρχὴν κινδυνεύειν ὀφείλοντα. εἴς τε τὸ πρὸς Ἕκτορα μονομάχιον "ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν ⟨Ἀγαμέμνων" Il. 7. 162⟩. ἀλλὰ καὶ τὴν ἀριστείαν αὐτοῦ ταῖς ἄλλαις παραβάλλων μείζονα ⟨ἄν⟩ τις εὕροι. Διομήδης μὲν γὰρ ἠρίστευσεν ἔτι τῶν Τρώων ἀγνοούντων τὴν μῆνιν Ἀχιλλέως καὶ διὰ

4. ἐναντίοις || 6. καὶ post δειλία omisi || καὶ τρ. scripsi : ἐπὶ || 9. σὸν δὲ μάλιστα πλ. δ. οἵ τε παρ' || 12. suppl. W || 13. ἐπιειμένε || 14. σύ τε || 19. γὰρ γλῶσσα || 24. οὐχ || 26. λάχειεν ἢ Τυδέως || 28. κινδυνεύσειν || 29. πολλὺ πρῶτον

τὸ συνειδέναι σφίσιν αὐτοῖς τὴν τῶν ὅρκων παράβασιν κατεπτηχότων· τὸν δὲ Αἴαντα ὁ περὶ τῶν νεῶν κίνδυνος καὶ ἡ τῆς σωτηρίας ἀπόγνωσις διήγειρεν· καὶ Πάτροκλος ἠρίστευσεν Ἀχιλλεὺς νομιζόμενος· Ἀχιλλεὺς δὲ αὐτοῖς φοβερὸς ὤφθη διὰ τὴν τῶν θείων ὅπλων εὐπρέπειαν. Ἀγαμέμνονι δὲ ἠσσήθησαν νικῶντες τῇ προτεραίᾳ μάχῃ καὶ ἐπανιζόμενοι ταῖς ναυσὶ τῶν πολεμίων. διὰ τοῦτο Ἕκτωρ μὲν Πατρόκλῳ καὶ Ἀχιλλεῖ καὶ Διομήδει θαρρῶν εἰς μάχην ἔρχεται, ἐκκλίνει δὲ Ἀγαμέμνονα. ἀλλὰ καὶ ὁ Ζεὺς αὐτῷ παραινεῖ "ὄφρα μέν κεν ὁρᾷς Ἀγαμέμνονα ποιμένα λαῶν—ἐν προμάχοισι—τόφρ' ὑπόεικε μάχης" (Il. 11. 203).

226. * οὔτε ποτ' ἐς πόλεμον] τοῦτο δημοκρατικοῦ βασιλέως καὶ δημαγωγικοῦ. A=

227. οὔτε λόχον] τοῦτο ἀριστοκρατικοῦ. ἅμα οὖν τῶν ἰδίων κατορθωμάτων ὑπομιμνήσκει. ὅτι γὰρ καὶ ἐλόχα, δῆλον ἀπὸ Λυκάονος (Il. 21. 35)· καὶ "ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν" (Il. 13. 277). A=B−

229. ⟨ἦ πολὺ λώιόν ἐστι⟩] περισπαστέον τὸ ἦ· ἀρκτικὸν γάρ ἐστιν, ἀντὶ τοῦ δή. §. ἀπολελυμένον δὲ τὸ σχῆμα καὶ πολλὰς ἔχον περικοπάς· ἄπληστον γὰρ πρὸς λοιδορίαν ὀργή. §. ὑποστικτέον δὲ εἰς τὸ [εὐρύν]. A B=

230. * δῶρα] ἃ δωροῦνται οἱ Ἀχαιοί, ὡς τὸ "δόσαν δέ μοι υἷες Ἀχαιῶν" (162).

* ἀντίον εἶπῃ] οὐκ εἶπεν ἀδικεῖς, ἀλλ' ὡς ἀναιροῦντα τὴν ἰσολογίαν διαβάλλει. ἐπεγείρει δὲ αὐτῷ τοὺς στρατηγούς. B=

231. δημοβόρος] κινητικὰ ταῦτα τοῦ πλήθους· μεγίστη γὰρ κατηγορία τὸ σφετερίζεσθαι τὰ κοινά. B=

233. ⟨ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι⟩] ἐπιομοῦμαι. ἐπιόμνυσθαί ἐστι τὸ ὑπισχνούμενον ὀμόσαι, ἀπομνύναι δὲ τὸ ἀποφάσκειν. §. "μέγαν" δὲ "ὅρκον" ἢ τὸν κοινὸν τῶν ὅρκων ἢ τὸν τελεσθησόμενον. A B=

234. ⟨ναὶ μὰ τόδε σκῆπτρον⟩] τὸν τῆς βασιλείας ἔφορον ὄμνυσι θεόν, ὡς εἰ τράπεζαν ἢ πέλαγός τις ὀμόσαι ἢ τοὺς ἰδίους δεσμούς. ἐν σχήματι δὲ ἔφρασεν, ὅτι δημηγοροῦντι αὐτῷ δέδοται τὸ σκῆπτρον. διὰ δὲ τῆς ἐκκοπῆς τὴν ἀπαλλαγὴν ἴσως τῆς συνηθείας αὐτοῦ δηλοῖ· μόνος δὲ Ἀγαμέμνων ἐσκηπτροφόρει. B=

1. αὐτούς ‖ 8. ὁράᾳς ‖ 19. suppl. rec. ‖ 22. ἀδικήσει τις (supra τις add. sec. ἢ ὁ στρατός): corr. W ‖ in marg. repetitur οὐκ εἶπε δὲ ἀδικεῖς ἀλλ' ὡς ἀ. τ. ἰ. δ. ἐ. οὖν—στρατηγούς ‖ 30. ὀμόσῃ

B= 238. οἵτε θέμιστας] ἐπὶ δικαιοσύνῃ παρακαλεῖ τοὺς ἄρχοντας, εἴ γε τὸ δίκαιον ἐγχειρίζει αὐτοῖς ὁ Ζεύς, παραφθειρομένου δὲ αὐτοῦ δίκας δώσουσι Διί. ἢ ὅτι οὔπω νομογραφίας οὔσης ὁ λόγος τῶν βασιλέων νόμος ἦν.

240. ἦ ποτ' Ἀχιλλῆος] τοῦτό φησι πεισθεὶς Ἀθηνᾷ.

B= 242. εὖτ' ἂν πολλοί] προσυνίστησιν ἡμῖν τὸν Ἕκτορα λελη θότως ὁ ποιητής, μέλλων αὐτῷ χρῆσθαι πρὸς τὰ ἐπιφανῆ τῆς Ἰλιάδος ἔργα. πρὸς δὲ κατάπληξιν τῶν ἀκουόντων καὶ τὸ ἐπίθετον αὐτοῦ δεδήλωκεν.

B= 243. θνήσκον[τες]] ἀναστροφὴ ὁ τρόπος· τὸ ἐναντίον γὰρ γίνεται.

244. ὅτ' ἄριστον] ἐπειδή· "νῦν δ' ὑμέων ὅτε δὴ γλῶσσαν" ⟨?⟩· "ὅτε με βροτοὶ οὔτι τίουσιν" (Od. 13. 129).

B= *ἄριστον Ἀχαιῶν] ἢ τὸν ἐν Ἀχαιοῖς ἀριστέα, ἢ τὸν Θεσσαλῶν· "Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί" (Π. 2. 684).

B= 245. ποτὶ δὲ σκῆπτρον βάλε] νῦν μὲν τὸν Ἀχιλλέα, ἐν δὲ τῇ Ὀδυσσείᾳ τὸν Τηλέμαχον ποιεῖ τὸ σκῆπτρον ἀποτιθεμένους. ἐπ' ἐκείνου μὲν καὶ πλῆθος ἐξέχεε δακρύων· καὶ γὰρ νεώτερος, καὶ αἱ συμφοραὶ δειναί· ὁ δὲ Ἀχιλλεὺς οὐ μάλα ὀλοφύρεται· οὔτε γὰρ ὁμοίως νέος, καὶ περὶ γυναικὸς ἡ μάχη.

B= 247. τοῖσι δὲ Νέστωρ] ἔστι μὲν ἔγγονος Ποσειδῶνος, ἐνενήκοντα δὲ ἄρχει νεῶν· γεραίτερος δὲ πάντων καὶ ἡδύγλωσσος. οἱ περὶ Ὀδυσσέα γὰρ παραινοῦντες ἐδόκουν θωπεύειν πρὸς τὸ μὴ ἀφαιρεῖσθαι τοῦ γέρως. ἀλλ' οὐδὲ Μενέλεως ἠδύνατο παραινεῖν· τῷ μὲν γὰρ ἀδελφῷ συντιθέμενος ἀπήχθετο τῷ δι' αὐτὸν προπονήσαντι· τῷ δὲ Φοίνικι ταμιεύεται τὰς λιτάς. ἐν κινδύνοις οὖν παρεισάγων τὸν Νέστορα, πολλὴν αὐτῷ μαρτυρεῖ λόγων εἴδησιν, ἡδυεπῆ λέγων αὐτὸν

B= καὶ λιγύν. §. προσυνίστησι τὸ εἶδος τῶν λόγων τὸ προσηνὲς καὶ καταστέλλειν ὀργὴν δυνάμενον· ὁ γὰρ αὐστηρὸς λόγος θυμὸν ἀναζωπυρεῖ. §. "ἑτέρωθε" δέ, ἐκ τῆς ἑτέρας στάσεως.

B= 248. ⟨ἀνόρουσε⟩] ἔχων δὲ καὶ ἐκ πατέρων αὐτὸν ἐπαινεῖν οὐκ ἀναγκαῖον ἡγήσατο. οὐδὲν γὰρ εὐγενείας ὅσον λόγων δυνάμεως καιρός. τὸ δὲ προνοητικὸν τῶν ὁμοφύλων νεανικὴν αὐτῷ περιτίθησι κίνησιν. οὐδὲ γὰρ ⟨ἂν⟩ γέροντα κυβερνήτην μέμψαιο κινδυνεύοντος σκάφους ὑπὲρ τὸ δέον κινούμενον.

9. schol. repetitur* ‖ 10. schol. cum praecedenti coniunctum ‖ 12. ἢ τῶν θ. ‖ 15. ποιῶν ‖ 22. οὔτε ‖ 23. προφρονήσαντι ‖ 29. ἔχων—καιρὸς post κινούμενον scriptum, cf. B ‖ 30. εὐγενής

249. μέλιτος] διὰ τὸ πείθειν. "ῥέεν" δὲ διὰ τὸ ἀνεμπόδιστον. AB+

250. τῷ δ' ἤδη δύο μὲν γενεαί] ἥ τε τῶν πατέρων, ὑφ' ὧν γεννη- B=
θεὶς ἀνετράφη, καὶ ἡ τῶν ἀδελφῶν. "ἐλθὼν γάρ ⟨ῥ'⟩ ἐκάκωσε βίη Ἡρακληείη—τῶν οἷος λιπόμην" (Il. 11. 693). τριτάτης δὲ ἄρχει τῆς τῶν παίδων ἑαυτοῦ γενεᾶς, οἳ σὺν αὐτῷ ἐστρατεύσαντο. καὶ γὰρ ὁ ληγούσης ἡμέρας ἐπιδημήσας καὶ τῇ τρίτῃ ἐξ ἑωθινοῦ ἐξιὼν διὰ τρίτης ἀποδημεῖν λέγεται, καίτοι μίαν μόνην τὴν μέσην τελέσας. ἄλλως τε ἡ γενεὰ λ' ἔτη ἔχει· δύο οὖν γενεὰς πληρώσας εἰς τρίτην κατελέγετο, ὥστε δύο γενεαὶ ἀνθρώπων ἐφθάρησαν· οὐχ ὅτι δὲ ἀνθρώπους φησὶν ἀποθανεῖν, ἀλλὰ δύο περ⟨ι⟩οδικὰς γενεάς, τουτέστι τὰς καλουμένας δύο γενεὰς ἀνθρωπείας, ὡσεὶ ἔλεγε δύο τριακονταετίας. οὕτω δὲ ζώντων τινῶν τῶν σὺν αὐτῷ ἀνθρώπων, ὅμως αἱ γενεαὶ ἂν εἶεν ἐφθαρμέναι, αὐτὸς δὲ ναύαρχος τῶν ἐν τῇ τρίτῃ γενεᾷ γενομένων, οἳ ἦγον τὴν στρατεύσιμον ἡλικίαν.

καὶ παρ' ἄλλῳ: δύο τριακονταετηρίδες παρεληλύθεσαν ἐπὶ AB−
αὐτῷ. ἡ γὰρ γενεὰ λ' ἔτη ἔχει· τελεία γὰρ αὕτη πρὸς γένεσιν ἡλικία, "μήτ[ε] τριηκόντων ἐτέων" (Hes. Opp. 696). οἱ μὲν συντεχθέντες αὐτῷ φησιν ἀπολώλεσαν ὑπὸ Ἡρακλέους, οἱ ⟨δὲ⟩ συγγηράσαντες οὐ συνεστράτευσαν, αὐτὸς δὲ "οὔ μιν ἐπέτρεπε γήραϊ λυγρῷ" (Il. 10. 79)· τῶν οὖν υἱῶν αὐτῶν ἦρχεν. ἔστιν οὖν ἑβδομηκοντούτης. δύο γὰρ γενεὰς πληρώσας εἰς τὴν τρίτην κατελέγετο· ἀμέλει τήν τε Ἑκαμήδην ἔχει καὶ μετὰ τὸν νόστον σύνεστι τῇ γυναικί.

μερόπων] τῶν μορούντων περὶ τὴν ὄπα, ἢ τῶν παρεξηλ⟨λ⟩αγμένην AB+
ὄπα ἐχόντων.

251. οἵ οἱ πρόσθεν] οἳ μὲν εὐθεῖαν ἀντὶ γενικῆς, ὡς "οἱ δὲ δύο B=
σκοπελοί" (Od. 12. 73), ἵν' ᾖ οἵ τινες αὐτῶν, τῶν ἀνθρώπων δηλονότι· καὶ ἔστι τὸ δεύτερον οἱ ἀντὶ τοῦ αὐτῷ. οἳ δὲ πρὸς τὸ "γενεαί," ὡς "φάλαγγες ἱστάμενοι."

252. *τριτάτοισιν] τοῖς ἀπὸ τῆς αὐτοῦ γενέσεως τρίτην ἡλικίαν B=
ἄγουσιν. §. τὸ δὲ "βουλήν" (258) διὰ τοῦ ῡ, καὶ διὰ τοῦ ῑ.

254. ὦ πόποι] ὅταν τὸ πρᾶγμα προοίμιον ᾖ τῷ μεγέθει καὶ τῷ B=
πάθει, οὐ δεῖ πορίζειν προοίμια ἑτέρωθεν· ἔχει δὲ τὴν προσοχὴν ἀπὸ ὀλοφυρμοῦ ἀρξάμενος. δημηγορικῶς δὲ τὰς δύο παρίστησιν αὐτοῖς

2. γενεάς ‖ 6. τῇ γ̄ τῇ ἐξ ‖ 9. δὲ B : δὴ ‖ 15. ἄλλων ‖ παρεληλύθεισαν 18. ἀπολώλεισαν ‖ οὐ A : οὖν ‖ 19. μήν ‖ 23. μοιρούντων A B ‖ ὅπαν ‖ 28. "φ. ἑλπόμενοι Il. 16. 280" W ‖ 33. ἀρξάμενον ‖ τὰς δύο B : τ' ἄλλα

ἠπείρους τὴν μὲν χαρήσουσαν, τὴν δὲ πενθήσουσαν, εἰς κατήφειαν αὐτοὺς ἄγων.

B= 255. ἦ κεν γηθήσαι] ἐρεθιστικὸς ὁ τῶν ἐχθρῶν ἔπαινος· καὶ διὰ μὲν Πριάμου Ἀγαμέμνονα, διὰ δὲ Ἕκτορος Ἀχιλλέα ἐρεθίζει, οὗ τὸ ὄνομα ἐφυλάξατο, ἵνα μὴ δοκῇ συνηγορεῖν Ἀχιλλεῖ.

B= 257. τάδε πάντα] ἔμφασιν ἔχει καὶ αὔξησιν ἡ δεῖξις καὶ οἱ
B= ἀριθμοί. §. τὸ δὲ "μαρναμένοιιν" διὰ τὴν ξιφουλκίαν. §. τὸ δὲ
A~B+ "περὶ μὲν βουλήν" διὰ τοῦ ῑ, καὶ διὰ τοῦ ῡ.

A+ B= 258. * φυλάττεται τῆς "περί" ὁ τόνος, εἴτε ἀντὶ τῆς ὑπέρ ἐστι, εἴτε πρὸς τὸ ἐστέ φέρεται.

B+ 261. ἀθέριζον] ἀνεπαχθὲς τοῦτο παρὰ τοὺς ἀθέρας, οἳ εἰς οὐδὲν συντελοῦντες ἀνεμόφθοροι γίνονται.

* ἀθέριζον] ἀπεδίωκον.

B+ 262. οὐ γάρ που τοίους] τοῖς ἀποθανοῦσιν οὐδεὶς φθονεῖ· τὸ γὰρ ἀπὸν ἀνεμποδίστῳ εὐνοίᾳ τετίμηται. οὐ παρέθετο δὲ τὰ ἐν Πελοποννήσῳ πεπραγμένα ἑαυτῷ ἐν τῷ πρὸς Ἠλείους πολέμῳ πρὸς Ἀρκάδας. οὐ γὰρ οὕτω τὸν Ἀγαμέμνονα πείθειν προῃρεῖτο ὡς τὸν Ἀχιλλέα, ὃν εἶδε σπώμενον τὸ ξίφος. καλῶς οὖν ἀπὸ Θετταλικῶν παραινεῖ, ἐπεὶ κἀκείνοις περὶ γυναικῶν ἦν ἡ στάσις, καὶ ἵνα πείσῃ Ἀχιλλέα.

B+ §. μαλακτικώτατον δὲ τοῖς θυμουμένοις μῦθος, ὥς που καὶ Φοῖνιξ φησιν.

A+ B= 265. ⟨Ἐξάδιον⟩] παρὰ μὲν τῷ ποιητῇ ἀπὸ τοῦ ε̄ ἄρχεται τὸ
A− B+ Ἐξάδιος, παρὰ δὲ τοῖς νέοις ἀπὸ τοῦ ξ̄. §. τὸ δὲ "κράτιστοι" τῶν ἀνδρῶν μὲν ἐκεῖνοι, οὗτοι δὲ φυῆρες ἢ θῆρες· καὶ τὸ μὲν "θηρσίν" Αἰολικῶς, τὸ δὲ "φυήρεσιν" ἡρμοσμένοις τὰς φύσεις· ᾤκουν δὲ περὶ τὸ Πήλιον.

B= * * 268. θηρσίν] Αἰολικῶς. ἢ "φυήρεσιν," τοῖς τὴν φύσιν ἡρμο-
B= σμένοις. ᾤκουν δὲ περὶ τὸ Πήλιον καὶ τὴν Οἴτην. §. τὸ δὲ "ἀπώλοντο," ἵνα μὴ ζητῶμεν τὸ γένος αὐτῶν.

B= 269. μεθομίλεον] οὐκ εἶπεν ἐπεκ⟨ο⟩ύρουν οὐδὲ συνεμάχουν· οὐ γὰρ ἂν αὐτοῖς συνεμάχει μὴ ὢν καὶ παρόμοιος.

1. χαρησούσην ‖ 3. γηθήσειεν ‖ 9, 10. κἄντε ‖ 10. φέρηται ‖ 20. μαλακτικώτατον τοῖς—φησίν repetuntur ‖ 21. cum praecedenti coniunctum ‖ καὶ ante παρὰ omisi ‖ Καινέα τ' Ἐξάδιόν τε] παρὰ μὲν τῷ ποιητῇ—νεωτέροις ἀπὸ τοῦ ξ̄ repetuntur ‖ 22. repetitur "κάρτιστοι" τῶν ἀνδρῶν οὗτοι (dein 7 litt. spatium vacat) ἦσαν, ἐκεῖνοι δὲ κάρτισται φῆρες ‖ 23. φυήρεσιν et θηρσὶν ‖ 28. ultima ὥστε μὴ ζητεῖν τὸ γ. α. in marg. sup. repetuntur ‖ 29. οὐ γὰρ κτλ.' postea add. pr. ‖ 30. συνεμάχη

270. "ἐξ ἀπίης" δὲ ἀντὶ τοῦ ὀπούσης. A~ B+

καλέσαντο] ἐπεὶ ἐνδέχεται καὶ τὸν ἄποθεν οἰκοῦντα αὐτεπάγγελτον B=
ἧκειν, δόξης ἕνεκεν τοῦτό φησιν, ὅτι καὶ μετάπεμπτος ἦκεν.

271. κείνοισι] Κενταύροις, ἵνα τῇ συμβουλῇ δοκοῖεν τῶν κρεισσόνων B=
περιγεγενῆσθαι. Πηλέως δὲ οὐκ ἐμνήσθη ὡς Ἀγαμέμνονι φίλος, ἵνα μὴ
δοκῇ ἐλέγχειν Ἀχιλλέα, εἴ γε ὁ πατὴρ αὐτοῦ τι πέπεισται, ὃ δὲ οὔ.

273. *ξύνιον] γράφεται καὶ "ξύνιεν," ὡς τὸ "κόσμηθεν" (Il. 3. 1). A+ B=

275. μήτε σύ] διὰ τῆς δευτέρας συλλαβῆς δίδωσιν ὑπόνοιαν ὡς B=
οὐδὲ τὸν ἄλλον ἀνυθέτητον ἐάσει. ἤρξατο δὲ ἀπὸ Ἀγαμέμνονος, ὅτι
αὐτὸς ἦρξε τῆς στάσεως καὶ τὰ δοθέντα ἀφῃρεῖτο, καὶ μᾶλλον
συνήθης τῷ Νέστορι—διὸ παρρησιάζεται—καὶ διὰ τὸ θυμῶδες
Ἀχιλλέως. προκαταστέλλει δὲ τὸν θυμὸν διὰ τοῦ "ἀγαθός," ὅ ἐστι,
μὴ θελήσῃς ἀνάξια σαυτοῦ ποιεῖν. §. τὸ δὲ "ἀποαίρεο" Ἀττικόν.

276. *πρῶτα] "πρῶτα" καὶ πρῶτόν ἐστι τὰ ἐπιρρήματα· τὸ δὲ B=
πρώτως ἐπὶ τοῦ ἐξόχως.

278. ἀντιβίην] πολλαχοῦ ἀγαθὸν ἡ ἔρις· διὰ τοῦτο ἐπήνεγκε τὸ B–
"ἀντιβίην," τὸ μετὰ βίας καὶ φιλονεικίας δηλῶσαι θέλων. ἐν γὰρ
ταῖς μέσαις τῶν λέξεων τὸ μὲν ἀγαθὸν δίχα ἐπιθέτου φησί, τὸ δὲ
φαῦλον μετὰ ἐπιθέτου. "δῶκε μένος καὶ θάρσος" (Il. 5. 2)·
"θάρσος ἄητον ἔχουσα" (Il. 21. 395)· "καὶ σὺ κακοῖσι δόλοισι
⟨κεκασμένε" Il. 4. 339⟩. ἐν ἑνὶ δὲ στίχῳ ἄμφω ἔστιν εὑρεῖν· "ἀλλ'
ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμαθεν, οὐκ ἐθελήσει ἔργον ἐποίχεσθαι"
(Od. 17. 226).

280. ⟨εἰ δὲ σύ⟩] πλείονα μὲν τὰ Ἀχιλλέως πλεονεκτήματα, ἓν B=
δὲ τὸ Ἀγαμέμνονος, ⟨ὃ⟩ πολυλογῶν ἀντισηκοῖ τοῖς ἄλλοις.

281. ⟨ἀλλ' ὅδε φέρτερός ἐστι⟩] οὐ γὰρ γενναῖος ἡ εὐγενὴς ἄρξει B=
βασιλέως, τοὐναντίον δέ, καὶ θείαν λῆξιν ἔχων ὁ βασιλεὺς ⟨τυγ-
χάνει⟩.

282. ἔγωγε] πρὸς δυσώπησιν μὲν ἰδίαν ὁρίζεται χάριν, ὡς ὑπερ- B=
ἐχοντα δὲ παρακαλεῖ. ὑψοῖ δὲ Ἀχιλλέα ὡς δίχα αὐτοῦ οὐδὲν
ὄντων Ἀχαιῶν.

283. ⟨μέγα πᾶσιν ἔρκος⟩] πιθανῶς προσέθηκε τὸ "μέγα," ἐπεὶ B=
"ἕρκος" φησὶ καὶ τὸν Αἴαντα.

287. ἀλλ' ὅδ' ἀνήρ] ἴδιον τῶν θυμουμένων ἐπανακυκλοῦν τὰ A– B=

6. εἴτε ‖ 7. "κόσμησεν" ‖ 27. supplevi ex B : ἔχει pro ἔχων W ‖ 32. omisi schol. * * ἢ σὺ διὰ τὸ σέ ‖ 34. ἥδιστον—ἐπανακυκλεῖν : corr. ex B

αὐτά· οὐδέποτε γὰρ οἴονται ἱκανῶς εἰρηκέναι οἱ θυμούμενοι· καλεῖται δὲ τὸ σχῆμα ἐπιβολή, ἐν μιᾷ περιόδῳ ἀρχὰς πλείους ἐπιφερόμενον. οὕτως ἔχει καὶ τὸ "ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὸν κήρ" (Il. 18. 535). ἐκτὸς εἰ μὴ τὸ κρατεῖν σημαίνει τὸ νικᾶν, ἄρχειν δὲ τὸ ἀνάσσειν, ἐπιτάσσειν δὲ τὸ σημαίν⟨ειν⟩.

289. ⟨ἅ τιν' οὐ πείσεσθαι οἴω⟩] καὶ διὰ τί μὴ πείσει; ἢ ὅτι αἰδούμενοι τὴν πρόληψιν τὰς αἰτίας τοῖς πέλας ὑπὸ φιλονεικίας τίθεμεν· εἴπομεν δὲ ἐν ἀρχῇ, ὅσα δηλοῖ τὸ μοῖρα (supra p. 3. 26, Etym. M. s.v.).

B= **τῷ Ἀχιλλεῖ κινεῖ φθόνον ὡς οὐχ ὑπὲρ τῆς Βρισηίδος ἀλλ' ὑπὲρ
B= τῆς ἀρχῆς πρὸς αὐτὸν διαφερομένῳ. §. ἱκανὸν δὲ ἦθος ἔχει ὁ δισταγμός.

B= 292. ⟨ὑποβλήδην⟩] σύμβολον θυμοῦ μὴ ἀνέχεσθαι διεξοδικῆς κατηγορίας.

A+B= 293. ⟨δειλός⟩] τὴν δειλίαν μέγιστον ὄνειδος οἴεται. §. ἀλλὰ καὶ
A+B— τὴν σοί (294) Ἡρωδιανὸς ὀρθοτονεῖ. δῆλον γὰρ κἀκ τῆς γραφῆς· εἰ γὰρ ἦν ἐγκλιτική, διὰ τοῦ τ̄ ἐγράφετο ⟨ἄν⟩, ὡς ἐπὶ τοῦ "εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται ⟨μένος ἠύ⟩" (Od. 2. 271).

B= 295. ⟨ἐμοι⟩] ὀφείλει ὀρθοτονεῖσθαι διὰ τὴν ἀντιδιαστολὴν τοῦ ἄλλοισιν.

B= 296. ἐγώ γ' ἔτι] ἐὰν "ἔτι," ἠθικῶς, ἐὰν "τί," ἀποφατικῶς λέγει. ἄμεινον δὲ "ἔτι" διὰ τὸ καὶ τὸ "οἴω" ἠθικὸν εἶναι.

B= 298. ⟨χερσὶ μέν⟩] ἔγνω οὐκ ἐνδιδόντα Ἀγαμέμνονα, καὶ δὴ αὐτὸς μεγαλοφυῶς εἴκει· πέπεισται γὰρ μετανοήσειν Ἀγαμέμνονα· ἑτοίμως δὲ ἀποδιδοὺς διαβάλλει τὸν μόγις δόντα Χρυσηΐδα ὑπὲρ πάντων.

AB+ ⟨μαχήσομαι⟩] ὁ μὲν Ἀρίσταρχος διὰ τοῦ η̄, ὁ δὲ Ἡρακλέων τὰ ὀνόματα διὰ τοῦ η̄, "μαχήμων" (Il. 12. 247), "μαχητής" (Il. 5. 801), τὰ δὲ ῥήματα διὰ τοῦ ε̄, "Σολύμοισι μαχέσ⟨σ⟩ατο" (Il. 6. 184).

AB— 299. οὔτε σοι οὔτε τῳ ἄλλῳ] ἵνα μὴ νομισθῇ πρὸς ἕνα μόνον ἀξιόχρεως εἶναι μάχεσθαι· ἢ ὡς κοινωνοὺς τῆς ὕβρεως τοὺς Ἕλληνας συμπεριείληφεν, οὐκ ἐπαμύνοντας αὐτῷ στερομένῳ τῆς δωρεᾶς, καὶ πρὸς τὸ μὴ δοκεῖν βίᾳ ἀλλ' ἐθελοντὴς δεδωκέναι. καὶ οἳ μὲν οὖν

2. ἀποφερόμενον ‖ 3. ὠμίλεον ‖ 6. lemma εἰ κατὰ μοῖραν ἔειπες (286) falso add. sec. ‖ 8. post μοῖρα add. sec. in marg. μερίδα εἱμαρμένην καὶ τὸ πρέπον ὡς νῦν ‖ 11. repetuntur *ἱκανὸν ἦθος κτλ. ‖ 16. ἐγκλιτικόν ‖ 21. ἠθικὸν B: μή ‖ 22. οὖν post δὴ omisi, ut B ‖ 32. deest solutioni quaestio, cf. B²

ἔφασαν, ὅπως μὴ ἀκρατὴς εἶναι δοκῇ, ἀπεδοῦναι ταύτην τῷ βασιλεῖ, εἰ καὶ πλείω τῶν ἄλλων, ὧν φείδεται, προσίετο, καὶ ὅτι νόμος ἦν αὐτῷ ἐξαιρεῖσθαι πρώτῳ. γεγένηται δὲ ἀναδάσιμα πάντα τὰ τῶν αἰχμαλωτίδων τῆς Χρυσηίδος ἀποληφθείσης, ὥστε παρηνέμει μὴ δοὺς τὴν αἱρεθεῖσαν ὑπὸ τοῦ βασιλέως. ἦν γὰρ αὐτῷ ἐξὸν ὅτι βούλοιτο λαβεῖν· διό φησιν "ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας" (138)· καὶ πάλιν "αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατε" (118)· ὥστε τὸ μὲν τῶν αἰχμαλωτίδων ἀναγκαῖον ἦν εἶκειν, τῶν δὲ ἄλλων, εἴ τι ἐλάμβανεν, ὡς ὑβρίζοντι οὐκ ἐπιτρέπειν. οὔτε γὰρ ἀδικεῖν δεῖ οὔτε ἀδικεῖσθαι· τὸ μὲν γὰρ πονηρίας ἐστί, τὸ δὲ ἀνανδρίας.

301. ἀνελών] προείρηται γὰρ "οὐκ ἄν ⟨τι φέροις⟩·" Ἀττικοὶ δὲ περισσάκις χρῶνται τῷ ἄν. A~B−

303. ἐρωήσει] παρὰ τὴν ἐρωήν, ὁρμήσει. ἐναργῶς δὲ πεφάνταται περὶ τὸ δόρυ μεθ' ὁρμῆς ἐκχεόμενον αἷμα. καὶ ταύτας ἐμψύχους ἔλεγεν εἶναι παρ' αὐτῷ λέξεις Ἀριστοτέλης. B=

304. ὣς τώ γε] ὁ τρόπος παραγραφή· μετιὼν γὰρ ἐπὶ ἑτέραν διήγησιν τούτῳ χρῆται. B=

305. * ἀγορήν] τὸ πλῆθος.

306. * * ⟨εἴσας⟩] τινὲς πορευτικὰς παρὰ τὸ ἴω.

307. ⟨Μενοιτιάδῃ⟩] εἰκότως τῷ Ἀχιλλεῖ θυμικῷ ὄντι ἥπιος ὢν Πάτροκλος πάρεστι πρὸς τὸ τὸν θυμὸν αὐτοῦ μαλάσσειν. ὅτι δὲ πρᾷός ἐστι, δῆλον ἐξ ὧν οἰκτείρει τοὺς Ἀχαιούς· Εὐρύπυλον ἰᾶται, καὶ Μενέλαος περὶ αὐτοῦ φησι "νῦν τις ἐνηείης Πατροκλῆος—μεμνήσθω" (Il. 17. 670)· κατ' ἐξοχὴν δὲ ἰδιαζόντως εἶπε περὶ αὐτοῦ, ἵνα ἀξιόχρεως ᾖ, τελευτῶν ἐγείρειν αὐτὸν εἰς τὴν μάχην. B=

308. ⟨Ἀτρεΐδης δ' ἄρα⟩] αὐτεπαγγέλτους ἔχουσι ⟨τὰς ἐννοίας⟩ οἱ στίχοι, καὶ ἀφελών τι ἢ προσθεὶς μᾶλλον ἀδικήσεις. δῆλον δὲ ὅτι οὐκ ἐθαλάσσευόν τινες τῶν νεῶν, ἐπεὶ τίς χρεία νεουλκίας; ἔστι δὲ ὁμοιοτέλευτον τὸ σχῆμα προέρυσσεν, ἔκρινεν, ἔβησεν, εἶσεν ἄγων. B=

311. ⟨εἶσεν ἄγων⟩] ἀνάγων δὲ τὴν Χρυσηίδα "εἶσεν." ὁ δὲ μετὰ δώρων μὴ διδοὺς αὐτὴν μετὰ προσθήκης ἀποδίδωσιν, ἐξυπηρετούμενος πρὸς δυσώπησιν τοῦ θεοῦ. B=

313. * λαούς] διὰ τί μὴ καθαροὺς ἐκπέμπει; B+

317. ⟨κνίση δ' οὐρανὸν ἷκεν⟩] ὡς ἂν μελλόντων τῶν ἄλλων θεο- A+B−

4. ἀπολειφθείσης || 7. ἑτοιμάσασθ' || 13. πεφάντωται || 19. πορευστικάς || 26. supplevi ex B

σεβέστατα ὑπ' ὄψιν ἤγαγεν ἅμα τῷ μέλανι τοῦ καπνοῦ συναναμισγομένην λευκότητα τῆς πιμελῆς φανταστικῶς.

A+B= 320. *Εὐρυβάτην] ἄλλος ὁ κατ' Ὀδυσσέα Εὐρυβάτης, καὶ οὗτος ἄλλος.

AB= 321. ⟨ὀτρηρώ⟩] παρὰ τὸ ὄρω τὸ ὁρμῶ. §. "θεράποντες" δὲ οἱ τοὺς
AB+ κρείσσονας δι' ὠφέλειαν θεραπεύοντες. ὁμωνύμως δὲ καὶ οἱ δοῦλοι "θεράποντες" καλοῦνται.

B= 322. ⟨ἔρχεσθον κλισίην⟩] βασιλικὸν τὸ ἀπόλυτον τῆς φράσεως καὶ τὸ δι' ἄλλων πειρᾶσθαι καὶ οὕτως ἐπιχειρεῖν. ὑβριστικὸν δὲ καὶ τοῦτο· οὐ γὰρ ἐντυχεῖν Ἀχιλλεῖ κελεύει, ἀλλ' ὡς κενῆς οὔσης τῆς νεὼς ἄγειν αὐτήν.

AB= 324. δώῃσιν] ἀπὸ τοῦ δώω, ἐπεὶ δύο δεῖ λαμβάνειν τὰς ἐπεκτάσεις,
AB= εἴ ἐστιν ἀπὸ τοῦ δῶ. §. τὸ δὲ "ἕλωμαι" ἀντὶ τοῦ ἑλοῦμαι ἢ ἑλοίμην.

B= 325. ῥίγιον] βδελυρώτερον τὸ ἐπὶ πλειόνων ἀσχημονεῖν· "πάντες δέ με πεφρίκασιν" (Il. 24. 775) ἀντὶ τοῦ βδελύσσονται.

326. προΐει] ἀπὸ τοῦ ἴω περισπωμένου. §. τὸ δὲ "ἐπέτελλεν"
B= ἀντὶ τοῦ συνεχῶς ἐπέταττεν.

B= 327. τὼ δ' ἀέκοντε βάτην] εἰκότως· καὶ τὸν Ἀγαμέμνονα γὰρ δεδοίκασι καὶ πρὸς ὃν ἀποστέλλονται.

B= 329. ⟨παρά τε κλισίῃ⟩] πλησίον τῆς σκηνῆς.

B= καὶ νηὶ μελαίνῃ] διὰ τῆς μελαίνης νηὸς τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ.

330. οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν] ὁ τρόπος ἀντίφρασις.

B= οὐδ' ἄρα—γήθησεν] μεμετρημένη ἡ διάθεσις, οὔτε πλέον λυπουμένου—ἀγενὲς γάρ—οὔτε ἧττον· ἀσυμπαθὲς γάρ.

B= 331. τὼ μὲν ταρβήσαντε] εὖ τὸ αἰδεσθῆναι, καὶ μάλιστα τοὺς ἐπὶ τοιαύτην χρείαν ἐληλυθότας. δύο δὲ ταῦτα συμβαίνειν περὶ τοὺς χρηστοὺς ὁ ποιητής φησιν, αἰδῶ καὶ φόβον· "αἰδοῖός τε μοι ἐσσί, φίλε ἑκυρέ, δεινός τε" (Il. 3. 172).

B= τὼ μὲν ταρβήσαντε] διὰ τὴν ξιφουλκίαν.

αἰδομένω] παρὰ τὸ αἶδω· οἶδε δὲ καὶ τὸ αἰδῶ· "ἀλλήλους τ' αἰδεῖσθε" (Il. 5. 530).

AB= 332. οὐδέ τι μιν προσεφώνεον] τὸ μὲν γὰρ εἰπεῖν τι παροξυντικόν,

5. ὀρῶ τὸ ὁ. || 9. ἀλλήλων || 13. ἐάν ἐ. || 17. ἐπιέτελλεν || 25, 26. οὐδὲ—οὐδὲ

τὸ δὲ θωπεῦσαι δουλοπρεπές. πρῶτος δὲ Ὅμηρος πρόσωπα κωφὰ παρήγαγεν εἰς τὴν τραγῳδίαν.

334. Διὸς ἄγγελοι] ἢ ὅτι τὰς ἑορτὰς αὐτοῦ ἀγγέλλουσιν, ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰσιν, ὃς ἄγγελος Διός. καλῶς δὲ οὐκ Ἀγαμέμνονος ἔφη, ἀλλ' ἀνδρῶν καὶ Διός, οἷς δικαίως ὑπηρετοῦσιν· τούτῳ γὰρ ἀδίκως. κοινὸς δὲ νόμος μὴ ἀδικεῖσθαι κήρυκα· ἱεροὶ γὰρ οὗτοι καὶ τὰ πρὸς θυσίαν ἑτοιμάζοντες. ἀμέλει παρ' Ἀθηναίοις τὸ τῶν Κηρύκων γένος· "κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυΐ" (Il. 18. 558)· "κήρυκες Τρώων καὶ Ἀχαιῶν νεῖμαν" (Il. 3. 274). A+ B−

335. ἆσσον ἴτε] διὰ σχήματος ἐδήλωσεν, ὡς τῷ δέει οὐ προέκοψαν. τιμήσαντες οὖν ἀντιτιμῶνται. §. τὸ δὲ "ὔμμες" ψιλοῦται ὡς Αἰολικόν, ὡς δηλοῖ καὶ ἡ συναλ⟨ο⟩ιφή, "αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα" (Il. 4. 249). B= AB=

οὔτι μοι ὔμμες ἐπαίτιοι] πεπαιδευμένως· οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους ἄγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου. AB=

336. ⟨ὃ σφῶι προΐει⟩] ἀντίφρασις· "σφῶι μὲν ἀμφὶ βοός" (Il. 11. 776) ὑμεῖς· "ὃ σφῶι προΐει" ὑμᾶς· "ὅ σφωι⟨ν⟩ μάλα πολλάκις" (Il. 23. 281) ὑμῶν· "καί σφωιν δὸς ἄγειν" (338) αὐτοῖς. §. ὃ "σφῶι" δι' ἑνὸς σ̄, ὡς τὸ "καὶ θώρηχ'· ὃ γὰρ ἦν οἵ" (Il. 18. 460). AB=

337. διογενὲς Πατρόκλεις] ἐξαίρει πάλιν τὸ πρόσωπον· τοῖς γοῦν γνησιωτάτοις τῶν φίλων εἰώθαμεν πιστεύειν τὰ γύναια. B=

* Πατρόκλεις] ἡ εὐθεῖα Πατροκλῆς ὡς Ἡρακλῆς. A+

338. * σφωίν] αὐτοῖς. A=

μάρτυροι ἔστων] μαρτύρεται τὼ κήρυκε, ὅπως μὴ δοκῇ προδότης εἶναι ὑπερορῶν τοὺς Ἀχαιοὺς ἀναιρουμένους, τὰ δὲ ἄλλα οὐχ ἅπτεται Ἀγαμέμνονος, ὅπως μὴ δοκῇ μικροψυχεῖν ἐπὶ τῇ ἀφαιρέσει. B=

339. πρός τε θεῶν μακάρων] πρότερος τῶν Πυθαγορικῶν Ὅμηρος μέσην ἀνθρώπου καὶ θεοῦ φύσιν ἀνθρώπου καὶ ⟨ . . . . ⟩· θεοῦ δὲ ἧττω τὸν βασιλέα φησίν. B+

πρός τε θνητῶν] ἵνα ἐγκαλούμενος καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων καὶ ὑπὸ Ἀγαμέμνονος αὐτοὺς ἔχω μάρτυρας. B+

340. εἴ ποτε] καλὸν τὸ μὴ ὁπότε· νεμεσητὸν γὰρ ἦν. B=

341. χρειώ] ὄνομα ὡς Κλειώ· καὶ γὰρ "χρειοῖ ἀναγκαίῃ" (Il. 8. 57). AB=

23. ὁ Πατρ. ‖ 29. φύσιν ἀνθρωπίνην B ‖ ⟨τὸν ἁπλῶς ἄνθρωπον βασιλέως ἥττονα⟩ suppl. W ex B ‖ 30. ἧττων ‖ 34. χρειῇ

A ~ B= 341. ἀεικέα λοιγόν] ὑβριστικόν· "ἀεικίζει μενεαίνων" (Il. 24. 54).

B= 342. φρεσὶ θύει] ἐμφαντικῶς τὸ λυσσῶδες αὐτοῦ καὶ ἄλογον παρέστησεν· μάρτυρας οὖν ὑμᾶς σχήσω τῆς παραπληξίας αὐτοῦ, ὅτι οὐκ οἶδε προνοῆσαι στρατιᾶς.

B– 343. οὐδέ τι οἶδεν] τὸ δὲ ἐναντίον "ὄρα πρόσ⟨σ⟩ω καὶ ὀπί⟨σ⟩σω" (Il. 18. 250). δεῖ γὰρ μὴ τὰ παρόντα μόνον ἀλλὰ καὶ τὰ μέλλοντα σκοπεῖν· [λείπει οὖν τοῖς ἐπιρρήμασι τὸ τ̄.] μέγιστον καὶ ψιλᾷ ἀνθρώπῳ πρὸς κατηγορίαν ἡ ἀπρονοησία, ὥς που φησί "νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες" (Od. 21. 85).

B= 344. *μαχέοιντο] πλεονασμὸς τοῦ ε̄.

B= 345. Πάτροκλος δὲ φίλῳ] τὸ ἤπιον αὐτοῦ διὰ τῆς σιωπῆς τῆς νῦν τε κἀν ὅλῃ τῇ στάσει κἀν τῷ μηνιθμῷ δείκνυται· καὶ νῦν δὲ οὐ φθέγγεται, ἵνα μὴ ᾖ παροξυντικός.

B= 346. *καλλιπάρῃον] εὔκαιρον τὸ ἐπίθετον, τὴν τοῦ ἐρῶντος διάθεσιν ἐμφαῖνον τῷ δηλοῦν οἵας ἐρᾶται.

B= 347. τὼ δ' αὖτις ἴτην] οὔτε γὰρ ἐπαινεῖν οὔτε ψέγειν εἶχον τὸ λεχθέν. οὐ λαβόμενοι δὲ τῆς χειρὸς ἦγον ὡς ἐπετάχθησαν.

B= 348. ⟨ἀέκουσα⟩] ἔστι γὰρ φίλανδρος, ὡς τὸ πρόσωπον αὐτῆς δηλοῖ· δευτέραν δὲ ταύτην ὁρίζεται εἶναι αἰχμαλωσίαν καὶ διὰ μιᾶς λέξεως ὁλόκληρον ἡμῖν ἦθος προσώπου δεδήλωκεν.

B– 349. δακρύσας ἑτάρων] ἕτοιμον τὸ ἡρωικὸν πρὸς δάκρυα· καὶ Ὀδυσσεὺς "ὡς δὲ γυνὴ κλαίῃσι" (Od. 8. 523), καὶ ἡ παροιμία "ἀεὶ δ' ἀριδάκρυες ἀνέρες ἐσθλοί." Ἀγαμέμνων ⟨δὲ ὡς κρήνη⟩ "ἥτε κατ' [αἰ]γίλιπος πέτρης" (Il. 9. 15). ἄλλως τε καὶ φιλότιμος ὢν ἀνιᾶται τῇ ὕβρει παλαιᾶς τε συνηθείας στέρεται· ἴσως δὲ καὶ τὸ γύναιον ἀκουσίως ἀπαλλαττόμενον ἐλεεῖ· ἄκρως δὲ ἐρῶντα χαρακτηρίζει· οὗτοι γὰρ ταῖς ἐρημίαις ἥδονται, ἵν' οὕτω τῷ πάθει σχολάζωσιν ὑπὸ μηδενὸς ὀχλούμενοι.

B= *νόσφι] ὅπως μὴ γελῷτο παρὰ τῶν ἑταίρων· ἢ πρὸς τὴν διάλεξιν
B– τῆς μητρός. §. τὸ δὲ "ἄφαρ" δηλοῖ καὶ τὸ ἔπειτα· "τό κεν ἦμιν ἄφαρ πολὺ λώι[ον]" (Od. 2. 169).

B= 350. θῖν' ἐφ' ἁλὸς πολιῆς, ὁρ⟨ό⟩ων ἐπὶ οἰνοπα πόντον] οἰκεῖον τῇ
A+ θινὶ τὸ πολιόν, τῷ δὲ πόντῳ τὸ οἰνοψ. §. γράφεται καὶ "ἐπ' ἀπείρονα πόντον."

1. ἀείκιζε ‖ 4. ἡμᾶς ‖ 8. λείπει—τ̄ om. B ‖ 34. ὁ οἰνοψ

ὁρόων ἐπὶ οἶνοπα πόντον] ἱκανὴ παραμυθία τοῖς ἐπὶ ξένης λυπου- B=
μένοις εἰς τὴν θάλασσαν ἀφορᾶν, δι' ἧς τῶν πατρίδων εἴργονται. καὶ
Ὀδυσσεὺς "πόντον ἐπ' ἀτρύγετον δερκέσκετο" (Od. 5. 84)· τάχα
δὲ ὁ Ἀχιλλεὺς καὶ ὡς εἰς συγγενὲς τῇ μητρὶ χωρίον ἀφορᾷ τὴν
θάλασσαν.

351. χεῖρας ὀρεγνύς] ὥσπερ ἀσπαζόμενος ὀρέγει τὼ χεῖρε τῇ B=
μητρί. καὶ ἐπὶ Πολυφήμου "εὔχετο χεῖρ' ὀρέγων εἰς οὐρανόν"
(Od. 9. 527). §. τινὲς "ἀνασχών" γράφουσιν.

352. μινυνθάδιον] τοῦτο μάλιστα δύναται λυπῆσαι μητέρα, B=
ὀλιγοχρόνιος υἱός· ὃ πρῶτον προβάλλεται.

ἐόντα] ἐσόμενον. ᾔδει δὲ δι' ὧν εἶπεν αὐτῷ ἡ μήτηρ "διχθαδίας B=
κῆρας" (Il. 9. 411)· παιδευτικὸν δὲ τὸ μὴ εἰς ῥᾳστώνην ἀλλ' εἰς
πρακτικὸν νεῦσαι τὸν ἥρωα. φιλοστοργίᾳ δὲ καὶ ἐλέῳ προκαλεῖ τὴν
μητέρα. ἐν κεφαλαίῳ δὲ τὴν εὐχὴν ἐκθέμενος ὕστερον λεπτολογήσει.
ἔστι δὲ παρὰ τὸ μίννυθα. παραπληροῖ δ' ὁ "πέρ."

353. ὄφελλεν] ἡ μὲν ἀρχὴ Ἰακή, τὸ δὲ μέσον Αἰολικόν. A—
Ὀλύμπιος] οὕτω κατ' ἐξοχὴν τὸν Δία. καὶ Κρονίδην αὐτόν φησιν. B=
ἐγγυαλίξαι] κυρίως τὸ ἐγγυῆσαι, παρὰ τὸ γυῖον, ὃ κυρίως ἐπὶ χειρός.

354. ὑψιβρεμέτης] ὁ ἐν ὕψει βρέμων διὰ τῶν βροντῶν ἢ τῶν B=
ἀνέμων.

οὐδέ με τυτθόν] φιλεγκλήμονες κατὰ θεῶν οἱ ἀτυχεῖς. B=

356. ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας] ἑλὼν ἔχει ἀντὶ τοῦ B—
ἔλαβεν οὐ πειθοῖ ἀλλ' ἀπουρίσας. "ἄλλοι γάρ οἱ ἀπουρίσ⟨σ⟩ουσιν
ἀρούρας" (Il. 22. 489)· συγκοπὴ οὖν ἐστιν.

357. δακρυχέων] ὑφ' ἕν· καὶ δακρυπλώειν γάρ που φησίν B—
(Od. 19. 122).

πότνια] σεπτή—οἱ γὰρ σεβόμενοι προσπίπτουσι τοῖς ἕδεσι τῶν A= B—
θεῶν—ἢ παρὰ τὸν πότμον ἡ εὐτυχής, ὅ ἐστιν ἀπὸ τοῦ "πέσῃ μετὰ
ποσ⟨σ⟩ὶ γυναικός" (Il. 19. 110). καὶ ποτνιᾶσθαι δὲ τὸ προσπίπ-
τειν καὶ παρακαλεῖν.

358. ⟨πατρὶ γέροντι⟩] ἴσως τοὺς ἐν θαλάσσῃ τιμωμένους ἁλίους B=
γέροντάς φησιν ὡς Πρωτέα, Φόρκ[υνα, Νη]ρέα.

359. καρπαλίμως] ἀντὶ τοῦ κραιπνῶς. ταχεῖα δὲ ἡ ἄνοδος ὡς B=
μητρὸς καὶ θεοῦ. φαντασία δὲ περίκειται τῇ θεῷ διὰ τῆς ὁμίχλης.

1. ξένοις ‖ 7. χεῖρας ‖ 18. γυῖον Et. M. s. v.: γῦον ‖ 23. ἀπουρίσσουσιν textus ‖ 28. ποταμόν ‖ ὃς ἐ.

ἢ ὅτι θαλασσία ἐστὶν ἡ θεός· τὴν δὲ Ἥραν τῷ ἀέρι εἰκάζει (supra 9. 32)· λεπτομερὴς γὰρ ὁ ἀὴρ ὡς πρὸς σύγκρισιν τῶν ὑδάτων.

B= 360. δακρυχέοντος] οὐκ ἐξίσταται τούτου· οὐ γὰρ ἄτοπον, ἐλεύθερον ἁπλοῦν ἄλκιμον λυπεῖσθαι.

B= 362. τέκνον] φυσικῶς φθέγγεται, καὶ τῶν κοινῶν ὀνομάτων οὐκ ἐξίσταται· ἕνα γὰρ ἔχουσα καὶ τοῦτον ἄθλιον, πῶς ἂν αὐτὸν ἄλλως καλέσειεν; ἔστι δὲ καὶ ἡ πεῦσις σύντομος, ὡς ἂν μαθεῖν ἐπειγομένης.

B= 363. ἐξαύδα] τῇ γὰρ τῶν λόγων ἀνοχῇ καὶ κουφιεῖται τοῦ βάρους ἡ ψυχή.

A+B= ἵνα εἴδομεν ἄμφω] ἀνθ' ὑποτακτικοῦ μέν ἐστιν, ἀλλ' ἡ συστολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον.

A+B− 364. βαρὺ στενάχων] ὁ Σιδώνιος ⟨περισπᾷ⟩—περισπᾶσθαι γὰρ καὶ "ἀδινὰ στοναχῆσαι" (Il. 18. 124) φησίν—Ἀρίσταρχος δὲ βαρύνει. τὰ πολλὰ γὰρ κινήματα ὡς ἀπὸ βαρυτόνου γέγονεν· "βαρὺ δὲ στενάχοντος ἄκουσα" (Od. 8. 95)· "ἐπεστενάχοντο δ' ἑταῖροι" (Il. 4. 154).

B= 365. οἶσθα] ἄκρως ἐνέφηνε τὸ βαρύθυμον διὰ τοῦ προοιμίου. καὶ πρὸς εἰδότας δὲ ἔθος λέγειν ἐπικουφίζοντας τὴν ὀδύνην.

B= 366. ᾠχόμεθ' ἐς Θήβην] ῥητορικὸς ὢν ὁ ποιητὴς καὶ τρόπον ἀνακεφαλαιώσεως βουλόμενος διδάξαι ἡμᾶς ταῦτα πάλιν ἐξ ἀρχῆς διηγεῖται.

A−B= ᾠχόμεθα] ὁ τρόπος ἀνακεφαλαίωσις. τέσσαρα δὲ διηγήσεων ἰδέαι· ἡ μὲν ὁμιλητική, ὡς ὅταν παρά τινος ἀκούσας τις αὐτὰ διηγῆται ἃ ἤκουσεν, ὡς τὸ "πολλάκι γάρ σεο πατρός" (396)· τὸ δὲ ἀπαγγελτικόν, ὅταν ἃ παρ' ἑτέρου ἤκουσεν ἑτέρῳ διηγῆται, "ἀγγελίην τινά τοι, γαιήοχε" (Il. 15. 174)· τὸ δὲ ὑποστατικόν, ὅταν τῶν πραγμάτων τινὰ ἀπαγγεῖλαι ὑποθέμενοι διηγώμεθα, ὡς τὸ "ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη" (Il. 11. 671)· τὸ δὲ μικτὸν ἐξ ὁμιλητικοῦ ⟨καὶ ὑποστατικοῦ⟩, ὡς τὸ "ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά" (401)· εἰ γὰρ ἦν ὁμιλητικόν, ἡ διήγησις οὕτως ἂν εἶπεν, ἀλλὰ σὲ τῶν δεσμῶν αὐτὸν ἀπολῦσαι καλέσασα⟨ν⟩ τὸν ἑκατόγχειρον· ὁ δὲ ἐφ' ἑτέραν πτῶσιν μετελθὼν ὡς ἴδιον ἤδη λόγον καὶ οὐχ ὡς παρ' ἐκείνης ἀκούσας διέξεισιν.

1. τ. γὰρ Ἥραν νῷ παρεικάζει ‖ 3. praecedit lemma δακρυχέοντος sine scholio, spatio 15 fere litteris relicto ‖ 12. δὴ W: γὰρ ‖ 14. βαρύνειν ‖ 23. αὐτῷ ‖ 25. διηγοῖτο ‖ 27. ὁπόθ' ‖ 29. supplevi ex B ‖ 30. ὦ θεά

Θήβη χωρίον ἔρημον πλησίον Λέσβου, ἀπὸ Θήβης τῆς Ἀδράμυος· B—
ἆθλον γὰρ ταύτην ὁ πατὴρ προὔθετο τῷ προὔχοντι γυμνικῷ ἀγῶνι, Ἡρακλῆς δὲ λαβὼν τὴν πόλιν ἀπ' αὐτῆς ἔκτισεν. ὅσοι δὲ ἀθετοῦσι τοὺς στίχους, οὐκ ἐῶσιν ἡμᾶς μαθεῖν, ὅθεν ἦλω Χρυσηίς. ἔπλει δὲ πορθήσων Ἀχιλλεὺς Χρῦσαν, Ἀθηνᾶ δ' οὐκ εἴα φάσκουσα μὴ αἱρήσειν δι' Ἀπόλλωνα. εἰς Θήβας δὲ ἦκουσα Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος ἀδελφήν, Ἄκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτεμίδι, ἦλω ὑπὸ Ἀχιλλέως. μεγαλοφυῶς δὲ συντέμνει τὰ περισσὰ τῶν λόγων.

368. *μετὰ σφίσιν] ὀρθοτονητέον τὴν "σφίσιν," ἐπεὶ εἰς σύνθετον A+ B= παραλαμβάνεται καὶ σὺν προθέσει συντέτακται.

371. *χαλκοχιτώνων] λαμπρὸν ἢ πορφυροῦν ἐχόντων χιτῶνα.

374. καὶ ἐλίσσετο] οὐ προσέθηκε τοὺς λόγους οὓς ἔφησεν· οὐ γὰρ B= ἀναγκαῖον νῦν· καὶ τὸ μῆκος ἀπέφυγεν.

καὶ ἐλίσσετο] Ἰακῶς "λίσσετο." A=

382. *οἱ δέ νυ] οἱ δὲ δή.

383. ἐπασσύτεροι] παρὰ τὸ ἆσσον ἀσσύτεροι, ὡς ἀφάρτεροι, A+ B— παροίτεροι. ἢ ἑκάτεροι.

384. ἄμμι δὲ μάντις] οὐ προσέθηκεν, ὡς αὐτὸς τὴν ἐκκλησίαν συνήγαγεν, οὐδὲ ὅλως ὕποπτον ἑαυτὸν καθίστησι τῇ μητρί.

386. αὐτίκ' ἐγὼ πρῶτος] ὡς καὶ τῶν ἄλλων τοῦτον ἐχόντων τὸν B= σκοπόν.

392. *κούρην Βρισῆος] ἀντονομασία. A+

393. εἰ δύνασαι] οὐ διστάζων ἀλλὰ σχετλιάζων φησίν, εἴ γε σοι B— καὶ τοῦτο χαριεῖται ὁ Ζεύς. ἅμα δὲ καὶ κολακεύων αὐτήν, ὅπως ἐρεθίσῃ πρὸς τὸ αἰτούμενον, καὶ τὴν ἰσχὺν ἐνδείξηται ὡς δῆθεν τοῦ παιδὸς ἀγνοοῦντος.

394. Δία λί[σαι]] ἀπὸ τοῦ ἔλισα, ὅθεν καὶ "ἐλισάμην καί σφιν B— μενοεικέα" (Od. 13. 273)· "καὶ κῆρα λιτέσθαι" (Il. 16. 47).

396. πολλάκι γάρ] δικαίως ἡ αἰτία ἡμῖν εἴρηται τῆς ἀποστάσεως B— Διός, ὅπως μὴ δοκῇ εἶναι μισέλλην ὁ Ζεύς· οἱ δὲ βασιλεῖς θεοποιοῦντες αὐτοὺς τοιαῦτα περὶ θεῶν ἐφήμιζον, ὅπως καὶ αὐτοὶ αὐχοῦντες μὴ ἀπιστοῖντο θεῶν εἶναι φάσκοντες παῖδες. ἐστοχάσατο δὲ πάντων ὁ ποιητής, ἐν μὲν τῷ προδιαλόγῳ οὐδὲν εἰπών, ὅπως μὴ ὀνειδίζειν δοκῇ, οὐ μὴν τὴν αἰτία[ν] ἐάσας ἄγνωστον. διαθρύπτονται δὲ πρὸς τοὺς ἄνδρας

5. Χρύσην ‖ 14. καὶ B: κἂν ‖ 25. καὶ τ. scripsi: κἂν ‖ 31. εἶναι ὡς ἔλλην

γυναῖκες, εἴ που τι δράσουσι θαυμαστόν. ἄξιον δὲ καὶ τοῦτο παρασημήνασθαι, ὅτι καθ' Ὅμηρον οὐ νεογνὸν κατέλιπεν Ἀχιλλέα ἡ Θέτις.

A + B= 396. πολλάκι γάρ σεο] ὁ νοῦς· πολλάκι γάρ σου ἐν τοῖς τοῦ ἐμοῦ πατρὸς δόμοις ἤκουσα.

A + B= σέο] Ἀρίσταρχος ἐγκλίνει τὴν "σέο" λέγων ἁπλῆν τε εἶναι αὐτὴν καὶ ἀντιδιαστολὴν οὐκ ἔχειν. ὁ δὲ Ἡρωδιανὸς καίτοι, φησίν, ὀφειλούσης ὀρθοτονεῖσθαι, ἵνα λέγῃ σοῦ καὶ οὐκ ἄλλης ἀκήκοα, ὅμως πεπεῖσθαί φησι τὴν ἀνάγνωσιν Ἀριστάρχῳ.

AB= 397. κελαινεφέι] παρὰ τὸ μελαίνοντα τὸν ἀέρα νείφειν αὐτόν.

B= 399. ὁππότε μιν ξυνδῆσαι] τί ποτε ἄρα βουλόμενος ταῦτα ἔπλασε πολὺ ἔχοντα τὸ ἄλογον καὶ ἀνάρμοστον, εἴ γε Ἀθηνᾶ καὶ Ἥρα καὶ Ποσειδῶν ἐβούλοντο συνδῆσαι τὸν Δία, ἡ μὲν θυγάτηρ οὖσα, οἱ δὲ ἀδελφοί; διὸ καὶ ἀντὶ τῆς Ἀθηνᾶς τινες γράφουσι "καὶ Φοῖβος Ἀπόλλων," ὥσπερ οὐ τοῦ αὐτοῦ μένοντος ἀτόπου. καὶ ἄλλοι πάλιν ἐναλλάσσουσι τὰ ἔπη "οἵη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι, Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη, ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι," ἵνα οὗτοι μὲν οἱ θεοὶ φαίνωνται βοηθήσαντες αὐτῷ μετὰ τῆς Θέτιδος, ἄλλοι δέ τινες οἱ ξυνδῆσαι θέλοντες. [καὶ] μύθους λέγουσιν ἐπὶ τούτοις πολλούς. μάχεται δὲ τοῖς ἐναλλάσσουσι τὰ ἔπη τὸ "οἵη ἐν ἀθανάτοισιν·" πῶς γὰρ τοῦ ποιητοῦ λέγοντος, ὅτι μόνη, ἐνδέχεται καὶ ἄλλους ἐπεισάγειν βοηθούς; τίνα δὲ καὶ τὸν Βριάρεων χρὴ νοεῖν; καὶ πῶς οὗτος "βίῃ οἷ πατρὸς ἀμείνων;" δεῖ τοίνυν φυσικόν τινα μᾶλλον ἐν τούτοις ὑπονοεῖν λόγον· Δία γάρ φησι τὴν ἄκρατον θερμασίαν, τὴν καὶ τοῦ ζῆν καὶ τοῦ εἶναι ἡμᾶς αἰτίαν, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν, Βριάρεων τὸν ἥλιον—πάντων γὰρ τῶν ἄστρων φωτεινότατός ἐστι—Θέτιν δὲ τὴν θέσιν καὶ φύσιν τοῦ παντός. τοῦ ἡλίου τοίνυν ἀφισταμένου ἐπὶ τὰ μεσημβρινά, ψύξεως γινομένης ἐν τοῖς καθ' ἡμᾶς μέρεσι, συμβαίνει τὸν ἀέρα, φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιστα ἐξυγραίνεσθαι πλέον καὶ δυσχείμερον γίνεσθαι. Ποσειδῶνα οὖν καὶ Ἥραν καὶ Ἀθηνᾶν διὰ τοῦτο βουλομένους συνδῆσαι τὸν Δία φησίν, ἐμφαίνων, ὡς ἔφην, τὴν χειμερινὴν κατάστασιν, ὅθεν συμβαίνει τὸ ψυχρὸν ἐπικρατέστερον εἶναι τοῦ θερμοῦ. ἀλλ' ἡ Θέτις ἀνάγουσα τὸν ἥλιον ἐπὶ τὰ βόρεια φαίνεται ὥσπερ βοηθοῦσα τῷ Διί. εἰκότως δὲ ἑκατόγχειρον τοῦτόν φησιν, ὅτι πάντα τρέφει καὶ αὔξει

2. κατέλιπεν B: κατέλειψεν ‖ 5. τὴν B: τὸ ‖ 6. ὀφείλουσα ‖ 22. [τ]οῦ π. ‖ 34. ἥλιον

καὶ φύει καθάπερ πολλαῖς ὁμοῦ χερσὶν ἐργαζόμενος. "οὖ πατρὸς" δὲ ἀμείνων, τοῦ Διός· Ἀπόλλωνα γάρ φησι τὸν ἥλιον.

400. Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη] πιθανῶς τοὺς Ἀχαϊκοὺς θεοὺς ἠχθρευκέναι Διί φησιν, ἵνα ἀκούηται Θέτις. τινὲς δὲ γράφουσι "καὶ Φοῖβος Ἀπόλλων·" τοῦτον γὰρ εἰκὸς ἠχθρευκέναι μὴ φέροντα τὸν ζῆλον τῆς ἐκείνου τυραννίδος. ὅθεν Ἥραν μὲν δεῖ, τοὺς δὲ Λαομέδοντι ὑποτάσσει. οἱ δὲ Ἥραν μὲν διὰ τὸ πολλαῖς μίγνυσθαι, Ποσειδῶνα δὲ διὰ τὸ πλεονεκτεῖσθαι εἰς τὴν διανομήν, Ἀθηνᾶν δὲ διὰ τὸ ἀναγκασθῆναι ζευχθῆναι Ἡφαίστῳ. A+ B=

Ἥρη τ' ἠδὲ Ποσειδάων] τὴν τῶν στοιχείων παλαιὰν σύγχυσιν δηλοῖ, Δία τὸ πῦρ, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν· ὀργανικὴ γάρ ἐστι καὶ ἐπινοητικὴ τῶν ἁπάντων. μόνον γὰρ τὸ πῦρ ἐν αὐτοῖς καθαρὰν καὶ ἀμιγῆ τὴν φύσιν ἔχει. B=

403. ὃν Βριάρεων] Ἡσίοδος δὲ "Ὀβριάρεῳ δ' ὡς πρῶτα" (Th. 617). ὡς μουσοτρεφὴς δὲ καὶ τὰς παρὰ θεοῖς ἐπίσταται λέξεις. ἢ τὰ τελειότερα θεοῖς ἀνατίθησιν. B–

404. οὖ πατρὸς ἀμείνων] Ὅμηρος ὡς Στωικὸς Ποσειδῶνος αὐτὸν εἶναί φησιν· "παῦροι δέ τε πατρὸς ἀρείους" (Od. 2. 277). A=

405. παρὰ Κρονίωνι] καθ' ὑπεροχὴν αὐτὸν Κρονίδην καὶ Ὀλύμπιον ὀνομάζει.

407. τῶν νῦν μιν μνήσασα] καὶ πῶς ταύτην οὐκ ᾔτει τὴν χάριν κατὰ τῶν Τρώων, ὅτε φησὶ "πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον;" (Il. 9. 325)· ἢ ὅτι ἡ δόξα τῆς νίκης εἰς Ἀγαμέμνονα ἀνέτρεχεν, ὥς φησιν "τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον" (Il. 4. 415)· τά τε τῆς νίκης ὡμολογήσατο διὰ τοῦ ἀστράπτειν τὸν Δία. εὐημερούντων τοίνυν τῶν οἰκείων οὐκ ἔδει χαρίτων ἀμοιβὰς ἀπαιτεῖν παρὰ τοῦ ἐπινεύσαντος τὴν ἧτταν τῶν πολεμίων, ὀργισθέντα δὲ τοῖς ἀδικήσασιν αὐτὸν μεταβαλεῖν τὴν Διὸς γνώμην. ἀλλ' εἶπερ, φησίν, ἔδει κατὰ φίλων ἀδικησάντων χρήσασθαι τῇ παρὰ Διὸς ἐπικουρίᾳ, κατὰ τοῦ Ἀγαμέμνονος δίκαιον ἦν δήπου· ἀλλ' ⟨εἰ⟩ Ἀγαμέμνων ἐκολάσθη, ἀθῷοι ⟨ἂν⟩ ἀναπλεύσαντες οἱ Ἀχαιοὶ οὐκ ἐζήτησαν Ἀχιλλέα. μένει δὲ συγκολαζόμενος αὐτοῖς ἀχαρίστοις οὖσιν ὁ βασιλεύς, οἱ τῷ διὰ τὴν κοινὴν ὑβρισθέντι σωτηρίαν οὐκ ἐπήρκεσαν.

2. Ἀπόλλωνος coni. W pro Διὸς ‖ 4. ἀκούαιτο ‖ 11. Ἀ. τ. γ. supra add. pr. ‖ 14. δὲ ὃν βριάρεω ὡς τὰ πρ. ‖ 17. Ὅμ. ὁ στ. ‖ 21. τῷ νῦν

407. *παρέζεο] διὰ τὴν Ἥραν. διό φησιν "αἴ κεν πως ἐθέλῃσιν" (408).

AB= λαβὲ γούνων] κεφαλῆς μὲν λαμβανόμεθα, ἐπεὶ ἡγεμονικόν, τῆς δεξιᾶς, ἐπεὶ πρακτικόν, γονάτων, δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα, ἐπικλᾶν οἰωνιζόμενοι τὴν ψυχὴν τοῖς λόγοις.

408. *ἐπὶ Τρώεσσιν ἀρῇξαι] τὸ ἐξῆς, ἐπαρῆξαι τοῖς Τρωσίν.

B– 410. ἐπαύρωνται] ὅτι ἐπὶ κακοῦ τὸ ἀπολαῦσαι· τὸ δὲ ἐπαύρω ἐστὶ καὶ πρώτης καὶ δευτέρας συζυγίας, τὸ δὲ ἁμάρτω πρώτης, καὶ ἁμάρτων ἡ μετοχή.

A= 412. *οὐδὲν] ὅτι παρέλκει τὸ δεν.

B= 414. ὥ μοι τέκνον] οὐκ εὐθὺς αὐτῷ τὴν διακονίαν ὑπισχνεῖται, προολοφύρεται δὲ εἰδυῖα τὴν αἴτησιν πρόξενον αὐτῷ οὖσαν θανάτου.

B= αἰνὰ τεκοῦσα] τὸ ἐξῆς, αἰνὰ τεκοῦσα, ἐπεί νυ τοι αἶσα· τὸ δὲ "αἴθ' ὄφελες παρὰ νηυσί" διὰ μέσου. τὸ δὲ "αἰνά" ἀντὶ τοῦ αἰνῶς.

*ἔτρεφον] ἀνέθρεψα.

*τεκοῦσα] παρατατικῶς.

B= 415. αἴθ' ὄφελες] μᾶλλον ἂν προεθέμην σε τὸν ἄπρακτον βίον ζῆσαι· ἐπὶ λύμῃ γὰρ ἐμῇ τοῦτον εἵλου τὸν βίον. διὸ καὶ δυσαριστοτόκειαν ἑαυτὴν ὀνομάζει.

AB– ὄφελες] ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον· "ὡς δὴ μ[ὴ] ὄφελον νικᾶν" (Od. 11. 548)· "ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι" (Il. 21. 279)· "μὴ ὄφελες λίσσεσθαι" (Il. 9. 698)· "Ἕκτορος ὠφέλετ' ἀντί" (Il. 24. 254)· Καλλίμαχος δὲ ἐπίρρημα εὐκτικόν· "ὄφελε μηδ' ἐγένοντο θοαὶ νέες" (Ep. 18).

B= 416. μίννυθα] ἐπ' ὀλίγον χρόνον, ἢ κατὰ ἀποκοπὴν τοῦ μιννυθάδιος· "μιννυθάδιος δέ οἱ αἰών" (Il. 4. 478)· παιδευτικὸν δὲ τὸ μηδὲ τὸν ὀλίγον τῶν ἀνθρώπων βίον ἄλυπον εἶναι. ἔστι δὲ περίφρασις ἐν τῷ στίχῳ, ὡς τὸ "ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν" (Il. 3. 59).

B= 417. ὀιζυρός] εἰ τοιαῦτα περὶ Ἀχιλλέως ὁ ποιητὴς φησι, τί περὶ τῶν ἄλλων εἴπωμεν;

A– ὀιζυρός] ταλαίπωρος· μετωνυμία.

B= 419. τοῦτο δέ τοι ἐρέουσα] διὰ μὲν τὴν περίστασιν οὐκ ἀντιπράσσει τῷ παιδί, καιρὸν δὲ μετανοίας αὐτῷ δίδωσιν.

12. αἴτησιν B: στάσιν ‖ 14, 20, 22. ὄφελλες ‖ 21. ὤφελλον ‖ ὤφελες ‖ 23. ἀντίον ‖ 24. ἐγ. αἱ νῆες ‖ 25. μετ' ὀλ. ‖ 26. δέ τοι αἰ. ‖ 31. εἴποιμεν

420. ἀγάννιφον] τὸν λίαν νιφόμενον κατὰ τὰ ὑπὸ τοῖς νέφεσι ὄρη· A=
τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου ὡς ὑπερνεφῆ οὔτε νίφεται οὔτε κατομ-
βρεῖται κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα "Οὐλυμπόνδ', ὅθι φασὶ θεῶν
ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι. οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ'
5 ὄμβρῳ δεύεται, οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη πέπταται
ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη" (Od. 6. 42). "ἀγάννιφον" οὖν
ἢ τὸν λίαν νιφόμενον, ἢ τὸν οὐδὲ ὅλως, εἴγε ἀπόστροφος εἰς τὸ γ̄ τεθῇ.

ἀγάννιφον] τινὲς ἐπὶ τοῦ οὐρανοῦ, τὸν ἄγαν νίφοντα, ὡς βριήπυ⟨ον⟩ B=
καὶ γαιήοχον· τὰ ὄρη γὰρ νιφόεντα καλεῖ, ὡς καὶ Τήλεφος.

10 421. ἀλλὰ σὺ μὲν νῦν] τὸ "νῦν" ἀντὶ τοῦ δή· διὸ καὶ Τυραννί⟨ων⟩ AB=
ἠξίου ὀξύνειν αὐτό, οὐκ εὖ. §. τῆς ὀργῆς δὲ αὐτὸν οὐκ ἐπέχει, εἰδυῖα AB=
τὸ φιλόνεικον αὐτοῦ καὶ φιλότιμον. καλῶς δὲ λόγοις μὲν χαρίζεται
αὐτῷ, ἔργοις δ' ἀναβάλλεται.

423. ἐς Ὠκεανόν] νῦν τὸν ποταμὸν δηλοῖ, ἔστι δὲ ὅτε καὶ σωμα- AB=
15 τοειδῆ τὴν "θεῶν γένεσιν" (Il. 14. 201). ἡ δὲ "ἐς" ἀντὶ τῆς πρός·
ἐπανάληψις· "ἀλλ' ἐς Μενέλαον" (Od. 3. 317), "εἰς Ἀγαμέμνονα
δῖον" (Il. 23. 36)· εὐσεβῶς δέ φησι μηδὲ τῶν πόρρωθεν ἀνθρώπων ἀμε-
λεῖν τοὺς θεούς· δισσοὶ δέ εἰσιν Αἰθίοπες ὑπὸ Νείλου ὁριζόμενοι.
§. τινὲς δὲ γράφουσι "μετὰ Μέμνονος Αἰθιοπῆας·" ἔθνος δὲ οὗτοι. A=
20 μετ' ἀμύμονας] Ἀρίσταρχος "ἐπ' ἀμύμονας." §. ἡ "μετά" ἀντὶ τῆς A+
ἐπί καὶ ἀντὶ τῆς ἐν· "στεροπὴν μετὰ χερσὶν" ἔχων (Il. 11. 184). A+ B=

424. Ἀρίσταρχος γράφει "ἐπὶ δαῖτα," οἱ δὲ ἄλλοι "κατὰ δαῖτα," A+
καὶ τὸ "ἕπον⟨ται⟩" διὰ τῆς αι̅.

χθιζός] ἐπιρ⟨ρ⟩ηματικῶς, ὡς καὶ τὸ τήμερος παρὰ τοῖς Ἀττικοῖς. B=
25 §. τὸ δὲ "πάντες" συλληπτικόν, ὡς τὸ "ἀριστῆες Παναχαιῶν εὖδον B=
παννύχιοι" (Il. 10. 1)· καὶ γὰρ Ἀθηνᾶ πρὸ ὀλίγου ἐξ οὐρανοῦ
κατῆλθε, πεμφθεῖσα ὑπὸ Ἥρας. §. οὐκ ἄπεισι δὲ εἰς Αἰθιοπίαν ἡ B=
Θέτις, ὅτι ἐκ⟨εῖ⟩ ἦσαν οἱ Ἀχα⟨ϊ⟩κοὶ θεοί, καὶ τῷ υἱῷ καιρὸν μετα-
νοίας διδοῦσα καὶ αὐτοῖς τοῖς Ἕλλησι, καὶ Τρῶας αἰσθέσθαι τῆς
30 μήνιδος καὶ τολμῆσαι λοιπὸν εἰς μάχην.

425. δωδεκάτῃ δέ τοι αὖθις] φασὶν ἐν Διοσπόλει μέγιστον εἶναι AB=
Διὸς ἱερόν, ἀφ' οὗ λαμβάνοντας τὸ ξόανον Αἰθίοπας μετὰ καὶ τῶν
ἄλλων ἐγχωρίων θεῶν κατά τινα χρόνον περινοστεῖν τὰ μέρη τῆς

3. ὄλυμπον θ' ‖ 4. τινασσόμενον ‖ 7. οὔτε ‖ 11. αὐτόν ‖ 12. μὲν χαρίζεται AB: μεταχειρίζεται ‖ 15. τὴν W: τῶν ‖ 20. lemma novavit rec. ‖ 22. schol. cum praecedenti coniunctum ‖ 24. τήμερον ‖ 28. τῷ θεῷ κ. ‖ 32. λαμβάνοντες ‖ αἰθίοπες

Λιβύης καὶ πολυτελεῖς ποιεῖν πανηγύρεις ἐπὶ δώδεκα ἡμέρας, ὅτι καὶ τοσοῦτοι οἱ θεοί.

B= 426. *χαλκοβατές] στερεὰν ἔχον τὴν βάσιν.

B= 427. καί μιν πείσεσθαι οἴω] ἀπιοῦσα ἐν χρηστῇ ἐλπίδι καταλιμπάνει τὸν παῖδα. ὅμοιον δέ ἐστι τῷ "αἴ κε πίθηται."

A= 429. *ἐυζώνοιο γυναικός] λείπει ἡ περί.

B= 430. τήν ῥα βίῃ] ἐν τάξει ἀπολογίας τοῦτό φησιν, ὅτι οὐκ ἦν εὔλογον περὶ γυναίου αὐτὸν θυμοῦσθαι, ἄλλως τε τὴν ἰδίαν ἀποφαίνει γνώμην ὁ ποιητής, ἠδικῆσθαι αὐτὸν ὁμολογῶν.

B= αὐτὰρ Ὀδυσσεύς] ὅπως μὴ τῇ τῆς Θέτιδος ἀπαλλαγῇ συνάψῃ τὴν ἐπάνοδον· διὸ μεσολαβεῖ τὰ κατὰ τὸν Ὀδυσσέα, μόνον οὐχὶ λόγῳ καταμετρήσας τὸν ἐπὶ Χρύσην πλοῦν. ἑκατέροις δὲ μετρίως χρώμενος διαναπαύει τὸν ἀκροατήν, τῶν μὲν τὸν κόρον περιαιρῶν, τοῖς δὲ τὴν ἐπιθυμίαν ἀποπληρῶν.

αὐτὰρ Ὀδυσσεύς] ζήτει τὸ προηγούμενον τῆς τοιαύτης ἐννοίας "ὣς οἳ μὲν τὰ πένοντο κατὰ στρατόν" (318). ἐκεῖσε καταλιμπάνει τὸν Ὀδυσσέα.

B+ 432. λιμένος πολυβενθέος] ἤδη καὶ λιμένων ἐπεσημήνατο φύσιν μιᾷ λέξει ὁ ποιητής.

B= 433. ἱστία μὲν στείλαντο] οὐ γὰρ ἤδεσαν τῶν ἀνέμων τὸ παλίμβολον, ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν τρόπον ἐδίδαξε

B= προσορμισμοῦ. §. "ὑφέντες" δὲ Ζηνόδοτος, αἱ δὲ ἄλλαι "ἐφέντες."

B= §. "πρότονοι" δὲ τὰ ἀπὸ πρύμνης εἰς πρῷραν διήκοντα σχοίνια.

A+B= 434. ἱστοδόκῃ] διὰ τοῦ κ ἐστὶ τὰ παρὰ τὸ δέχω ξεινοδόκος πανδοκεῖον.

B+ *πέλασαν] πελασθῆναι ἐποίησαν ὡς τὸ "πάντας μέν ῥ' ἔλπει" (Od. 2. 91).

435. *προέρυσ⟨σ⟩αν] οὕτω πᾶσαι.

B= 437. ἐκ δὲ καὶ αὐτοὶ βαῖνον] πολλὴν ἔχει τὴν ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγή· τὸ δὲ σχῆμα ἐπανάληψις.

AB= ῥηγμῖνι] ἀλλαχοῦ ἡρμήνευκε διὰ τοῦ "χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει" (Π. 4. 425)· πάντα δ' ἐν ὀλίγῳ πέφρασται.

B= 440. ἐπὶ βωμὸν ἄγων] προσάγει τὴν κόρην τῷ βωμῷ, ὥσπερ

5. add. sec. ὡς ἀμ[φίβολον] δέ φησιν αὐτόν, διότι ἦ[δει τὸ] αὐτοπαθὲς τῆς Ἥρας (supplevi ex D) ‖ 13. οἳς ‖ 14. duae lineolae erasae secuntur

ἀποδιδοὺς ὡς ἐπὶ τοῦ θεοῦ μάρτυρος. ἔστι δὲ ἡ "ἐπί" ἀντὶ τῆς παρά.

441. ἐν χερσὶ τίθει] ὅτι οὐ μόνον τὸ τίθημι κέκλιται, οὐδὲ ἐπὶ μόνων ἀψύχων τὸ τιθέναι. B=

442. ὦ Χρύση, πρό μ' ἔπεμψεν] αὐτὰ τὰ ἀναγκαῖα συλλαβὼν λέγει ἁπλῶς· ὡς ἐπὶ θεοῦ πανοῦργον οὐδέν. B=

πρό μ' ἔπεμψε] "πρό με" τὴν εἰς τὸ ἔμπροσθεν δηλοῖ σχέσιν, οὐ χρονικήν. B=

443. σοί] ὡς ἀντιδιαστελλόμενον τῷ Φοίβῳ δεῖ ὀρθοτονεῖν καὶ ⟨διὰ⟩ τὸν τέ. B=

444. ῥέξαι] καὶ σφάξαι· τὸ δὲ θῦσαι ἐπὶ τοῦ θυμιᾶσαι μόνως φησίν. B=

*ἱλασόμεσθα] πλεονασμὸς τοῦ σ̄. B=

445. ὃς νῦν Ἀργείοισι] ἔμφρο[ν ἐστι τὸ μὴ ἐπε]νεγκεῖν ὅτι Χρύσου τὸν λοιμὸν εὐξαμένου ⟨ἐπηνέχθη⟩, ἵνα μὴ διατρέψῃ τὸν γέροντα ὡς κακῶν αἴτιον· καίτοι Ἀχιλλεύς φησι "τοῖο δ' Ἀπόλλων εὐξαμένου ἤκουσεν" (380). B=

446. ἐδέξατο χαίρων] περιέτεμε τὸν λόγον τοῦ γέροντος· οὔτε γὰρ ἐπαινεῖν οὔτε ψέγειν ἦν τοὺς ἀποδόντας· τὸ μὲν γὰρ δουλοπρεπές, τὸ δὲ παροξυντικόν. ἀλλ' οὐδὲ τοσαύτην κίνησιν ἔχει τὰ ἡδέα λεγόμενα ὁπόσην τὰ λυπηρά. B=

447. κλειτήν] πᾶσαι "ἱερήν" εἶχον. A+

448. ἑξείης] οἶμαι τὴν [ει πεπλεονακέναι] ὡς ἐν τῷ ἀδελφειός. B=

ἐΰδμητον] δέμω δμῶ δμήσω δέδμηται δμητός, ἐΰδμητος ὡς ἐύννητος. B=

449. χερνίψαντο] δεῖ γὰρ προσιόντα θεῷ κατὰ τὸ δυνατὸν εἰκάζειν αὐτὸν θεῷ. ἀπὸ δὲ τῆς χερὸς ἐνικῆς ἐστι "χερνίψαντο." §. διὰ τί μετὰ τὸ δεῖπνον οὐ ποιεῖ τοὺς ἀνθρώπους ἀπονίζοντας τὰς χεῖρας; ὅτι οὐδὲ ὄψοις τοιούτοις ἐχρῶντο ὥστε δεῖσθαι ἀπονίψεως, καὶ ὅτι παυσάμενοι τοῦ δειπνεῖν ἔσπενδον· μετὰ δὲ σπονδὰς οὐ δεῖ ἀπονίζεσθαι. ῥητέον δὲ καὶ τοῦτο. ὅταν γὰρ λέγῃ (Od. 1. 136) "χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος νίψασθαι," φήσομεν οὐκ εἰς τὸ νί[ψα]σθαι πρὸ τοῦ δείπνου B=

3. κέκληται ‖ 4. post τιθέναι add. τίθει ἐπὶ ἐμψύχων omisso signo finali ‖ 11. τὸ post καί add. sec. ‖ θυσιάσαι: corr. W ‖ 15. supplevi ex B ‖ 16. ἤκ. εὐξ. ‖ 33. οὐχ

μόνον· ἁπλῶς γὰρ τὰς ἀρχὰς μηνύσας οὐκέτι τὰ κατὰ μέρος ἐπέξεισιν, ὥστε παρέκειτο τὰ χειρόνιπτρα ὅτε βούλοιντο νί[ζε]σθαι, ὥσπερ καὶ ἡ τράπεζα καὶ τὰ ἄλλα ἄχρις ὅτου βούλοιν[τ]ο χρήσασθαι αὐτοῖς. [οὕ]τω καὶ τοὺς Πυλίους ἐν τῷ κατάπλῳ [Τηλε]μάχου εὐωχουμένους οὐκέτι δεδήλωκεν, ὅπως ἐκ τῆς [ἠι]όνος ἀναστάντες ἀπ[ηλλάγ]ησαν. καὶ τὴν Ἀθηνᾶν [Μέν]τῃ ὁμοιωθεῖσαν καὶ τὸ δόρυ δοῦσαν Τηλεμάχῳ, οὐκέτι ⟨φησὶν⟩ ὅπως τοῦτο ἀπιοῦσα ἀπέλαβεν· ἐπεὶ καὶ τὸ τόξον εἰς κατασκοπὴν ἀπιόντι δίδωσι Μηριόνης Ὀδυσσεῖ· ὅπως δὲ τοῦτο [ἀπέδω]κεν, οὐκέτι ἐπεσημήνατο, διδοὺς τοῖς ἀκροαταῖς καθ' ἑαυτοὺς λογίζεσθαι τὰ ἀκόλουθα. καὶ πολλὰ τοιαῦτα ἔστι γνῶναι παρ' αὐτῷ· οὐ γὰρ μόνον τί εἶποι, ἀλλὰ καὶ [τί μ]ὴ εἶποι ἐφρόντισεν.

A+B= 449. οὐλοχύτας] τινὲς τὰ κανᾶ, δι' ὧν ἐπέχεον τὰς οὐλάς, ἃ πρὸς ἀντιδιαστολὴν μὲν εἴρηνται τῶν ψαιστῶν, ἀπαρχὴ δὲ τῆς προτέ[ρας ζωῆς] θεοῖς ἀπεδίδοντο· πρὸ πυρῶν γὰρ εὑρηνται καὶ ἀπὸ τοῦ προκριθῆναι τῶν βαλάνων οὕτως ὠνομάσθησαν.

B= 450. μεγάλ' εὔχετο ⟨χεῖρας ἀνασχών⟩] μεγάλ' ἀνασχών· ἐπὶ σωτηρίᾳ γὰρ εὐχόμενος παρρ[ησίαν ἄγει. ὅτε] δὲ κατηρᾶτο τοὺς Ἕλληνας, ἡσυχῇ ηὔχετο· ἐπ' ὀλέθρῳ γὰρ ἀνθρώπων ἡ αἴτησις.

B= 453. πάρος ἔκλυες] ἐλεύθερον ἅμα καὶ προσακτικὸν τὸ χάριτας εἰδέναι. φησὶν οὖν, εἰ προήκουσάς μου, [καὶ ν]ῦν δίκαιος εἶ ἀκοῦσαι.

A−B= 454. μέγα δ' ἴψαο λαόν] ὅτι κατὰ τὴν Πατρόκλου ἔξοδον (Π. 16. 237) οὐκ ὀρθῶς μετηνέχθη ἐντεῦθεν. οὐ γὰρ ὀρθῶς Ἀχιλλεὺς ἐπιχαίρει τῇ ἥττῃ τῶν Ἑλλήνων. ὁ δὲ Χρύσης [βά]ρβαρος καὶ μισέλλην.

456. λοιγὸν ἄμυνον] οὐ πολλῆς ἐδέησεν εὐχῆς αὐτῷ· ἐλεῆμον γάρ ἐστι τὸ θεῖον.

B= 457. τοῦ δ' ἔκλυε] δεξιὸν καὶ παιδευτικὸν τὸ παραχρῆμα μετα[τί]θεσθαι εἰς ἔλεον τὸν θεόν.

B− 458. προβάλοντο] εἰς τὸν βωμόν· οὐχ ὡς Ἀριστοφάνης "σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὀλῶν" (Pac. 961).

B= * προβάλοντο] ὁμοιοτέλευτον τὸ σχῆμα.

2. ὥστε : corr. W ‖ 3. ὅτου B : ὅτε ‖ 11. εἶπῃ bis ‖ 24. "λαοί" ‖ 33. εὖ δὲ—ὅλων

459. αὐέρυσαν] τὸ "αὖ" πάλιν δηλοῖ, ἢ ἃ ἔρυσαν, καὶ πλεο- A + B=
νασμὸς τοῦ ῡ. Κυμαίων δὲ ἔθος τὸ αὐερύειν, αἰτούντων τὸν θεὸν
ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω αὐτοὺς ἕλκειν. τηρεῖ δὲ τὰ Ἑλλη-
νικὰ ἔθη.

460. μηρούς] ἐπεὶ στάσεως αἴτια μᾶλλον τῶν ἄλλων ὀστῶν. B=
§. τὸ δὲ λίπος ὡς λαμπρόν, ἢ διὰ τὸ καίεσθαι ⟨δι' αὐτοῦ⟩ τὰ B=
μηρία.

461. δίπτυχα] τινὲς ὡς ὑπόβρυχα· καὶ τῷ μὲν ἑνὶ ἐπιτίθεται ὁ B=
μηρός, θατέρῳ δὲ τὰ ἄκρα.

ἐπ' αὐτῶν δ' ὠμοθέτησαν] ἀλλαχοῦ ἡρμήνευσε τί ἐστιν "ὠμοθέ- B=
τησαν·" "ὃ δ' ὠμοθετεῖτο συβώτης, πάντοθεν ἀρχόμενος μελέων, ἐς
πίονα δημόν" (Od. 14. 428).

463. πεμπώβολα] διὰ τὸ μὴ συμπεσεῖν τῷ πεντώβολον. καὶ B=
τοὺς μὲν ἄλλους τρισὶν ὀβελοῖς πείρειν, Κυμαίους δέ φασι πέντε.

464. μῆρα] ἀπὸ τοῦ μηρία συνεκόπη καὶ μάλιστα τὰ ἐναγίσματα A B
τῶν θεῶν δηλοῖ.

σπλάγχνα] ἀντὶ τῶν σπλάγχνων, ὅ ἐστι τῶν ἐντοσθιδίων, ἥπατος B=
νεφρῶν καὶ τῶν ἑξῆς. τούτων δὲ πάντων ἀπεγεύσαντο, ἀπὸ σπλάγχνων
καὶ ψυχικῆς σπουδῆς δηλοῦντες τὴν θυσίαν ποιεῖν.

465. ⟨μίστυλλον⟩] παρὰ τὸ μεῖον, μείως ἔτιλλον, καὶ κατὰ ⌈συγ- B=
κοπὴν "μίστυλλον." οὐκ ἔχει δὲ τὸ ⌉, ⟨ὡς οὐδὲ τὸ⟩ μικρὸς παρὰ τὸ
μεῖον ὄν. §. τὸ δὲ "τἆλλα" κατὰ συναλοιφὴν ὡς τἆργα. ὁ δὲ Ἡρω- A + B=
διανὸς τὸν "τέ" παραπληρωματικὸν παραδέχεται· καὶ λείπει⟨ν⟩ τὸ
ἄρθρον Ὁμηρικῷ ἔθει.

466. περιφραδέως] ἐμπειρίας γὰρ προσδεῖ τοῖς ὀπτῶσιν· καὶ B=
ὀπτᾶν δὲ εἴρηται διὰ τὸ πυκνότερον ἐποπτεύειν τὸν ὀπτῶντα.

467. πόνου] τῆς περὶ τὴν ἱερουργίαν σπουδῆς· ἐνίοτε δὲ καὶ τὴν A – B=
ταλαιπωρίαν δηλοι· "ἦ μὴν καὶ πόνος ἐστί" (Il. 2. 291)· οἳ δὲ
μόνην τὴν τῆς ἱερουργίας φασὶ σπουδήν, καὶ οὐδέπω πόνον τὴν
ἀλγηδόνα καλεῖν τὸν ποιητήν.

τετύκοντο] τεύχω ἔτυχον, ἐτυχόμην ἐτύχοντο· ποιητικὸς Ἰωνικὸς A B=
διπλασιασμὸς οἰκεῖος τοῖς δευτέροις ἀορίστοις μετὰ τροπῆς "τετύ-

2. αὐερύειν τῶν θυομένων τὸν τράχηλον—ἄνω ἕ. vel tale quid dicit ‖ 6. supplevi ex B ‖ 8. ὑπόβραχα ‖ 14. πέντε B: ἑνί ‖ 15. μηρία ἀ. τ. μ. ‖ 18. τὰ ἑξῆς ‖ 20. repetitur *"μίστυλλον" παρὰ τὸ μεῖστον· οὐκ ἔχει δὲ τὸ ἕ, ὥσπερ οὐδὲ τ. μ. ἀπὸ τοῦ μεῖον ‖ 21. μικρῶς ‖ 22. τἆλλα B: καὶ ἆ//////// ‖ τ' ἄργα ‖ 23. suppl. W ‖ 31. τετύχοντο

κοντο," ὥσπερ παρὰ τὸ χάζω κεχάδοντο· "κεχάρονιο δὲ πάντες Ἀχαιοί" (Od. 4. 344).

B= 468. δαιτὸς ἐίσης] τῆς ὁμοίως πᾶσιν ἐπιγινομένης διὰ τὸν ἔρωτα, ἢ τῆς μεριζομένης, ἐπεὶ κἂν τοῖς εὐτελέσιν ἐτήρουν τὴν ἰσότητα, ὡς τὸ "δαιτρὸν πίνωσιν" (Il. 4. 262).

B− 469. ⟨ἐξ ἔρον ἔντο⟩] ἀστικὸν δὲ τὸ μὴ φάναι ὅτι μέχρι κόρου ἤσθιον· τοῦτο γὰρ δουλοπρεπές, ὡς ἐπὶ Εὐμαίου "πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος βῆ ῥ' ἴμεναι μεθ' ὕας" (Od. 17. 603)· διὸ τὸ μὲν ἔρος ἐπὶ πάντων λέγουσι λέγεσθαι, τὸ δὲ ἔρως ἐπὶ τῶν ἀφροδισίων, ὅ ἐστι πιθανόν. Πίνδαρος γοῦν "καὶ γὰρ ἑτέροις ἑτέρων

AB= ἔρως ἔκνιξε φρένας" (Pyth. 10. 60). §. ψιλωτέον οὖν τὸ ἔρος ὡς Αἰολικόν, καθὸ τὸ ε̄ καὶ ᾱ̀ πρὸ τοῦ ρ̄ φωνήεντος ἐπιφερομένου [ψιλο]ῦται. τὸ δὲ "ἔντο" δασυντέον· ἔστι γὰρ παρὰ τὸ ἵημι, δεύτερος ἀόριστος ἦν, καὶ εἷς ἡ μετοχὴ καὶ ἀφείς, ἕμαι, ἕμην ἕσο ἕτο ἕντο. ταῦτα δὲ καὶ πλεονάζουσι τῷ ῐ̄.

A−B= 470. κοῦροι μὲν κρητῆρας] ἀρχαῖον ἔθος οἰνοχοεῖν τοὺς νέους· "οἰνοχόει δ' υἱὸς Μενελάου" (Od. 15. 141)· "ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο οἶνον ἐνοινοχοεῦντες" (Od. 3. 471)· διὸ καὶ παῖδας μέχρι νῦν τοὺς δούλους φαμέν. καὶ Γανυμήδης καὶ Ἥβη ὑπηρέται θεῶν εἰσιν.

A−B= ἐπεστέψαντο] ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν, ὡς δοκεῖν ἐστέφθαι τῷ ὑγρῷ. "κρητῆρας" γὰρ "ἐπιστεφέας οἴνοιο" (Il. 8. 232).

B= 471. νώμησαν] διέδωκαν. §. "ἐπαρξάμενοι" δὲ ἐπιχέαντες. ὁ δὲ

B= νοῦς· τῇ οἰνοχόῃ ἐπιχέαντες τοῖς ποτηρίοις διέδωκαν πᾶσιν ἀπαρξά-

B+ μενοι σπονδὴν τοῖς θεοῖς. §. νέμω δὲ νωμῶ.

A+B= 472. πανημέριοι] ἀντὶ τοῦ τὸ πᾶν τὸ λοιπὸν τῆς ἡμέρας εἰς τὴν ᾠδὴν ἀναλίσκοντες· οὐ γὰρ δι' ὅλης τῆς ἡμέρας.

A−B= 473. παιήονα] οὔτε τὸν Ἀπόλλωνα οὔτε τὸν ἰατρὸν τῶν θεῶν, ἀλλὰ τὸν ὕμνον τὸν ἐπὶ καταπαύσει τοῦ λοιμοῦ.

B− παιήονα] παιὼν καὶ παιὰν ὕμνος ἐπὶ καταπαύσει λοι[μοῦ] ἢ πολέμου ᾀδόμενος, πολλάκις καὶ προσδοκωμένου τοῦ δεινοῦ. πέντε δὲ αἱ παρὰ τοῖς ἥρωσιν ᾠδαί, παιανικόν, ὡς [νῦν· θρη]νητικόν, ὅπερ ἐπὶ γυναικῶν τάσσει "ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο" (Il. 24. 725)·

4. τηροῦν ‖ 8. υἵας ‖ 14. ἀφῆς ‖ 15. τῷ A : τὸ ‖ 16. κοῦροι iterum post κρητῆρας ‖ 18. ὤροντο ‖ 19. γαννυμήδης

ὑπερχηματικόν· "κοῦραι δ' ἐπελήκεον ἄλλ[οι]" (Od. 8. 379)· σωφρονιστικόν, ὡς ὁ τοῦ ἀοιδοῦ Κλυταιμνήστρας· ἐγκωμιαστικόν, οἷον Ἀχιλλεὺς εὕρηται ᾄδων. "ἄειδε δ' ἄρα κλέα ἀνδρῶν" (Il. 9. 189).

§ 474. μέλποντες] ἡ μολπή ποτε καὶ ἐπὶ παιδιᾶς τίθεται "ἦρχετο μολπῆς" (Od. 6. 101), κινῶν τε μέλπηθρα τὰ ἀρχήματά φησιν (Il. 13. 233). B=

τέρπετο] ὡς μουσηγέτης, ἢ ὅτι κάλλιστον τῶν εἰς θεοὺς δώρων λόγος. §. ἀθετεῖται δὲ ὁ στίχος. A ~ B= A + B=

475. ἠέλιος κατέδυ] ὅρος τοῦ κατὰ φύσιν ὕπνου καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις ἡλίου δύσις. καὶ ἄλλως "οὐδὲ ἔοικε δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι" (Od. 3. 335). B=

476. *παρὰ πρυμνήσια νηός] ἵνα, ἐὰν εὔφορος αὔρα γένηται, αἴσθωνται κινηθείσης τῆς νεώς. B=

477. ἠριγένεια] ἡ ἐκ τοῦ ἦρι γεννωμένη· "ἦρι μάλ' Ἑλλήσποντον" (Il. 9. 360) ὡς λυκηγενής, τριτογενής· ὅλα γὰρ ταῦτα εἰς πάθος ἀναλύεται, οὐκ εἰς ἐνέργειαν. τί οὖν ἐστι τὸ "αἰθρηγενέος Βορέαο;" (Il. 15. 171). τὸ δὲ "ἦρι" ὀνοματικόν ἐστιν ἐπίρρημα. B–

ῥοδοδάκτυλος] συνεκδοχή· ἀπὸ μέρους τὸ ὅλον. τὴν μὲν πολὺ φωτὸς μετέχουσαν οὕτω καλεῖ, τὴν δὲ πολὺ τοῦ σκότους "κροκόπεπλον" (Il. 8. 1). A + B=

478. *ἀνάγοντο] ἐφ' ὕψους γάρ ἐστιν ἡ Τροία.

479. ἵκμενον] ἱκμάδος γὰρ ὑδάτων ἀτμιζομένης τὸ διαχ[υθὲν] ἄνεμόν τινες ἔφασαν. διὸ ψιλωτέον· οὐ γὰρ παρὰ τὸ ἱκνεῖσθαι. ἅμα δὲ φύσιν ἀνέμων διδάσκει καὶ τὸ στυγνὸν τοῦ λοιμοῦ διασκεδάζει. A + B=

480. πέτα(σ)σαν] ἔστιν ἰδεῖν λυόμενον ἄρμενον καὶ ὑπὸ τοῦ ἀνέμου ἐπαιρόμενον. B=

481. πρῆσεν] ἐφύσησεν, ἐς κόλπον ἐνέπρησεν· ὑπέγραψε δὲ τὴν οὐριο[δρο]μοῦσαν ναῦν. §. συγχαίρων αὐτοῖς νῦν καλλιγραφεῖ τὸν ἀπόπλουν, οὐχ ὅτε ἀπῆεσαν, ὅπερ καὶ ἐπὶ Ποσειδῶνος. B–

ἐν δ' ἄνεμος πρῆσεν] Ἀριστοτέλης [φησὶν ὡς] κινούμενα ὀνόματα γράφει ὁ ποιητής. B=

3. Ἀχιλλεὺς scripsi: Φήμιος legi, at lectio incerta ‖ 11. οὐ γὰρ ἔ. δ. ‖ 16. τριτωγενής ‖ 20. μὲν W: δὲ ‖ 30. ἐνέπρησσεν ‖ 33. πρῆσσεν

B= 483. * κατὰ κῦμα] ἀντὶ τοῦ κατὰ κύματος. τὸ δὲ πρὸς κῦμα ἐναντίωσιν σημαίνει.

A+ 484. * μετὰ στρατόν] "κατὰ στρατόν" Ἀρίσταρχος, οὐ "μετά."

B= 485. ἐπ' ἠπείροιο ἔρυσ⟨σ⟩αν] διδάσκει πολὺ ἀπὸ θαλάττης νεωλκεῖν ὑφορωμένους τὴν πλήμμυραν.

B= 487. αὐτοὶ δ' ἐσκίδναντο] περισσὸν τὸ ἀποπρεσβεύεσθαι πρὸς Ἀγαμέμνονα· φανερὸν γὰρ ἦν ἀπὸ τῆς παύσεως τοῦ λοιμοῦ.

*488. αὐτὰρ ὅ] ὁ δὲ διογενής.

B= 490. οὔτε ποτ' εἰς ἀγορήν] ἡ πρόληψίς ἐστιν, ἣ εἰκὸς κατὰ τὸ σιωπώμενον καὶ ἐκκλησίαν καὶ πόλεμον πρὸς τοὺς περιοίκους γενέσθαι· ἐφ' ἑκάστης γὰρ συνήεσαν "νηὶ παρὰ πρυμνῇ Ἀγαμέμνονος" (Il. 7. 383)· αὐτὸς δὲ ἦν ὁ ἐπὶ τοὺς πολεμίους ἐξάγων, ὅπερ οὐκ ἐποίει νῦν. εὖ δὲ τῶν γενναίων ψυχῶν φθορὰν εἶπε τὴν ἀργίαν· τοῖς πρακτικοῖς γὰρ ἡ ἀργία φθορά ἐστιν· καὶ "κεῖτο γὰρ ἐν νήεσσι" (Il. 2. 688) φησί, καὶ "κεῖτ' ἀπομηνίσας" (ib. 772).

B= 491. οὔτε ποτ' εἰς πόλεμον] δύο οἶδεν ἀνδρῶν ἀρετάς, πρᾶξιν καὶ λόγον· προκρίνει δὲ τὸν λόγον. καὶ ἀλλαχοῦ "οὔπω εἰδόθ' ὁμοίου πτολέμοιο—ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν" (Il. 9. 440).

B= 493. * ἐκ τοῖο] ἐκ τούτου δὴ τοῦ χρόνου τοῦ τῆς μήνιδος. εἶπε γὰρ ἡ Θέτις "χθιζὸς ἔβη μετὰ δαῖτα" (424).

495. * πάντες ἅμα] οἱ ἐκεῖσε ἀπομείναντες.

B= 497. ἠερίη δ' ἀνέβη] ἐπιρ⟨ρ⟩ηματικῶς. διδάσκει δὲ καὶ τὸν τῶν ἐντεύξεων καιρόν· ἥσυχος γὰρ καὶ νηφάλιος ὁ ἑωθινὸς καιρός.

A ~ B= μέγαν οὐρανόν] οὕτω καὶ τὸ στερέωμα καλεῖ· "οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέρος" (Il. 19. 351) καὶ τὸν ὑπερνέφιον τόπον. αἱ δὲ κορυφαὶ τῶν ὀρέων ὑπερνέφιοί εἰσιν.

A – B= 498. εὐρύοπα] ψιλῶς μεγαλόφωνον, ὡς τὸ "ἐριβρεμέτης," ἢ μεγαλόφθαλμον διὰ τὸ προνοητικόν. ἰδίᾳ δὲ κάθηται διὰ τὴν ἐξοχήν· "ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει" (Il. 15. 106)· ἅμα δὲ καὶ πρὸς τὸ παρόν.

A= * 499. πολυδειράδος] ἀρσενικὸν τὸ "πολυδειράδος."

B= 500. καὶ λάβε γούνων] ἱκανὸν καὶ τὸ σχῆμα ἐπικλάσαι· εἰκόνα δὲ ὡς ἐν γραφῇ προέβαλεν.

B= 501. ὑπ' ἀνθερεῶνος ἑλοῦσα] ὑπολαβοῦσα τὸν ἀνθερεῶνα· ἀντι-

12. πολέμους ‖ 17. εἰδότες ‖ 27. ἐριβρεμέτη γῆ μεγ.

φράζων γοῦν φησιν· "ἦ οἱ γούνατ' ἔκυσσε καὶ ἔλαβε χειρὶ γενείου" (Il. 8. 371)· ἀγαθὰ δὲ οἰωνιζομένη λεχθῆναι τοῦ γενείου αὐτοῦ προσελάβετο.

503. ὄνησα] πεφεισμένως ὠφέλειαν εἶπε τὴν τῆς ἀρχῆς σωτηρίαν. B=

*ὄνησα] καὶ τῆς χάριτος ὑπέμνησε καὶ οὐκ ὠνείδισεν. B=

504. ἢ ἔπει ἢ ἔργῳ] ἔνιοι μέν φασιν, ὅτι καὶ λόγῳ ὤνησε τὸν Δία βοηθὸν ἐλθεῖν πείσασα τὸν Βριάρεων, καὶ ἔργῳ μηκέτι δ[εθ]έντα. ἄμεινον δὲ φάσκειν ὅτι προσέθηκε τὸ λόγῳ οὐ γενόμενον, ἵνα μὴ ἐμφανῶς ὀνειδίζειν τὸ ἔργον δοκῇ. B=

505. τίμησόν μοι υἱόν] εἰ ἐγὼ ἀλλοτρίους ὠφέλησα, πῶς οὐ δίκαιον ἐμὲ παρακαλεῖν ὑπὲρ τοῦ ἐμοῦ παιδός, καὶ ταῦτα ὑβρισθέντος καὶ δυστυχοῦντος; B=

τίμησόν μοι υἱόν] εὖ τὸ μὴ εἰπεῖν Ἀχιλλέα· ἀγωγὸν γὰρ πειθοῦς μᾶλλον τὸ τῆς φύσεως ὄνομα· καὶ ἐν τοῖς ἑξῆς, "υἱὸν ἐμὸν τίσωσιν" (510). B=

ὃς ὠκυμορώτατος] ἔλεον ἐπάγει τὴν ἀωρίαν τοῦ παιδὸς οἰκτισαμένη καὶ δεικνύουσα, ὅτι βίου πολυχρονίου [προκρ]ίνας τιμὴν καὶ ταύτης συνεστέρηται· ἐν βραχεῖ δὲ πάντα πέφρασται. B=

508. ἀλλὰ σύ περ μιν] ἠθικόν· ὃν ἐκεῖνος ὕβρισε, σὺ μὴ ἐξουθενήσῃς. B=

509. τόφρα δ' ἐπὶ Τρώεσσιν] ἐλάχιστον ὁρίζει καιρὸν πρὸς πειθώ. κακῶς δὲ τὸ ἀναφορικόν. ἀλλαχοῦ δέ "ὄφρα μὲν ἠέλιος—τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο" (Il. 16. 777). B=

510. ὀφέλλωσιν] αὐξήσω ν αὐτὸν τῇ τιμῇ. §. εἰκότως δὲ τὸ τῆς τιμῆς ὄνομα πολλάκις ἀνακυκλεῖ· τοῖς γὰρ ἀγαθοῖς ἀνδράσι τιμὴ φίλον, ἀτιμία δ' ἐχθρόν. A+B= B=

511. τὴν δ' οὔ τι προσέφη] ὅτι μετ' ἐπισκέψεως ποιεῖσθαι τὰς ἀποκρίσεις δεῖ, ὅπου καὶ ὁ Ζεὺς σκέπτεται· ἅμα δὲ καὶ ὅτι περὶ πάσης ἐνθυμεῖται τῆς Ἰλιακῆς περιπετείας. §. τὸ δέ "τί" περιττόν. B= B=

512. ἀκέων] ἀντὶ τοῦ ἀκεόντως.

513. ὣς ἔχετ' ἐμπεφυυῖα] οὕτως, ἀνταποδοτικῶς. ἐμφαντικὴ δὲ ἡ μεταφορά, ὥσπερ ἡνωμένης. διάστημα δὲ δίδωσιν, ἐπικλῶσα αὐτὸν εἰς ἔλεον τῷ σχήματι καὶ τῷ λόγῳ. B=

8. τὸ B: τῷ ‖ 10. ἀλλοτρίου οὖσα ‖ 17. novavit rec.

B= 513. ὣς ἔχετο] "ὥς" ὥσπερ, ἀναφορικῶς. διδάσκει δὲ ἡμᾶς ὁ ποιητὴς μὴ ἀποκάμνειν ἐν ταῖς ἱκεσίαις.

B= εἴρετο] ἔλεγεν· "εἴροντο δὲ κήδε' ἑκάστη" (Od. 11. 542). §. ὁ

A= Ἰξίων "καὶ εἶρε τὸ δεύτερον," κακῶς.

B+ 515. ἐπεὶ οὔ τοι ἔπι δέος] "ἐπεί" σύνδεσμος, "ἔπι δέος" ἀναστραφεῖσα, οὐδὲ φοβῇ ἀρνήσασθαι καὶ συγκαταθέσθαι. τοῦτο δυσωπητικόν.

AB= 517. ὀχθήσας] εἰς ὕψος ἐπάρας τὸν θυμόν, παρὰ τοὺς ὄχθους· ἢ παρὰ τὸ ἄχθος "ἀχθήσας," ὅ ἐστιν ἀχθεσθείς.

AB= 518. **ἐφήσεις Ἥρῃ] Ἀρίσταρχος τὸ Ἥρη κατ' εὐθεῖάν φησιν, οὐ κατὰ δοτικήν, ἵν' ᾖ, ὅταν με ἐρέθῃ Ἥρη, ἐχθοδοπῆσαί με ἐφήσεις.

A= 519. ὅτ' ἄν με] τρία μέρη λόγου.

B= **μ' ἐχθοδοπῆσαι ἐφήσεις] ἐντέχνως ηὔξησε τὴν χάριν, δι' αὐτὴν φάσκων τὴν εἰς φιλτάτους παρορᾶν τιμήν.

B= 520. αὔτως] μάτην, ψευδῶς, ἐμοῦ μὴ ταῖς ἀληθείαις ἐπικουροῦντος αὐτοῖς. ἄκρως δὲ γυναικεῖον ἦθος ἐξέθετο· ὑποπτεύουσι γὰρ ἅπαντα, καὶ τοῖς ἀνδράσιν ὀνειδίζουσιν ὡς οὐ πράττουσι τὰ κεχαρισμένα αὐταῖς.

A+ 522. μή σε νοήσῃ] αἱ πᾶσαι "μή τι," καὶ ἔστιν ἐκ περιττοῦ τὸ "τί," ὡς τὸ "μή τι φόβονδ' ἀγόρευε" (Il. 5. 252)· "μή τι μευ, ἠύτε παιδὸς ἀφαυροῦ, πειρήτιζε" (Il. 7. 235).

B= 523. μελήσεται] μελήσει δέ μοι πῶς ταῦτα τελέσω. τῆς δωρεᾶς δὲ ἐμφήνας τὸ μέγεθος, ὅτι γε τῇ γυναικὶ προσκρούσει δοὺς αὐτήν, ὅμως ἐπὶ τελέσει ἐπινεύει, διδάσκοντος τοῦ ποιητοῦ, ὡς μέγιστόν ἐστιν ἀποδιδόναι χάριν ὀφείλοντα.

524. *εἰ δ' ἄγε σοι] ἰδοὺ δή σοι.

A=B− κεφαλῇ κατανεύσομαι] τὸ λογιστικὸν περὶ κεφαλήν, τὸ θυμικὸν περὶ καρδίαν "κραδίη δέ οἱ ἔνδον ὑλάκτει" (Od. 20. 13)· "οἰδάνεται κραδίη χόλῳ" (Il. 9. 646)· τὸ ἐπιθυμητικὸν περὶ ἧπαρ "ἧπαρ ἔκειρον" (Od. 11. 578).

B= 526. *παλινάγρετον] εὐμετάστρεπτον.

1. ὣς ἔχεθ' ὡς ‖ 3. repetitur* ἔλεγεν ‖ 4. ἔγρετο δ. ‖ 7. ad v. 516 scholion casu omissum esse signum docet in textu supra ἀτιμοτάτη adpictum, cf. B ‖ 14. ἐχθοδοπῆσαί με ‖ 16. ἐμοῦ δὲ μὴ ‖ 21. μή τι με ἠ. ‖ 24. γε W : τε ‖ 31. statim post ἔκειρον omisso signo finali iteratur ἐν κεφαλῇ τὸ λογιστικόν, ἐν καρδίᾳ τὸ θυμικόν, ἐν ἥπατι τὸ ἐπιθυμητικόν

οὐ γὰρ ἐμὸν παλινάγρετον] ταῦτα παιδευτικὰ πρὸς πίστιν. τὰς δὲ αἰτίας εἶπε δι' ἃς οὐ τελοῦμεν τὰς ὑποσχέσεις, ἢ μετανοήσαντες, ὅπερ δηλοῖ τὸ παλινάγρετον, ἢ παραλογιζόμενοι τοὺς δεηθέντας, ὅπερ ἐν τῷ ἀπατηλῷ νοεῖται, ἢ οὐ δυνηθέντες ἐπιτελεῖν τὰς ὑποσχέσεις, ὅπερ εἶχε τὸ ἀτελεύτητον. A ~ B +

528. ἐπ' ὀφρύσι νεῦσε] ἐπένευσε ταῖς ὀφρύσι· μέρος γὰρ αὗται τῆς κεφαλῆς. §. "κυάνεαι" δὲ αἱ μέλαιναι—"κυάνεον, τοῦ δ' οὔ τι μελάντερον" (Π. 24. 94)—καὶ αἱ καταπληκτικαί· "κυάνεαι, σάκεσίν τε καὶ ἔγχεσι" (Π. 4. 282). A + B = B –

530. μέγαν δ' ἐλέλιξεν Ὄλυμπον] κατὰ συλλογισμὸν ὁ ἔπαινος· οἷος γάρ ἐστιν ὅλος κινούμενος, ὃς νεύματι τὸν Ὄλυμπον κινεῖ. περὶ δὲ τῆς Ἥρας μετριώτερον "σείσατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ [μακ]ρ[ὸν] Ὄλυμπον" (Π. 8. 199). §. Εὐφράνωρ δὲ Ἀθήνησι τοὺς ⟨ι⟩β' θεοὺς γράφων ἐν τῇ στοᾷ, ὡς ἠπόρει ποῖον ἀρχέτυπον περιθείη Διί, παριὼν ἐν διδασκάλου τῶν ἐπῶν ἤκουσε, κεκραγώς τε ὡς ἔχοι τὸ ἀρχέτυπον ἀπιὼν ἔγραψεν. ἴσως οὖν τοῦτο ἐνεφάνισεν αὐτῷ ἡ Ἥρα. B =

μέγαν δ' ἐλέλιξεν] οὐκ ἀργὸν τὸ "μέγαν," ἀλλ' ὅτι καὶ τοσοῦτος ὢν ἐσείσθη τῷ νεύματι. §. τῷ δὲ τάχει τῶν συλλαβῶν τὸν τρόμον τοῦ ὄρους διαγράφει καὶ τὸ ταχὺ τῆς κινήσεως δηλοῖ. B = A B =

531. διέτμαγεν] πᾶσαι διὰ τοῦ ε̄. §. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν τεμνομένων σωμάτων. A B = A B =

532. εἰς ἅλα ἅλτο] πρὸς ⟨τὸν⟩ παῖδα γὰρ ἀπιοῦσα ὑπόνοιαν ἂν ἔδωκε τῇ Ἥρᾳ. §. τὸ δὲ "ἅλτο" ψιλωτέον· τὸ γὰρ ᾱ καταλῆγον εἰς λ̄ ἑνὸς τῶν τῆς τρίτης συζυγίας ἐπαγομένου ψιλοῦται. B = A + B =

534. ἐξ ἑδέων] δασύνεται, παρὰ τὸ ἕζω. §. οἱ δὲ μετὰ τοῦ ρ̄ "ἐξ ἐδρέων." A B = A B =

σφοῦ] συγκοπῇ τοῦ σφετέρου. ἔνθεν καὶ Λυκοῦργος ἐθέσπισεν ἐξανίστασθαι τοῖς γεραιτέροις. τοιοῦτος καὶ Τηλέμαχος. A B =

535. ἐπερχόμενον] ἀντὶ τοῦ ἐπερχομένου. §. ἄμεινον δὲ καὶ "ἦλθον" γράφειν· τοῦτο γὰρ ἐναντίον τῷ "μεῖναι" καὶ πλέον τιμῆς ἐχόμενον. B = B =

538. ἀργυρόπεζα] κόσμον περὶ τὰς ὥας ἔχουσα· ἢ διὰ τοὺς αἰγιαλούς. B =

ἁλίοιο] ἄδηλον Πρωτέως ἢ Φόρκυνος, εἰ μὴ διὰ τὸ "κλῦτε κασίγνηται" (Π. 18. 52). A B =

6. νεῦσαι ‖ 10. ὁ κατὰ σ. ἔ. ‖ 14. ἕως ‖ 15. διδασκάλῳ ‖ 18. ἐπείσθη ‖ 28. ἐπανίστασθαι: corr. W ‖ 31. ὥρας

AB+ 539. κερτομίοισι] τοῖς τὸ κέαρ βάλλουσιν. γυναικεῖα δὲ ἄμφω, τό τε ὑπονοῆσαι καὶ τὸ μὴ ἐπισχεῖν τοῦ λόγου.

A+B= 540. δολομῆτα] τὰ εἰς ης βαρύτονα τῷ η παραληγόμενα καὶ εἰς α τὴν κλητικὴν ἔχοντα προπερισπᾶται, ἀγκυλομῆτα, πεδῆτα, πλὴν τοῦ ἀκάκητα.

AB= 541. ἀπὸ νόσφιν ἑόντα] τὸ ἐξῆς, ἀπεόντα· διὸ οὐκ ἀναστρεπτέον τὴν "ἀπό." ἡ δὲ φράσις συνήθης ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔρχεσθαι· "σφῶιν μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἑόντα⟨ς⟩" (Il. 4. 341), ἀντὶ τοῦ ἐοῦσιν.

A+ 542. οὐδέ τι πώ μοι] ὀξυντέον τὸ "πώ" διὰ τὴν "μοί."

A−B= οὐδέ τι πώ μοι] δυσχεραίνουσι γάρ, εἰ μὴ πάντα αὐταῖς ἀνακοινοῦνται οἱ ἄνδρες. ἀρχοντικὸν δὲ τὸ δικάζειν.

AB+ 544. πατὴρ ἀνδρῶν τε θεῶν τε] διὰ ⟨τί⟩ τὸν Δία μόνον τῶν θεῶν οὕτω καλεῖ; ὅτι τὸ συναμφότερον ἔχει οὗτος μόνος· θεῶν μέν ἐστι πατὴρ καθ' Ὅμηρον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεως, Ἑρμοῦ, Διονύσου, καὶ πολλῶν θνητῶν, Σαρπηδόνος, Αἰακοῦ, Ζήθου, Ἀμφίονος, καὶ ἑτέρων πολλῶν. οἱ δὲ ἄλλοι πολλῶν καθ' Ὅμηρόν εἰσι πατέρες θεῶν, οἷον Κρόνος μὲν Διός, Ἥρας, Ἅιδου, Ποσειδῶνος, θνητοῦ δὲ οὐδενός· καὶ Ποσειδῶν πάλιν θεοῦ μὲν οὐδενός, θνητοῦ δὲ Κύκλωπος, Ἐφιάλτου, Ὤτου, Πελίου, Νηλέως.

B= 545. μὴ δὴ—ἐπιέλπεο] θεσπίζει μὴ πάντα ὀφείλειν αὐταῖς κοινοῦσθαι, ὅπως, εἰ καί τι μάθοιεν, ἀγαπῷεν. ἀκόλουθα δὲ τούτοις καὶ τὰ παρὰ Ἀγαμέμνονος πρὸς Ὀδυσσέα λεγόμενα "ἀλλὰ τὸ μὲν φάσθαι" (Od. 11. 443).

AB+ 547. ἐπιεικές] πρᾴονως τιμὴν αὐτῇ περιάπτει. ἔστι δὲ [βιωτι]κὰ μιμήματα.

* ἔπειτα] ἀντὶ τοῦ δή.

B= 552. ποῖον τὸν μῦθον ἔειπες] τὸν ποῖον μῦθον, Ἀττικῶς προσελθόντ(ος) τοῦ ἄρθρου τῷ πύσματι.

B= 553. καὶ λίην σε πάρος] ἔθος γυναιξὶν ἀρνεῖσθαι, ὅτι ποτὲ παρηνώχλησαν τοῖς ἀνδράσιν.

A+B= οὔτ' εἴρομαι οὔτε μεταλλῶ] οὔτε οὔτε, ἄμφω διὰ τοῦ τ, ἵν' ᾖ

11. ἀνακοινῶντο ‖ 17. πολλῶν κ. B: πολλοὶ ‖ 20. πελόου ‖ 22. τοι μ. ‖ 24. add. rec. ἔπος, τὸ δ' ἐνὶ φρεσὶ κρύπτειν ut B ‖ 25. πρᾶον ὡς ‖ novavit rec. ‖ 26. add. rec. πρῶτον ἤπιον ἀρξάμενον ἐπάγειν τὰς ἀπειλὰς ὕστερον ut B

ἐμφαντικὸν δὶς λεγόμενον. καὶ ἐν τῇ ἀπολογίᾳ δὲ μέμφεται, ὡς ἀεὶ ἰδιάζοντος αὐτοῦ.

554. εὔκηλος] ἡ εῦ πρὸ συμφώνου ψιλοῦται πλὴν τοῦ εὕδω, A + B = εὑρίσκω. τὸ γὰρ εὗσεν ἀπὸ τοῦ εὕω.

5 ἄσσα] Ἀρίσταρχός φησι τρία σημαίνειν τὴν λέξιν τὸ τινά, ἄτινα, A + B − ὅσα. καὶ ἀεὶ ψιλοῦται, πλὴν τοῦ ὅτε δηλοῖ τὸ ἄτινα· τότε δὲ βασύνεται, καὶ ἔστι κατὰ Ἡρωδιανὸν δύο μέρη λόγου, τὸ ἅ ἄρθρον καὶ τὸ σά Μεγαρικόν, δηλοῦν τὸ τινά· ἐν δὲ τῷ προκειμένῳ στίχῳ ψιλοῦται τὸ "ἄσσα," καί φησιν αὐτὸ δηλοῦν τὸ ὅσα· καὶ ὁ μὲν 10 Ἀρίσταρχος οὕτως· ὁ δὲ Σιδώνιος "ὅττι."

555. νῦν δ' αἰνῶς δείδοικα] πάνυ ἐμφρόνως οὐκ ἐπήγαγε "καὶ κατὰ θυμόν."

αἰνῶς δέδοικα] ἠθικῶς δεδοικέναι φησί, μὴ πλεονεκτηθῇ ὑπὸ Θέτιδος. B =

557. ἠερίη] καὶ τοῦτο καὶ τὸ κατανεῦσαι ἐλεγχούσης εἰσίν. B =

15 559. πολέας] Ζηνόδοτος "πολεῖς."

561. δαιμονίη] μακαρία, ἐν σαρκασμῷ. B =

ὀίεαι] ἀπὸ τοῦ οἴει· δύο διαιρέσεις. B =

* ὀίεαι] ὑπονοεῖς τὰ ἐμὰ βουλεύματα. A =

562. ἀλλ' ἀπὸ θυμοῦ—ἔσεαι] ὡς τὸ "ἐκ θυμοῦ πεσέειν" (Il. 23.

20 595).

563. ῥίγιον] ἡ γὰρ ἄγνοια οὐ τοσοῦτον λυπεῖ, ὅσον τὸ ἀποθύμια B = γινώσκειν.

564. εἰ δ' οὕτω τοῦτ' ἐστίν] εἰ συνεθέμην δέ, πάντως τοῦτο κατὰ A ~ B = τὸ ἀρέσκον μοι ἐποίησα. ἀρχοντικῶς δὲ οὔτε συντίθεται οὔτε ἀρνεῖται.

25 565. ἀλλ' ἀκέουσα κάθησο] τὴν πολυπραγμοσύνην αὐτῶν ἀναιρεῖ B = καὶ διὰ τοῦ "ἀλλ' εἰς οἶκον ἰοῦσα" (Od. 1. 356).

566. μή νυ τοι οὐ χραίσμωσι] νῦν μὲν λόγοις αὐτὴν ἀποκρούεται, B + ἐτέρωθι δὲ καὶ ἔργῳ κολάζει, διδάσκοντος ἴσως τοῦ ποιητοῦ ὅτι ἀφόρητον ἂν εἴη γυνὴ μὴ ἐπηρεαζομένη.

30 567. ἆσσον ἰόνθ' ⟨ὅτε⟩] "ἰόντα" ἀντὶ τοῦ ἰόντος. A =

ἀάπτους] Ἡρωδιανὸς παρὰ τὸ ἰάπτω τὸ βλάπτω, κατ' ἔλλειψιν τοῦ A + B = ἰ ἄπτους, καὶ ⟨πλεονασμῷ τοῦ⟩ ᾱ ἀ⟨ά⟩πτους· ἢ ἃς οὐδεὶς βλάψαι δύναιτο, ἢ κατ' ἐπίτασιν τὰς δυναμένας μεγάλως βλάψαι· τινὲς δέ, ὧν οὐδεὶς ἅψαιτο· ἢ ἀπτοήτους.

1. ἐ. δεύτερον λεγ. ‖ 19. ἔσσεαι ‖ 29. repetitur μή νυ—κολάζει

A+ 567. ἀάπτους] αἱ πᾶσαι "ἀέπτους" ἔχουσιν.

A+B= 569. καθῆστο] τοῦ ἔζω ἐστὶν ἡ κλίσις, ἧσμαι ἥσμην ἧσο ἧστο. οἱ δὲ τοιοῦτοι παρακείμενοι καὶ ὑπερσυντελικοὶ δισύλλαβοι, ἔχοντες δύο σύμφωνα, ἐν τῇ συνθέσει φυλάττουσι τὸν τόνον, κατῆρμαι, κατῆγμαι. οὕτως οὖν "καθῆστο."

B= ἐπιγνάμψασα] τὴν ἀκουσίως πεισθεῖσαν δηλοῖ.

B= φίλον κῆρ] φίλον τὸ ἴδιον, ὡς "φίλα εἵματα" (Il. 2. 261)· διδάσκει δέ, ὡς καὶ τὰ λίαν ἀσθενῆ μὴ κολαζόμενα λίαν ἐστὶν ἀφόρητα.

B+ 571. τοῖσιν δ' Ἥφαιστος] εἰ μὲν ἄνθρωποι ἦσαν, διὰ πρεσβυτικοῦ προσώπου τὴν στάσιν ⟨ἂν⟩ ἔλυσεν· ἀλλ' ὅρα τὸ ἀξίωμα τοῦ Διός. Ποσειδῶν μὲν γὰρ συμβουλεύων ἔδοξεν ἂν θωπεύειν δι' Ἕλληνας, ἄλλως τε καὶ αἰτίαν ἔχει εἰς Θέτιν· ὁμοίως καὶ Ἀθηνᾶ. βιωτικῶς οὖν διὰ τοῦ παιδὸς λύει τὴν στάσιν καὶ τὸ κατηφὲς τοῦ συμποσίου, γελώμενον παρεισάγων τὸν Ἥφαιστον.

A+B= 572. ἐπίηρα] παρὰ τὸ ἐρῶ ἔρανον καὶ ἤρανον, ὡς ἔχω ὄχανον, τὰ ἤρανα καὶ κατὰ ἀποκοπὴν ἦρα. Ἀρίσταρχος δὲ ὑφ' ἕν.

B= λευκωλένῳ Ἥρῃ] ἄμεινον γράφειν "τετιημένῃ ἦτορ."

B= 574. σφώ] πρωτόθετον αὐτόν φησιν Ἡρωδιανός, οὐκ ἀπὸ τοῦ σφῶι· διὸ ὀξύνεται· τὸ γὰρ ῶ τῶν δυϊκῶν ἀπέστραπται τὴν περισπωμένην.

B= σφώ] τοῦτο πρὸς ἔμφασιν τῶν προσώπων. §. τὸ δὲ "ἕνεκα θνητῶν"

B= πρὸς εὐτελισμὸν τῆς αἰτίας. §. τὸ δὲ "ὧδε" πρὸς τὴν αὔξησιν τῆς ἔριδος.

A+B= 575. κολῳόν] παρὰ τὸ κολοιός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ κλωός κολωός· καὶ οὐδὲ προσγράφει τὸ ῑ. τοῦ δὲ κλῶ παραγωγὸν τὸ κλάζω.

* ἐλαύνετον] ἐπιτείνετε, ὡς καὶ τὸ "ἤλασε τάφρον" (Il. 9. 349).

A+B= 576. * ἦδος] ψιλωτέον, ὡς τροχαϊκόν.

B= 577. νοεύσῃ] οὐ δεομένῃ παραινέσεως. ἀνθρωπίνως δὲ κοινῇ μὲν ἀμφοτέροις ἐπιπλήττει ἕνεκεν ἀνθρώπων διαφερομένοις, ἰδίᾳ δὲ τῇ Ἥρᾳ εἴκειν Διὶ παραινεῖ.

AB= ⟨παράφημι⟩] τὸ ἠμί καὶ φημί καὶ εἰμί ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.

579. * ἡμῖν] ἀντὶ τοῦ ἡμῶν.

AB= 580. εἴπερ γάρ κ' ἐθέλῃσιν] θωπευτικῶς τὰ τῆς δυνάμεως αὐτοῦ προβάλλεται· ἅμα δὲ καὶ πρὸς κατάπληξιν τῆς μητρός. τὸ δὲ ὅλον·

19. τῶν δύο ‖ 25. τάφρῳ ‖ 29. post Ἥρᾳ :—novum schol. inc. ‖ 30. τὸ ἡμῖν κ.

εἰ θέλοι καταβαλεῖν ἡμᾶς ὁ Ζεύς, δυνήσεται· εἰ δὲ θωπεύσεις αὐτόν, εὐθέως ἡμερωθήσεται.

583. ἵλαος] διὰ τί ἵλαος; τοσαύτην ὑπεροχὴν δείκνυσι πρὸς θεοὺς τοῦ Διός, ὅση πρὸς ἀνθρώπους ἐστὶ θεῶν. B=

584. καὶ ἀναΐξας] γέλωτα κινεῖ τὸ "ἀναΐξας" ἐπὶ τοῦ χωλοῦ τιθέμενον. γελοῖος γάρ ἐστι μιμούμενος τοὺς καλλίστους οἰνοχόους, Ἥβην καὶ Γανυμήδεα, καὶ μεμνημένος πῶς ὁ Ζεὺς τοῦ ποδὸς λαβόμενος ἔρριψεν αὐτὸν οὐρανόθεν. B=

⟨δέπας⟩] οἱονεὶ δέχας. καὶ "πλησάμενος δ' οἴνοιο ⟨δέπας⟩" (Il. 9. 224), καὶ "δεικανόωντο δέπα⟨σ⟩σιν" (Il. 15. 86). A+

* ἀμφικύπελλον] ἀμφίκυρτον, ἐξ οὗ τὸ περιφερές.

585. ἐν χερσὶ τίθει] πᾶσαι ἐνικῶς ἔχουσι τὸ "χειρί," οὐ πληθυντικῶς. καὶ συνᾴδει τῷ "ἐδέξατο χειρὶ κύπε⟨λ⟩λον" (596). A=

586. * τέτλαθι μῆτερ ἐμή] ὅτε κατεπράυνε τὸν θυμόν, τότε τὴν παραίνεσιν ἐπήγαγεν. B=

588. οὔτι δυνήσομαι] κωμικῶς τὴν ἰδίαν πήρωσιν προτίθησιν.

589. ἀντιφέρεσθαι] ἐναντιοῦσθαι ἢ ἐξισοῦσθαι. λείπει δὲ ἡ εἰς πρόθεσιν.

590. ἤδη γάρ με] εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διός.

591. ἀπὸ βηλοῦ] βηλόν τινες κατὰ Χαλδαίους τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν, οἱ δὲ κατὰ Δρύοπας τὸν Ὄλυμπον. ἄμεινον δὲ τὸν βατῆρα λέγειν. A B+

592. πᾶν δ' ἦμαρ φερόμην] πῶς τῶν ἄλλων θεῶν οὐ κινήσει ἀπὸ τοῦ οὐρανοῦ φερομένων ἐπὶ γῆς Ἥφαιστος δι' ὅλης ἡμέρας φέρεται; φαμὲν οὖν ὅτι τὸ πᾶν ἦμαρ οὐ δηλοῖ τὸν ἀπὸ πρωίας ἕως ἑσπέρας καιρόν, ἀλλὰ τὴν πελάζουσαν τῇ νυκτὶ ὥραν, ὡς καὶ ἀλλαχοῦ "οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο" (472) καὶ ἐξῆς "πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο" (601). B=

593. * ἐν Λήμνῳ] ἀντὶ τοῦ εἰς Λῆμνον. A+

ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν] ὀλίγη δὲ ἰσχὺς ἐνῆν μοι. εἰ ἐλασσοῦται, φασί, τὸ θεῖον, καὶ τέλεον ἐπιλείψει· ἀγνοοῦσι δὲ ὅτι πολλαὶ ἐν τῷ κόσμῳ φύσεις μειοῦσθαι μὲν πεφύκασιν, οὐκ ἐκλείπουσι δὲ τέλεον. καὶ αὐχμῶν πλεοναζόντων μειοῦται τὸ ὑγρόν, ἀλλ' οὐκ ἐπιλείπει. καὶ Ἄρης "μόγις δ' ἐσαγείρατο θυμόν" (Il. 21. 417). B=

1. δυνήσεται//// ‖ εἰ W : σὺ ‖ 19. τὰ ante εἰς omisi ‖ 22. add. sec. ἤτοι τὴν φλιάν, ἀπὸ τοῦ βαίνειν ut B ‖ 30. δέ τοι θ.

A – B= 594. Σίντιες ἄνδρες] Φιλόχορός φησι Πελασγοὺς αὐτοὺς ὄντας οὕτω προσαγορευθῆναι, ἐπεὶ πλεύσαντες εἰς Βραυρῶνα κανηφόρους παρθένους ἥρπασαν, σίνεσθαι δὲ τὸ βλάπτειν λέγουσιν. Ἐρατοσθένης δέ, ἐπεὶ γόητες ὄντες εὗρον δηλητήρια φάρμακα. ὁ δὲ Πορφύριος, ἐπεὶ πρῶτοι τὰ πολεμιστήρια ἐδημιούργησαν ὅπλα, ἃ πρὸς βλάβην ἀνθρώπων συντελεῖ· ἢ ἐπεὶ πρῶτοι λῃστήρια ἐξεῦρον.

B – 595. * μείδησεν] παρὰ τὸν μείονα γέλωτα.

597. * ἐνδέξια] ἐπιδεξίως.

A + 598. ᾠνοχόει] "οἰνοχόει" Ἰακῶς πᾶσαι. κατάχρησις δὲ ὁ τρόπος.

A + B= 600. ⟨Ἥφαιστον⟩] δασύνεται τὸ Ἥφαιστος· παρὰ γὰρ τὸ ἅπτω ἐστίν, ὅθεν καὶ Ἥβη.

ποιπνύοντα] "ποιπνύσαντα" αἱ πᾶσαι συντελικῶς. §. ἔστι δὲ

B= παρὰ τὸ πονῶ, πονύω, πνύω καὶ ποιπνύω.

B – 601. πρόπαν ἦμαρ] τὸ ὑπόλοιπον ὅλον τῆς ἡμέρας. τὸ δὲ "ἐς ἠέλιον καταδύντα" Ἀττικόν ἐστιν, ὡς τὸ ἐς τρίτην ἥκειν.

B – 604. Μουσάων θ'⟨αἵ⟩] εὖ τὸ μὴ ἀπειροκάλως ἐπιμηκῦναι τίνα ᾖδον αἱ Μοῦσαι· ὡς Ἡσίοδος, ἄειδον δ' "οὖς γαῖα καὶ οὐρανὸς εὐρὺς ἔτικτεν οἵ τ' ἐκ τῶν ἐγένοντο" (Th. 44).

606. οἳ μὲν κακκείοντες] "οἳ μὲν δὴ κείοντες," οὕτω πᾶσαι· καὶ ἔστιν ὅμοιον τῷ "κείων ἐς θάλαμον" (Od. 19. 48).

A + B= 607. ἦχι ἑκάστῳ] τὸ "ἦχι" χωρὶς τοῦ ῑ κελεύει γράφειν Διονύσιος καὶ παρατίθεται τοὺς Δωριεῖς λέγοντας ἄχι.

B= ἀμφιγυήεις] ἀμφοτέρωθεν βεβλαμμένος, παρὰ τὸ γυῶσαι, ἐπ⟨ε⟩ὶ ὕλης δε⟨ῖται⟩ τὸ πῦρ.

608. * ποίησ' εἰδυίῃσιν] Ἰωνικῶς διὰ τοῦ ῑ.

A + 609. * πρὸς ὅν] Ζηνόδοτος "πρὸς ὅ."

A B + 611. ἔνθα καθεῦδ' ἀναβάς] ἀνέβη καθευδήσων, ἢ ἀντὶ τοῦ ἀνεκέκλιτο· προπερισπωμένως δέ· ἐφύλαξε γὰρ ἡ σύνθεσις τὸν τόνον. διδάσκει δὲ ὁ ποιητὴς μὴ χωρίζεσθαι ἄνδρα γυναικὸς ἐν κοίτῃ.

ΕΙΣ ΤΗΝ Β.

B= 1. θεοί τε καὶ ἀνέρες] ὅτι μετὰ θεὸν ἄνθρωπος· καὶ ἀπὸ τοῦ ἀνδρὸς τὸ πᾶν γένος.

20. κεῖον ‖ 23. suppl. W ‖ 24. δεῖται B ‖ 26. πρὸς ὅ A : πρὸς οὗ ‖ 30. inscriptionem addidi : B Ὁμήρου Ἰλιάδος textui inscriptum

ἱπποκορυσταί] οὓς ἀγρυπνεῖν ἔδει διὰ τὴν τοῦ πολέμου πρόνοιαν· Β=
οἱ δὲ τοὺς βασιλεῖς ἤκουον.

2. Δία δ' οὐκ ἔχε] καὶ πῶς φησιν "ἔνθα καθεῦδ' ἀναβάς;" Α–Β=
λύοιτο δ' ἂν κατὰ λέξιν· τὸ γὰρ εὕδειν ἰαύειν κοιμᾶσθαι καὶ ἐπὶ
ψιλῆς ἀνακλίσεως λαμβάνει, "πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον"
(Il. 9. 325) καὶ "Εὐρυνόμη δ' ἄρ ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ κεῖτ' ἐγρηγορόων"
(Od. 20. 4). ἢ οἱ μὲν ἄλλοι παννύχιοι εὗδον, ὁ δὲ Ζεὺς οὐ παννύχιος.

νήδυμος] Ἀρίσταρχος δύνω δύμος καὶ ἐν ἐπεκτάσει "νήδυμος." Α+Β=
ὅθεν καὶ οἱ δίδυμοι δύο ἐκ μιᾶς καταδύσεως τῆς γαστρός· οὐ γὰρ
παρὰ τὸ ἡδύς. λέξει γὰρ δασυνομένῃ οὐ συντίθησι τὸ ν̄η̄. οἱ δέ,
ὃν οὐ δυνατὸν ἀποδύσασθαι, ἢ ὁ βαθὺς παρὰ τὴν νηδύν, ἢ ἀνώδυνος.
ὅτι δὲ μετὰ τοῦ ν̄ φησὶ "νήδυμος ἀμφιχυθείς" (Il. 14. 253).

3. ἀλλ' ὅ γε μερμήριζε] ἐμερίμνα. διδάσκει δὲ μηδὲν ἀπερι- Β–
σκέπτως ποιεῖν· ὅτε γὰρ ἀμελεῖ, ἁλίσκεται, ὡς ἐν τῇ Ξ ἀπατᾶται
ὑπὸ Ἥρας, καὶ ἐπὶ Ὀδυσσέως "στάσκεν, ὑπαὶ δὲ ἴδεσκεν"
(Il. 3. 217), καὶ πρῶτον μὲν ἐδίσταζεν ἐπὶ Θέτιδος, εἰ πρακτέον, νῦν
δὲ τὸ πῶς πρακτέον.

ἀλλ' ὅ γε μερμήριζε] ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετον νύξ· τοὺς Α–
δὲ ἄρχοντας οὐ παννυχίζειν δεῖ καὶ παντὶ τρόπῳ τὰς ὑποσχέσεις
πληροῦν. διὰ τοῦτο οἱ μὲν τοῦ Διὸς δεηθέντες καθεύδοντες πεποί-
ηνται, ἀγρυπνῶν δὲ ὁ ὑπεσχημένος προτιμῆσαι Ἀχιλλέα.

μερμήριζε] εἰς μέρη ἐμερίζετο· καὶ διάνοια μὲν ἡ ἑδραία, μέριμνα Β=
δὲ ἡ μεριζομένη.

4. τιμήσει'] τοῦτο εὐκτικόν, τὸ δὲ "ὀλέσῃ" ὑποτακτικόν. ℌ. στικ- Α Β=
τέον δὲ ἐν τῷ "νηυσὶν ⟨Ἀχαιῶν⟩·" μόνους γὰρ τούτους ἀνελεῖν ἤθελεν· Α Β=
διό φησιν "ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν" (Il. 16. 780),
ὥστε διωχθῆναι μέχρι νηῶν.

5. ἦ δέ οἱ] πολλὰ προσκεψάμενος ταύτην εὗρε χρειώδη βουλήν. Α Β=
ἔστιν οὖν ὡς τὸ "αἱ δεύτεραί πως φροντίδες σοφώτεραι" (Eur. Hipp.
436) καὶ "ἕτερος δέ με θυμὸς ἔρυκεν" (Od. 9. 302).

6. οὖλον] τοῦτο κατὰ συμπάθειαν, ὡς "οὐλομένην" (Il. 1. 2), Α+Β–

8. post παννύχιος add. sec. ἀλλ' ἐπ' ὀλίγον ‖ 9. Ἀ. δὲ νώδυμος ‖ 13. ἀμφιχύθη ‖ 16. ἐπί scripsi: ὑπό ‖ ὑπαιδείδεσκε ‖ 22. ἀγρυπνεῖν δὲ ὁ ὑπισχημένος ‖ 23. iteratum διάνοια μέριμνα ad v. 1 ‖ 25. τιμήσει (textus τιμήσῃ) ‖ ὀλέσει (textus ὀλέσῃ) ‖ 26. ναυσί ‖

καὶ ἵνα ποθοῖμεν ⟨μαθεῖν⟩ τί εἴργασται ὁ οὖλος ὄνειρος· Ἕκτορι δὲ Ἶρις πέμπεται, ἀλλ᾽ οὐχὶ νῦν, ὅπως μὴ πρὸ τοῦ καταλόγου ἡ ναυμαχία γίνηται· ἢ "οὖλον" τὸν ἀσαφῆ καὶ ὕπουλον, εἰ μὴ ἄρα τὸν μαλακὸν λέγει, ἐπεὶ καὶ πρὸς αὐτὸν διαλεγόμενος οὕτω φησὶν "οὖλε" (8) —καὶ Τρῶας γὰρ ἀπώλεσε θαρρήσαντας ὑπομεῖναι τὸν Ἀχιλλέα, ποιητικὸν δὲ τὸ πλάσσειν ὀνείρους—ἢ τὸν ἐπ᾽ ὀλέθρῳ πεμπόμενον, ἢ τὸν ὁλόκληρον, ὡς τὸ "οὖλέ τε καὶ μέγα χαῖρε" (Od. 24. 402).

7. *καί μιν φωνήσας] τὸ "μίν" τριγενές· νῦν ἀρσενικόν. θηλυκὸν δέ, ὡς τὸ "καί μιν ἔτισ᾽, ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη" (Od. 7. 67)· καὶ οὐδέτερον, ὡς τὸ "νῦν αὖτέ μιν νῆες Ἀχαιῶν ἐν παλάμῃ φορέουσιν" (Il. 1. 237), τὸ σκῆπτρον.

A + B — 8. βάσκ᾽ ἴθι] Ἡρωδιανὸς μὲν τὸ "ἴθι" ἐνεστῶτός φησι νῦν, Ἐπαφρόδιτος δὲ ἀορίστου, Τυραννίων δὲ ὑφ᾽ ἕν, ὡς ἄπιθι. ἄμεινον δὲ ταυτολογίαν εἶναι, ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ "ἔλθοι καὶ ἵκοιτο" (Od. 17. 539) καὶ "ὣς ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε." καὶ πάνυ σφόδρα φασὶν Ἀττικοί. δύναται δὲ τὸ ἴθι καὶ ἐπίρ⟨ρ⟩ημα παρακελεύσεως εἶναι ἀντὶ τοῦ ἄγε, ὡς τὸ "ἴθ᾽ ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν" (Soph. Ai. 1003).

A + B = 9. ἐλθὼν ἐς κλισίην] ἀσύνδετος καὶ ἀρχοντικὸς ὁ λόγος.

B = 10. πάντα μάλ᾽ ἀτρεκέως] διδάσκει τοὺς ἀγγέλους μὴ περισσὸν τῶν ἀκουομένων περιεργάζεσθαι.

ἀγορευέμεν] Ἀττικῶς 'φάσκει μηκύνας'. §. "ἐπιτέλλω" δὲ ἀντὶ τοῦ ἐπιστέλλω. §. θωρήσ⟨σ⟩εσθαι καὶ κορύσσεσθαι ἀπὸ τῶν ἡγεμο-

B = νικῶν, ὡς "ὄμματα καὶ κεφαλήν—Ἄρεϊ δὲ ζώνην" (478)· καὶ ὁπλίζεσθαι δέ που φησὶν ὁ ποιητής.

B = 11. *θωρῆξαί ἑ] ἐγκλιτέον τὴν ἕ.

B = κάρη κομόωντας] κομῶσι γὰρ Λάκωνες, ἀφ᾽ ὧν τὸ πᾶν Ἑλληνικόν, ἢ διὰ τὸ πρὸς τοὺς πολεμίους βλοσυρόν, ἢ πρὸς τὸ ⟨μὴ⟩ ὁμοιοῦσθαι τοῖς βαναύσοις, ἢ διὰ τὸ μὴ θλίβεσθαι ταῖς κόρυσιν· Τρῶες γὰρ τιάρας ἐφόρουν. Σκύθαι δὲ πρῶτοι ἐκείραντο· διὸ ἀπεσκυθισμένοι. §. καρηκομόωντες ἕκαστος τὸ ἴδιον κάρη, ὡς "ἀπὸ βλεφάροιιν ὀλώλει" (Il. 10. 138).

κομόωντας] διαιρέσει. §. "κάρη κομόωντας," ἕκαστος τὸ ἴδιον. §. ὅτι οἱ Τρῶες τιάρας ἐφόρουν.

1. supplevi ex B ‖ 3. γένηται ‖ 22. φάσκειν ‖ ἐπιτέλλων ‖ 23. ἐπιστέλλων ‖ 27. ἐφ᾽ ‖ 32. ὠλώλει ‖ 33. schol. scriptum ad v. 1

12. νῦν γάρ κε] τὸ "νῦν" τοὺς τρεῖς χρόνους δηλοῖ· "νῦν γὰρ δὴ γένος ἐστί" (Hes. Opp. 176)· "νῦν ὤλετο πᾶσα" (Il. 13. 772)· "νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει" (Il. 20. 307).〈...〉οὐ γὰρ δὴ διὰ τὸ "πανσυδίῃ," οὐδ' εἰ γὰρ τὸ Θεσσαλικὸν ἐστράτευσεν, ἐπόρθει, "οὐδ' ὑπ' Ἀχιλῆος." §. τὸ δὲ ἀνά παρὰ τὸ ἄγω. AB–

13. * ἀμφίς] χωρίς.

14. ἐπέγναψεν γὰρ ἅπαντας] δῆλον ἐξ ὧν φησι περὶ Ἄρεος "ὃς πρώην μὲν ἐμοί" (Il. 5. 832)· καὶ 〈Ἥρα〉 Ἀπόλλωνι "αἰὲν ἄπιστε" (Il. 24. 63).

19. ἀμβρόσιος] ἥδιστος αὐτῷ ἐστιν ὁ ὕπνος διὰ τὴν ἀνάπαυσιν τοῦ λοιμοῦ, ἐπεὶ ἐν ταῖς χρείαις δεῖ ἀγρυπνεῖν. B=

20. ὑπὲρ κεφαλῆς] ὑπὲρ κεφαλῆς ἵσταται ὡς τῶν αἰσθήσεων φθεγγόμενος πλησίον· αἱ πλείονες δὲ αἰσθήσεις ἀπὸ τῆς βάσεως τοῦ ἐγκεφάλου τὴν ἀρχὴν ἔχουσιν. A+B=

Νηληΐῳ υἱῖ] ὡς συμβούλῳ καὶ φιλεταίρῳ, ὡς Ναυσικάᾳ καὶ Πηνελόπῃ. §. τὸ δὲ υἱῖ διχῶς. B–

21. μάλιστα γερόντων] τῶν ἐννέα τιμίων, ἐν οἷς καὶ Διομήδης καὶ Αἴαντες. A+

23. εὖδεις] ταῦτα πρὸς τὸ πεῖσαι· "ἐσθλὸν" γὰρ "καὶ τὸ τέτυκται" (Il. 15. 207)· ἀλλ' οὐδὲ Νέστορι εἰκασθῆναι ἐκελεύσθη. B=

δαΐφρονος] συνετοῦ, παρὰ τὸ δαῆναι, ὡς "δαΐφρονι Πηνελοπείῃ·" ἐπὶ δὲ Τυδέως πολεμικοῦ (Il. 5. 181). §. δυσωπεῖ δὲ τοῖς ἐγκωμίοις τοῦ πατρός, τοὐναντίον "οὐ χρή" (24). ἢ ὅτι ἡ πατρωνυμία τοὺς εὐγενεῖς ἥδει· τῶν δὲ οἰκείων ἐστὶ τὸ ἐγκαλεῖν. B=

25. * μέμηλε] διὰ φροντίδος ἐστίν. A=

26. ξύνες ὦκα] αὔξησιν ἔχει τὸ μὴ πολλὰ εἰπεῖν ἀλλὰ δεῖξαι ὅτι προσοχὴν ἐργάζεται τὸ τοῦ προστάσσοντος ἀξίωμα. B=

* ξύνες] ἀπὸ τοῦ ξυνίημι.

27. σεῦ ἄνευθεν] ὀρθοτονητέα ἡ σεῦ· ἀντιδιέσταλται γὰρ πρὸς τὸν Ἀχιλλέα· ἢ ὅτι πρόκειται τοῦ ῥήματος ἡ ἀντωνυμία. AB=

μέγα κήδεται] δυσωπεῖ τοῦτον νυστάξαντα. ἐλεεῖ δὲ διὰ τὸν χρόνον τῆς ξενιτείας, τὸν λοιμόν, τὴν πρὸς Ἀχιλλέα στάσιν. B=

3–5. turbata ‖ 8. supplevi ex B ‖ 15. καὶ W: ἢ ‖ 22. schol. cum praecedenti coniunctum ‖ 24. ἢ—ἥδει scriptum post πατρός: traiecit W ‖ ὡς ante τοὐναντίον omisi ‖ 30. ὀρθοτονητέον ‖ 32. ἐλεεῖται: corr. W

29. *πανσυδίῃ*] ἐν δοτικῇ, διὰ τοῦ ῑ, ὡς "ἀνστήτην" (Π. 1. 305), κατὰ Ἀρίσταρχον.

B= *νῦν γάρ κεν*] ἐκείνη γὰρ ἡ ἡμέρα πεπόρθηκε τὴν πόλιν διὰ τὴν τῶν ὅρκων παράβασιν.

31. * *ἐπέγναψεν*] ἐπέκαμψεν.

32. * *ἐφῆπται*] ἐπήρτηται.

B= 33. * *σῇσιν ἔχε φρεσίν*] ἀντὶ τοῦ φύλασσε.

B= *μηδέ σε λήθῃ*] διὰ τοῦτο γὰρ οὐκ ἐᾷ αὐτὸν παννυχίζειν. τῷ γὰρ τέλει τοῦ ὁράματος καὶ ἔγερσις ἕπεται.

B+ 34. *ὕπνος ἀνήῃ*] διαίρεσις· καὶ Πλάτων "ἐπεὶ ἤδη με ἀνῆκεν ὁ ὕπνος" (Protag. 310 d).

B= 36. *ἅ ῥ' οὐ τελέεσθαι*] διδάσκει ὁ ποιητὴς μὴ ἐπαίρεσθαι ταῖς ὄψεσι τῶν ὀνείρων.

AB+ *ἅ ῥ' οὐ τελέεσθαι ἔμελλεν*] ἡ Ζηνοδότειος γραφὴ διὰ τοῦ ε̄· οἱ δὲ διὰ τοῦ ο̄.

B= 38. *νήπιος*] ὁ Ἀγαμέμνων, ὅτι τὸ νῦν ἐπὶ μιᾶς ἡμέρας ἐνόμισεν.

A= * *μήδετο*] ἐβουλεύετο.

B= 39. *θήσειν γὰρ ἔτι*] τὸ ἑξῆς, ἐπιθήσειν Ἄλγεα.

B= *θήσειν γὰρ ἔτι*] ἡ προαναφώνησις ἐγερτική· πείθεται δὲ ὀνείρῳ σφαλλόμενος ὑπὸ Διός.

B= 40. * *διὰ κρατερὰς ὑσμίνας*] ἀντὶ τοῦ διὰ ὑσμινῶν.

AB= 41. *ὀμφή*] ἡ τὸ ὂν φαίνουσα. λέγει δὲ ὅτι ἔναυλον εἶχε τὴν τοῦ

AB= ὀνείρου φωνήν. §. ἐμφαντικὸν δὲ τὸ "ἀμφέχυτο" πρὸς τὸ μηδὲν αὐτῆς ἐπιλελῆσθαι αὐτόν.

B= 42. *ὀρθωθείς*] ὀρθωθεὶς ἐκ τῆς ἀνακλίσεως, ὡς τὸ "ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος" (Π. 10. 80)· καὶ τὸ ἐπὶ γόνατα δὲ ἐρειφθῆναι στῆναί φησιν (Π. 8. 329).

AB= *ἔνδυνε χιτῶνα*] εἴρηται γὰρ χιτὼν τὸ ἱμάτιον παρὰ τὸ οἱονεὶ περιχεῖσθαι αὐτὸ τῷ σώματι. ἰστέον δέ, ὅτι ἐπὶ μὲν ἀνδρὸς χιτῶνα λέγει, ἐπὶ δὲ γυναικὸς πέπλον.

A+B= 43. *νηγάτεον*] ἢ ἀγέννητον, ἢ λεπτόν, ἢ νεήγατον νεωστὶ γεγονότα. δηλοῖ δὲ ὁ χιτὼν παρ' αὐτῷ καὶ τὸν σιδηροῦν.

B+ *μέγα—φᾶρος*] τῷ μεγέθει τοῦ ἱματίου καὶ τὸ τοῦ φοροῦντος αὐτὸ συνεμφαίνει μέγεθος. πρεπώδης δὲ στολὴ τῷ ἐπὶ βουλὴν ἐξιόντι,

12. ἄρ' ‖ 14. ἀρ ‖ 19. schol. cum praecedenti coniunctum ‖ 25. ὀρθ. γὰρ ‖ 26. ἐνεχθῆναι: corr. W

ἐπὶ δὲ κατασκοπὴν λεοντῆ καὶ δόρυ. ἀφαιρεῖται δὲ τὸν τῦφον ἑαυτοῖς διακονεῖσθαι λέγων· καὶ τί θαυμάσεις Τηλέμαχον ὀρφανὸν ὄντα καὶ νησιώτην;

45. ἀργυρόηλον] ἢ παρέλκει τὸ ἐπίθετον, ἢ μεμιγμένους ἔχον χρυσοῦς ἥλους.

46. ἄφθιτον αἰεί] τὸ μηδέπω φθαρέν—οὔπω γὰρ ἦν ὑπὸ Ἡρακλειδῶν ἠρημένον—ἢ ὅτι ἠφαιστότευκτον. οὐκ ἀκριβολογεῖται νῦν περὶ αὐτοῦ, ἀλλ' ἐξῆς. A B=

47. * κατὰ νῆας] ἀντὶ τοῦ ἐπὶ νῆας.

48. ἠὼς μέν ῥα] νῦν τὸν ὄρθρον· καὶ τὴν θεάν "ἥρπασεν Ἠώς" (Od. 15. 250)· τὸ ἑωθινὸν κατάστημα "ὄφρα μὲν ἠὼς ἦν" (Il. 8. 66)· τὴν ἀνατολήν "πρὸς ἠῶ τ' ἠέλιόν τε" (Od. 9. 26)· τὴν ἡμέραν "ἠὼς εἶσι δυσώνυμος" (Od. 19. 571)· τὸν ὄνειρον δὲ εὐθὺς διεδέξατο ἡ ἡμέρα. οἱ δὲ πρὸς ἕω ὄνειροι ἀληθεῖς πεπτομένων τῶν σιτίων. B=

προσεβήσατο μακρὸν Ὄλυμπον] αἱ γὰρ ἀκρώρειαι πρῶται φωτίζονται. B=

49. Ζηνὶ φόως] φῶς τὸν ἥλιον· τοῦτο⟨ν⟩ γὰρ ἀγγέλλει, ὡς καὶ αὐτὴν ὁ ἑωσφόρος. κατ' ἐξοχὴν δὲ ὁ ἥλιος φῶς λέγεται. B=

50. * λιγυφθόγγοισι] ὀξυφώνοις.

52. ἠγείροντο μάλ' ὦκα] πάνυ σπουδαίως διὰ τὸ εὐπειθές· ἢ πευσόμενοί τι περὶ Ἀχιλλέως.

53. βουλὴν δὲ πρῶτον] τὸ κενὸν τῆς συναγωγῆς τοῦ πλήθους ἀναπληροῖ. φθάνει δὲ τὴν Λακώνων πολιτείαν, βουλὴν γερόντων καὶ δύο βασιλεῖς λέγων. Αἴας, Ἰδομενεὺς [Βοιωτοί·] Φιλοκτήτης, Πρωτεσίλαος [Λοκροί· Ἠλεῖος] Ἐπειός· [Ἀθηναῖοι] Μαχάων, Εὐρύπυλος, Μενέλαος, Ἀγαμέμνων, Νέστωρ, Ὀδυσσεύς, Διομήδης. A– B=

βουλὴν δέ] αἱ πλείους καὶ χαριέστεραι δίχα τοῦ ν̄ ὡς καὶ ἡ Ἀριστάρχειος· ἡ δὲ σὺν τῷ ν̄ Ζηνοδότειος. A+ B=

ἴζε ⟨γερόντων⟩] οὐδέποτε ἐνικῶς τὸν ἔντιμον ὠνόμασεν. §. Ἀρίσταρχος δὲ τὸ "ἴζε" ἐκτείνει, ἡ κοινὴ δὲ ⟨συ⟩στέλλει. B= A– B=

γερόντων] γέροντας συνεχῶς ὁ ποιητὴς τοὺς γερασμίους φησί, διδάσκων ὅτι δεῖ τοὺς ἡγεμόνας οὐ μόνον καθ' ἡλικίαν ἀλλὰ καὶ πρὸ ἡλικίας φαίνεσθαι γέροντας τοῖς ἤθεσιν. A B=

1. τὴν λεοντῆν ‖ 7. εἰρημένον ‖ 11. ἡ ἠὼς ‖ 18. ante φῶς 4 litt. erasae ‖ 26. ἠλεῖος ἐπειὸν αἰσθῆναι ὧν μαχάων ‖ 28. ὡς W : εἰσὶ ‖ 29. εἰ δὲ σ.

B= 54. Νεστορέῃ παρὰ νηί] εἰκότως παρὰ τῇ Νέστορος· τούτῳ
B+ γὰρ ὁ ὄνειρος εἴκασται. §. "Πυλογενέος" δέ, ἐν Πύλῳ τὸ γένος
ἔχοντος.

B= 55. ἠρτύνετο] ἥρμοζε, παρὰ τὸ ἄρω. ὡς ὀργιζόμενος δὲ οὐκ
ἀναφέρει Κάλχαντι, ἢ ὡς αὐτοκρίτου ὄντος, ἢ ὅτι τῶν ὀνείρων τὰ
χρηστὰ φίλοις λέγομεν. οὐκ ἄποθεν δὲ μαντικῆς ὁ Νέστωρ.

B– 56. θεῖός μοι ἐνύπνιον] ὀνοματικὸν ἐπίρρημα, ἀντὶ τοῦ ἐννυπνίως.
ἔστι δὲ καὶ ὄνομα. Κρατῖνος "θράττει μέν" (fr. 363 Kock). §. "διὰ
B= νύκτα" δὲ ἀντὶ τοῦ διὰ τῆς νυκτός.

B– 58. φυήν τ' ἄγχιστα] ἴσως τῷ ἐξειδέναι ψυχῆς φυὴν τοῦτό
φησιν.

72. * ἀλλ' ἄγετε] λείπει τὸ σκοπήσωμεν. οἶδε δὲ καὶ αὐτὸς τὸ
δυσχερές.

B= ἀλλ' ἄγετ' αἴ κεν πως] δισταγμὸς ὁ τρόπος. οὐ περιμένει δὲ
κρίσιν· οὐ γὰρ ἐπὶ τούτῳ συνῆξεν αὐτούς, ἀλλ' ὅπως εὐέλπιδας ποιήσῃ.

A= ἀλλ' ἄγετ' αἴ κεν πως] ἀπόπειραν τοῦ πλήθους λαμβάνει ὁ
βασιλεὺς Ἀγαμέμνων κατά τι παλαιὸν ἔθος, βουλόμενος μαθεῖν
πότερον οἰκείᾳ πολεμοῦσι προθυμίᾳ ἢ ἀνάγκῃ· ὃ τὸ πλῆθος μὴ
νενοηκὸς πρὸς φυγὴν ηὐτομόλησεν.

AB= 73. πρῶτα δ' ἐγὼν ἔπεσιν πείρησομαι] οἶδεν αὐτοὺς ἀποκαμόντας
τῷ χρόνῳ καὶ τῷ λοιμῷ καὶ τῇ ἀποστάσει Ἀχιλλέως. παρακαλεῖν
δ' οὐκ ἐνῆν τὸν πρώην φοβερόν, λέγοντα "στυγέῃ δὲ καὶ ἄλλος ἴσον
ἐμοὶ φάσθαι" (Il. 1. 186), ἀλλ' οὐδὲ ἐπιτάσσειν, μή πως ἀντι-
λεγόντων δευτέρα στάσις γένηται. ἄλλως τε τῇ παραδόξῳ χαρᾷ καὶ
λύπῃ τὴν ποίησιν ἐκτραγῳδεῖ φίλτρον τε πορίζεται ἑαυτῷ· μισεῖ γὰρ
τοὺς ῥιψοκινδύνους στρατηγοὺς ὁ στρατός. καὶ εἰ μὲν κατεδέξαντο
φυγεῖν, εἶργε διὰ τῶν βασιλέων, εἰ δὲ μή, ἐλάνθανε τὸ βούλημα·
ἄλλως δ' ἀπέβη· βλάπτει γὰρ ὁ Ζεύς.

A= * ἣ θέμις ἐστί] ἀντὶ τοῦ ὡς· διὸ δασύνεται.

AB= 74. πολυκλήισι] κλῃὶς παρὰ τὸ κλᾶσθαι ἐπ' αὐτῆς καθεζομένους.

B= 75. ἐρητύειν] οὐκ ἐκείνους φεύγοντας, ἀλλ' ἐμὲ ταῦτα λέγοντα·
οὐ γὰρ ᾤετο τοσοῦτον ταχέως ἀναπτερωθῆναι πρὸς φυγὴν αὐτούς.

B= 76. τοῖσι δ' ἀνέστη] ἔθος γὰρ ὀρθοὺς λέγειν. §. "ἠμαθόεντος" δὲ
B= ἡ παραθαλασσίας· ἡ Ἡμαθόεις ποταμὸς Πύλου.

1. τῇ νηὶ ‖ 8. θράττει με τὸ ἐνύπνιον Paris. 2556 ‖ 20. ἐπέεσι πειρήσομεν ‖ 23. οὔτε ‖ 34. Ἡμαθόεις Dindorf: Ἡμαθόης

79. ἠδὲ μέδοντες] πρόβουλοι παρὰ τὰ μήδεα· τὸ δὲ ῥῆμα καὶ ὡς περισπώμενον. B+

80. ἄλλος ἔνισπε] ὡς ἤνιπτε.

81. νοσφιζοίμεθα] ἐχωριζόμεθα τῆς πίστεως. §. τὸ δὲ "μᾶλλον" ἢ Ἀττικῶς παρέλκει, ἢ ἐπεὶ φύσει ψευδεῖς οἱ ὄνειροι. B=

82. νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος] ἀληθῆ γὰρ δοκεῖ ὅσα ἢ θεοὶ ἢ ἀξιόλογοι ἄνδρες δοκοῦσι λέγειν. A~

84. βουλῆς ἐξῆρχε] ἐκ τοῦ βουλευτηρίου, ὥστε νεῖσθαι. τοῦτο δὲ ἡ ἡλικία καὶ ἡ τιμὴ ἡ παρὰ Ἀγαμέμνονος δίδωσι τῷ Νέστορι. B=

85. οἳ δ' ἐπανέστησαν] ἀντὶ τοῦ πάντες ἀνέστησαν. τινὲς δὲ "πανέστησαν." B–

86. σκηπτοῦχοι βασιλῆες] καὶ γέροντες γὰρ καὶ ἱερεῖς ἐσκηπτροφόρουν. A~B=

ἐπεσσεύοντο δὲ λαοί] ὁρῶντες ἤδη συνιόντας τοὺς ἐν τέλει. B=

ἔθνεα εἶσι] τὸ "εἶσι" καὶ ἑνικὸν δύναται εἶναι, ὡς "δοῦρα σέσηπε" (Il. 2. 135) καὶ πληθυντικόν, ὡς "σπάρτα λέλυνται" (ib.). B=

87. ἔθνεα εἶσι] πρὸς τοὺς εἰκαζομένους Ἕλληνας, ἐπεὶ σμήνεα ἔδει· πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ. συγγενὲς δὲ ποιητικῇ τὸ ζῷον διὰ τὸν μόχθον καὶ τὸ γλυκὺ καὶ τὴν σύνθεσιν τοῦ κηρίου. ἡ μὲν οὖν φαλαγγηδὸν γινομένη πρόοδος εὖ ἔχει· ὡπλισμέναι δὲ κέντροις εἰσίν, ὑπήκοοί τε καὶ αὗταί εἰσι καὶ ἐπ' ἔργον ἐξίασιν, οὐχ ὡς αἱ γέρανοι. φιλάλληλοί τε εἰσὶ μεταβαίνουσαί τε πολλὰς ἀρχὰς πτήσεως ποιοῦνται. A B=

ἀδινάων] παρὰ τὸ ἄδην· διὸ δασύνεται.

88. αἰεὶ νέον ἐρχομενάων] οἱ μὲν πρὸς τὸ πλῆθος τοῦτο εἰρῆσθαι θέλουσιν, ὅτι συνεχῶς οὕτω προΐασι πολλαὶ ὡς νεωστὶ δοκεῖν αὐτὰς ἄρχεσθαι τῆς ἐξόδου· οἱ δὲ "νέον" τὸ ἔαρ φασίν. ἄμεινον δὲ λέγειν ὅτι τοῖς μὲν ἄλλοις ζῴοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται, αἱ δὲ μέλισσαι βραχύ τι π⟨τ⟩ᾶσαι ἐφιζάνουσι τοῖς ἄνθεσι καὶ πάλιν μετίασι ἐφ' ἕτερα ἄνθη. A+ B=

89. βοτρυδόν] πυκναὶ καὶ ἐξηρτημέναι ἀλλήλων ὡς ῥᾶγες. οὕτω δὲ ἵπτανται σκιάζειν θέλουσαι ἀλλήλας, ὀχλούμεναι ὑπὸ τοῦ ἡλίου. A B=

εἰαρινοῖσιν] τότε γὰρ γλυκέα καὶ τῆς ἰκμάδος πλήρη τὰ ἄνθη διὰ τὸ εὔκρατον τοῦ ἀέρος. B=

92. ἠιόνος προπάροιθε] χρόνου καὶ τόπου. ἠιὼν δέ, οὗ ἀκούεται B–

1. τὸ μήδεα B ‖ 3. ἤνιππε ‖ 17. schol. cum praecedenti coniunctum ‖ 21. αὐταὶ ‖ 28. πτᾶσαι B ‖ 31. ἀλλήλαις

B– τῶν κυμάτων ὁ κτύπος. §. "βαθείης" δὲ οἱ μὲν μακρᾶς, ἐπεὶ καὶ "φρείατα μακρὰ νάουσιν" (Il. 21. 197), ἀντὶ τοῦ βαθέα· ἢ τοῖς μὲν ἀπὸ γῆς δοκεῖ βαθεῖα, τοῖς δὲ ἀπὸ θαλάσσης ὑψηλή· διό φησι προκρόσ⟨σ⟩ας Ἀρίσταρχος.

* προπάροιθε] καὶ ἐπὶ χρόνου· "οὔ τις ἀνὴρ προπάροιθεν" (Od. 11. 483).

B= ἐστιχόωντο] στείχω στιχῶ, ὡς πείθω πιθῶ, φείδω φιδῶ.

B+ 93. ἰλαδόν] πρὸς τὸ βοτρυδόν.

B~ μετὰ δέ σφισιν ὅσσα δεδήει] ἐν αὐτοῖς δὲ θεία τις φήμη ἐξῆπτο καὶ διηγείρετο, παρορμῶσα τὸν λαὸν ἐπὶ τὴν ἀγοράν.

B– 95. τετρήχει] ἐκ τοῦ ταράσσω, οὗ ὁ παρακείμενος τετάραχα, καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν Ἰωνικὴν τοῦ ᾱ εἰς η̄ τέτρηχα, ὁ ὑπερσυντελικὸς ἐτετρήχειν. ἐτεθορύβητο οὖν καὶ ἀσύμφωνος ἦν.

B= * ἀγορή] τὸ πλῆθος.

B= 96. ὅμαδος] ὁμόαυδος ἡ ὁμοῦ αὐδή, ἢ ὅπαδος παρὰ τὴν

AB= ὄπα. §. πιθανῶς δὲ ἐν μὲν ταύτῃ τῇ ἐκκλησίᾳ κήρυκές εἰσιν οἱ τὴν βοὴν παύοντες, ἐν δὲ τοῖς ἑξῆς τὴν Ἀθηνᾶν τῷ Ὀδυσσεῖ παρέστησεν· πλείων γὰρ ὁ θόρυβος.

B+ ἐννέα δὲ—κήρυκες] οἱ τῶν ἐννέα γερόντων, Ὀδίος Αἴαντος, οἱ περὶ Ταλθύβιον καὶ Εὐρυβάτην Ἀγαμέμνονος, Εὐρυβάτης Ὀδυσσέως, Ἀσφαλίων καὶ Ἐτεωνεὺς Μενελάου, Θοώτης, Στέντωρ.

A+B= 99. σπουδῇ δ' ἕζετο] μόγις. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ταχέως· "σπουδῇ νῦν ἀνάβαινεν" (Od. 15. 209).

ἐρήτυθεν δὲ καθ' ἕδρας] λαὸς ἐρήτυθεν.

B= 100. ἀνὰ δὲ κρείων] ἢ ἐπὶ βήματος ἀνέστη, ἢ ἀνασχὼν τὸ σκῆπτρον.

B= 101. τὸ μὲν Ἥφαιστος] ὁ τρόπος κλῖμαξ· τὸ λῆγον γὰρ τῆς διανοίας ἀρχὴ γίνεται τῶν ἑξῆς. ἕκαστος δὲ στίχος τὸ γένος, τὸν δόντα, τὸν εἰληφότα φησίν. μέγα δέ ἐστι καὶ θεῖον ὂν καὶ ὑπὸ θεῶν διακονούμενον.

A–B= κάμε τεύχων] καμὼν ἔτευξεν. ἀντιστροφὴ ὁ τρόπος.

A+B= 102. Ἥφαιστος μὲν δῶκε] ὁ μὲν Ἥφαιστος κατεσκεύασε τῷ Διὶ ὡς χειρῶναξ κελευόμενος, ὁ δὲ Ἑρμῆς εἴληφε παρὰ Διὸς κομίσαι, διακονίαν τινὰ ταύτην ἐκτελῶν· Πέλοψ δὲ καταλείπει Ἀτρεῖ πρεσβυτάτῳ ὄντι τῶν υἱῶν, Ἀτρεὺς δὲ ἐπὶ μικροῖς τελευτῶν τοῖς παισὶ διαδόχῳ χρῆται τῷ ἀδελφῷ· ὁ δὲ οὐ τῷ ἑαυτοῦ παιδὶ Αἰγίσθῳ τὴν

3. φασι ‖ 9. ὅσα ‖ 21. ἀσφαλείων

ἀρχὴν ἐνεχείρισεν, ἀλλ' ὥσπερ ἀγαθὸς ἐπίτροπος διαφυλάξας κατέλιπεν Ἀγαμέμνονι.

103. αὐτὰρ ἄρα Ζεύς] καλῶς ὁτὲ μὲν ἀπὸ τοῦ ὀνόματος, ὁτὲ δὲ ἀπὸ τοῦ συνδέσμου ἄρχεται, τὸ ὁμοειδὲς ἐκκλίνων. B=

ἀργειφόντῃ] ἀργῷ φόν[ου· "μηδέ] τι οἱ θάνατος καταθύμιος ἔστω· τοῖον γάρ οἱ πομπὸν ⟨ὀπάσσομεν Ἀργειφόντην⟩" (Il. 24. 152)· καὶ "δῶτορα ἐάων" αὐτόν φησι (Od. 8. 335). §. ἀεργοφόντης ἀργεοφόντης καὶ ἀργειφόντης, ὡς πλέον πλεῖν, Νεόλαος Νείλεως· τὸν γὰρ Ἰοῦς ἔρωτα οὐκ οἶδεν ὁ ποιητής, πέπλασται δὲ παρὰ τοῖς νεωτέροις τὰ περὶ τὸν Ἄργον. A+ B= B–

104. "Ἑρμείας" Αἰνείας Αὐγείας διὰ τοῦ ᾱ παρὰ τῷ ποιητῇ. §. "ἄναξ" δὲ ὁ θεός.

Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι] Ἑρμοῦ γάρ φασιν αὐτὸν καὶ Καλύκης· ἢ διὰ τὸν κύνα. πέπλασται οὖν τοῖς νεωτέροις τὰ περὶ Οἰνόμαον καὶ τὴν χρυσῆν ἅρνα. §. πλήξιππον δέ φασιν εἰρῆσθαι τὸν Πέλοπα διὰ τὸ μετὰ θάνατον Μυρτίλου αὐτὸν ἡνιοχῆσαι τοὺς ἵππους ἀπὸ Εὐβοίας μέχρι Πελοποννήσου. B– A+ B=

105. Πέλοψ δῶκ' Ἀτρέι] φασὶν Ἀτρέα καὶ Θυέστην ἐπιβουλεύσαντας Χρυσίππῳ νόθῳ ἑαυτῶν ἀδελφῷ ἐκβεβλῆσθαι ὑπὸ τοῦ πατρός, μετὰ δὲ θάνατον Πέλοπος Ἀτρέα ἐπιστρατηγήσαντα εἰς Ἦλιν κρατῆσαι τῶν σκήπτρων τοῦ πατρός. A+ B=

106. ἔλιπεν πολύαρνι Θυέστῃ] ὅτι Ὅμηρος οἶδεν αὐτοὺς ἄχρι τέλους ἀδελφικὴν εὔνοιαν φυλάξαντας· εἰ δὲ ἦν αὐτοῖς ἔχθρα, οὔτ' ⟨ἂν⟩ ὡς Αἴγισθον Ἀγαμέμνων κατήγετο, οὔτε οἱ θεοὶ ἐπέστελλον Αἰγίσθῳ μὴ ἀμύνασθαι τοὺς ἐχθρούς, οὐδὲ τὸν Αἴγισθον Ὅμηρος πικρῶς οὕτως ἐλοιδόρει ἄναλκιν καὶ δολόμητιν καλῶν, εἰ μὴ τὰ τῆς συγγενείας πρῶτος ἐλυμήνατο. Λικύμνιος δὲ παραδηλοῦσθαί φησι τὴν ἔχθραν λεληθότως, ἵνα μὴ βλασφημήσῃ τὸ γένος· τὸ μὲν γὰρ "δῶκε" φιλίας τεκμήριόν φησι, τὸ δὲ καταλιπεῖν ἀνάγκης, διὸ ἐφ' ὧν ⟨μὲν⟩ τῷ "δῶκεν" ἐχρήσατο, ἐφ' ὧν δὲ τῷ "λεῖπεν." §. "πολύαρνι" δὲ ἐκ τοῦ πολυάρηνι. A– B=

107. λεῖπε φορῆναι] μέγα πρὸς ἀρχὴν παρασκευὴ πολυχρόνιος καὶ παλαιὸν ἀξίωμα. ἐξῆρεν οὖν τὸν φοροῦντα. §. "φορῆναι" δέ, ἐφόρη φορῆναι. B=

5. τι τοι ‖ 8. καὶ ἀργεαφόντης ‖ 20. εἰς Ἴλιον ‖ 23. οὔθ' ὡς ‖ 25. οὐδὲ W : οὔτε ‖ 30. τῷ B : τὸ ‖ 33. τροφῆς post παλ. del. W ut B ‖ ἀξίωμα :—

B= * 109. ἐρεισάμενος] ἐπερείσας ἑαυτόν.

B= 110. ἦρωες Δαναοί] προ⟨επ⟩αίρει τοῖς ἐγκωμίοις, ὅπως αἰδοῖντο φεύγειν. οὐ λέγει δὲ αὐτοῖς τὸ ὄναρ, ὅπως μὴ δοκῇ σκευώρημα εἶναι, ἢ ἑτέρως ἀποβὰν θεομισὴς δόξῃ.

B= 111. ἄτῃ ἐνέδησε] ἡ ἑκούσιος ἁμαρτία, "κακὰ κέρδεα ἶσ' ἄτῃσιν" (Hes. Opp. 352). οἱ δὲ ζημία· τοῦτο δὲ ἀναπόδεικτον.

B= 112. ὃς πρὶν μέν μοι] προτρεπτικὸν τοῦτο πρὸς τὸ μένειν ⟨τοὺς⟩ Ἀχαιούς· οὐ γὰρ ἀτελεύτητον "ὅ τι κεν κεφαλῇ κατανεύσῃ" (Il. 1. 527)· ἀνάγει δὲ ἐπὶ τοὺς νεοσσοὺς καὶ τὰς διοσημίας.

B+ 113. Ἴλιον ἐκπέρσαντ'] ἐκπέρσαντι τὸ ἐντελές, ὡς "χρυσείῃ κερκίδ' ὕφαινεν" (Od. 5. 62).

AB= 114. κακὴν ἀπάτην] ἔστι γὰρ καὶ δικαία· Αἰσχύλος (fr. 294 N.) "ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός." καὶ τίς πείθοιτο θεὸν ἐναντία ἑαυτῷ βουλεύσασθαι;

B+ 115. * δυσκλέα] ἔλλειψις τοῦ ε̄, οὐ συναλ⟨ο⟩ιφή.

B+ * ἐπεὶ πολὺν ὤλεσα λαόν] ὅτε ἢ ἀφ' οὗ· οἰκειοῦται δὲ τὴν ἀπώλειαν.

A+B= 116. * μέλλει] ἔοικεν. διὰ τούτου δὲ διατάξιμον αὐτὸ ἐποίησεν.

AB− 117. πολλάων πολίων] ἀδίκων ὡς ἔπαθον αἱ μεγάλαι. ἄδηλον δέ, εἴτε καθολικῶς αὐτὸ λέγει ἢ περὶ τῶν εἰκοσιτριῶν, ὑπόνοιαν διδοὺς καὶ περὶ Ἰλίου· πιθανὸν γὰρ ἐκ τῶν ὑποκειμένων τὴν δύναμιν δεῖξαι τοῦ θεοῦ.

AB+ * Πυθαγόρας ἐρωτηθείς, τί ἐστι θεός, τὸ πάντων κρατοῦν εἶπεν, ὅς γε καὶ πολέμων ἐξουσίαν ἔχει.

B= 120. τοσόνδε τε λαόν] διὰ τῶν ἐγκωμίων μείζων ἡ κατηγορία, καὶ ὅτι ἀίδιος ἔσται αὐτοῖς ὕβρις τὸν πόλεμον καταλιποῦσιν.

B= 122. τέλος δ' οὔ πω τι] ἀντὶ τοῦ γάρ. κρίσις γὰρ νίκης ἢ ἥττης οὐ πεφανέρωται. πῶς οὖν πρὸ τέλους ὑποχωρήσουσιν; ἐκδεκτέον οὖν τὸ πέρας τῆς μάχης.

B= 123. εἴπερ γάρ κ' ἐθέλοιμεν] ταχεῖα οὖν ἐλπὶς τῆς νίκης, εἴ γε καὶ πλείους καὶ ἰσχυρότεροι καὶ Δία ἔχοντες σύμμαχον, καὶ τῆς ἥττης πολλὴ ἡ αἰσχύνη.

4. ἀποβάντος W ‖ 5. ἐνέβησε ‖ ἁμ. καὶ ἀτηρὸς καὶ ἶσα ἄ.: corr. W ‖ repetitur *ἑκούσιος ἁμαρτία ‖ 8. κατανεύσει ‖ 11. χρυσέῃ ‖ 20. ἀδίκων—μεγάλαι turbata, om. B: dici videtur ἀδίκων, αἳ ἔλαβον τιμωρίαν

124. ὅρκια πιστά] πρὸς τὸ συνελθεῖν.

125. Τρῶας μὲν λέξασθαι] ἀπὸ κοινοῦ τὸ θελήσουσιν. §. λέξασθαι δηλοῖ τὸ κοιμῶμαι, "λέξομαι εἰς εὐνήν" (Od. 17. 102)· τὸ ἐπι- A– B+
λέξασθαι, "λέξατο κούρους" (Il. 21. 27)· τὸ ἀριθμεῖν, "λέγε
5 κήτεσι" (Od. 4. 452)· τὸ οἰκοδομεῖν, "αἱμασιὰς λέξοντες" (Od. 24. 223).

ἐφέστιοι] ἔνοικοι συναριθμουμένων παιδίων καὶ γερόντων· οὗτοι γάρ B=
εἰσιν οἱ προθύμως ὑπὲρ τῆς σφετέρας ἀμυνόμενοι.

*ἔασιν] ἀντὶ τοῦ εἰσίν.

10 126. ἡμεῖς δ' ἐς δεκάδας] ἐσχημάτισεν οὐχ ὁμοίως τῷ Τρῶας τὸ A– B=
ἡμεῖς ἐπαγαγών· ἀντίστροφον δὲ τοῦτο κατὰ τὰς πτώσεις τῷ "ἦ ἐθέλεις αὐτὸς μὲν ἔχειν γέρας, αὐτὰρ ἔμ' αὖτως" (Il. 1. 133). §. "ἐς B=
δεκάδας" δέ, ὅτι ἔθος ἦν πλέον δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν Πολιτείαις φησίν.

15 διακοσμηθεῖμεν] ἀντὶ τοῦ διακοσμηθῆναι, ἵν' ⟨ᾖ⟩ ἀπὸ κοινοῦ τὸ B=
θελήσομεν. οἱ δὲ ⟨δια⟩κοσμηθεῖμεν, ἵν' ᾖ διακοσμηθείημεν, εὐκτικόν.

127. ἄνδρα ἕκαστον] ὁ Ἰξίων διὰ τοῦ ῑ, τινὲς δὲ διὰ τοῦ ῡ. A–
§. "ἕκαστοι ἑλοίμεθα" οἱ ἐν τῇ δεκάδι, οὕτως Ἰξίων.

20 ἑλοίμεθα οἰνοχοεύειν] πιθανῶς κἂν τῷ ἀριθμεῖν τὰ ἔθνη αἰχμα- B=
λωσίαν οἰωνίζεται Τρωσὶν ἢ ὡς φιλοίνοις ἢ ὡς ἐν συμποσίοις ἀλαζονευομένοις, ἢ διὰ τὸ παίζειν τὸν Γανυμήδους μῦθον.

128. πολλαί κεν δεκάδες] ὑπερβολικῶς· Τρώων μὲν γὰρ ἦσαν πόλεις ε', Ἑλλήνων δὲ ιβ'.

25 129. *πλέας] ἀπὸ τοῦ πλέονας συγκέκοπται. AB=

130. ἀλλ' ἐπίκουροι πολ⟨λ⟩έων ἐκ πολίων] καὶ γάρ φησι "κέ- B+
κλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων" (Il. 17. 220).

131. ἐγχέσπαλοι ἄνδρες] διὰ τούτου ὑποχωρεῖν κελεύει, καὶ B–
ὀνειδίζει τῷ ἰδίῳ συμμαχικῷ. ἐπίκουροι μὲν οὖν λέγονται οἱ τοῖς
30 πολεμουμένοις βοηθοῦντες, σύμμαχοι δὲ οἱ τοῖς πολεμοῦσιν.

132. οἵ με μέγα πλάζουσι] ἀποσφάλλουσι τῆς ὁρμῆς. εὖ δὲ τὸ AB=
οἰκειοῦσθαι τὴν ἧττταν καὶ μὴ ἐλέγχειν τὸ κοινόν.

καὶ οὐκ εἰῶσ' ἐθέλοντα] ἀντὶ τοῦ δυνάμενον. B=

7. οὗτοι B: οὐ ‖ 11. ἀντλοφόρον δ. τ. ‖ τῷ scripsi : τὸ ‖ 12. ἐ. ὅφρ' αὐτὸς ‖ 16. διακοσμηθεῖμεν etiam textus ‖ 18. ῡ et ῑ A ‖ 21. φίλοινος ‖ ἀλαζονευομένους

A+ B= 133. Ἰλίου ἐκπέρσαι] ἄμεινον τὸ "Ἴλιον" ἤπερ "Ἰλίου." §.

B= "Ἰλίου πτολίεθρον" ὡς "Ἀργοῦς σκάφος" (Eur. Med. 1).

B= 134. ἐννέα δή] κοινὸν καὶ τοῦτο πρός τε τὸ ἀπιέναι, ἐγκαθημένων ἀπράκτων τοσοῦτον χρόνον, καὶ πρὸς τὸ μένειν, ὡς τοῦ τῆς ἁλώσεως χρόνου πληρωθέντος· τῷ γὰρ δεκάτῳ ἔτει ἁλώσεσθαι τὴν Ἴλιον ὁ

B= Κάλχας ἔφη. §. ἐλπίδα τοῦ τέλους ὑπογράφων αὐτοῖς οὐκ ἐνεστηκέναι τὸν ἔνατον ἐνιαυτὸν εἶπεν—καίτοι τοῦτο ἦν τὸ ἀληθές, ὅπερ καὶ Ὀδυσσεύς φησιν "ἡμῖν δ' εἰνατός ἐστι περιτροπέων ἐνιαυτός" (295) —ἀλλὰ παρεληλύθασί φησιν ἐννέα ἐνιαυτοί.

B+ βεβάασι] ἀντὶ τοῦ πορεύονται, ὡς τὸ "βῆ δ' ἀρ' ἐπ' Ἀτρεΐδην" (18) ἀντὶ τοῦ ἔβαινεν.

* Διὸς μεγάλου] τοῦ ἡλίου ἢ τοῦ χρόνου.

B= 135. καὶ δὴ δοῦρα σέσηπε] καὶ τοῦτο ἀμφοτέροις συνᾴδει, τῷ ἀπιέναι πρὶν διαφθαρῆναι πλέονας νῆας, καὶ τῷ μένειν, ὡς διὰ τὸ σεσηπέναι τὰς ναῦς τέως πλεῖν οὐ δυναμένων. καὶ Θεόπομπος δὲ ταύτην αἰτίαν αὐτοῖς τοῦ ναναγίου φησίν, ὡς καὶ τοὺς περὶ Κάλχαντα καὶ Ἀμφίλοχον πεζοὺς ἀπαλλάττεσθαι.

B= * δοῦρα σέσηπε—λέλυνται] ἐν ἑνὶ στίχῳ ἔθηκε τὴν Ἀτθίδα καὶ κοινὴν χρῆσιν.

B= 136. αἱ δέ που ἡμέτεραι] ἀπαλλαττώμεθα οὖν ὡς ποθούμενοι· ἢ ὡς μηδὲν ἄξιον τῆς προσδοκίας εἰργασμένοι ⟨μένωμεν⟩.

138. * αὖτως] ἔτι, ἀκμήν· "λευκὸν ἔτ' αὖτως" (Il. 23. 268).

139. * ἀλλ' ἄγεθ'] ἄγετε, ἐπίρ⟨ρ⟩ημα.

B= 140. φεύγωμεν σὺν νηυσί] ἠδύνατο μὲν εἰπεῖν στείχωμεν· ἀλλὰ τῷ αἰσχρῷ ὀνόματι ἀποτρέπει τοῦ ἀπόπλου.

B= φίλην ἐς πατρίδα γαῖαν] "φίλην" τὴν ἰδίαν· "φίλους λήθοντε τοκῆας" (Il. 14. 296)· "πατρίδα" δέ, ἕκαστος τὴν ἰδίαν· ἔδει δὲ πατρίδα αἶαν.

141. οὐ γὰρ ἔτι Τροίην] οὗτος ὁ στίχος ἀναιρεῖ τὴν ἀμφιβολίαν· διὸ ἔν τισιν οὐ φέρεται.

B= 142. τοῖσι δὲ θυμὸν—ὄρινεν] τὸ αἰφνίδιον τῆς τῶν ἀνθρώπων ὁρμῆς ἐσήμανε περὶ τῶν οἴκοι τερπνῶν ἀκουσάντων.

B= 143. * μετὰ πληθύν] ἐν τῷ πλήθει ἢ κατὰ τὸ πλῆθος.

B= ὅσοι οὐ βουλῆς ἐπάκουσαν] τινὲς ἤσθοντο τῆς γνώμης τοῦ Ἀγαμέμνονος.

7. εἶχε ‖ 14. πλέον αἱ νῆες ‖ 21. ἢ οἱ μηδὲν ‖ suppl. W ‖ 26. λήθονται

144. *κεφαλῇ] κορυφῇ. B=

ὡς κύματα κωφοῖ] ἄφωνα. τὰ δὲ ἄνευθεν ἐπιόντα τοιαῦτα AB+
γὰρ ἄλλα ἐκ πόντου, ὡς ὅταν ἐκ ξηρᾶς τοιαῦτα προσπίπτωσιν τῇ θα-
λάττῃ.

λιὰ τί προσπίπτοντος τοῦ ἀφροειδοῦς ἢ τοῖς καταξηραίνουσιν; B=
“ἡμεῖς δ’ ἄλλοθεν ἄλλος ἐφέπομεν” περὶ τοῦ [illegible] ἐπιφέρεται τὸν
Ἕλληνα ἐπὶ τὰς ναῦς, ὅτε ἄλλος ἄλλοι μὲν Ὀδυσσεῖς τιτὶ
ἐπιόντες τοῖχον, καὶ ἡ μὲν ἐπιοῦσα ἐκεῖνος ὁμοῦ τῇ ἑστώσῃ
τῆς νηὸς, ἡ δὲ ἐπὶ τῆς ἐπιούσης μοίρας. καὶ ἡ Ἀθηνᾶ ἐπιφέρεται
ἐπὶ μηχανῆς ἵνα τὸν ἐκβαίνοντα τὸν Ὀδυσσέα ἐνισχύσῃ· ἢ ὅτι τὴν
οἰόν τε ἦν ἐπιφερόμενον ἐπιτήδευμα ἐπιφέρεται. εἰκὸς δὲ καὶ τὸν κα-
ἐχοντα τιτάνου· ἔστιν γὰρ ἡμᾶς τρέφειν καὶ τὴν τότε κτῆσιν
αὐτῶν, ἐπιτιμᾶται τοῦτο τε ἐφ’ “ἑκηβόλῳ Ἀπόλλωνι” διὰ ὁ Ὀδυσσεὺς μετὰ Νέστορα τοιοῦτος ἔπεται καὶ ἡλικι-
κὸν τὸν πῶ⟨ν⟩, διὰ τοῦτο ἐκδεικνύει ὁ ἐξαίρετος καὶ τοὺς ἄλλους
τιμᾷ. ἔστι δὲ Ὀδυσσεὺς ἐπιπάντων ⟨Νέστορος⟩ κάτω καθῆται τὰ διὰ
τοῦ σώματος, τῶν δὲ ἄλλων τιμιώτερος· διὰ καὶ τοῦτο ἐλήλυθεν ἡ
Ἀθηνᾶ· οὐ γὰρ ἔσχε ἵππον ἐκεῖνος τοιοῦτον ἐκπεπτέλλεσθαι δύνασθαι.

146. *ἴσορε] ἀπὸ τοῦ ἴσασιν Ἀττικοῦ· ἐπέρρεσις ἐγένετο τοῦ AB=
χρόνου. ᾗ. “ἐπαΐξας” δέ, ἐπιβὰς αἰγιδοῦχος κινήσας. B=

ὡς δ’ ὅτε κινήσει Ζέφυρος] πρὸς σαφήνειαν τῶν στιχόντων B=
πνεύσεως οἱ ζέφυροι. ᾗ. “λάιτα” δέ ἐστι τοῦ γήϊνα, ἀπὸ αἰγὸς μαλλός.

*ἠπειρωτικὴ ἡ παραβολή, ὅπερ ἄμεινον· ἡ πρώτη μὲν τὸν τάχι- A + B=
χον, ἡ δὲ τὸν ἐμβεβηκότα ὁρμὴν ⟨παρίστησιν⟩.

148. ἐπί τ’ ἠμύει] ἠμύει τὰ λήϊα τοῖς στάχυσιν, ὡς “ἔφριξε δὲ AB=
μάχη—ἐγχείῃσιν” (Il. 13. 339)· ἢ οἱ στάχυες τῷ ἀκέμᾳ ἠμύουσιν.

150. *νῆας ἐπ’ ἐσσείουτο] οὐκ ἀναστρεπτέον· αἱ γὰρ συναλ⟨ε⟩ι- A + B=
φόμεναι οὐκ ἀναστρέφονται, εἰ μὴ ἐπὶ τέλους κεῖνται ῥῆμα δη-
λοῦσαι.

πεδόθεν δ’ ὑπένερθε] ὑπὸ δὲ τῶν ποδῶν αὐτῶν κέρθεν ἀειρομένη ἡ B=
κόνις ἀνίστατο.

152. *ἅπτεσθαι] ἐπιλαμβάνεσθαι. A + B=

153. *οὐρούς] ὅθεν ὀρούουσιν αἱ νῆες. τῷ δὲ χρόνῳ πολλὴ ἦν τις B+
ὕλη περὶ αὐτούς.

9. παραγίνεται B: παράγει ‖ 13. κῦμα ‖ 20. repetitur *ὄρορε] ἀπὸ τοῦ ὄρορεν ὑπερβῆσαι χρόνου et *ἐπαΐξας κτλ. ‖ 23. ἠπειρώταις

AB= αὐτὴ δ' οὐρανὸν ἶκεν] μεγαλοφυῶς ηὔξησε τὴν ταραχήν, ἣν ἐλεπτολόγησεν Ἀριστοφάνης Ἀχαρνεῦσιν (545).

A+B= * 155. ὑπέρμορα] ὀνοματικὸν ἐπί⟨ρ⟩ρημα.

B= νόστος ἐτύχθη] ἡ εἰς τὸν οἰκεῖον τόπον ὑποστροφή· "νόστου δὴ μνῆσαι" (Il. 10. 509) καὶ "νοστήσαντα ἄνακτα" (Il. 13. 38).

B= 156. εἰ μὴ Ἀθηναίην] εἰς τοσοῦτον προάγει τὰς περιπετείας, ὡς δύνασθαι θεὸν μόνον αὐτὰς μεταθεῖναι. πρῶτος δὲ καὶ τοῖς τραγικοῖς μηχανὰς εἰσηγήσατο.

B= 157. ὦ πόποι] καὶ τῷ σχετλιασμῷ καλῶς κέχρηται, καὶ τὴν αἰσχύνην τῶν φίλων προβέβληται, καὶ τῶν πολεμίων τὴν χαρὰν ἐπάγει. συμφέρεσθαι δὲ ἀλλήλαις Ἥραν καὶ Ἀθηνᾶν λέγων δείκνυσιν ὅτι οὔτε μητρυιὰ πρόγονον μισεῖ οὔτε πρόγονοι μητρυιαῖς διαφέρονται νοῦν ἔχοντες.

B= 160. Πριάμῳ καὶ Τρωσί] καλῶς οὐκ Ἀλεξάνδρῳ ἀλλὰ Τρωσὶν εἶπε καὶ Πριάμῳ, τῆς Ἑλένης τὸ ἐγκώμιον αὔξων.

161. Ἀργείην Ἑλένην] ἣν τὸ δίκαιον αὐτοῦ οἶδεν.

B= 163. ἀλλ' ἴθι νῦν] οὐκ ἄτοπον καὶ τοῖς ἐνδόξοις ἡ χρειώδης ὑπηρεσία.

AB= 164. σοῖς δ' ἀγανοῖς] προσηνέσι, πρᾴοις, ὑπάγεσθαι δυναμένοις· οὕτω γὰρ ἔδει μαλάσσειν τὸ σφριγῶδες τοῦ θυμοῦ.

B= 165. ἀμφιελίσ⟨σ⟩ας] ἀμφοτέρωθεν στρεφομένας.

B= 169. εὗρεν ἔπειτ' Ὀδυσῆα] ὃ κεκέλευσται ποιεῖν ἡ Ἀθηνᾶ, δι' ἑνὸς ἀδρανοῦς ὑπηρέτου ποιεῖ, ὡς σοφὸς ἀρχιτέκτων· οὗτος γὰρ μετὰ τοῦ λόγου τὸ πρακτικὸν ἔχει, οὐχ ὡς Νέστωρ.

B= Διὶ μῆτιν ἀτάλαντον] εἰ μὴ δεξιὰ Ὅμηρος περὶ θεῶν ἐφρόνει, οὐκ ἂν τὸν Ὀδυσσέα "Διὶ μῆτιν ἀτάλαντον" ἔλεγε καὶ "θεοῖς ἐναλίγκια μήδε' ἔχοντα." πῶς γὰρ οἱ θεοὶ ἄδικοι ἢ ἄφρονες, ὁπότε ὁ ἔπαινος τῶν ἀγαθῶν ἀνδρῶν ἐπὶ τούτους ἀναφέρει τὴν εἰκόνα;

B= 170. * οὐδ' ὅ γε νηός] ὡς οὐδὲ οἱ ἄλλοι βασιλεῖς.
ἐυσέλμοιο] σέλματα αἱ σανίδες, σελμίς τὸ σπαρτίον.

B= 171. ἐπεί μιν ἄχος] "μίν" ἀντὶ τοῦ αὐτόν. §. "ἄχος" δὲ ἡ

B= ἄφωνος ἀνία, οἵαν ἔσχεν ἡ Νιόβη.

B= 173. διογενὲς Λαερτιάδη] τὸ σχῆμα ὁμοιόπτωτόν ἐστι καὶ κλητι-

19. δυναμένων || 20. μαλλάσσειν || 22. κεκέλευσθαι || 30. post σπαρτίον add. κλητικῶς ὁμοιόπτωτον, cf. schol. 173 || 31. αὐτοῦ || 32. οἵαν B: οἷον

κὸν προσαγορεύεται. ἔστι δὲ Λαέρτου τοῦ Ἀρκεισέως τοῦ Κι(λ)λέως τοῦ Κεφάλου τοῦ Ἑρμοῦ. ἐναρχόμενος δὲ τῶν πράξεων τῶν ἀνδρῶν ὅσοις αὐτὸν κοσμεῖ ἐγκωμίοις.

* πολυμήχανε] τινὲς ταὐτὸν τὸ πολύτροπε. B=

5 175. φεύξεσθε] εὖ τὸ καὶ τὸν Ὀδυσσέα συμπεριλαβεῖν τῇ φυγῇ· B= παρώξυνε γὰρ αὐτὸν πρὸς τὸ τοὺς ἄλλους ἐπέχειν, ἐπαγαγοῦσα τῇ ἥρωι δειλίας ἔγκλημα.

πολυκλήισι] τὰ ἔχοντα τὸ η εἰς ι μακρὰ κατάληκτα ἐν τῇ συνθέσει AB+ ἀναδίδωσι τὸν τόνον, οἷον μελάμψηφις μελά(γ)κρηπις· οὕτω καὶ τὸ

10 πολύκλεις.

πεσόντες] "πεσόντες," οὐκ ἐμβάντες, ὅ ἐστι σύμβολον ἀτάκτου AB= φυγῆς.

179. ἀλλ' ἴθι νῦν] ἴσον ἐπιίησε τῇ Ἀθηνᾷ τὸν Ὀδυσσέα, τοῦτον B= παραγαγὼν ὑπ' αὐτῆς κελευόμενον, ὅπερ ἐκείνη ὑπὸ τῆς Ἥρας πιεῖν

15 ἐπετέταλτο.

μηδ' ἔτ' ἐρώει] ὁρμᾶν ἔα, ἢ μὴ παύσυ.

182. ὃ δὲ ξυνέηκε] τὴν ὅπα φρονησάσης τῆς θεᾶς. B=

183. βῆ δὲ θέειν] ὥστε θέειν. §. ἀφείλετο δὲ τὴν ἀπόκρισιν ἡ ἔπειξις τοῦ καιροῦ. ἔστι δέ, ὥρμησεν ἐπὶ τὸ θέειν. ἢ Ἀττικῶς AB=

20 λείπει τὸ ὥστε· ἢ τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς.

ἀπὸ δὲ χλαῖναν] χλαῖνα ἡ τετράγωνος χλαμύς, ἡ εἰς ὀξὺ λήγουσα. A= §. ἀπέβαλε δὲ ταύτην ἢ διὰ τὸ εὐπερίσταλτον, ἢ διὰ τὸ ἐπιστρέφειν τῇ B= παραδόξῳ θέᾳ τοὺς πολλούς, ἢ ἵνα ταπεινὸς ὑπηρέτης δοκῇ εἶναι τῶν βασιλικῶν δογμάτων. οἱ δέ, ὅτι ἀπὸ τῆς σπουδῆς αὐτομάτως

25 πέπτωκεν. καὶ περὶ Ἀγαμέμνονος δὲ ἑτέρωθί φησι "πορφύρεον μέγα φᾶρος ἔχων" (Il. 8. 221).

184. κῆρυξ Εὐρυβάτης] ἕτερός ἐστιν οὗτος παρὰ τὸν Ἀγαμέμ- A− νονος, ὡς Πορφύριος· διὸ τὸ "Ἰθακήσιος" προσέθηκεν.

* ὀπήδει] ἠκολούθει.

30 186. δέξατό οἱ σκῆπτρον] τὸ σκῆπτρον δέχεται, ἵνα δοκῇ παρὰ A− B= τοῦ βασιλέως εἰληφέναι τὴν κατὰ τῶν ἀκοσμούντων ἐξουσίαν, καὶ μὴ χολῶσιν ἐπιτιμῶμενοι. ἡ ἔπειξις δὲ τοῦ καιροῦ περιεῖλε τοὺς Ἀγαμέμνονος λόγους.

πατρώιον ἄφθιτον] ποιητικῶς τοῦτο πέπλασται. τὸ δὲ ἀθάνατον A− B=

5. τὸ καὶ B: καὶ τὸ ‖ 8. ι scripsi: ε ‖ 27. περὶ τὸν Ἀγαμέμνονα ‖ 28. διὸ B: δι' οὗ ‖ 30. δοκῇ B: δόξῃ ‖ 32. χολῷεν

ἐπὶ τῶν ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων.

188. ἔξοχον ἄνδρα κιχείη] τινὲς "κιχοίη."

B= 189. τὸν δ' ἀγανοῖς] δύο μέρη· τὸ δὲ "δέ" ἀντὶ τοῦ δή.

AB+ τὸν δ' ἀγανοῖς] ὅτι οὐκ ἐγκλιτέον τὸν "δέ." 5

B= 190. οὔ σε ἔοικε] ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ συνήθεια.

B= κακὸν ὣς δειδίσσεσθαι] εὐλαβεῖσθαι· θωπεύων δὲ δυσωπεῖ.

B= 191. κάθησο] κάθου Ἀττικῶς.

B= καὶ ἄλλους ἵδρυε] αὐτὸς διὰ τῶν ἐπιφανῶν τὸ πᾶν ἱδρύει.

A= 192. οὐ γάρ πω σάφα οἶσθα] ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺς 10 ἑξῆς παρεστιγμένους τρεῖς στίχους· εἰσὶ γὰρ πρὸς βασιλέα ἁρμόζοντες, οὐ πρὸς δημότας· "οὐ μέν—πάντες" (203).

A+ οἷος νόος Ἀτρεΐδαο] αἱ χαριέστεραι "Ἀτρείωνος."

AB= 193. νῦν μὲν πειρᾶται] ἀπὸ τοῦ "νῦν μέν" ἕως τοῦ "τιμὴ δ' ἐκ Διός" (197) ἀθετοῦνται ὡς οὐ προτρεπτικοὶ εἰς καταστολήν. 15

B= τάχα δ' ἴψεται] διστακτικὸν τοῦτο.

B+ 194. ἐν βουλῇ δ' οὐ πάντες] εἰς ὑπόνοιάν τε αὐτοὺς ἄγει καὶ οὐ δοκεῖ ἐκφαίνειν τὰ τοῦ βασιλέως ἀπόρρητα.

AB= ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν] μετρίως, ἵνα μὴ καταισχύνῃ τοὺς ἄλλους, εἶπε τὸ "ἀκούσαμεν." τινὲς δὲ ἐν ἐρωτήσει, μὴ οὐκ ἠκούσα- 20 μεν πάντες οἱ βασιλεῖς τί εἶπεν ἐν τῇ βουλῇ Ἀγαμέμνων;

B= 195. * τὸ "μή τι" διστακτικόν.

B= 196. θυμὸς δὲ μέγας ἐστί] ἐπηρμένος. καὶ μεγαλήτορας γοῦν αὐτούς φησιν.

A+ διοτρεφέος βασιλῆος] οὕτως αἱ πᾶσαι πλὴν τῆς Ζηνοδότου. 25

AB= 197. τιμὴ δ' ἐκ Διός ἐστι] καλῶς καὶ ταῦτα, ἵνα δεδοικότες μὲν ὦσιν ὡς μεγαλόφρονα—τοῦτο γὰρ δηλοῖ "θυμὸς δὲ μέγας ἐστίν"—σέβωσι δὲ ὡς θεοφιλῆ τὸν βασιλέα· καὶ θεῷ πειθαρχεῖ ὁ ὑποκείμενος βασιλεύς.

B= 198. βοώωντά τ' ἐφεύροι] περὶ Ἀχιλλέως, αὐτὸν ἄρχειν θέλοντες. 30 ἢ ἐπεί φησι "τοὶ δ' ἀλλήλοισι κέλευον ἅπτεσθαι νηῶν" (151).

B= 199. τὸν σκήπτρῳ ἐλάσασκε] δόξειεν ⟨ἂν⟩ καὶ τοῦτο εἶναι ἄλογον, ὅτι τῆς Ἀθηνᾶς εἰπούσης "σοῖς δ' ἀγανοῖς" φαίνεται τύπτων τινάς, ὡς παρακούων τῆς θεοῦ, ὅπερ ἁρμόζον οὐδαμῶς ἐπὶ Ὀδυσσέως. ἐροῦμεν δέ, ὅτι ἡ μίμησις οὐκ ἄλογος· τὸ γὰρ ἐν τοσούτῳ θορύβῳ μηδὲ 35

10. τούτων ‖ 32–73, 5 post schol. 215 ‖ 33. Ἀθηνᾶς B: θεᾶς ‖ 35. μηδὲν

σφαλλόμενον τὸν Ὀδυσσέα ποιεῖν ἀμίμητον. πάντες γὰρ ἐν τοιούτοις καιροῖς ταραττόμεθα παρηχούμενοι ὡς πολλὰ ἐπιλανθάνεσθαι.

σκήπτρῳ ἐλάσασκε] οἱ γὰρ θρασεῖς κολακευόμενοι ἐπαίρονται, A = B –
εἰκουσι δὲ πληγαῖς· πῶς οὖν "δημοχαριστής" (Eur. Hec. 143)
κατὰ τοὺς τραγικοὺς ὁ Ὀδυσσεύς;

200. ἀτρέμας ἧσο] ἐν ἡσυχίᾳ κάθησο, καὶ ἄκουε τῶν βασιλέων, B =
ἵνα ἔκδηλος ἡ βουλὴ γίνηται.

201. οἳ σέο] ὀρθοτονητέον τὴν "σέο." A +

203. οὐ μέν πως πάντες βασιλεύσομεν] οὐκ ἔσται δημοκρατία A B =
φησίν. εἰ δὲ τοῖς μείζοσι ταῦτα ἔλεγεν, ἐξῆπτεν ⟨ἂν⟩ τὴν στάσιν,
σπουδαρχιδῶν ἀνδρῶν ἐν τοσούτῳ θορύβῳ καθαπτόμενος.

204. οὐκ ἀγαθὸν πολυκοιρανίη] ἀντὶ τοῦ συμφέρον. δογματίζει B =
δὲ περὶ πολιτειῶν.

205. ᾧ ἔδωκε Κρόνου πάις] εἰ μὴ γὰρ ἦν καλόν, οὐδ' ⟨ἂν⟩ θεοὶ αὐτῷ A = B +
ἐχρῶντο. ἅμα δὲ σημαίνει ὅτι θεόσδοτόν ἐστι τὸ τῆς βασιλείας γέρας.

εἷς βασιλεὺς ᾧ δῶκε] Ἰακῶς τὸ "δῶκε." A +

207. κοιρανέων δίεπε] βασιλικὰ διαπρασσόμενος ἔργα. §. ἢ διὰ A = B +
τοῦ στρατοῦ ἐνήργει. A B =

209. ἠχῇ, ὡς ὅτε κῦμα] τὸ "ἠχῇ" πρὸς τὴν κίνησιν, τὸν δὲ βρόμον A B =
πρὸς τὴν ἀπήχησιν.

210. βρέμεται, σμαραγεῖ] συμφυῶς τῷ ὑποκειμένῳ τετράχυ⟨ν⟩ται A B =
τὸ ἔπος ταῖς ὀνοματοποιίαις. καλῶς δὲ καὶ τὸ "μεγάλῳ αἰγιαλῷ,"
ἐμφῆναι θέλων τὴν παράτασιν τῶν κυμάτων.

* βρέμεται] ἠχεῖ, κτυπεῖ.

212. Θερσίτης δ' ἔτι] ὠνοματοποίησε τὸ ὄνομα παρὰ τὸ θέρσος A = B +
Αἰολικῶς.

Θερσίτης δ' ἔτι] ἐπίτροπον τοῦ ποιητοῦ φασιν αὐτόν, σφετερισά- A B =
μενον τὴν οὐσίαν, ὃν κακῶς λέγει. τῶν ἀκόσμων δὲ εἰδὼς τὴν ὀργὴν
ἐπιπλήξεσιν ἢ γέλωτι παυομένην, πρὸς μὲν τὸ ἐπιπλήσσειν Ὀδυσσ[έα],
πρὸς δὲ τὸ γελᾶν καὶ γελᾶσθαι Θερσίτην ἔλαβεν, ὡς καὶ ἐπὶ τῶν
θεῶν ἐν τῇ Α τὴν Ἥραν καταστέλλει Ζεὺς μὲν ἀπειλῶν, Ἥφαιστος
δὲ γελοῖος φανείς. καὶ νῦν οὖν τὸν Θερσίτην ὁ ποιητὴς παρέλαβε
πρὸς τὸ διαλῦσαι τὸ στυγνὸν τῆς ἐκκλησίας καὶ ὑβρίσαι τὸν Ἀγα-
μέμνονα· δίκαιον γάρ· ἀλλ' οὐ λυπεῖ ἀνάξιος ὤν. ἤδη δὲ οὐ Ξενοφάνει

3. ὅτι γὰρ ‖ 6. κάθησο B : ἧσο ‖ 7. γένηται ‖ 20. "τὸ ἠχῇ : debebat τὸ κῦμα cf. B" W ‖ 23. τὸ B : τῷ ‖ 34. ὑβρίσαι B : ὑβρισθῆναι

A+B= 133. Ἰλίου ἐκπέρσαι] ἄμεινον τὸ "Ἴλιον" ἤπερ "Ἰλίου." §.

B= "Ἰλίου πτολίεθρον" ὡς "Ἀργοῦς σκάφος" (Eur. Med. 1).

B= 134. ἐννέα δή] κοινὸν καὶ τοῦτο πρός τε τὸ ἀπιέναι, ἐγκαθημένων ἀπράκτων τοσοῦτον χρόνον, καὶ πρὸς τὸ μένειν, ὡς τοῦ τῆς ἁλώσεως χρόνου πληρωθέντος· τῷ γὰρ δεκάτῳ ἔτει ἁλώσεσθαι τὴν Ἴλιον ὁ

B= Κάλχας ἔφη. §. ἐλπίδα τοῦ τέλους ὑπογράφων αὐτοῖς οὐκ ἐνεστηκέναι τὸν ἔνατον ἐνιαυτὸν εἶπεν—καίτοι τοῦτο ἦν τὸ ἀληθές, ὅπερ καὶ Ὀδυσσεύς φησιν "ἡμῖν δ' εἰνατός ἐστι περιτροπέων ἐνιαυτός" (295) —ἀλλὰ παρεληλύθασί φησιν ἐννέα ἐνιαυτοί.

B+ βεβάασι] ἀντὶ τοῦ πορεύονται, ὡς τὸ "βῆ δ' ἀρ' ἐπ' Ἀτρεΐδην" (18) ἀντὶ τοῦ ἔβαινεν.

*Διὸς μεγάλου] τοῦ ἡλίου ἢ τοῦ χρόνου.

B= 135. καὶ δὴ δοῦρα σέσηπε] καὶ τοῦτο ἀμφοτέροις συνᾴδει, τῷ ἀπιέναι πρὶν διαφθαρῆναι πλέονας νῆας, καὶ τῷ μένειν, ὡς διὰ τὸ σεσηπέναι τὰς ναῦς τέως πλεῖν οὐ δυναμένων. καὶ Θεόπομπος δὲ ταύτην αἰτίαν αὐτοῖς τοῦ ναναγίου φησίν, ὡς καὶ τοὺς περὶ Κάλχαντα καὶ Ἀμφίλοχον πεζοὺς ἀπαλλάττεσθαι.

B= *δοῦρα σέσηπε—λέλυνται] ἐν ἑνὶ στίχῳ ἔθηκε τὴν Ἀτθίδα καὶ κοινὴν χρῆσιν.

B= 136. αἱ δέ που ἡμέτεραι] ἀπαλλαττώμεθα οὖν ὡς ποθούμενοι· ἢ ὡς μηδὲν ἄξιον τῆς προσδοκίας εἰργασμένοι ⟨μένωμεν⟩.

138. *αὖτως] ἔτι, ἀκμήν· "λευκὸν ἔτ' αὖτως" (Il. 23. 268).

139. *ἀλλ' ἄγεθ'] ἄγετε, ἐπίρ⟨ρ⟩ημα.

B= 140. φεύγωμεν σὺν νηυσί] ἠδύνατο μὲν εἰπεῖν στείχωμεν· ἀλλὰ τῷ αἰσχρῷ ὀνόματι ἀποτρέπει τοῦ ἀπόπλου.

B= φίλην ἐς πατρίδα γαῖαν] "φίλην" τὴν ἰδίαν· "φίλους λήθοντε τοκῆας" (Il. 14. 296)· "πατρίδα" δέ, ἕκαστος τὴν ἰδίαν· ἔδει δὲ πατρίδα αἶαν.

141. οὐ γὰρ ἔτι Τροίην] οὗτος ὁ στίχος ἀναιρεῖ τὴν ἀμφιβολίαν· διὸ ἔν τισιν οὐ φέρεται.

B= 142. τοῖσι δὲ θυμὸν—ὄρινεν] τὸ αἰφνίδιον τῆς τῶν ἀνθρώπων ὁρμῆς ἐσήμανε περὶ τῶν οἴκοι τερπνῶν ἀκουσάντων.

B= 143. *μετὰ πληθύν] ἐν τῷ πλήθει ἢ κατὰ τὸ πλῆθος.

B= ὅσοι οὐ βουλῆς ἐπάκουσαν] τινὲς ἤσθοντο τῆς γνώμης τοῦ Ἀγαμέμνονος.

7. εἶχε ‖ 14. πλέον αἱ νῆες ‖ 21. ἢ οἱ μηδὲν ‖ suppl. W ‖ 26. λήθονται

144. * κινήθη] ὥρμησε. B=

ὡς κύματα μακρά] ὑψηλά, τὰ ἐκ βάθους κινούμενα· συνωθοῦνται γὰρ ἄλλα ἐπ' ἄλλοις, ὡς ὅλης ἐκ βυθοῦ ταρασσομένης τῆς θαλάττης. AB=

διὰ τί προειπόντος τοῦ Ἀγαμέμνονος ἐν τοῖς προβεβουλευμένοις "ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέε⟨σ⟩σιν" (75), ὁρμησάντων τῶν Ἑλλήνων ἐπὶ τὰς ναῦς, οὔτε ἄλλος οὐδεὶς οὔτε Ὀδυσσεὺς τοῦτο ἐποίησε ταχέως, ἀλλ' ὁ μὲν ἕστηκεν ἁπλῶς μόνον οὐχ ἁπτόμενος τῆς νηός, οἱ δὲ ἐπὶ τῆς ἐκκλησίας μένουσι, καὶ ἡ Ἀθηνᾶ παραγίνεται ἀπὸ μηχανῆς ὥσπερ καθεύδοντα τὸν Ὀδυσσέα ἐγείρουσα; ἢ ὅτι οὐχ οἷόν τε ἦν ὁρμησάντων παραχρῆμα ἐπέχεσθαι αὐτούς, θορύβου κατέχοντος τοσούτου· θεατὰς γοῦν ἡμᾶς σχεδὸν ποιῶν τῆς τότε ἀταξίας αὐτῶν, ἐπιτραγῳδεῖ ταῦτα τὰ ἔπη· "κινήθη δ' ἀγορὴ ὡς κύματα." διὸ ὁ Ὀδυσσεὺς μετὰ Νέστορα συνέσει προῦχων ἵσταται μὴ καθέλκων τὴν ναῦ⟨ν⟩, διὰ τούτου ἐπιδεικνὺς ὃ ἐβούλετο καὶ τοὺς ἄλλους ποιεῖν. ἔστι δὲ Ὀδυσσεὺς ἱκανώτερος ⟨Νέστορος⟩ πάντα πρᾶξαι τὰ διὰ τοῦ σώματος, τῶν δὲ ἄλλων συνετώτερος· διὸ πρὸς τοῦτον ἐλήλυθεν ἡ Ἀθηνᾶ· οὐ γὰρ δίχα θεοῦ πιθανὸν τοσοῦτον καταστέλλεσθαι θόρυβον. B=

146. *ὦρορε] ἀπὸ τοῦ ὄρωρεν Ἀττικοῦ· ὑπέρθεσις ἐγένετο τοῦ χρόνου. §. "ἐπαΐξας" δέ, ἄνωθεν αἰγιδώδης πνεύσας. AB= B=

ὡς δ' ὅτε κινήσει Ζέφυρος] πρὸς συμπλήρωσιν τῶν σταχύων πνέουσιν οἱ ζέφυροι. §. "λήιον" δὲ ἀντὶ τοῦ γήιον, ὡς μόγις μόλις. B=

* ἠπειρωτικὴ ἡ παραβολή, ὅπερ ἄμεινον· ἡ πρώτη μὲν τὸν τάραχον, ἡ δὲ τὴν ὁμοθυμαδὸν ὁρμὴν ⟨παρίστησιν⟩. A+ B=

148. ἐπί τ' ἠμύει] ἠμύει τὸ λήιον τοῖς στάχυσιν, ὡς "ἔφριξεν δὲ μάχη—ἐγχείῃσιν" (Il. 13. 339)· ἢ οἱ στάχυες τῷ ἀνέμῳ ἠμύουσιν. AB=

150. *νῆας ἐπ' ἐσσεύοντο] οὐκ ἀναστρεπτέον· αἱ γὰρ συναλ⟨ε⟩ιφόμεναι οὐκ ἀναστρέφονται, εἰ μὴ ἐπὶ τέλους κεῖνται ῥῆμα δηλοῦσαι. A+ B=

ποδῶν δ' ὑπένερθε] ὑπὸ δὲ τῶν ποδῶν αὐτῶν νέρθεν ἀειρομένη ἡ κόνις ἀνίστατο. B=

152. *ἅπτεσθαι] ἐπιλαμβάνεσθαι. A+ B=

153. * οὐρούς] ὅθεν ὀρούουσιν αἱ νῆες. τῷ δὲ χρόνῳ πολλὴ ἦν τις ὕλη περὶ αὐτούς. B+

9. παραγίνεται B: παράγει ‖ 13. κῦμα ‖ 20. repetitur *ὦρορε] ἀπὸ τοῦ ὦρορεν ὑπερθέσει χρόνου et *ἐπαΐξας κτλ. ‖ 23. ἠπειρώταις

AB= ἀυτὴ δ' οὐρανὸν ἶκεν] μεγαλοφυῶς ηὔξησε τὴν ταραχήν, ἣν ἐλεπτολόγησεν Ἀριστοφάνης Ἀχαρνεῦσιν (545).

A+B= * 155. ὑπέρμορα] ὀνοματικὸν ἐπί⟨ρ⟩ρημα.

B= νόστος ἐτύχθη] ἡ εἰς τὸν οἰκεῖον τόπον ὑποστροφή· "νόστου δὴ μνῆσαι" (Il. 10. 509) καὶ "νοστήσαντα ἄνακτα" (Il. 13. 38).

B= 156. εἰ μὴ Ἀθηναίην] εἰς τοσοῦτον προάγει τὰς περιπετείας, ὡς δύνασθαι θεὸν μόνον αὐτὰς μεταθεῖναι. πρῶτος δὲ καὶ τοῖς τραγικοῖς μηχανὰς εἰσηγήσατο.

B= 157. ὦ πόποι] καὶ τῷ σχετλιασμῷ καλῶς κέχρηται, καὶ τὴν αἰσχύνην τῶν φίλων προβέβληται, καὶ τῶν πολεμίων τὴν χαρὰν ἐπάγει. συμφέρεσθαι δὲ ἀλλήλαις Ἥραν καὶ Ἀθηνᾶν λέγων δείκνυσιν ὅτι οὔτε μητρυιὰ πρόγονον μισεῖ οὔτε πρόγονοι μητρυιαῖς διαφέρονται νοῦν ἔχοντες.

B= 160. Πριάμῳ καὶ Τρωσί] καλῶς οὐκ Ἀλεξάνδρῳ ἀλλὰ Τρωσὶν εἶπε καὶ Πριάμῳ, τῆς Ἑλένης τὸ ἐγκώμιον αὔξων.

161. Ἀργείην Ἑλένην] ἣν τὸ δίκαιον αὐτοῦ οἶδεν.

B= 163. ἀλλ' ἴθι νῦν] οὐκ ἄτοπον καὶ τοῖς ἐνδόξοις ἡ χρειώδης ὑπηρεσία.

AB= 164. σοῖς δ' ἀγανοῖς] προσηνέσι, πρᾴοις, ὑπάγεσθαι δυναμένοις· οὕτω γὰρ ἔδει μαλάσσειν τὸ σφριγῶδες τοῦ θυμοῦ.

B= 165. ἀμφιελίσ⟨σ⟩ας] ἀμφοτέρωθεν στρεφομένας.

B= 169. εὗρεν ἔπειτ' Ὀδυσῆα] ὃ κεκέλευσται ποιεῖν ἡ Ἀθηνᾶ, δι' ἑνὸς ἀδρανοῦς ὑπηρέτου ποιεῖ, ὡς σοφὸς ἀρχιτέκτων· οὗτος γὰρ μετὰ τοῦ λόγου τὸ πρακτικὸν ἔχει, οὐχ ὡς Νέστωρ.

B= Διὶ μῆτιν ἀτάλαντον] εἰ μὴ δεξιὰ Ὅμηρος περὶ θεῶν ἐφρόνει, οὐκ ἂν τὸν Ὀδυσσέα "Διὶ μῆτιν ἀτάλαντον" ἔλεγε καὶ "θεοῖς ἐναλίγκια μήδε' ἔχοντα." πῶς γὰρ οἱ θεοὶ ἄδικοι ἢ ἄφρονες, ὁπότε ὁ ἔπαινος τῶν ἀγαθῶν ἀνδρῶν ἐπὶ τούτους ἀναφέρει τὴν εἰκόνα;

B= 170. * οὐδ' ὅ γε νηός] ὡς οὐδὲ οἱ ἄλλοι βασιλεῖς.

ἐυσέλμοιο] σέλματα αἱ σανίδες, σελμίς τὸ σπαρτίον.

B= 171. ἐπεί μιν ἄχος] "μίν" ἀντὶ τοῦ αὐτόν. §. "ἄχος" δὲ ἡ

B= ἄφωνος ἀνία, οἵαν ἔσχεν ἡ Νιόβη.

B= 173. διογενὲς Λαερτιάδη] τὸ σχῆμα ὁμοιόπτωτόν ἐστι καὶ κλητι-

19. δυναμένων ‖ 20. μαλλάσσειν ‖ 22. κεκέλευσθαι ‖ 30. post σπαρτίον add. κλητικῶς ὁμοιόπτωτον, cf. schol. 173 ‖ 31. αὐτοῦ ‖ 32. οἵαν B: οἷον

κὸν προσαγορεύεται. ἔστι δὲ Λαέρτου τοῦ Ἀρκεισίου τοῦ Κι(λ)λέως τοῦ Κεφάλου τοῦ Ἑρμοῦ. ἐναρχόμενος δὲ τῶν πράξεων τοῦ ἀνδρὸς ὅσοις αὐτὸν κοσμεῖ ἐγκωμίοις.

* πολυμήχανε] τινὲς ταὐτὸν τὸ πολύτροπε. B=

175. φεύξεσθε] εὖ τὸ καὶ τὸν Ὀδυσσέα συμπεριλαβεῖν τῇ φυγῇ· παρώξυνε γὰρ αὐτὸν πρὸς τὸ τοὺς ἄλλους ἐπέχειν, ἐπαγαγοῦσα τῷ ἥρωι δειλίας ἔγκλημα. B=

πολυκλήισι] τὰ ἔχοντα τὸ η εἰς ι μακροκατάληκτα ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον, οἷον μελάμψηφις μελά(γ)κρηπις· οὕτω καὶ τὸ πολύκλης. AB+

πεσόντες] "πεσόντες," οὐκ ἐμβάντες, ὅ ἐστι σύμβολον ἀτάκτου φυγῆς. AB=

179. ἀλλ' ἴθι νῦν] ἴσον ἐποίησε τῇ Ἀθηνᾷ τὸν Ὀδυσσέα, τοῦτον παραγαγὼν ὑπ' αὐτῆς κελευόμενον, ὅπερ ἐκείνη ὑπὸ τῆς Ἥρας ποιεῖν ἐπετέτακτο. B=

μηδ' ἔτ' ἐρώει] ὁρμᾶν ἔα, ἢ μὴ παύου.

182. ὃ δὲ ξυνέηκε] τὴν ὅπα φωνησάσης τῆς θεᾶς. B=

183. βῆ δὲ θέειν] ὥστε θέειν. §. ἀφείλετο δὲ τὴν ἀπόκρισιν ἡ ἔπειξις τοῦ καιροῦ. ἔστι δέ, ὥρμησεν ἐπὶ τὸ θέειν. ἢ Ἀττικῶς λείπει τὸ ὥστε· ἢ τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς. AB=

ἀπὸ δὲ χλαῖναν] χλαῖνα ἡ τετράγωνος χλαμύς, ἡ εἰς ὀξὺ λήγουσα. A=
§. ἀπέβαλε δὲ ταύτην ἢ διὰ τὸ εὐπερίσταλτον, ἢ διὰ τὸ ἐπιστρέφειν τῇ παραδόξῳ θέᾳ τοὺς πολλούς, ἢ ἵνα ταπεινὸς ὑπηρέτης δοκῇ εἶναι τῶν βασιλικῶν δογμάτων. οἱ δέ, ὅτι ἀπὸ τῆς σπουδῆς αὐτομάτως πέπτωκεν. καὶ περὶ Ἀγαμέμνονος δὲ ἑτέρωθί φησι "πορφύρεον μέγα φᾶρος ἔχων" (Il. 8. 221). B=

184. κῆρυξ Εὐρυβάτης] ἕτερός ἐστιν οὗτος παρὰ τὸν Ἀγαμέμνονος, ὡς Πορφύριος· διὸ τὸ "Ἰθακήσιος" προσέθηκεν. A–

* ὀπήδει] ἠκολούθει.

186. δέξατό οἱ σκῆπτρον] τὸ σκῆπτρον δέχεται, ἵνα δοκῇ παρὰ τοῦ βασιλέως εἰληφέναι τὴν κατὰ τῶν ἀκοσμούντων ἐξουσίαν, καὶ μὴ χολῶσιν ἐπιτιμώμενοι. ἡ ἔπειξις δὲ τοῦ καιροῦ περιεῖλε τοὺς Ἀγαμέμνονος λόγους. A– B=

πατρώιον ἄφθιτον] ποιητικῶς τοῦτο πέπλασται, τὸ δὲ ἀθάνατον A– B=

5. τὸ καὶ B: καὶ τὸ ‖ 8. ι scripsi: ε ‖ 27. περὶ τὸν Ἀγαμέμνονα ‖ 28. διὸ B: δι' οὗ ‖ 30. δοκῇ B: δόξῃ ‖ 32. χολῷεν

ἐπὶ τῶν ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων.

188. ἔξοχον ἄνδρα κιχείη] τινὲς "κιχοίη."

B= 189. τὸν δ' ἀγανοῖς] δύο μέρη· τὸ δὲ "δέ" ἀντὶ τοῦ δή.

AB+ τὸν δ' ἀγανοῖς] ὅτι οὐκ ἐγκλιτέον τὸν "δέ."

B= 190. οὔ σε ἔοικε] ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ συνήθεια.

B= κακὸν ὣς δειδίσσεσθαι] εὐλαβεῖσθαι· θωπεύων δὲ δυσωπεῖ.

B= 191. κάθησο] κάθου Ἀττικῶς.

B= καὶ ἄλλους ἵδρυε] αὐτὸς διὰ τῶν ἐπιφανῶν τὸ πᾶν ἱδρύει.

A= 192. οὐ γάρ πω σάφα οἶσθα] ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺς ἑξῆς παρεστιγμένους τρεῖς στίχους· εἰσὶ γὰρ πρὸς βασιλέα ἁρμόζοντες, οὐ πρὸς δημότας· "οὐ μέν—πάντες" (203).

A+ οἷος νόος Ἀτρείδαο] αἱ χαριέστεραι "Ἀτρείωνος."

AB= 193. νῦν μὲν πειρᾶται] ἀπὸ τοῦ "νῦν μέν" ἕως τοῦ "τιμὴ δ' ἐκ Διός" (197) ἀθετοῦνται ὡς οὐ προτρεπτικοὶ εἰς καταστολήν.

B= τάχα δ' ἴψεται] διστακτικὸν τοῦτο.

B+ 194. ἐν βουλῇ δ' οὐ πάντες] εἰς ὑπόνοιάν τε αὐτοὺς ἄγει καὶ οὐ δοκεῖ ἐκφαίνειν τὰ τοῦ βασιλέως ἀπόρρητα.

AB= ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν] μετρίως, ἵνα μὴ καταισχύνῃ τοὺς ἄλλους, εἶπε τὸ "ἀκούσαμεν." τινὲς δὲ ἐν ἐρωτήσει, μὴ οὐκ ἠκούσαμεν πάντες οἱ βασιλεῖς τί εἶπεν ἐν τῇ βουλῇ Ἀγαμέμνων;

B= 195. * τὸ "μή τι" διστακτικόν.

B= 196. θυμὸς δὲ μέγας ἐστί] ἐπηρμένος. καὶ μεγαλήτορας γοῦν αὐτούς φησιν.

A+ διοτρεφέος βασιλῆος] οὕτως αἱ πᾶσαι πλὴν τῆς Ζηνοδότου.

AB= 197. τιμὴ δ' ἐκ Διός ἐστι] καλῶς καὶ ταῦτα, ἵνα δεδοικότες μὲν ὦσιν ὡς μεγαλόφρονα—τοῦτο γὰρ δηλοῖ "θυμὸς δὲ μέγας ἐστίν"—σέβωσι δὲ ὡς θεοφιλῆ τὸν βασιλέα· καὶ θεῷ πειθαρχεῖ ὁ ὑποκείμενος βασιλεύς.

B= 198. βοόωντά τ' ἐφεύροι] περὶ Ἀχιλλέως, αὐτὸν ἄρχειν θέλοντες. ἢ ἐπεί φησι "τοὶ δ' ἀλλήλοισι κέλευον ἅπτεσθαι νηῶν" (151).

B= 199. τὸν σκῆπτρῳ ἐλάσασκε] δόξειεν ⟨ἂν⟩ καὶ τοῦτο εἶναι ἄλογον, ὅτι τῆς Ἀθηνᾶς εἰπούσης "σοῖς δ' ἀγανοῖς" φαίνεται τύπτων τινάς, ὡς παρακούων τῆς θεοῦ, ὅπερ ἁρμόζον οὐδαμῶς ἐπὶ Ὀδυσσέως. ἐροῦμεν δέ, ὅτι ἡ μίμησις οὐκ ἄλογος· τὸ γὰρ ἐν τοσούτῳ θορύβῳ μηδὲ

10. τούτων ‖ 32–73, 5 post schol. 215 ‖ 33. Ἀθηνᾶς B: θεᾶς ‖ 35. μηδὲν

σφαλλόμενον τὸν Ὀδυσσέα ποιεῖν ἀμίμητον. πάντες γὰρ ἐν τοιούτοις καιροῖς ταραττόμεθα παρηχούμενοι ὡς πολλὰ ἐπιλανθάνεσθαι.

σκήπτρῳ ἐλάσασκε] οἱ γὰρ θρασεῖς κολακευόμενοι ἐπαίρονται, εἴκουσι δὲ πληγαῖς· πῶς οὖν "δημοχαριστής" (Eur. Hec. 143) κατὰ τοὺς τραγικοὺς ὁ Ὀδυσσεύς; A = B −

200. ἀτρέμας ἧσο] ἐν ἡσυχίᾳ κάθησο, καὶ ἄκουε τῶν βασιλέων, ἵνα ἔκδηλος ἡ βουλὴ γίνηται. B =

201. οἳ σέο] ὀρθοτονητέον τὴν "σέο." A +

203. οὐ μέν πως πάντες βασιλεύσομεν] οὐκ ἔσται δημοκρατία φησίν. εἰ δὲ τοῖς μείζοσι ταῦτα ἔλεγεν, ἐξῆπτεν ⟨ἂν⟩ τὴν στάσιν, σπουδαρχιδῶν ἀνδρῶν ἐν τοσούτῳ θορύβῳ καθαπτόμενος. A B =

204. οὐκ ἀγαθὸν πολυκοιρανίη] ἀντὶ τοῦ συμφέρον. δογματίζει δὲ περὶ πολιτειῶν. B =

205. ᾧ ἔδωκε Κρόνου πάις] εἰ μὴ γὰρ ἦν καλόν, οὐδ' ⟨ἂν⟩ θεοὶ αὐτῷ ἐχρῶντο. ἅμα δὲ σημαίνει ὅτι θεόσδοτόν ἐστι τὸ τῆς βασιλείας γέρας. A = B +

εἷς βασιλεὺς ᾧ δῶκε] Ἰακῶς τὸ "δῶκε." A +

207. κοιρανέων δίεπε] βασιλικὰ διαπρασσόμενος ἔργα. §. ἢ διὰ τοῦ στρατοῦ ἐνήργει. A = B + A B =

209. ἠχῇ, ὡς ὅτε κῦμα] τὸ "ἠχῇ" πρὸς τὴν κίνησιν, τὸν δὲ βρόμον πρὸς τὴν ἀπήχησιν. A B =

210. βρέμεται, σμαραγεῖ] συμφυῶς τῷ ὑποκειμένῳ τετράχυ⟨ν⟩ται τὸ ἔπος ταῖς ὀνοματοποιίαις. καλῶς δὲ καὶ τὸ "μεγάλῳ αἰγιαλῷ," ἐμφῆναι θέλων τὴν παράτασιν τῶν κυμάτων. A B =

* βρέμεται] ἠχεῖ, κτυπεῖ.

212. Θερσίτης δ' ἔτι] ὠνοματοποίησε τὸ ὄνομα παρὰ τὸ θέρσος Αἰολικῶς. A = B +

Θερσίτης δ' ἔτι] ἐπίτροπον τοῦ ποιητοῦ φασιν αὐτόν, σφετερισάμενον τὴν οὐσίαν, ὃν κακῶς λέγει. τῶν ἀκόσμων δὲ εἰδὼς τὴν ὀργὴν ἐπιπλήξεσιν ἢ γέλωτι παυομένην, πρὸς μὲν τὸ ἐπιπλήσσειν Ὀδυσσ[έα], πρὸς δὲ τὸ γελᾶν καὶ γελᾶσθαι Θερσίτην ἔλαβεν, ὡς καὶ ἐπὶ τῶν θεῶν ἐν τῇ Α τὴν Ἥραν καταστέλλει Ζεὺς μὲν ἀπειλῶν, Ἥφαιστος δὲ γελοῖος φανείς. καὶ νῦν οὖν τὸν Θερσίτην ὁ ποιητὴς παρέλαβε πρὸς τὸ διαλῦσαι τὸ στυγνὸν τῆς ἐκκλησίας καὶ ὑβρίσαι τὸν Ἀγαμέμνονα· δίκαιον γάρ· ἀλλ' οὐ λυπεῖ ἀνάξιος ὤν. ἤδη δὲ οὐ Ξενοφάνει A B =

3. ὅτι γὰρ ‖ 6. κάθησο B : ἔσο ‖ 7. γένηται ‖ 20. "τὸ ἠχῇ : debebat τὸ κῦμα cf. B" W ‖ 23. τὸ B : τῷ ‖ 34. ὑβρίσαι B : ὑβρισθῆναι

ἀλλ' Ὁμήρῳ πρώτῳ σιλλοὶ πεποίηνται, ἐν οἷς αὐτόν τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς ἀρίστους. οὐκέτι δὲ μέμνηται αὐτοῦ,

A + B= ἐπεὶ σεσωφρόνισται τοῦ λοιποῦ "νεικείειν βασιλῆας." §. Φερεκύδης δὲ καὶ τοῦτον ἕνα τῶν ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατευσάντων φησίν· ἐκκλίνοντα ⟨δὲ⟩ τὴν τοῦ συὸς μάχην ὑπὸ Μελεάγρου κατακρημνισθῆναι· διὸ καὶ λελωβῆσθαι τὸ σῶμα. Ἀγρίου δὲ καὶ Δίας τῆς Πορθάονος αὐτόν φασιν. εἰ δὲ συγγενὴς ἦν Διομήδους, οὐκ ἂν αὐτὸν ἔπληξεν Ὀδυσσεύς· τοὺς γὰρ ἰδιώτας μόνον ἔτυπτεν. εὖ δὲ καὶ οὐκ ἀπὸ πατρὸς αὐτὸν συνέστησεν, οὐδ' ἀπὸ πατρίδος, ἀλλ' ἀπὸ τοῦ τρόπου μόνου καὶ τῆς μορφῆς, ὧν χρεία τὰ νῦν.

B− ἀμετροεπής] "πάντων γὰρ κόρος ἐστίν" (Il. 13. 636)· οἱ δὲ μέτρον τὴν τάξιν· ἡμεῖς δὲ ἀπεραντολόγον τοῦτόν φαμεν. ἴσως δὲ στάσεως ῥυόμενοι τὴν πατρίδα ἤγαγον αὐτόν· ἦσαν γὰρ "καὶ ταμίαι παρὰ νηυσίν" (Il. 19. 44).

B= 213. ἄκοσμά τε] τοῦτο ἄτοπον, κἂν ᾖ βραχύ.

214. ἐριζέμεναι βασιλεῦσιν] ἀπὸ κοινοῦ τὸ "ᾖδει."

AB− 215. ἀλλ' ὅ τι οἱ εἴσαιτο] τὸ εὐκτικὸν ἀντὶ ὁριστικοῦ, ἀντὶ τοῦ ἐδόκει, ὡς τὸ "καί νυ κεν ἔνθ' ἀπόλοιτο ἄναξ" (Il. 5. 311) "καί νυ κε δὴ τανύσειε βίῃ τὸ τέταρτον ἀνέλκων" (Od. 21. 128).

B= ἀλλ' ὅ τι οἱ] τὸ "ὅ τι" ἀναφορικόν ἐστιν.

B= εἴσαιτο] φανείη, δόξειεν.

B= Ἀργείοισιν ἔμμεναι] ἀπὸ κοινοῦ τὸ ἐδόκει.

216. αἴσχιστος] τοῦτο καὶ ἐπὶ πιθήκου.

ὑπὸ Ἴλιον ἦλθεν] "πῶς ἦλθες ὑπὸ ζόφον" (Od. 11. 57), ἀντὶ τοῦ ἐπί.

A − B= 217. φολκὸς ἔην] ὡς ἀνδριαντοπλάστης ἀπὸ τοῦ καλλίστου ἄρχεται, ὡς "ὄμματα καὶ κεφαλήν" (478)· "κάρη κομόωντες." "ὄψιν τ' ἀγαθὴν καὶ μῦθον" (Il. 24. 632). ἔστιν οὖν ἐφελκόμενος τὰ φάη· ὁ γὰρ τυφλὸς μᾶλλον ἐλεεῖται.

AB= φολκός] ὅτι ἅπαξ εἴρηται τοῦτο.

AB= ἕτερον πόδα] οἰκείως, ἐπεὶ δύο, ἢ τὸν ἀριστερὸν ⟨ἢ τὸν δεξιόν⟩· τοῦτο δὲ πρὸς τὸ γελωτοποιεῖν· ἧττον γὰρ ⟨ἂν⟩ ἐγελᾶτο, εἰ ἄμφω τὼ πόδε.

B= 218. συνοχωκότε] ἀπὸ τοῦ συνοχωκώς, ὅ ἐστι συμπεπτωκότες. καὶ "ξυνοχῇσιν ὁδοῦ" (Il. 23. 330) ταῖς ἀπὸ πλάτους εἰς στενὸν συμπτώσεσιν.

6. post τῆς spatium 4 litt. vacuum ‖ 12. ἀπέραντον λόγον ‖ 18. ἄναξ scripsi: ἄρης ‖ 30. schol. cum praecedenti coniunctum

ἐπὶ στῆθος] ἵν' ὁρᾶτο τὸ κυρτὸν ἔμπροσθεν. B=

219. φοξὸς ἦεν] φοξὰ κυρίως εἰσὶ τὰ πυρορραγῆ ὄστρακα, φλοξά AB=
τινα ὄντα.

ψεδνή] πιθανῶς, ὅπως μὴ λανθάνῃ τὸ φοξὸν τῇ κόμῃ καλυπτόμενον. AB=

5 ἐπενήνοθεν] ἀπὸ τοῦ θέω· ὑπερβιβασμὸς ἔθω, ὡς ῥέων Ἀχέρων, A+B−
ἐνέθω, ἤνοθα καὶ Ἀττικῶς ἐνήνοθα, ὅθεν καὶ ἔνοσις.

λάχνη] πύκνωσις, παρὰ τὸ λᾶ καὶ τὸν χοῦν.

221. τότ' αὖτ' Ἀγαμέμνονι δίῳ] αἱ τῶν μεγάλων ἀτυχίαι ὑψοῦσι B=
τοὺς ταπεινούς. αἴτιος δὲ ὁ τὸν ἀριστέα ὑβρίσας· διὸ οὐδὲ τολμᾷ

10 σωφρονίσαι.

223. ἐκπάγλως] ὑβριστικῶς. §. "κοτέοντο" δὲ ἡδόμενοι τῷ βασιλεῖ.

224. νείκεε μύθῳ] ἐξήγησις τοῦ "λέγ' ὀνείδεα."

225. Ἀτρεΐδη, τέο δ' αὖτ' ἐπιμέμφεαι] τὸν ἀμετροεπῆ δεικ- AB=
νυσιν· ἃ γὰρ ἔδει ἐπὶ τῆς προτέρας ἐκκλησίας λέγεσθαι, ὅτε ἔλεγεν

15 Ἀγαμέμνων "ἀγέραστος ἔω" (Il. 1. 119) "ἧσθαι δευόμενον" (ib.
134), νῦν προβάλλεται, ἴσως ⟨τότε⟩ τῷ πρὸς Ἀχιλλέα φθόνῳ
νικώμενος.

τέο δ' αὖτε] οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ διὰ τοῦ η ⟨δή⟩.

ἐπιμέμφεαι] παρονομασία.

20 ἐπιμέμφεαι] πρὸς τὸ "ὄφρα μὴ ἀγέραστος Ἀργείων ἔω."

226. πλεῖαί τοι χαλκοῦ κλισίαι] τοιαῦτα μὲν ἦν καὶ τὰ παρὰ AB=
Ἀχιλλέως "ἀτὰρ ἦν ποτε δασμὸς ἴκηται, σοὶ τὸ γέρας πολὺ
μεῖζον" (Il. 1. 167). τοῦτον ⟨δὲ⟩ τὸ ἄκαιρον μετὰ τῆς πηρώσεως εἰς
καταφρόνησιν ἄγει.

25 228. πρωτίστῳ] φωνὴ ὑπερθετική, ὡς ἐλευθερώτατα μονώτατα. B=

εὖτ' ἂν πτολίεθρον ἕλωμεν] ὁ δὲ Ἀχιλλεὺς "Τρώων ἐκπέρσωσι" B+
(Il. 1. 164).

229. ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι] πῶς μὴ προγνωσθέντος τοῦ
χρυσοῦ τὸ ἄρθρον ἐπῆξε καὶ τῷ "οἶσει" μέλλοντι τὸν ἄν;

30 ἦ ἔτι καὶ χρυσοῦ] οἶμαι τὸ "ἔτι" τὴν παράτασιν τῆς ἀπληστίας B=
αὐτοῦ δηλοῦν.

231. ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν] ἐνταῦθα καὶ τῶν B+
ἄλλων προὔθηκεν ἑαυτόν. πάντως δὲ ἐπιθεὶς τῷ στήθει τὴν χεῖρά φησιν.

232. * ἠὲ γυναῖκα] γυναῖκα ἀγάγω. B=

2. πυριρραγῆ ‖ 6. ἔνωσις ‖ 10. σωφρονῆσαι ‖ 13. ἐπιμέμφεται ‖ 18. τοῦ ην ‖ 20. schol. cum praecedenti coniunctum

B= 233. οὐ μὲν ἔοικεν ἀρχὸν ἐόντα] διὰ τὸν λοιμὸν καὶ τὴν ἀπό-
B= στασιν Ἀχιλλέως. §. τὸ δὲ "ἀρχὸν ἐόντα" τῶν Ἀχαιῶν· ἀπὸ κοινοῦ
γάρ ἐστι τὸ "Ἀχαιῶν."

A–B= 235. ὦ πέπονες] ὁ πέπων καὶ ἡ πέπων κοινῶς καὶ τὰ πέπονα.
παρόμοιον δὲ τὸ "ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις" (Il. 1. 231)· γέλωτα
δὲ κινεῖ κακὰ ἐλέγχεα ἀποκαλῶν τοὺς Ἀχαιοὺς ὁ ἐπονείδιστος καὶ
σῶμα καὶ ψυχήν.

Ἀχαιΐδες] παρονομασία, οἷα "οὐ Φίλιππος ἀλλὰ Φιλίππιον κεκρά-
τηκε δὶς Ἑλλάδος."

AB= 236. οἵκαδέ περ σὺν νηυσί] σὺν τῷ στόλῳ. κακοήθως δὲ τοὺς
Ἕλληνας ὑπέμνησε τοῦ νόστου, ἐφ' ὅ⟨ν⟩περ ὁρμήσαντες κατεσχέ-
θησαν. καὶ διὰ τοῦ "νεώμεθα" τὸ "φεύγωμεν" ἰάσατο.

A–B= 237. *γέρα πεσσέμεν] κυβεύειν ἢ κατέχειν· "χόλον θυμαλγέα
πέσσων" (Il. 9. 565).

238. *προσαμύνομεν] διὰ τὸ "οἵ με μέγα πλάζουσιν" (132).

B= 241. ἀλλὰ μάλ' οὔκ Ἀχιλῆι χόλος] οὕτω τὴν χολήν. τοῦτο δὲ
πρὸς τὸ ἀτελὲς τῆς ξιφουλκίας.

ἀλλὰ μεθήμων] ἔκλυτος· ἔνθεν καὶ μέθη.

AB= 243. ὣς φάτο νεικείων Ἀγαμέμνονα—Θερσίτης] μεθ' ὑποκρίσεως
ἀντιπαρέθηκε πρὸς ἀγανάκτησιν τὰ ὀνόματα, ἐμφαίνων ὅτι τὸν
ἄριστον ὁ αἴσχιστος ὠνείδιζεν. ἠθικὴ οὖν ἔσται ἡ ἀνάγνωσις.

B= ὣς φάτο νεικείων] ὡς καὶ μεταξὺ λέγοντι παρέστη Ὀδυσσεύς.
ἀναφέρει δὲ ἐπὶ τὰ "ὃν δ' αὖ δήμου ⟨τ'⟩ ἄνδρα ἴδοι" (198)· οὐκοῦν οὐ
τῶν βασιλέων Θερσίτης· βασιλικῶς δὲ ὑπερφρονεῖ τούτου Ἀγαμέμ-
νων. καὶ τὸν Ἀλεξάνδρου φασὶ κύνα τὰ μὲν μικρὰ θηρία παροραν,
ἐπὶ δὲ σῦς ἢ λέοντας ὁρμᾶν.

B+ 245. ἠνίπαπε] ἐνίπτω, ἤνιπα καὶ ἠνίπαπεν ὡς ἠρύκακεν.

AB= 246. Θερσῖτ' ἀκριτόμυθε] μετὰ εἰρωνείας, ὡς καὶ τὸ "λιγύς." οἱ δὲ
"ἀκριτόμυθε" ἀντὶ τοῦ ἀμετροεπές, πρὸς κατάγνωσιν τῶν εἰρημένων.

A– 247. μηδ' ἔθελε] ἀεὶ ἐθέλω ἔφησεν ὁ ποιητής· καὶ ἀλλαχοῦ γὰρ
"οὔδ' ἔθελεν" (Il. 21. 366).

B= μηδ' ἔθελ' οἷος ἐριζέμεναι] καὶ τοῦτον ἐλέγχει καὶ τῶν λοιπῶν
ἐνεχυράζει τὴν γνώμην. ὁμώνυμον δὲ ἔρις καὶ ὄνειδος.

B= 248. χερειότερον] ὡς μειζονώτερον, βελτιώτερον.

1. καὶ γὰρ ἀποστασία ‖ 5. ὅμοιον δὲ B: παρὰ δὲ ‖ 11. ὅπερ ‖ 15. διὰ
τὸ ‖ 31. οὔτε: corr. W ‖ 32. τῷ λοιπῷ

250. ἀνὰ στόμ' ἔχων] βασιλῆας ἀνὰ στόμα, διὰ συνεχοῦς μνήμης· Β=
ἢ ἀντὶ σκήπτρου τὸ στόμα ἀνέχων.

ἀνὰ στόμ' ἔχων ἀγορεύοις] ὀνομάζοις, μή τι καὶ ὑβρίζοις. Β=

251. νόστον τε φυλάσσοις] τὴν πρὸς τὴν φυγὴν εὐκαιρίαν παρα- Β=
τηροῖς.

252. οὐδέ τι πω σάφα ἴδμεν] ὡς περιττοὶ οἱ ε' ἀθετοῦνται. ἔχουσι Α+ Β=
δέ τι καὶ ψευδές.

οὐδέ τι πω σάφα ἴδμεν] ἐντέχνως πάνυ ὡς πρὸς τὸν Θερσίτην Β=
λέγων πρὸς τοὺς Ἕλληνας ἀποτείνεται. μέσης γὰρ αὐτῷ δεῖ γνώμης,
στοχαζομένῳ τοῦ πλήθους. φησὶν οὖν ὡς οὐκ ἴσασιν, εἰ ἐπ' ἀγαθῷ
τὰ τῆς ἐπανόδου αὐτοῖς ἔσται.

254. τῷ νῦν Ἀτρεΐδῃ—ἦσαι ὀνειδίζων] ἀδήλου ὄντος τοῦ νόστου, Β=
σὺ τὸν βασιλέα ἐπισκώπτεις λέγων ὡς πολλὰ παρὰ τῶν Ἑλλήνων
λαμβάνει.

255. ἦσαι ὀνειδίζων] τῶν γὰρ ἄλλων καθεσθέντων Θερσίτης μόνος Β=
ἀκοσμεῖ.

ὅτι οἱ μάλα πολλὰ διδοῦσι] τὸ "ὅτι οἱ" ἐν μιᾷ ὀξείᾳ προενεκ- ΑΒ=
τέον· πᾶσα γὰρ δίβραχυς λέξις πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται
ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπιφέροιτο διὰ τοῦ σφ, σεσημειωμένου τοῦ
"ἔνθ' ἔσαν οἱ πέπλοι" (Od. 15. 105).

258. εἴ κ' ἔτι σ' ἀφραίνοντα] αἱ μὲν Ἀριστάρχου εἶχον "εἰ δέ τι ΑΒ+
σε·" ἡ δὲ Σινωπικὴ εἶχε "κιχήσομαι ὡς τὸ πάρος περ·" ἡ δὲ Μασ-
σαλιωτικὴ "ὕστερον αὖτις·" ἡ δὲ κατὰ Φιλήμονα "ἐν Δαναοῖσιν."

κιχήσομαι] Πτολεμαῖος "κιχείομαι" γράφει.

κιχήσομαι ὥς νυ περ] ὅτι ἀφρόνων ἐστὶ τὸ τὰ τοιαῦτα πράσσειν.

259. μηκέτ' ἔπειτ' Ὀδυσῆι κάρη] πολέμιοι δειροτομοῦσιν· "ἵν' Β=
ἀπ' ὤμοιιν κεφαλὴν τάμοι" (Il. 17. 126) καὶ "σὺν σφῇσιν κεφα-
λῇσιν" (Il. 4. 162).

κάρη ὤμοισι] σὺν τῷ αὐχένι "κάρη" λέγεται.

260. μηδ' ἔτι Τηλεμάχοιο] οὐχ ἑαυτῷ νῦν ἀρᾶται, ἀλλὰ τῷ ΑΒ+
παιδί. καὶ ἔστιν ἡ μὲν πρώτη κατάρα κατὰ τοῦ Ὀδυσσέως, ἡ δὲ
δευτέρα κατὰ τοῦ Τηλεμάχου· εἰ γὰρ ἀπόλοιτο ὁ παῖς, οὐκέτι πατήρ
ἐστιν Ὀδυσσεύς. προοικονομεῖ δὲ τὰ περὶ τὴν Ὀδύσσειαν.

6. ἔχει ‖ 18. διάβραχυς ‖ 19. σφ B: σ̄ φησιν (breviatum) ‖ 21. εἰ
καί τις ἀ. ‖ 21–23. post 25 scripta ‖ 22. Σινωπητικὴ ‖ 29. τέγεται
‖ 32. ἀπόλυτο ‖ supra λαβών v. 261 add.* pr. ἐκλαβών

*φίλα] ἴδια.

B+ 262. αἰδῶ] ἢ τὴν τοῦ σώματος ἢ τὴν τοῦ μορίου.

μέχρι παρ' αἰδῶ] ἀντὶ τοῦ μορίου.

AB= τρία ῥητορικῆς εἴδη· συμβουλευτικόν, ὅ ἐστιν ἐκ προτροπῆς καὶ ἀποτροπῆς ὡς νῦν· δικανικὸν ἐκ κατηγορίας καὶ ἀπολογίας, ὡς "δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποίνης" (Il. 18. 498)· πανηγυρικὸν ἐξ ἐγκωμίου καὶ ψόγου, ὡς τὸ "ὦ μάκαρ Ἀτρείδη" (Il. 3. 182), "[οἰνοβαρὲς] κυνὸς ὄμματ' ἔχων" (Il. 1. 225).

A=B+ 264. *πεπληγώς] ἀντὶ τοῦ πλήσσων.

B= 265. ὣς ἄρ' ἔφη, σκήπτρῳ δέ] πῶς ἠπείλησε μὲν περὶ τῶν ἔπειτα, νῦν δὲ τὴν ἀπειλὴν ἐκτελεῖ; ἀλλ' οὐχ ἃ ἠπείλησεν ⟨ἐτέλεσεν⟩, ἀλλὰ διὰ τῆς βραχείας πληγῆς πιστοῦται ὅτι μὴ σωφρονιζόμενος καὶ ταῖς μείζοσιν αἰκισ⟨θή⟩εται πληγαῖς· ἢ ἀπόπειρα ἦν διὰ τῆς ἀπειλῆς, ὅπως οἱ πολλοὶ ἔξουσι τυπτομένου, εἶτα βουλομένους ἰδὼν τοὺς Ἕλληνας οὐχ ὑπερέθετο τὴν κόλασιν, ἀλλὰ παίει τὸν κυρτόν, ἐκ τούτου γέλωτα κινῶν· ἢ νῦν μὲν ἐνδεδυμένον παίει, ὕστερον δὲ γυμνὸν πλήξειν ἀπειλεῖ. δικαίως δὲ τιμωρεῖται βραχείᾳ πληγῇ· κολάζεται γὰρ ὁ μὲν εὐφυὴς νουθεσίᾳ, ὁ δὲ ἄκοσμος ὕβρει, ὑγιὴς δὲ τὸ σῶμα βασάνοις καὶ χρημάτων εἰσφοραῖς, ὁ δὲ λελωβημένος, οἷος ὁ Θερσίτης, βραχείᾳ πληγῇ καὶ μεθ' ὅρκων ἀπειλῇ.

B= 266. * ἰδνώθη] ἀνεκλάσθη, ὅπως πλεῖον προκύψῃ τὸ κυρτόν.

B= θαλερὸν δέ οἱ] ἔνικμον, ἀπὸ τῶν φυτῶν. §. τινὲς δὲ γράφουσιν

A+B= "ἔκφυγε δάκρυ" διὰ τὸ τάχος δηλοῦν τὴν λέξιν.

B+ 267. * σμῶδιγξ] τὸ ἐκ πληγῆς οἴδημα.

A−B= ἐξυπανέστη] ἐμφαντικῶς τὰς προθέσεις πυκνὰς παρέλαβεν ὡς ἐν τῷ "ὑπεξανα⟨δύς⟩" (Il. 13. 352), καὶ διὰ μὲν τῆς "ὑπό" τὴν κάτωθεν, διὰ δὲ τῆς "ἔξ" τὴν εἰς εὐθύ, διὰ δὲ τῆς "ἀνά" τὴν εἰς ὕψος σχέσιν· ἢ ὑποτρέχοντος τοῦ αἵματος ἔξω διῆρεν.

B= 268. ὃ δ' ἄρ ἔζετο] ὅτι νῦν καθέζεται. μάτην ἄρα ἔλεγε τὸ "ἦσαι ὀνειδίζων" (255).

A+B= 269. * ἀχρεῖον] παρὰ μὲν τῷ ποιητῇ προπερισπώμενον, παρὰ δὲ τοῖς Ἀττικοῖς προπαροξύτονον.

A+B= ἀχρεῖον ἰδών] ὀργιζομένου καὶ μὴ δυναμένου ἀμύνασθαι τὸ βλέμ⟨μ⟩α διαγράφει. ἔστιν οὖν ἀκαίρως ὑποβλέψας, ὡς τὸ "ἀχρεῖον δ' ἐγέλα⟨σ⟩σεν" (Od. 18. 163), ἢ τὸ πρόσωπον τοῖς δάκρυσιν ἀμορφώσας,

11. supplevi ex B ‖ 16. *ἐ. ἅει* ‖ 26. supplevi ex B

" ὡς αἰσχρόν ἐστι μὴ καλῶν ἀπ' ὀμμάτων κλαῖον πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν " (adesp. 370 N.). ἄκρως δὲ τὸ εὐτελὲς τῶν θρασυδείλων κωμῳδεῖ.

270. οἳ δὲ καὶ ἀχνύμενοί περ] διὰ τὸν ⟨τῶν⟩ οἴκοι ἔρον. στασιάζον A+ B=
δὲ πλῆθος πληγαῖς ἢ γέλωτι παύεται, οἷς ἀμφοῖν ἐχρήσατο ὁ ποιητής.

271. * ἰδών] βλέπων.

272. ἦ δὴ μυρί' Ὀδυσσεύς] φιλαλήθεις οἱ Ἕλληνες, οἳ καὶ τυφθέντες ὑπὸ Ὀ[δυσσέως] οὐκ ἀποκρύπτουσι τὸν ἔπαινον.

ἦ δὴ μυρί' Ὀδυσσεύς] πῶς προειπὼν αὐ[τοὺς] γεγελακέναι B=
σπου[δαῖα] καὶ οὐ γελοῖα παράγει [λέ]γοντας; τάχα οὖν τοῖς ἐπὶ Θερσίτου περιῄρηται τὸ θρασὺ καὶ παρ[ρη]σιαστικὸν αὐτῶν Ὀδυσσεύς. ἄλλως τε προοικονομεῖ τὴν εἰς ὅλην τὴν ποίησιν ἀμνηστίαν Θερσίτου διὰ τοῦ " οὔ θην μιν πάλιν."

273. βουλάς τ' ἐξάρχων] Ἴων (63) " βουλὴ μὲν ἄρχει, χεὶρ δ' B=
ἐπ⟨ε⟩εργάζεται."

* κορύσσων] Αἰολικῶς, ἀπὸ τοῦ κορύπτω. B+

275. * λωβητῆρα] τὸν ψεύστην ἢ τὸν λωβηθέντα. B=

ἔσχ' ἀγοράων] ὡς συνεχῶς αὐτοῦ παρρησιαζομέ[νου]. §. " ἐπεσ- B=
βόλον" δ' ὡς ἐγχεσπάλον. B+

276. οὔ θην μιν πάλιν] τοῦτο διὰ τὸ μὴ ἔτι μνησθῆναι αὐτοῦ ἐν τῇ ποιήσει. §. τὸ δὲ " πάλιν" εἰς τὸ ὀπίσω, τὸ δὲ " αὖτις" χρονικόν. A B=
§. σημειοῦνται δέ τινες καὶ τὸν πρὸ αὐτοῦ, "ὃς τὸν λωβητῆρα ἐπεσ- B=
βόλον," ὅτι ἕν ἐστιν ἐξ ἀμφοτέρων.

278. ἀνὰ δ' ὁ πτολίπορθος] οὕτως Ἀρίσταρχος· τινὲς δὲ χωρὶς τοῦ A B=
ἄρθρου, κακῶς. §. προαναφωνεῖ τὴν πόρθησιν δι' αὐτοῦ γενησο[μένην]. A+

ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη] πρὸς τὸ σχῆμα· ψῆφον B=
λαβὼν παρὰ τοῦ πλήθους τολμᾷ· παρῆλθε δὲ ⟨καὶ⟩ Ἀθηνᾶ πρὸς ἡσυχίαν καὶ πειθώ· πῶς γὰρ ἄλλως ἡσύχασαν, οὓς πρώην ἐννέα μόγις ἐπεῖχον κήρυκες; ἔθος δὲ ἦν τοῖς δημηγόροις παρίστασθαι κήρυκα, ὅπως σιωπήσωσι καὶ νοήσωσιν. διὰ τί δὲ Ὀδυσσεὺς πρὸ τοῦ Νέστορος πρεσβύτου ὄντος λέγει; ὅτι αὐτὸς συνήγαγε τὴν ἐκκλησίαν· καὶ θορύβου ὄντος, ὡς καὶ τὴν Ἀθηνᾶν εἰδομένην κήρυκι σιωπᾶν λαὸν ἀνώγειν, ἔδει τὸν πρῶτον δημηγοροῦντα γεγωνότερον βοᾶν, ὡς ἅμα οἱ πρῶτοί τε καὶ ὕστατοι μῦθον ἀκούσειαν. ὁ μὲν οὖν Νέστωρ ὡς γέρων

4. supplevi ex B ‖ 11. περιῄρηται B: παρῄρηται ‖ 18. αὐτοῦ B: αὐτὰς ‖ 27. παρ. δὲ B: παρελθεῖν ἡ δὲ

βοᾶν οὐκ ἠδύνατο, Ὀδυσσεὺς δὲ "ὄπα τε μεγάλην ἐκ στήθεος ἵει" (Il. 3. 221)· διὰ τοῦτο ὁ μὲν ἔτι τεταραγμένων δημηγορεῖ, ὁ δὲ Νέστωρ ἤδη ἡσυχίαν ἀγόντων.

279. * παρὰ δὲ γλαυκῶπις Ἀθήνη] ἐπεὶ ἔδει κήρυκα συμπαρεῖναι τῷ δημηγοροῦντι.

284. Ἀτρεΐδη, νῦν δή σε] ἐντέχνως πρὸς τὸν βασιλέα κατὰ τῶν
B= Ἑλλήνων λέγει.

ἐθέλουσιν Ἀχαιοί] τὸ μὲν "ἐθέλουσιν," ὡς ἐξ οὐδεμιᾶς αἰτίας τοῦτο προαιρούμενοι. διασύρει δὲ ὡς οὐ νοήσαντας τὴν ἀπόπειραν. εἰ γὰρ ἐπονείδιστος ἔσται φευγόντων αὐτῶν, πῶς ἂν αὐτοὺς προτρέ-
B= ποιτο φεύγειν; ἠΰξηται δὲ καὶ τῷ "πᾶσι βροτοῖσιν" ἀλλὰ μὴ Ἕλλησιν εἰπεῖν. §. ἐντέχνως δὲ πρὸς τὸν βασιλέα κατὰ τῶν Ἑλλήνων λέγει, ὡς συναχθόμενος αὐτῷ ὅτι καταλείπεται. πικρὸν γάρ ἐστι τὸ φάναι 'ἐπονείδιστον ὦ Ἀχαιοὶ ποιήσετε τὸν βασιλέα,' πικρὸν δὲ ἦν κἀκεῖνο πρὸς αὐτοὺς λέγειν 'ὡς γὰρ νήπιοι παῖδες ἢ κόραι ἀποδύρεσθε.' ἅμα δὲ καὶ ἐμφαίνει, ὅτι κατέχει αὐτοὺς ἐκείνου
B= θέλοντος.

286. οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν] τοῦτο ἀνελεύθερον καὶ δουλοπρεπές. καλῶς δὲ ἀπὸ τῶν ὡμολογημένων ἤρξατο, ὃ μάλιστα δυσωπεῖ. οὐκ οἶδε δὲ τοὺς πρὸς τοὺς Τυνδαρίδας ὅρκους ὁ ποιητής· καὶ γοῦν Ἰδομενεύς φησιν "ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα" (Il. 4. 267).

287. ἐνθάδ' ἔτι στείχοντες] πορευθησόμενοι, ὡς "ὅν μοι δῶκε πατὴρ ἔτι δεῦρο κι[ούσῃ]" (Od. 4. 736).

AB= 288. Ἴλιον ἐκπέρσαντι] πορθήσαντί σοι τὸ Ἴλιον συναπονέεσθαι.

289. ἦ παῖδες νεαροὶ χῆραί τε γυναῖκες] ἄμφω παρέτεινε, τὸ μὲν τῷ "νεαροί," τὸ δὲ τῷ "χῆραι." οἱ μὲν εὐθὺς κόρον λαβόντες τῆς ἀγορᾶς ἵενται οἴκαδε, αἱ δὲ τὸν οἶκοι φυλάσσοντα μὴ κεκτημέναι. κωμῳδεῖ δὲ τὸ ἀσύνετον καὶ ἀγεν⟨ν⟩ές, ὡς οὐ διὰ τὴν ὑπερτέλειαν τῶν πολεμ⟨ί⟩ων, διὰ δὲ τὸ ἴδιον μαλακὸν αὐτῶν θελόντων τοῦτο ποιεῖν.

291. * ἀναγκαίως ἐνδίδωσιν, ὅπως πικρὰ θεραπευθέντες μεγάλα
B= χαρήσονται.

⟨πόνος ἐστίν⟩] πολὺς μὲν οὖν ἐστιν ὁ πόνος, ὥστε λοιπὸν ἀκηδιάσαντα ἀνιᾶσθαι· ἀνίησι δὲ τὴν ἐπιτίμησιν τῇ συγγνώμῃ.

1. Ὀδυσσεὺς δέ B: ὁπότε ‖ ἵει B: εἶη ‖ 3. ἤδη B: ἦ ἀλλ' legi ‖ 11. τῷ B: τό ‖ 15. κἀκεῖνῳ ‖ 16. κόρη ‖ 23. πορευθησόμενος ‖ 34. ἀ. ἀνιᾶσθαι B: ἀ. τινὰ νεῖσθαι

δυνάμεως δὲ ῥητορικῆς ἀπὸ τοῦ αὐτοῦ πράγματος πρὸς ἑκάτερον ἐξ ἐναντίου λαμβάνειν τὰς ἀφορμάς.

292. καὶ γὰρ τίς θ' ἕνα μῆνα] ἀνίησι τὴν ἐπιτίμησιν τῆς φυγῆς Β+ τῇ συγγνώμῃ· πάντες γὰρ ἀγαπῶμεν τοὺς ὑπὲρ ὧν ἡμάρτομεν ἀπολογουμένους. δύναται δὲ καὶ ἀνάγκην μείζονα ἐπιτιθέναι τούτοις τοῦ μένειν αὐτούς, αἰσχρὸν δεικνὺς τὸ ἐπανελθεῖν ἀπράκτως καὶ ὀφθῆναι διὰ τοῦ τοσούτου χρόνου τοῖς οἰκείοις ἐπονειδίστως· διὸ ἐπάγει "αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι" (298).

293. ὅπερ ἄελλαι] τὸ δυσχερὲς ⟨τῆς⟩ ἀνακομιδῆς πρὸ ὀφθαλμῶν Β+ αὐτοῖς ἄγει.

295. περιτροπέων ἐνιαυτός] τροπὰς λαμβάνων, τουτέστι συμ- Β= πληρούμενος.

296. ἐνθάδε μιμνόντεσσι] ἀργοῦσιν, ἀπράκτοις καθημένοις, ἐπεὶ Β= παρῆν αὐτῷ φάναι καὶ τὸ μαρναμένοισιν.

298. αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι] ἀνιαρὸν τὸ Β+ χωρίζεσθαι τῶν οἴκοι καὶ ἄπρακτον ὑποστρέψαι.

* δηρόν] ἐπὶ πολὺν χρόνον. Β=

299. * τλῆτε, φίλοι] μαλάξας τὸ πλῆθος ἀποστρέφει τε πρὸς Β= αὐτοὺς τὸν λόγον καὶ ἀντὶ Ἀχαιῶν φίλους καλεῖ.

300. * ἦ] ἀντὶ τοῦ εἰ, ὡς τὸ "ἦ καὶ ἐμὸν δόρυ μαίνεται" (Π. 8. 111).

ἦ ἐτεὸν Κάλχας] δικαίως ἀπὸ τοῦ ἔναγχος εὐδοκιμήσαντος Β+ Κάλχαντος τὴν πίστιν λαμβάνει. ὅτι δὲ ἠγάπητο τῷ πλήθει, Ποσειδῶν καὶ Ἀθηνᾶ καθ' ὁμοιότητα αὐτοῦ προτρέπονται τὸ πλῆθος, στρατός τε ἐπὶ ξυροῦ τυγχάνων ψυχαγωγεῖται διοσημίαις, τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων εἰς θεούς.

302. ⟨μάρτυροι,⟩ οὓς μὴ κῆρες ἔβαν] "κῆρες" ἐπὶ τοῦ λοιμοῦ. Α Β= ᾧ. Ζηνόδοτος "μάρτυρες," Ὁμήρου σχηματίζοντος ἀπὸ τοῦ μάρ- Α+ Β= τυρος.

303. * χθιζά τε] τὸν τοσοῦτον χρόνον "χθιζά" φησιν, ὅπως τὸν Α ~ Β= προσδοκώμενον ⟨ὡς μηδὲν ἡγήσωνται⟩.

304. * δεῖ οὖν ἀναπληρῶσαι τὸν σκοπόν.

305. ἀμφὶ περὶ κρήνην] οὐ διὰ τὸ μέτρον αἱ δύο προθέσεις, ἀλλὰ Β= τὴν περὶ τὸν αὐτὸν τόπον συναγωγὴν παντὸς τοῦ στρατοῦ ἐσήμανεν.

4. ἥμαρτον ‖ 6. αὐτοὺς B: αὐτοῖς ‖ 13. ἀπράκτως coni. W ‖ 31. προσδοκώμενον :—, supplevi ex B

πιστοῦται δὲ τὸ τέρας, εἴ γε ἐπὶ τοσούτου πλήθους καὶ θυσιῶν ἔν τε ἱερῷ γέγονεν.

AB– 307. καλῇ ὑπὸ πλατανίστῳ] μόνον οὐχὶ χρώμασιν ἡμῖν τὸν λόγον ἐσήμανεν· καὶ Πλάτων Φαίδρῳ πλάτανον καὶ τὸ παραρρέον ὕδωρ φησίν (230 b)· διυδατίζεσθαι γὰρ θέλει ἡ πλάτανος, καὶ ἔστιν ἐπιτηδεία πρὸς γένεσιν στρουθῶν.

308. * σῆμα] ὧδε ἡ στιγμή.

A– B= μέγα σῆμα. δράκων] ὁ δράκων Ἀθηνᾶς ἱερός, οἱ στρουθοὶ Ἀφροδίτης, χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος. ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. καὶ τὸ μὲν ἐφ' ὕψους κεῖσθαι τὴν νεοσσιάν, τὴν ἠνεμόεσσαν Ἴλιον, οἱ δὲ ὑποπετήλιοι νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων· μαραινομένων γὰρ ὅσον οὐδέπω τῶν φύλλων ἀποπεσοῦνται. ἡ δὲ ἐνάτη μήτηρ τῆς ἐνναετηρίδος τὸν ἔσχατον ἀγῶνα ἐσήμανεν, ἡ δὲ διὰ τοῦ ὕδατος πορεία τοῦ δράκοντος τὴν δι' ὕδατος ἄφιξιν τῶν Ἑλλήνων, τὸ δὲ περιλειφθῆναι τὴν νεοσσιὰν τὸ μὴ παντελῶς ἠφανίσθαι τὸν τόπον· οἰκεῖται γὰρ μέχρι τοῦ νῦν. ἡ δὲ ἀπολίθωσις ἢ τὸ δυσδιεξόδευτον τῶν νόστων ἢ ὅλου τοῦ ἀγῶνος παῦσιν—οὐ γὰρ ἠμύναντο ἔτι τοῦ λοιποῦ τοὺς Ἕλληνας οἱ Τρῶες—ἢ ὅτι εἰς λίθους περι-

AB= στήσεται τοῦ πολέμου τὸ τέλος. §. ἔστι δὲ σημεῖον μὲν τὸ παρὰ τόπον γινόμενον, ὡς μέλισσαι ἢ πτηνοὶ μύρμηκες ἐν οἴκῳ, τέρας δὲ τὸ παρὰ φύσιν. τοῦτο οὖν ἄμφω εἶχε, σημεῖον μὲν τὸ ἐπ' ἄκρῳ τῷ φυτῷ εἶναι τὴν νεοσσιάν, τέρας δὲ τὸ ὀκτὼ τετοκέναι· ἑπτὰ γὰρ τίκτει, ὧν τὸ ἓν οὔριον ἐᾷ.

309. * σμερδαλέος] καταπληκτικός, φοβερός.

* φόωσδε] ἐς φανερόν.

310. * ὄρουσεν] ἀνώρμησεν.

AB= 312. πετάλοις ὑποπεπτηῶτες] ὑφ' ἕν· τοῦτο δὲ διὰ τὴν ἀσθένειαν τῶν νεοσσῶν.

B= 314. ἔνθ' ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε] ἐπὶ δὲ λύκων "οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες" (Il. 16. 158)· ἐπὶ δὲ λεόντων "ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον" (Il. 18. 583), ὥσπερ ἐπαναβαίνων ταῖς λέξεσιν.

B= 316. ἐλελιξάμενος] ἐπιστραφείς. οὐδὲ τοῦτο δὲ ἄχρηστον πρὸς

13. ἀγῶνα B: ἐναγώνιον ‖ 15. περιλειφθῆναι B: τέρας ἀφεθῆναι ‖ 20. πτηναί ‖ 23. τὸ ἓν B: τὸ ἐν τὸ ‖ 30. λέοντος

τὴν μαντείαν· οὐ γὰρ ἐκ τοῦ εὐθέος ἐκράτησαν αὐτοὺς καὶ εἶλον, ἀλλ' ἀναχθέντες ἀπὸ τῆς Τρωάδος, εἶτα ὑποστρέψαντες.

πτερύγος] παροξυτόνως· καὶ ὁ μὲν κανὼν θέλει προπαροξυτόνως ὡς Θέτιδος· ἀλλ' ἐπειδὴ οὕτω δοκεῖ τονίζειν τῷ Ἀριστάρχῳ, πειθώμεθα αὐτῷ ὡς πάνυ ἀρίστῳ γραμματικῷ. A=

ἀμφιαχυῖαν] τελειοτέρᾳ φωνῇ ἐχρήσατο τοῦ τετριγῶτας. B=

318. τὸν μὲν ἀρίζηλον] ἀθετεῖται· πιθανώτερον γὰρ αὐτὸν καθάπαξ πεποιηκέναι ἀφανῆ τὸν καὶ φήναντα θεόν. A+

323. τίπτ' ἄνεῳ ἐγένεσθε] ἐπιτιμᾷ ὡς οὐ δεομένοις μαντείας. καλῶς δὲ οὐ περιέτεμε τὸν λόγον, ἀλλὰ τοῖς τοῦ μάντεως κέχρηται ῥήμασιν, ὅπως ψυχαγωγοῖντο δοκοῦντες αὐτοῦ ἀκούειν. B+

325. ὅου κλέος] κλέος τοῦ πολέμου ἢ τοῦ σημείου. τοῦτο δὲ πρὸς τὸ πεῖσαι. τὸν δὲ λίθον οὐκ ἐξηγεῖται ἢ πρὸς τὸ μὴ λυπῆσαι, ἢ ὅτι τέρας ἐστίν. B=

ὅου κλέος] τὰ ἄρθρα διαιροῦνται· αἱ γὰρ ἀντωνυμίαι πλεονάζουσι τῷ ε̄.

§. τοῦτο προσέθηκεν, ὅπως διὰ τὸ μῆκος ⟨μὴ⟩ ἀπογνῶσι πρὸς τὴν μάχην. B=

328. ὣς ἡμεῖς το⟨σ⟩σαῦτ' ἔτεα] τρεῖς εἰσι χρόνοι δι' ὧν ὁ πᾶς αἰὼν ἀριθμεῖται, ἡμέρα, μήν, ἐνιαυτός. καὶ ἡ μὲν ἡμέρα οὐρανοῦ ἐστιν ἀποκατάστασις, ὁ δὲ μὴν σελήνης, ὁ δὲ ἐνιαυτὸς ἡλίου. εἰ μὲν οὖν ἦσαν ἐν τῷ στελέχει, ἡμέρας εἶπεν· εἰ δὲ ἐν μέσῳ, μῆνας· ἐπεὶ δὲ πρὸς τῷ τέλει, ἐνιαυτούς. B=

* αὖθι] τὸ "αὖθι" ἐν Ἰλίῳ, οὐκ ἐν Αὐλίδι. A+B=

329. τῷ δεκάτῳ δὲ πόλιν] διὰ τί οὐχὶ ἐνάτῳ ἔφη ἐνιαυτῷ ἔσεσθαι τὴν πόρθησιν, καίτοι τῆς ἀκολουθίας τῶν σημείων τοῦτο ἐχούσης "ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν"; ἢ ὅτι τῶν ἐννέα πληρωθέντων ἀνάγκη νοεῖν τὸ⟨ν⟩ ἐπέκεινα δέκατον· ἢ καὶ τὸν δράκοντα αὐτὸν συναριθμεῖν δεῖ, ὃς ἐστι δέκατος, ὡς ὅλου τοῦ ἀγῶνος ἐν τούτῳ μέλλοντος παύ⟨σ⟩εσθαι. ὁ λιθωθεὶς οὖν δράκων ἐσήμανεν, ὅτι οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. A−B=

* τῷ δεκάτῳ] ἱσταμένου γὰρ τοῦ δεκάτου ἐπόρθησαν. B=

330. ⟨κεῖνός θ'⟩ ὡς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται] πρὸς τὸ "χθιζά τε καὶ πρώιζα" (303) καὶ τὸ "νῦν" φησι, καὶ τὸ "τελεῖται" ἀντὶ τοῦ τελεσθήσεται, εἴπερ ὁ ὄνειρος εἶπε "νῦν γάρ κεν ἕλοις πόλιν." §. ὀξυτονητέον δὲ τὴν νος̄ διὰ τὸν τέ· οὕτως Ἀρίσταρχος· ὁ δὲ Ἡρωδιανὸς ὡς "τὼς δέ σ' ἀπεχθήρω" (Π. 3. 415). B=

4. στίζειν ‖ 6. τετρηγότας ‖ 15. τὸ ε̄ ‖ 16. supplevi ex B ‖ 26. ἐπέκεινα B: ἐπι' να (sic) ‖ 32. εἴπερ ὁ ὅ. B: εἴ τι ὁ ὅ.

332. εἰς ὅ κεν] καλῶς ἐπὶ πέρατι τοῦ λόγου πιστοῦται τὸ λόγιον, οὐχ ὡς ἐν ἀρχῇ "ἦ ἐτεὸν Κάλχας μαντεύεται" (300).

B= 333. ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον] "οἷόν γε πού 'στι γλῶττα κἀνθρώπου λόγος" κατὰ Εὔπολιν (fr. 314 Kock)· ὁ μὲν γὰρ λέγων "φεύγωμεν" ἀναπτεροῖ, ὁ δὲ "μίμνωμεν" πείθει. ἅμα δὲ καὶ τὸ παλίμβολον τῶν δήμων ἐσήμανεν.

μέγ' ἴαχον] ἐπὶ μὲν τούτων "ἴαχον," ἐπὶ δὲ Τρώων "κελάδησαν" (Il. 8. 542).

B= μέγ' ἴαχον] δεινῶς ἅμα καὶ εὐπόρως τὴν αὐτὴν ῥητορείαν ἑτέραις λέξεσιν ἐκφράζει ὁ ποιητής. παρρησιαστικὸς δὲ διὰ τὸ γῆρας ὁ Νέστωρ.

* ἀμφὶ δὲ νῆες] ἀντὶ τοῦ πᾶσαι.

νῆες—κονάβησαν] ἴδιος ἦχος τῶν πεπληγότων ξύλων ὁ κόναβος.

B= 337. ἦ δὴ παισίν] "παισίν," οὐ γυναιξίν· ἔστι γὰρ καὶ ταύταις φρόνησις.

B– ἀγοράασθε] τότε ὅτε συνετίθεσθε Ἀγαμέμνονι· ἢ μᾶλλον πρὸς Ὀδυσσέα ἀποτείνεται δημοχαριστικῶς παρελθόντα· ἐπιτρίψει γὰρ [ταῦτα] μᾶλλον εἰς ἀναρχίαν τὸ πλῆθος, πῇ μὲν "σέ" λέγων "ἐθέλουσιν Ἀχαιοὶ—ἐλέγχιστον θέμεναι," πῇ δὲ τῷ "οὐ νεμεσίζομ' Ἀχαιούς."

A=B– 339. πῇ δὴ συνθεσίαι τε] τινὲς ἐλεγκτικῶς ὅλα προφέρονται· ποῦ ἀπῆλθον αἱ συνθῆκαι καὶ τὰ ὅρκια, σπονδαί τε καὶ δεξιαί; ἵν' ᾖ καὶ τὸ "βήσεται" ἀντὶ τοῦ ἔβησαν καὶ τὸ "γενοίατο" ἀντὶ τοῦ ἐγένοντο καὶ τὸ "ἐριδαίνομεν" ⟨ἀντὶ⟩ παρῳχημένου, ἵν' ᾖ μάτην ἐφιλονεικοῦμεν λόγοις μόνον ὑπισχνούμενοι, καὶ τὸ "ἀγοράασθε" ἀντὶ τοῦ ἠγοράασθε.

B= πῇ δὴ συνθεσίαι τε] ἐν δισταγμῷ· ποῦ ἄρα τελευτήσει τὰ τῶν ὅρκων καὶ συνθηκῶν;

B= βήσεται ἡμῖν] ἀπολελυμένως ἀναγνωστέον τὸ "ἡμῖν."

B= 340. ἐν πυρὶ δὴ βουλαί τε γενοίατο] οὐκέτι βουλῶν ὄνησις· ἀφανισθήσεται δὲ παντελῶς, εἰ λογομαχεῖν μόνον παρασκευάζουσι μηδὲν ἀνίσχουσαι, τὸ ὠφελοῦν. οὐχ ὑποσχέσεις δὲ κατὰ τὸν Ὀδυσσέα, ἀλλὰ γυμνότερον αὐτὰ τῶν πίστεων τὰ ὀνόματά φησιν. ὅσα γὰρ παρέδραμεν ἐκεῖνος, ἐπεξεργάζεται οὗτος, καὶ τοὐναντίον· δεινῶς δὲ ἐλέγχει ὡς ἐνεδρεύσαντας ὁσιώμασιν· οὐκ ἂν γὰρ ἐστράτευσε μὴ συνθεμένων αὐτῶν.

B= * βουλαί] εὖ τὸ μὴ εἰπεῖν ὑμῶν, ἀλλὰ καθολικῶς "ἀνδρῶν."

AB= 341. σπονδαί τ' ἄκρητοι] ὅτι, ὅταν λέγῃ "κρητῆρι δὲ οἶνον

1. λ. π. τὸν λόγον ‖ 3. γλῶσσα ‖ 17. μ. ἐ λ. ‖ 20. καὶ δ. scripsi: αἱ ‖ 28. οὐδὲν

μίσγον" (Il. 3. 269), οὐ σημαίνει τὸ ὕδατι κίρνασθαι, ἀλλὰ τὸ "τῶν Τρώων καὶ Ἀχαιῶν οἶνον ἔμισγον."

342. οὐδέ τι μῆχος εὑρέμεναι] καὶ Ὀδυσσεὺς "αἰσχρόν τοι δηρόν ⟨τε⟩ μένειν" (298).

344. Ἀτρείδη, σὺ δ' ἔθ' ὡς πρὶν ἔχων] ἐναντίως τῷ Ὀδυσσεῖ ἀπὸ τοῦ πλήθους εἰς τὸν βασιλέα μετῆλθεν. A B =

σὺ δ' ἔθ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλήν] ἀντὶ τοῦ ἀμετακίνητον, βεβαίαν.

345. ἄρχευ' Ἀργείοισιν] καταπλήττει διὰ τούτων τὸ πλῆθος. B =

346. τούσδε δ' ἔα] ὑφ' ἓν ἀναφορικῶς. τὰ δὲ τοιαῦτα ἀεὶ δεικτικά ἐστιν. A - B =

* ἕνα] τῷ ἐλαχίστῳ ἀριθμῷ κἀκείνους εὐτελίζει καὶ τοὺς ἄλλους εὐέλπιδας ποιεῖ. B =

τοί κεν Ἀχαιῶν] "Ἀχαιῶν," οὐκ εἶπε σοῦ, ἀλλὰ κοινὴν αὐτῶν κατηγορίαν ποιεῖται, ἐφελκόμενος τὸ πλῆθος. B =

347. ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν] οὐδὲν ἀνύσουσι πρὸς τὸν ἀπόπλουν, ἄχρις ὅτου πέρας λάβῃ ἡ τοῦ Διὸς ὑπόσχεσις. Ὀδυσσεὺς δὲ αὐτοῖς ἐπέτρεπε λέγων "τλῆτε φίλοι." A - B +

349. εἴτε ψεῦδος ὑπόσχεσις] ἀντὶ τοῦ ψευδής. B =

εἴτε ψεῦδος ὑπόσχεσις] ταῦτα παρὰ τοῖς Στωικοῖς λεκτὰ καλοῦνται, τὰ πρὸς τὴν σημασίαν φερόμενα. §. ψεῦδος τὸ ἐπάγγελμα. A B =

350. φημὶ γὰρ οὖν] οἰκείως ὁ μὲν Ὀδυσσεὺς δημοχαριστικῶς δημηγορῶν τοῦ Κάλχαντος προβάλλεται τὴν μαντείαν, ὃς ἦν τοῖς Ἀτρείδαις ἐχθρός, τῷ δὲ πλήθει γλυκύς· ὁ δὲ Νέστωρ τῷ βασιλεῖ χαριζόμενος τὰ τοῦ βασιλέως τῶν θεῶν προβάλλεται· διὸ ὃ μὲν παρὰ τῶν Ἑλλήνων, ὁ δὲ Νέστωρ παρὰ τοῦ βασιλέως ἐγκωμιάζεται. B +

φημὶ γὰρ οὖν] τελειότερον ἀφεὶς τοὺς νεοσσοὺς ἐπὶ τὸν βασιλέα φέρεται τῶν θεῶν. τὸ δὲ ἑξῆς, "ὑπερμενέα Κρονίωνα—ἀστράπτων," ἀντὶ τοῦ ἀστράπτοντα. B =

353. ἀστράπτων] ὅτι οὐ καταλλήλως· ἔδει γὰρ ἀστράπτοντα καὶ φαίνοντα. §. βραχὺ δὲ διασταλτέον ἐν τῷ "ἐπιδέξι'." ἀσύνδετος ⟨γὰρ⟩ ὁ λόγος λείποντος τοῦ καί. A = B +

* ἐπιδέξι'] ἐπιδέξια, ὡς "ἐνδέξια πᾶσιν" (Il. 1. 597).

ἐναίσιμα] λείπει ὁ καί· καὶ ἐναίσιμα σήματα φαίνοντα. A B =

1. τὸν τ. ‖ 14. αὐτῶν κ. αὐτῶν π. ‖ 19. εἶτα ‖ 28. ἀστράπτων :— ‖ 34. repetitur * ἐναίσιμα] λείπει ὁ καὶ et * φαίνων] φαίνοντα

B+ 354. τῷ μή τις πρὶν ἐπειγέσθω] προστακτικῶς· ὁ δὲ Ὀδυσσεὺς "ἀλλ' ἄγε, μίμνετε πάντες" (331).

B= 355. * πρίν τινα] μέγιστον πρὸς κόλασιν ᾤοντο οἱ παλαιοὶ τὸ τὰς γυναῖκας ὑπὸ πολεμίους γενέσθαι.

πρίν τινα πὰρ Τρώων] φασί τινες, ὡς αἰσχρὸν αὐτοὺς μένειν δελεαζομένους τῇ προσδοκίᾳ τῶν ἀφροδισίων ὑπὸ τοῦ πανσόφου Νέστορος· ῥητέον οὖν, ὡς ἐξ ὧν ἐπλημμέλησαν Τρῶες ἐκ τούτων αὐτοὺς δίκας αἰτεῖν πεπείραται· οἶδε δὲ τὸ πλῆθος Ἀφροδίτης ἡττώμενον, καὶ ταῦτα ὅταν ἄλογος ἡ ἡδονή· ὁ δὲ Ὀδυσσεὺς οὐδέ φησι τοιοῦτον, ἀλλ' ὁ τῶν ἀφροδισίων ἤδη παυσάμενος.

A+B= 356. * Ἑλένης ὁρμήματα] λείπει ἡ περί, τὰ περὶ τῆς Ἑλένης ὁρμήματα καὶ τὰς στοναχάς.

AB= Ἑλένης ὁρμήματα] μεριμνήματα, ὡς αὐτῆς ἀκουσίως παρὰ τοῖς πολεμίοις οὔσης, ἵν' ἀξιόχρεως ᾖ βοηθεῖσθαι.

357. * ἐκπάγλως] ὑβριστικῶς.

B= 358. * ἀπτέσθω ἧς νηός] τοῦτο παρὰ ὑπόνοιαν ἐπήγαγεν. ἀρετῆς δὲ ῥήτορος τὰ μὲν χαρίζεσθαι, τὰ δὲ καταπλήσσειν ἀπειλῇ κολάσεων.

B= 360. ἀλλὰ ἄναξ] φοβερώτερον καθιστὰς τοῖς ἁμαρτάνουσι τὸν Ἀγαμέμνονα ἄνακτα αὐτῶν καλεῖ, οὐκ Ἀτρείδην.

B= ἀλλὰ ἄναξ, αὐτὸς δ' εὖ μήδεο] τοῖς βασιλεῦσι νόμον τίθησιν, εἰς δύο μερίζων αὐτῶν τὴν εὐβουλίαν, τήν τε ἰδίαν καὶ τὴν σὺν ἄλλοις γινομένην. ἄριστον γὰρ τὸ ἐπικρίνειν τὸ εὖ ἔχον· "οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ" (Hesiod. Opp. 293).

B= 361. * οὔ τοι ἀπόβλητον] ἐξ ἀποφάσεως τὴν κατάφασιν δηλοῖ τῶν ἐπαίνων, φεύγων τὸ φορτικόν· διὸ οὐκ εἶπεν 'ἐπαινέσεις τὴν βουλήν.'

B= 362. κρῖν' ἄνδρας κατὰ φῦλα] προοικονομεῖ ἑαυτῷ τὸν κατάλογον, ὅπως τὰς φυλὰς διεξιὼν ἀναγκάζηται τὸν ἀριθμὸν τῶν νεῶν λέγειν. περὶ τάξεως δὲ εἰσηγεῖται ὡς ἀναμφιβόλως δόξαν αὐτοῖς μένειν· καὶ

AB= εἰς τοῦτο τρέπων λήθην ἐμποιεῖ τοῦ νόστου. §. τί δήποτε δὲ οὐκ ἐν ἀρχῇ τοῦ πολέμου τὸ στράτευμα διατάττει ὁ Νέστωρ; ῥητέον δέ, ὅτι ἔχοντες πρώην Ἀχιλλέα τούτων οὐκ ἐδέοντο, ὡς οὐδὲ τοῦ πλήθους.

* ["φῦλα"] τὰς φυλὰς παρὰ Ἀττικοῖς.

363. * φρήτρη] τὰς τριττῦς, ὅ ἐστι τρίτον φυλῆς.

B= ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ] τοῦτο ἐξηγήσατο ἐν τῷ "ἐν θυμῷ

19. αὐτῶν B: αὐτόν ‖ 20. schol. cum praecedenti coniunctum ‖ 23. νοήσει ‖ 30. στράτευμα B: σπέρμα ‖ 32. τὰς φίλας

μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν" (Π. 3. 9)· τοῦτο δέ, ἵνα μή τε περιορᾷεν τοὺς οἰκείους καὶ εὐδοξεῖν σπουδάζοιεν γνωριζόμενοι. οὕτω δὲ τὸ βούλευμα χαρίεν τὸ περὶ τῆς διατάξεως, ὥστε καὶ τὸν Δία εἰσηγήσασθαι αὐτὸ τοῖς βαρβάροις διὰ τῆς Ἶριδος (805).

366. * κατὰ σφέας] διακεκριμένοι. B+

367. γνώσῃ δ' εἰ καὶ θεσπεσίῃ] λείπει βουλῇ, ὡς Πίνδαρος "τόνδ' ἄνδρα δαιμονίᾳ γεγάμεν" (Ol. 9. 110)· ἢ ἀπὸ κοινοῦ τὸ "κακότητι," θεσπεσίῃ κακότητι ἢ ἀνδρῶν κακότητι. B=

368. ἢ ἀνδρῶν] Πτολεμαῖος περισπᾷ τὸν η̄ "ἦ ἀνδρῶν" ὡς διαποητικὸν ἐκδεχόμενος, οἱ δὲ περὶ Ἀλεξίωνα ὀξύνουσιν ὡς διαζευκτικόν, ἵν' ᾖ ὁ ἤ ἀντὶ τοῦ ἀλλά. A B=

370. ἦ μὴν αὖτ' ἀγορῇ] ἐπιεικὴς ὁ βασιλεύς, ὃς οὐκ οἴεται δεῖν ἐν ἅπασι πάντων ὑπερέχειν. ἅμα δὲ καὶ πλέον Ὀδυσσέως αὐτὸν θαυμάζει, ὅτι ὃ μὲν εἰσηγήσατο ὡς μενετέον, ὁ δὲ Νέστωρ καὶ τί χρὴ πράττειν μένοντας. B=

ἦ μὴν αὖτ' ἀγορῇ] τὸν μὲν τὸ πλῆθος, τὸν δὲ ὁ βασιλεὺς ἐπαινεῖ· ἰσοστάσιος οὖν ὁ ἔπαινος. B=

371. αἶ γάρ, Ζεῦ τε πάτερ] πάτριοι τοῖς Ἀθηναίοις οἱ θεοί. A~B=

372. τοιοῦτοι δέκα μοι συμφράδμονες] εἰ πάντες φησὶ συμβουλεύσειαν ⟨ταὐτὸ⟩ τῷ Νέστορι, οὐδὲν ἐκείνου διοίσουσιν· ἀπαρκεῖ οὖν τὸ χρηστὸν τῆς γνώμης ὁ Νέστωρ μόνος εἰσηγούμενος. ἀγνοοῦσι δὲ ὅτι οὐ τοὺς ἀλλήλων μηδὲ ἅμα διοίσοντας τοῖς λόγοις φησίν, ἀλλ' οἷς ἡ αὐτὴ μέν ἐστιν ἕξις "πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην βουλὴν βουλεύσῃ" (Il. 9. 74). τάχα δὲ ἐπὶ ταύτην τὴν εὐχὴν κατηνέχθη, ἵνα τῇ ὑπερβολῇ τῶν τοῦ Νέστορος ἐπαίνων προτρέψῃ τὸ στράτευμα πείθεσθαι ταῖς παραινέσεσιν αὐτοῦ. B=

τοιοῦτοι δέκα μοι] δῆλός ἐστιν ὁ ποιητὴς τῶν σωματικῶν τὰ ψυχικὰ προτιμῶν. ἐνθάδε μὲν γὰρ δέκα Νέστορες ἀπαρκέσουσιν αὐτῷ πρὸς τὴν ἅλωσιν τῆς Ἰλίου· τοὺς δὲ Αἴαντας ἐπὶ τὸν πόλεμον προτρέπων Ἀγαμέμνων φησὶ "τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθε⟨σ⟩σι γένοιτο" (Il. 4. 289). ἐντεῦθεν δὲ ὁ Εὐριπίδης λαβὼν λέγει (fr. 220) "ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία, πλεῖστον κακόν." B=

373. τῷ κε τάχ' ἠμύσειε] "ἠμύσειε" ἀπὸ τῶν ὀφθαλμῶν, οἳ σὺν τῷ A B–

5. add. sec. καὶ καθ' ἑαυτούς ‖ 6. repetitur * θεσπεσίῃ] βουλῇ ἢ κακότητι ‖ γνώσεαι εἰ ‖ τὸν δὲ ‖ 7. γεγάμεν Pindari codd : γεγαμένη ἀπὸ ‖ 9. τὸν η̄ :— ‖ 12. μὰν ‖ 16. μὰν ‖ 24. βουλεύσει ‖ 28. ἔνθα ‖ ἀπαρκέσωσι ‖ 32. πλειστῶν κακῶν ‖ 33. οἱ B : καὶ

μύειν τοῦ φωτὸς στερίσκονται· ὅθεν "ἑτερόφθαλμον" ἔσεσθαι τὴν Ἑλλάδα ἔφασαν, καὶ "Σικελίας τ' ἔσαν ὀφθαλμός" (Pindar. Ol. 2. 4).

B= 375. ἀλλά μοι αἰγίοχος] εὐεπίφοροι κατὰ θεῶν οἱ ἀτυχεῖς.

B= 376. ὅς με μετ' ἀπρήκτους ἔριδας] προμαλάσσει τὸ πλῆθος, τὴν αἰτίαν θεῷ ἀνατιθεὶς καὶ θυμῷ, ὡς μήτις ἐθελοκακῇ αὐτῷ. συγγνώμονες δὲ πάντες τοῖς ὁμολογοῦσι τὰ πταίσματα.

B= 377. * καὶ γὰρ ἐγών] πόρρωθεν ἑαυτῷ τὰς πρὸς Ἀχιλλέα διαλλαγὰς μνηστεύεται, τοὺς ᾠκειωμένους ἐκείνῳ ὑπερχόμενος.

A+ μαχεσ⟨σ⟩άμεθ' εἵνεκα κούρης] οὐ "μαχησόμεθ'," ὡς "μαχήσονται περὶ σεῖο" (Il. 3. 137).

B= 379. εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν] καὶ πῶς οὐ παρακαλεῖ; αἰδεῖται γὰρ χωρὶς ἀνάγκης, καὶ πέποιθε τῷ ὀνείρατι.

A+B= 380. οὐδ' ἠβαιόν] ἀεὶ μὲν παρὰ τῷ ποιητῇ ἐν ἑνὶ μέρει λόγου. ἔνθεν καὶ Καλλίμαχος (fr. 540) "ἠβαιὴν οὔτι κατὰ πρόφασιν."

AB+ 381. νῦν ἔρχεσθ' ἐπὶ δεῖπνον] τρισὶ τροφαῖς ἐχρῶντο οἱ παλαιοί· καὶ τὴν μὲν α' ἐκάλουν ἄριστον, ἣν ἐλάμβανον πρωίας σχεδὸν ἔτι σκοτίας οὔσης· καὶ ὠνόμασται ἄριστον ἢ παρὰ τὸ λαβόντας αὐτὸ εἰς ἀριστείαν προέρχεσθαι, ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τροφὴν παρὰ τὸ ἄειρε· "μή μοι οἶνον ἄειρε" (Il. 6. 264). τὴν δὲ δευτέραν δεῖπνον, τὸ καθ' ἡμᾶς ἄριστον· καὶ ἔστι κατὰ τὸ ἔτυμον δεῖπνον μεθ' ὃ δεῖ πονεῖν. λαβόντες γὰρ ταύτην τὴν τροφὴν πάλιν περὶ τὰ πολεμικὰ ἔργα ἐπόνουν. τὸ δὲ τρίτον δόρπον, τὸ καθ' ἡμᾶς δεῖπνον· καὶ ἔστι κατὰ τὸ ἔτυμον ἰαύερπον, ὅταν εἰς τὸ ἰαύειν πορευώμεθα, ὅ ἐστι κοιμᾶσθαι· ἢ παρὰ τὸ παῦσιν ἔχειν τοῦ δόρατος.

ἵνα ξυνάγωμεν Ἄρηα] ἰδὼν ὁ Ἀγαμέμνων τοὺς Ἀχαιοὺς καὶ τὸν Ὀδυσσέα ἐπαινέσαντας καὶ τὴν νέαν ἐπιτίμησιν πρᾴως ἐνεγκόντας τρέπεται ἐπὶ τὸ προστάσσειν.

B= 382. εὖ μέν τις δόρυ] κινητικὰ τοῦ μέλλοντος ἔσεσθαι πολέμου ταῦτα, καὶ τὴν πολεμικὴν παρασκευὴν διδάσκοντα τὸν ἀκροατήν. οἶδε γὰρ καὶ ταῦτα αἴτια εἶναι τῆς ἥττης· "οὐδὲ διαπρὸ δυνήσατο" (Il. 13. 607)· "τῇ ὅ γ' ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος" (Il. 15. 647)· δεῖ οὖν μὴ τὴν αἰτίαν ἐξ ἡμῶν εἶναι τοῦ κακοῦ.

AB= δύο συνέπλεξε σχήματα, ὁμοιοτέλευτον καὶ ἐπαναφοράν, ἐπανιὼν μὲν εἰς τὴν αὐτὴν λέξιν, καταλήγων δὲ εἰς τὸ ὁμοιοτελὲς τῶν ῥημάτων.

1. ὅθεν ἔτι ὀφθ. : corr. W ex Arist. Rhet. iii. 10 ‖ 5. ἐθελοκακοίη ‖ 17. ὠνομάσθαι ‖ λαβ. αὐτὸ scripsi, λαμβάνειν αὐτὸ πρὶν Bekker : λαμβάνειν αὐτοὺς ‖ 21. λαμβάνοντες ‖ 22. περὶ scripsi : ἐπὶ ‖ 34. καταλῆγον

εὖ δ' ἀσπίδα θέσθω] ὁ τρόπος ἐπαναφορικός, ὡς τὸ "εὖ μὲν Β=
Μυρμιδόνας φάσ' ἐλθέμεν— εὖ δὲ Φιλοκτήτην" (Od. 3. 188)·
"κλαῖε μὲν Ἀργείη Ἑλένη—κλαῖε δὲ Τηλέμαχος" (Od. 4. 184).

* θέσθω] ἀντὶ τοῦ περιθέσθω. Β+

384. * ἄρματος ἀμφὶς ἰδών] περιβλεψάμενος τὸ ἅρμα.

385. ὥς κε πανημέριοι στυγερῷ κρινώμεθ' Ἄρηι] ἀβέλτερος, Β−
φησίν, Ἀγαμέμνων μὴ συνορῶν, ὅτι ἐν πολέμῳ οὐκ ἐπὶ τοῖς μα-
χομένοις κεῖται τὸ τοῦ πολέμου τέλος, ἀλλ' ὡς ἂν τύχῃ. ἀγνο-
οῦσι δὲ ὅτι καλόν ἐστι δυσχερῆ ἐλπίζειν, ἵνα ὡς ἐπὶ πλείονι πόνῳ
προθυμότερον παρασκευασθῶσιν. ἢ γὰρ ἀποβάντων ἧττον ἠχθέσθημεν,
ἢ μὴ τελεσθέντων ὑπεράγαν ἐχάρημεν· καὶ Ἀττικοὶ δὲ "ἥκειν ἔχοντας
σιτί' ⟨ἡμερῶν τριῶν⟩" (Ar. Pac. 312) βοῶσιν.

388. ἰδρώσει μέν τευ] ὅτι οὔπω πόρπακες ἀλλὰ τελαμῶνες ἦσαν. Β=
εἴρηται δὲ τελαμὼν παρὰ τὸ τέταμαι. §. ἱδρῶτα μὲν καὶ πόνον προβάλλε- Β=
ται, κίνδυνον δὲ οὐδαμοῦ. πρὸς ἕκαστον δὲ τῶν προτραπέντων αἰτίαν ἐπά-
γει. §. τὸ δὲ "ἱδρώσει" ὑγρανθήσεται ὑπὸ τοῦ ἱδρῶτος τοῦ πολεμοῦντος. Β=

391. ὃν δέ κ' ἐγών] εὐτόνως κατέστρεψε τὸν λόγον. οὐ γὰρ τῆς Β=
πειθοῦς μόνης ἀλλὰ καὶ ἀπειλῆς προσδεῖ τῷ πλήθει. πρῶτος τὸν
κατὰ τῶν λειποτακτῶν συνεῖδε θάνατον· καὶ ὁ Ἕκτωρ "ἀλλὰ κύνες
ἐρύουσιν" (Il. 15. 351)· τοῦτο ⟨δέ⟩, ὅπως τὸν εὐκλεᾶ ἀντὶ τοῦ
δυσκλεοῦς καὶ τὸν ἄδηλον ἀντὶ τοῦ προδήλου θάνατον ἕλωνται.

393. * ἄρκιον] ἐπαρκοῦν αὐτῷ οὐκ ἔσται πρὸς τὸ φεύγειν. Β=

395. ἀκτῇ ἐφ' ὑψηλῇ] ἐξηγεῖται αὐτὸ διὰ τοῦ "ἔνθα νότος μέγα Β=
κῦμα" (Od. 3. 295)· σκαιὸν ⟨καὶ⟩ χαλεπώτατον τὸ κῦμα τὸ
μετεώρῳ ἐπιφερόμενον αἰγιαλῷ.

396. * σκοπέλῳ] ἀφ' οὗ ἐστιν ἅλις σκοπεῖν.

397. ὅταν ἔνθ' ἢ ἔνθα γένωνται] "γένωνται" οἱ ἄνεμοι. οἱ δὲ A+ B=
ἀήθεις μεταγράφουσι "γένηται."

398. ἀνστάντες] διὰ τοῦ ν̄· τὸ γὰρ πλῆρές ἐστιν ἀναστάντες.

* ὀρέοντο] ὥρμων.

399. * κάπνισσαν] πυρὰν ἧψαν.

400. ἄλλος δ' ἄλλῳ ἔρεζε] δείκνυσιν ὡς πολύκλητοι ἦσαν· Β=
ἕκαστος γὰρ τοῖς πατρίοις θύει. τὸ γὰρ θεῖον φύσει μὲν ἕν, θέσει δὲ
πολύ. Ἑλληνικὸν δὲ τὸ ἔχειν εἰς θεοὺς τὴν ἐλπίδα.

401. εὐχόμενος θάνατόν τε φυγεῖν] ἤρκει γὰρ αὐτοῖς μόνον τὸ Β=

12. σιτία: suppl. W ‖ 15. αἰτίαν B : δειλίαν ‖ 24. ἄγων post κῦμ' del. W ‖ supplevi ex B

ζῆν, τῷ δὲ βασιλεῖ τὸ εὐκλεῶς ζῆν· διὸ ἐκεῖνος πρεπόντως εὔχεται "καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον αἰθαλόεν" (414).

B− 402. αὐτὰρ ὃ βοῦν] ἐπὶ μὲν τῶν ἄλλων τὴν θυσίαν ἐπὶ κεφαλαίου λέγων πῶς καὶ τίνι ἔθυεν οὐ λέγει, ἐπὶ δὲ τοῦ βασιλέως ἅπαντα ἀκριβῶς διέξεισιν· καλῶς δὲ ὁ βασιλεὺς βασιλεῖ θύει, καὶ τῷ τελειοτάτῳ τῶν θεῶν τὸ μέγιστον τῶν ζῴων· πρόσθες δὲ ὅτι καὶ τὸν ὄνειρον αὐτὸς ἦν ὁ πέμψας.

403. πίονα πενταέτηρον ὑπερμενέι Κρονίωνι] οἰκεῖα ταῦτα τῷ τελείῳ Διί.

* πενταέτηρον] τότε γὰρ ἀκμάζει.

B+ 404. κίκλησκεν δὲ γέροντας] κοινωνικὸν τὸ συνθύειν τοῖς ἀρίστοις.

B= 405. Νέστορα μὲν πρώτιστα] ἄριστα ⟨πρῶτος⟩ τῇ τάξει ὁ πρεσβύτερος καὶ σύμβουλος καλεῖται· δεύτερος Ἰδομενεύς, καὶ οὗτος δὲ καθ' ἡλικίαν, καὶ ὅτι τοῦ Ἀτρειδῶν γένους· τρίτος Αἴας, ὅτι ἄριστος ἦν τῶν Ἑλλήνων μετ' Ἀχιλλέα, καὶ ὁ Λοκρὸς σὺν αὐτῷ, ὅτι "ἶσον θυμὸν ἔχοντε" (Il. 13. 704)· πέμπτος Διομήδης, τῷ Αἴαντι δεύτερος ὢν κατ' ἀλκήν· ἕκτος Ὀδυσσεύς, οὐχ ὡς τῶν προειρημένων ἥττων—πῶς γὰρ ὁ "βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων;" (273)—ἀλλ' ὡς μᾶλλον αὐτὸν φιλῶν παρεῖδεν ὁ Ἀγαμέμνων. τὸν γὰρ ἀδελφὸν οὐδὲ ἐκάλεσεν, ἀλλ' αὐτόματος ἦλθεν· "ᾔδεε γὰρ κατὰ θυμὸν ἀδελφεόν, ὡς ἐπονεῖτο" (409)· ἅμα δὲ διδάσκει συμπεριφέρεσθαι ταῖς τῶν ἀδελφῶν ἀσχολίαις.

B= 407. ⟨ἕκτον δ' αὖτ' Ὀδυσῆα⟩] ἴσως ἔσχατον ἐᾷ τὸν Ὀδυσσέα, ὅπως ὑψώσῃ τοῖς ἐγκωμίοις. ἄμεινον δὲ λέγειν ὅτι τὰ δύο ἄκρα τοῖς σοφωτάτοις ἀπένειμε, Νέστορι καὶ Ὀδυσσεῖ.

B= 408. αὐτόματος δέ οἱ ἦλθε] ἀπαλ⟨λ⟩άσσει τὸν ἀδελφὸν τῆς περὶ ἑαυτὸν σπουδῆς· ᾔδει γὰρ αὐτὸν ἠσχολημένον.

A−B+ βοὴν ἀγαθός] τί δήποτε τοὺς ἀνδρείους βοὴν ἀγαθοὺς ἀποκαλεῖ, νῦν μὲν τὸν Μενέλαον, ἀλλαχοῦ δὲ τὸν Διομήδην, πῇ δὲ "βοὴν ἀγαθὸς βάλεν Αἴας" (Il. 15. 249) καὶ ἑτέρους πολλούς; ῥητέον δὲ ὅτι μήπω σάλπιγγος εὑρεθείσης βοῇ διῴκουν τὰς τῆς μάχης ἐπιθέσεις καὶ ἀνακλήσεις, ἄλλως τε καὶ σημεῖον τοῦ θαρσεῖν τὸ βοᾶν· ἡ γὰρ δειλία θραύουσα τὸ πνεῦμα βραχίστην ἀπεργάζεται τὴν

4. ἔθυον ‖ 15. τοῦ scripsi : τῶν ‖ 17. ἔχοντες ‖ 18. δεύτερος ὢν B : δευτέρων ‖ 24. schol. cum praecedenti coniunctum

φωνήν· διὰ τοῦτο βοῶντας παρεισάγει τοὺς ἥρωας· "σμερδαλέον δ' ἐβόησεν" (Il. 8. 92)· "ἤυσεν δὲ διαπρύσιον" (ib. 227)·

409. ἤδεε γὰρ—ἀδελφεὸν ὡς ἐπονεῖτο] ὅτι θυσίαν ἐπετέλει.

412. Ζεῦ κύδιστε μέγιστε] "κύδιστε" ἐν δόξῃ προὔχων, "μέ- Β=
γιστε" δυνάμει προὔχων.

413. μὴ πρὶν ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν] ἀντὶ τοῦ Β=
δύναντος ἡλίου τὸ ⟨κνέφας⟩ ἐλθεῖν· λείπει δὲ τὸ δός. οἰκεία δὲ ἡ περίφρασις τοῖς ἐκτενῶς εὐχομένοις· ἐνδιατρίβομεν γὰρ ὡς οὐ διδάξοντες τἀληθῆ τὸ θεῖον.

414. πρίν με καταπρηνὲς βαλέειν] ἄπληστος ἡ ὄρεξις τοῦ πρὸ Β=
τῆς τῶν φίλων σωτηρίας τὴν καταστροφὴν εὐχομένου· διὸ ἀνανεύει ὁ Ζεύς.

*καταπρηνὲς βαλέειν] ἔμφασιν ἔχει ἡ ἀπὸ τῶν ἐμψύχων μεταφορά. Β=

415. αἰθαλόεν] κατὰ πρόληψιν τὸ αἰθαλωθησόμενον, ἢ τὸ ἀφανές. Β=
μικροῖς δὲ λόγοις μεγάλα αἰτεῖ· ἀντὶ γὰρ Ἰλίου οἰκίαν μίαν πρῆσαι. ὁ δὲ θυμὸς ἄκρως διὰ τῶν προσώπων παρίσταται Πριάμου καὶ Ἕκτορος.

416. Ἑκτόρεον δὲ χιτῶνα] προσυνίστησιν ἡμῖν καὶ νῦν τὸν Β=
Ἕκτορα.

417. χαλκῷ ῥωγαλέον] τῷ σιδήρῳ διακοφθησόμενον· ἢ παρὰ τὸ Α–Β–
ῥήσσω, ἐξ οὗ καὶ τὸ κατερρωγότα ἱμάτια.

418. ὀδὰξ λαζοίατο] δάκω δάξω δάξ. τοῦτο δὲ συμβαίνει τοῖς Β=
ὀδυνωμένοις.

419. οὐδ' ἄρα πώ οἱ ἐπεκραίαινε] διὰ τοῦ "πώ" ἐλπίδα ὑπολείπει Β=
τῆς εὐχῆς. ἐπὶ δὲ Θεανοῦς "ἀνένευε δέ" (Il. 6. 311).

οὐδ' ἄρα πω—ἀλλ' ὅ γε δέκτο μὲν ἱρά] ὡς τῶν μάντεων λεγόντων, ὡς δέδεκται τὴν θυσίαν καὶ δώσει τὸ πέρας, οὐκ ἀκονιτὶ δέ.

420. πόνον δ' ἀμέγαρτον] ἄφθονον, πολύν.

435. μηκέτι νῦν δήθ' αὖθι λεγώμεθα] αἱ μὲν Ἀριστάρχου "μη- Α+Β=
⟨κέ⟩τι νῦν δήθ' αὖθι λεγώμεθα," ἡ δὲ Ζηνοδότου "μηκέτι νῦν ⟨δὴ⟩ ταῦτα·" τινὲς δὲ "δὴ αὖθι" χωρὶς τοῦ θ, Καλλίστρατος δὲ "μηκέτι δὴ νῦν αὖθι λεγώμεθα."

μηκέτι νῦν—αὖθι λεγώμεθα] ἠθροισμένοι ὦμεν. Α Β=

μηδ' ἔτι δηρὸν ἀμβαλ⟨λ⟩ώμεθα ἔργον] στρατηγικὴ ἡ παραγγελία, Α= Β–
χρόνου μὴ φείδεσθαι· οὔτε γὰρ παρελθόντα ἀνακαλεῖσθαι οὔτε αἰτή-

14. τὸ διαφανές

σαντες λαβεῖν αὐτὸν δυνάμεθα. ἐρωτηθεὶς γοῦν Ἀλέξανδρος, πῶς τῆς Ἑλλάδος ἐκράτησε, 'μηδὲν ἀναβαλλόμενος' εἶπεν.

B= 436. ὃ δὴ θεὸς ἐγγυαλίξει] δώσει τὴν πόρθησιν, ἣν διὰ τοῦ
A+ ὀνείρου ἐπηγγείλατο. §. αἱ πᾶσαι δὲ διὰ τοῦ ζ εἶχον.

B= 439. ἡμεῖς δ' ἀθρόοι ὧδε] θαυμαστῶς τὴν τάξιν τοῦ Ἀχιλλέως ἀποπληροῖ· τὴν γὰρ στρατηγίαν πρώην εἶχεν.

B= 444. τοὶ δ' ἠγείροντο μάλ' ὦκα] δύο αὐτοῖς τὰ μέγιστα μαρτυρεῖ, εὐταξίαν καὶ εὐψυχίαν.

AB= 446. θῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη] ἵνα μὴ ἀπιστοῖτο τὸ τάχος, τὴν θεὸν παρέλαβεν, καὶ ὡς ἄξια τῆς θεοῦ μελλόντων αὐτῶν κατορθοῦν.

* κρίνοντες] φυλοκρινοῦντες.

A= 447. * ἐρίτιμον] μεγαλότιμον.

A+ B= ἀγήραον] Ἀρίσταρχος "ἀγήρων" καὶ Ἀριστοφάνης, ὡς κἀκεῖ "ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε" (Π. 17. 444). §. ἡ δὲ αἰγὶς ὅπλον Διός.

448. θύσανοι] οἱ κροσ⟨σ⟩οί. §. "θύσανοι" δὲ παρὰ τὸ θύεσθαι.

AB= τῆς ἑκατὸν θύσανοι] ἀντὶ τοῦ πολλοί· ἢ τῷ ἀριθμῷ πίστιν πεπόρισται.

A= 450. παιφάσσουσα] πάντη τὰ φάη ἀίσ⟨σ⟩ουσα. §. φῶ τὸ φαίνω
AB– ἀναδιπλασιασμὸς παφάσσω πλεοναμὸς παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πταίνω παπταίνω πάσ⟨σ⟩ω πάλη παιπάλη. καὶ ἐπὶ Τυδέως μὴ "ἐκπαιφάσσειν" (Π. 5. 803), φανεροῦν ἑαυτόν, ἀλλ' ἐν ἀγγέλου σχήματι μένειν.

A+B= 452. καρδίῃ. ἄληκτον] εἰς τὸ "καρδίῃ" στικτέον. §. τὸ δὲ
B= "ἄληκτον" ἀντὶ τοῦ ἀλήκτως.

A– B= 453, 454. τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων—] νῦν ἄμεινον κεῖνται ἥπερ ἐν τῇ Λ (13)· πρόσφατος γὰρ αὐτοῖς ἡ τοῦ νόστου μνήμη. καὶ ἡ αἰφνίδιος δὲ μεταβολὴ οὐκ ἄνευ θεῶν· πῶς γάρ;

AB= 455. ἠύτε πῦρ ἀΐδηλον] νῦν μάλιστα ἡ δύναμις τοῦ ποιητοῦ, ὅτε καθ' ἕκαστον πρᾶγμα διαφόρων εἰκόνων εὐπορεῖ. πρώτη δὲ εἰκὼν ἡ ἀπὸ τῆς τῶν ὅπλων λαμπηδόνος· μεγεθύνεται δὲ τῇ ἀσπέτῳ ὕλῃ καὶ τῷ ὄρει, ἔνθα καταιγίδες εἰσί, καὶ τῇ κορυφῇ. διὸ θαρρῶν ἐπάγει "ἔκαθεν δέ τε φαίνεται αὐγή." §. "ἀΐδηλον" δὲ παρὰ τὸ ἀϊδνόν.

457. ὣς τῶν ἐρχομένων] ὧδε στικτέον.

6. πρώτην ‖ 10. θεὸν B: θεὰν ‖ 14. Ἀριστοφάνης A: Ἀριστοτέλης ‖ 16. αἰθύεσθαι: corr. W ‖ 19. παφάσσω scripsi: παιφάσσω ‖ 23. κραδίῃ ἅλ. ‖ 32. ἀιδηόν: corr. W

458. αἴγλη παμφάνωσα] "παμφανόωσα" τοῦ χαλκοῦ ἡ αἴγλη εἰς οὐρανὸν παρεγίνετο.

459. τῶν δ', ὥς τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά] "ἔθνεα πολλὰ ἀγαλλόμεναι·" πρὸς τὸ νοητὸν ὑπήντησε τὸ "ὄρνιθες," ὡς τὸ "ἐκίνηθεν δὲ φάλαγγες, ἐλπόμενοι παρὰ ναῦφι" (Il. 16. 280). B=

460. χηνῶν ἢ γεράνων καὶ κύκνων δουλιχοδείρων] μουσικὰ καὶ ἥμερα καὶ συναγελαστικά, ὅθεν διδαχθεὶς Ἀριστοτέλης τὰ γαμψώνυχα οἰονόμα φησί, τὰ δὲ τὴν ἐπιδερμίδα ἔχοντα συναγελαστικά. οἰκείως οὖν καὶ ἐπ' αὐτῶν ἔθνεά φησιν. B–

461. Ἀσίῳ ἐν λειμῶνι] οἱ μὲν ἄσιν ἔχοντι· ἀλλὰ πιστότερον αὐτῷ τὸ κύριον ὄνομα περιτιθέναι, ὡς τὸ ἀπὸ τοῦ Ἀσίου, ὃς ἦρξε Λυδίας· ἐν γενικῇ οὖν αὐτὸ ἐκληπτέον καὶ χωρὶς τοῦ ἰῶτα, ὡς τὸ "ἐυμελίῳ Πριάμοιο" (Il. 4. 165), ὡς Ἡρῳδιανὸς ἐν τῇ καθόλου καὶ Πτολεμαῖος ἐν τῷ περὶ συναλ⟨ο⟩ιφῆς. κατὰ δὲ τὰς προχοὰς πηλώδη τόπον ὁ Κάυστρος ἀπεργάζεται. ὅπου δὲ ὕδωρ καὶ βοτάνη, ἀφθονία ὀρνίθων. B–

462. ἀγαλλόμεναι] Ἀρίσταρχος "ἀγαλλόμενα," ἵν' ᾖ πρὸς τὰ ἔθνη· οὐδὲ ἡ ἄλλη δὲ γραφὴ ἄχαρις. A + B=

463. κλαγγηδὸν προκαθιζόντων] ἄλλου πρὸ ἄλλου καθιπταμένου μετὰ βοῆς· ἢ πρὸ τοῦ καθίσαι βοώντων· κέκραγε γὰρ τὰ ὄρνεα ἐπὶ τὴν γῆν καταφερόμενα. καὶ ὧδε μὲν κατέμιξε τὰς γεράνους μουσικοῖς ὀρνέοις, καὶ εἰς λειμῶνάς φησιν αὐτὰς ἐξιέναι, ἐπὶ δὲ Τρώων ἐπὶ φθορᾷ (Il. 3. 3). B=

κλαγγηδὸν προκαθιζόντων] ὑποστιγμὴ ἐπὶ τὸ "προκαθιζόντων" καὶ ἐπὶ τὸ "λειμώνι·" τὸ δὲ ἑξῆς, ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, κλαγγηδὸν προκαθιζόντων, ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσ⟨σ⟩ι, σμαραγεῖ δέ τε λειμών. τὰ δὲ λοιπὰ διὰ μέσου. A + B=

σμαραγεῖ δέ τε λειμών] τὸ τραχὺ τῆς ἀπὸ τοῦ "σμαραγεῖ" ὀνοματοποιίας παρέτεινε τὸ "λειμών." §. Ἀρίσταρχος οὕτως ἔφη, 'σμαραγεῖ ⟨δέ⟩ τε γαῖα' εἰς βραχεῖαν τελευτῶσα τὸν ἦχον ⟨ἂν⟩ ἐμείου. B=

465. αὐτὰρ ὑπὸ χθών] ἡ "ὑπό" πρὸς τὸ "ποδῶν." B=

467. Σκαμανδρίῳ ἀνθεμόεντι] τῷ πρώην ἄνθη ἔχοντι ὡς "ἐυμελίῳ Πριάμοιο" (Il. 4. 165)· "ἥρως Αἰγύπτιος" (Od. 2. 15)· "ἠύκομος Νιόβη" (Il. 24. 602). ἐπεὶ πῶς ἠχεῖ, ἢ πῶς ἀνθεῖ πατούμενα; B–

468. * φύλλα] "φύλλα" πρὸς τὸ οἰκεῖον τῆς ἐσθῆτος.

12. ἐν γενικῇ B: γενικῆς ‖ 29. λειμῶνες ‖ 34. ἀνθεῖ πατούμενα B: ἄνθη πατοῦμεν

B= 469. ἠύτε μυιάων] πρὸς τὸ ἐπιθυμητικὸν τοῦ αἵματος. ἐπάγει γοῦν "τόσσοι ἐπὶ Τρώεσσιν."

B– * ἀδινάων] ἀθρόως ἱπταμένων, ἢ τῶν λεπτῶν μυιῶν.

B– 470. αἵ τε κατὰ σταθμόν] τὴν ἔπαυλιν· καὶ "σταθμὸν ἔχουσα καὶ εἴριον" (Il. 12. 434) καὶ "σταθμοῖιν ἑκάτερθε" (Od. 6. 19). τρία οὖν δηλοῖ ἡ λέξις· τῷ δὲ δυσώδει καὶ τῷ θάλπει τῶν ἐρίων αὔξονται αἱ μυῖαι.

B+ ἠλάσκουσιν] οὐ γὰρ διατέταται τῶν μυιῶν ἡ πτῆσις, ἀλλὰ περὶ τὸν αὐτὸν εἰλεῖται τόπον· ὡς πλανώμεναι οὖν εἰσιν.

AB– 474. τοὺς δ', ὥς τ' αἰπόλια πλατέα] διεσκεδασμέναι γὰρ νέμονται. ἐπὶ δὲ προβάτων "ἀδινά" (Od. 1. 92) ἔφη καὶ "αἳ μέν τ' ἀγχη-στῖναι" (Il. 5. 141).

B= τοὺς δ', ὥς τ' αἰπόλια] ὅταν αἰπόλια πολλὰ ἀλλήλοις ἀναμιχθῇ νεμόμενα, ἀπαλλαττόμενοι περὶ τὴν ἑσπέραν οἱ αἰπόλοι ἕκαστος ἐπιλαμβάνεται τράγου, ᾧ τὸ οἰκεῖον ἕπεται αἰπόλιον. εὐπειθὲς δὲ ἀεὶ τὸ Ἑλληνικόν.

476. * τούς] ἐπανείληφε τὸ ἄρθρον.

*διεκόσμεον] ἀπὸ κοινοῦ τὸ "διεκόσμεον."

AB= 478. ὄμματα καὶ κεφαλήν] ἱκανὸν μὲν ἑνὶ θεῷ εἰκάζειν αὐτόν. ὃ δὲ τρεῖς παρέλαβεν, ἑκάστου τὸ διαπρεπὲς ἐκλεξάμενος, τοῦ βασιλέως μὲν τὸ ἡγεμονικὸν καὶ ἐποπτικόν, Ἐν⟨ν⟩οσιγαίου δὲ τὸ ἰσχυρόν· τὸ δὲ κόσμιον τῆς παντευχίας ὅμοιον Ἄρει· οἳ δὲ τὸ ἀξιωματικόν, τὸ γεραρόν, τὸ πολεμικόν.

AB= ὄμματα καὶ κεφαλὴν ἴκελος Διί] ⟨συγ⟩γραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκουσι, τραγικοὶ τὸ σεμνότερον, κωμικοὶ τὸ ἔλασσον, ἅπερ ἅπαντα παρὰ τῷ ποιητῇ ἐστι, κωμῳδία μὲν ὡς ἐπὶ Θερσίτου, ⟨συγ⟩γραφικὴ δὲ ὡς ἐπὶ τοῦ "τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς" (Il. 9. 209)· ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος νῦν καλλίων τῆς ἀληθινῆς καὶ μεγαλοπρεπεστέρα ἡ ὄψις ἀναπέπλασται.

B= 480. ἠύτε βοῦς ἀγέληφι] πῶς μετὰ θεοὺς βοῒ παρέβαλε τὸν Ἀγαμέμνονα; ἔνιοι μὲν οὖν φασιν ὅτι τοῖς μὴ δυναμένοις τὴν θείαν νοῆσαι φύσιν ἀπὸ γνωρίμου ζῴου παρέλαβε τὴν εἰκόνα, ὡς νοητῆς οὔσης τῆς προτέρας παραβολῆς καὶ ἐπὶ τὴν αἰσθητὴν καὶ ὁρατὴν ἐλθών· ἔστι δὲ εἰπεῖν ὅτι τὴν πορείαν αὐτοῦ ταύρῳ εἴκασε βαδίζοντι δι' ἀγέλης, ὅπερ ἐστὶ ζῷον ἡγεμονικώτατον. τὴν αὐτὴν δὲ ταύτην εἰκόνα Ὀδυσσεῖ προσθεῖναι θέλων τὸ μὲν ὅμοιον ἐφύλαξε, τὸ δὲ μέγεθος ἐμείωσεν, ἀρνειῷ παρεικάσας αὐτόν. ἐπειδὴ δὲ ἐν τῇ πρώτῃ

10. ἀδινάων ‖ 23. κ. Διὶ εἴκελε ‖ 23 et 26 supplevi ex B

μάχῃ οὐ πλεονεκτήσει Ἀγαμέμνων, κατὰ τὴν ἔξοδον αὐτὸν κοσμεῖ· οὐ γὰρ ἔδει εὐτυχεῖν, ἵνα δεηθῇ Ἀχιλλέως.

μέγ' ἔξοχος ἔπλετο πάντων] "πάντων," τῶν ἄλλων ταύρων. εἰ μὴ γὰρ ἐπαρθείη, οὐ γίνεται κήλων. ἐπεὶ δὲ τὸ "βοῦς" καὶ "ἔξοχος" κοινὰ τῷ γένει, προσῆψε τὸ "ταῦρος." B=

482. τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ] ἐπεὶ ἄπιστα τὰ τῶν εἰκόνων προσήρτησεν Ἀγαμέμνονι, πρῶτον μὲν αὐτὰ τῇ θείᾳ δυνάμει πεπίστωται, ἔπειτα πρὸς μίαν ἡμέραν συμβῆναί φησιν. B=

484. ⟨ἔσπετε⟩] ψιλωτέον· ἀπὸ γὰρ τοῦ ἔπω τοῦ σημαίνοντος τὸ λέγω, κατὰ πλεονασμὸν τοῦ σ. §. ὁ δὲ λόγος· ἔσπετε νῦν μοι Μοῦσαι, οἵτινες ἡγεμόνες Δαναῶν· ἀρχοὺς γάρ φησιν νηῶν ἐρέω, πληθὺν δὲ οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδὲ ἐὰν δεκαπλασίων ἐμαυτοῦ γένωμαι· ὑμῶν γάρ ἐστι τὸ ἔργον τοῦτο. §. γράφεται δὲ καὶ "ἔνσπετε" ἀπὸ τοῦ ἐνίσπετε, ἐπεὶ καὶ "ἔνισπες" φησίν (Il. 11. 186). A=B+ AB=

485. ὑμεῖς γὰρ θεαί ἐστε] ὡς ἐπὶ ἐργῴδῃ καὶ θαυμασίαν περιπέτειαν τὰς Μούσας παρακαλεῖ, ὡς τὸν ἀκροατὴν διὰ τὸ μέγεθος ὄρεξιν ἔχειν καὶ συγγινώσκειν τοῖς ἐνδεέστερον λεγομένοις· εὐτελίζων δὲ τὴν ἰδίαν φύσιν τὴν ἀπὸ τῶν ἀκουόντων ἐπεσπάσατο εὔνοιαν. AB=

ὑμεῖς γὰρ θεαί ἐστε] ὁ νοῦς· ὑμεῖς γὰρ θεαί ἐστε καὶ ἀεὶ ἐνυπάρχετε τοῖς ζῶσι καὶ ἐπίστασθε πάντα ἀκριβῆ· ἡμεῖς δὲ μόνα τὰ ἐν τῷ βίῳ εὐκλεῆ ἀκούομεν.

486. οὐδέ τι ἴδμεν οἵτινες ἡγεμόνες] εἴ φησιν ἀγνοεῖν τοὺς ἡγεμόνας, πῶς ὑποκατιών φησιν "ἀρχοὺς αὖ νηῶν ἐρέω" (493); στικτέον οὖν εἰς τὸ "ἴδμεν" καὶ τὸν λόγον οὕτως ἐκδεκτέον· δύο ὑποτίθεται, ὧν τὸ μὲν μηδ' ὅλως δύνασθαι διὰ τὸ πλῆθος εἰπεῖν, τὸ δὲ δύνασθαι μέν, χρῄζειν δὲ τῆς τῶν Μουσῶν συμμαχίας. ἔστιν οὖν τὸ πᾶν· ἔσπετε νῦν μοι Μοῦσαι, οἵτινες ἡγεμόνες· ἀρχοὺς γὰρ νηῶν ἐρέω νῆάς τε προπάσας, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, εἰ μὴ αὐταὶ αἱ Μοῦσαι δι' ἑαυτῶν εἴποιεν· τὸ δὲ "ὑμεῖς γὰρ θεαί ἐστε" ἐμεσοβόλησε τοῦ "ἔσπετε νῦν μοι Μοῦσαι, οἵτινες ἡγεμόνες," ὥσπερ αἰτίαν ἐπαγαγὼν τοῦ πρὸς τὰς Μούσας ἀπερεῖσαι τὸν λόγον. AB=

488. πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι] καίτοι λέγει καὶ περὶ τοῦ πλήθους· δι' ὧν γὰρ τὰς μὲν Φιλοκτήτου φησὶν ἑκ ν' εἶναι ἐρετῶν (719)— "ἑπτὰ νεῶν, ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα"—τὰς δὲ τῶν Βοιωτῶν ρκ', δηλονότι ὡς ἐμφῆναι βουλόμενος τὸ πλῆθος, ὡς ὀφειλόντων ἡμῶν B−

9. schol. partim inter lineas partim in marg. ext. postea add. pr. ‖ 12. οὐδὲ εἰ ‖ 28. αὗται

ἐξ ἀμφοῖν τούτοιν συντιθεμένων τὸ μέσον σκοπεῖν· ἔστι γὰρ τὸ μέσον τοῦ πλείονος καὶ ἐλάττονος λαμβάνοντας κατὰ τὸν Θουκυδίδην (1. 10) τεκμαίρεσθαι, πόσοι δύνανται εἶναι τῷ ἀριθμῷ. χρὴ οὖν νομίζειν, ὅτι οὐ χαλεπὸν τὸ εἰπεῖν τὸν ἀριθμόν, ἀλλὰ τὸ περὶ ἑκάστου διελθεῖν οὕτως ἀκριβῶς ὡς περὶ τῶν ἡγεμόνων, τίς καὶ πόθεν καὶ τίνων πατέρων καὶ προγόνων.

B= οἵτινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι] ὑπισχνεῖται τοὺς ἡγεμόνας μὲν εἰπεῖν Μουσῶν συλλαμβανομένων, τὸ δὲ πλῆθος οὐδὲ τῆς παρ' ἐκείνων βοηθείας τυχών. μήποτε οὖν τὸ "μνησαίατε" τοιαύτην χώραν ἔχῃ· αὐταὶ εἴποιεν καὶ διεξέλθοιεν.

A= 490. *φωνὴ δ' ἄρρηκτος] [διὰ γὰρ τούτου σημαίνει, ὅτι σῶ]μα ἡ φωνή.

ΕΙΣ ΤΗΝ Γ.

1. ἅμ' ἡγεμόνεσσιν ἕκαστοι] ἀντὶ τοῦ ἑκάτεροι· καὶ ἕκαστος ἀντὶ τοῦ ἑκάτερος.

B= ἅμ' ἡγεμόνεσσιν ἕκαστοι] πῶς ἐπὶ δύο στρατιῶν τὸ "ἕκαστοι" ἔταξεν; ἢ ὅτι κατὰ ἔθνη καὶ φυλὰς ἐκοσμήθησαν, ἢ ἑκάτεροι, Τρῶές τε καὶ Ἕλληνες, ὡς τὸ "δενδίλλων ἐς ἕκαστον" (Il. 9. 180)· δύο γὰρ πρέσβεις. ἔστι δὲ Ἀττικόν.

B+ 2. Τρῶες μὲν κλαγγῇ] λείπει Ἀττικῶς ἡ σύν, "αὐταῖς διαβολαῖς" (Ar. Equ. 7). ἐκ τοῦ κλάζω κλαγγὴ κατὰ πλεονασμὸν τοῦ γ· ἄμφω δὲ τὰς στρατιὰς διατυποῖ, καὶ μέχρι τέλους οὐκ ἐξίσταται τοῦ ἤθους· "ὥστ' ὄιες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ" (Il. 4. 433) καὶ "ἐς Τρώων ὅμαδον κίε" (Il. 7. 307).

B= *ὄρνιθες ὣς] τὸ διάκενον τῆς πορείας ἀναπληροῦσιν αἱ παραβολαί.

B= 3. ἠύτε περ κλαγγή] μετὰ τοσαύτης κραυγῆς ὅσης καὶ γέρανοι· ἐπὶ δὲ τοῦ "ἠύτε" ἡ ἀπόδοσις.

A B– οὐρανόθι πρό] καὶ τὸν περὶ τὰ νέφη τόπον καὶ τὸ⟨ν⟩ ἀπὸ νεφελῶν εἰς οὐρανὸν οὕτω καλεῖ. παρέλκει δὲ ἡ πρό, ὡς "ὀφθαλμοῖο διαπρό" (Il. 14. 494).

B= 4. *ἀθέσφατον] ὃν οὐδ' ⟨ἂν⟩ θεὸς ἑρμηνεύσειεν.

A B= 5. ἐπ' Ὠκεανοῖο ῥοάων] ἀντὶ τοῦ εἰς ῥοάς, Ἀττικῶς. τὸ ἀδιάλειπτον δὲ τοῦ θορύβου δηλῶν πολλάκις ὀνομάζει τὴν κλαγγήν. τὰ δὲ δειλότερα τῶν ζῴων φωνητικώτερα μᾶλλον τῶν ἀνδρείων.

10. μνησαίατο ‖ 11. erasa suppl. rec.; ὅτι incertum ‖ 12. deest catalogus cum scholiis; subscripsit rubricator λείπει ἐνταῦθα ὁ κατάλογος· στίχοι τπδ ‖ 13. inscriptionem addidi ‖ 26. ὅσης B: οἵας ‖ 29. οὕτω B: ὅτι

6. ἀνδράσι Πυγμαίοισι] καὶ τῷ ξένῳ τῆς ἱστορίας ψυχαγωγεῖ καὶ τὸν θροῦν αὔξει· κροτάλοις γὰρ αὐτὰς ἀλέξονται. φησὶ δὲ αὐτοὺς Ἑκαταῖος ἐπὶ ὀχημάτων κριῶν ἐξιόντας ἀλέξασθαι αὐτάς, τὰς δὲ καταφρονούσας τοῦ μήκους πολεμεῖν πρὸς αὐτούς. AB–

7. *ἠέριαι] διὰ τὸν καύσωνα.

8. οἳ δ' ἄρ' ἴσαν σιγῇ] ποῦ τῆς προτέρας παραβολῆς ἡ ἀπόδοσις; ἢ τάχα οὕτως ἔχει· Τρῶες μὲν κλαγγῇ ἴσαν, ἠύτε περ, ἵνα τὸ "ἠύτε" ἀπόδοσις ᾖ· καὶ ἔστι 'Τρῶες μὲν κλαγγῇ, οἳ δ' ἄρ' ἴσαν σιγῇ·' ἐπεὶ δὲ καὶ κατάπληξις σιωπὴν ποιεῖ, προσέθηκεν μένεα. B=

9. *ἀλεξέμεν ἀλλήλοισιν] ἡ γὰρ φάλαγξ σωθείη ⟨ἄν⟩, ὅταν τὸν παρασπίζοντα ἕκαστος σκέπῃ. B=

11. ποιμέσιν οὔτι φίλην] οὐ βουκόλοις, ἐπεὶ μὴ νέμουσιν ἡμέρας διὰ τοὺς οἴστρους. B=

12. *τόσσον τίς τ' ἐπιλεύσσει] ἀόριστα ταῦτα· καὶ "ὅσον τε γέγωνε βοήσας" (Od. 12. 181). B=

*ἴησιν] ἀφίησιν.

13. κονίσαλος—ἀελλής] Ἀριστοφάνης γράφει "κονισάλου ὤρνυτ' ἀελλής." ἄριστος δὲ κριτὴς ὁμοιοτήτων Ὅμηρος· ὁμίχλη γὰρ καὶ κονιορτὸς ὁμόχροα καὶ ὁμοίως ἐπιπροσθοῦντα τοῖς ὄμμασιν. B=

14. *διέπρησσον πεδίοιο] τὴν πεδιάδα διήνυον.

16. *Τρωσὶν μέν] τῷ "μέν" οὐκ ἐπάγει τὸν "δέ." B=

Τρωσιν—προμάχιζεν Ἀλέξανδρος θεοειδής] τὸ δίκαιον νομοθετεῖ— οἱ γὰρ αἴτιοι προασπίζουσιν—ἐγείρει τε τὸν ἀκροατήν, προκινδυνεύοντας εἰσάγων τοὺς πλείστων κινδύνων ⟨τοῖς⟩ ἑτέροις αἰτίους· διὰ τί δὲ θεοειδέα φησὶ τὸν πάσαις κακίαις χρώμενον; τοῦτο γὰρ ἐγκωμιάζοντος δόξειεν ⟨ἂν⟩ εἶναι καὶ ἀποσεμνύνοντος τὸν ἄνδρα. λεκτέον δὲ ὅτι, εἰ μὲν πάντα ἐπαινῶν ἐφαίνετο τὰ ἐν τούτῳ, δικαία ⟨ἂν⟩ ἦν ἡ μέμψις· ἐπαινεῖ δὲ αὐτοῦ τὴν μορφήν, ἵνα καὶ ἐπὶ τῶν ψεκτῶν νομίζηται ἀληθεύειν. εἶτα καὶ μεῖζον κατασκευάζεται τὸ μῖσος, εἰ τοιοῦτος ὢν τὴν μορφὴν καταισχύνει. B=

17. *παρδαλέην] τὸ δὲ ζῷον πάρδαλις.

18. αὐτὰρ ὃ δοῦρε δύω] ἄνευ τοῦ ἄρθρου τὸ "αὐτὰρ δοῦρε" ἐν πάσαις ταῖς χαριεστέραις· ἡ δὲ σὺν τῷ ἄρθρῳ γραφή, καίτοι μὴ οὖσα Ἀριστάρχου, ὅμως ἔχει Ὁμηρικὴν συνήθειαν. ἔθος γὰρ αὐτῷ AB+

3. σχημάτων: corr. Bekker ‖ 10. ὅταν τὸ τοῦ παρασπίζοντος ἕ. σκοπῇ: corr. W ex B ‖ 24. suppl. W ‖ 25. φασὶ ‖ 33. π. καὶ χ. εἰ δὲ: corr. Cramer

περὶ τοῦ αὐτοῦ διαλεγομένῳ μεσολαβεῖν τὸ ἄρθρον, ὡς περὶ ἄλλου λέγοντι, ὡς ἐπὶ τοῦ Σαρπηδόνος· "αὐτοῦ μὲν ἀπήμβροτεν—ὃ δὲ Πήδασον οὔτα⟨σεν⟩" (Il. 16. 466).

B= δοῦρε δύω] δῆθεν ἵνα, εἰ ἀποτύχοι τοξεύων, προσπεσὼν μάχοιτο.

* κεκορυθμένα] ἠκονημένα· ἐστομωμένα.

B= 19. προκαλίζετο πάντας ἀρίστους] τῇ φαντασίᾳ, οὐ λόγῳ, ὡς "αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος" (Od. 16. 294). κραδαίνων δέ φησι τὰ δόρατα προεκαλεῖτο τοὺς ἀρίστους τῶν Ἑλλήνων "ἀντίβιον μαχέσασθαι·" ἢ τοὺς ἀρίστους τῶν Τρώων προετρέπετο κατὰ τῶν Ἑλλήνων. ἦθος δὲ θρασυδείλων κωμῳδεῖ διὰ Πάριδος, Ἴρου, Θερσίτου, Δόλωνος, προπετὲς ἐν ἐπαγγέλματι, δειλὸν ἐν πράξει, ἐπονείδιστον πρὸς τῷ τέλει.

B= 21. * ἐνόησεν] καθεστὼς γὰρ καὶ ζητῶν ⟨ἦν⟩ τὸν ἀδικήσαντα, ὃ δὲ ἀλαζονείᾳ ἐπτοημένος.

B– 23. μεγάλῳ ἐπὶ σώματι κύρσας] σῶμα μὲν Ὅμηρος ἐπὶ νεκροῦ, οἱ δὲ ἄλλοι καὶ ἐπὶ ζώντων· ἢ ὃ αὐτ[ὸς] νεκρὸν εἰργάσατο, ἢ τὸ τοξευθέν, ὡς τὸ "θῶες μέν τε διέτρεσαν" (Il. 11. 481)· ἢ τῷ "πεινάων" λύεται.

A+ B= 24. εὑρὼν ἢ ἔλαφον] ὃ μὲν ἐλάφῳ καὶ τεθνεῶτι, ὃ δὲ λέοντι καὶ πεινῶντι παρείκασται· μέγα δὲ πρὸς θάρσος καὶ δειλίας ὄνειδος.

κεραόν] τέλειον· τὰ νέα γὰρ ἀμβλυκέρατά φασιν.

B= ἄγριον αἶγα] κατωφερὴς ὁ τράγος καὶ κερασφόρος· τοξότης δὲ καὶ ὁ Πάρις.

AB= 25. πεινάων] δύναται ἐπὶ τοῦ πεινάων καὶ στιγμὴ καὶ ὑποστιγμὴ εἶναι· οὐ γὰρ συναπτέον τοῖς ἑξῆς. χαλεπὸς δέ ἐστι πεινῶν, ὅσον ἥμερος βεβρωκώς· τῶν γὰρ ἄλλων ἐστὶ θερμότερος.

AB= εἴπερ ἂν αὐτὸν σεύωνται] ὥσπερ οὖν λέοντα παροξύνει λιμὸς εἰς ἀπερίσκεπτον κίνδυνον, οὕτω καὶ νέον ἄνδρα πολεμίου ζῆλος εἰς ἀνεκλόγιστον ἀγῶνα προτρέπεται.

B= 28. φάτο γάρ] πρώην γὰρ ἀναπολῶν αὐτὸν τῇ διανοίᾳ νῦν τὴν θέαν πρὸς ἐρεθισμὸν ἐδέξατο.

B= 29. ἐξ ὀχέων] ἀπὸ τοῦ ὄχος· ὅθεν καὶ τὸ "ἐς δ' ὄχεα—ποσὶ βήσετο" (Il. 5. 745).

B= 31. ἐν προμάχοισι φανέντα] "φανέντα," οὐ μαχόμενον. §. διὰ δὲ τοῦ "ἐξ ὀχέων" ἐν σχήματι πέφρακεν, ὡς ἱππεὺς ἦν ὁ Μενέλαος.

* κατεπλήγη] ἔδει διὰ τοῦ ᾱ.

4. δύω δοῦρε ‖ ἀποτύχη ‖ 8. Ἑλλήνων :— ‖ 10. Δόλωνος W ex B : Ἕκτορος ‖ 12. καθὲς ‖ supplevi ex B ‖ 19. δ. ὅν. B ; δειλίαν συνειδός

32. * ἑτάρων] εἶχε γὰρ ἴσως Ἀντιμαχείους φίλους (Il. 11. 123).

33. ὡς δ' ὅτε τίς τε δράκοντα ἰδών] ἀνωτέρω περὶ τοῦ λέοντος ἐξειργάσατο, οὐ τοῦ ἐλάφου· τοῦ δρῶντος γὰρ ἦν ἡ εἰκών. καὶ τὰ μὲν ἄλλα τῶν ζῴων καὶ πόρρωθεν ὁρᾶται ἢ μεγέθει ἢ φωνῇ, ὄφις δὲ ἐγγὺς γεγονότι παραδόξως ὁρᾶται· ὃ συνέβη Ἀλεξάνδρῳ. AB=

34. ὑπό τε τρόμος ἔλαβε γυῖα] "γυῖα" πάντα τὰ μέλη· "ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων" (Il. 24. 514). B=

35. ἄψ] συνωνύμως τῷ "παλίνορσος." B=

ὦχρός τε μιν] ὡς μῶμος· ἄχροος, ἄοχρος, ὦχρος. A+B=

εἶλε παρειά] Ἀρίσταρχος οὐδετέρως, ἔν τισι δὲ θηλυκῶς. ὁ δὲ Σιδώνιος διὰ τοῦ η διὰ τὸ παρήιον· τὸ δὲ "παρειά" ὡς ἀγαθά· τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν Ἰωνικῶς μεταποιούμενα εἰς οὐδέτερον γένος φυλάσσει τὸν αὐτὸν τόνον, πλευραί πλευρά. A+B−

36. καθ' ὅμιλον ἔδυ] τὸ ἐξῆς κατέδυ, ἀπὸ μεταφορᾶς τῶν εἰς τοὺς φωλεοὺς καταδυομένων ἑρπετῶν.

ἀγερώχων] λίαν γέρας ἐχόντων, ὅ ἐστι μεγαλοφρόνων. A+B=

37. δείσας Ἀτρέος υἱόν] διὰ τοῦ ὀνόματος τοῦ πατρὸς τὸν φόβον ἐδήλωσεν. B=

38. * αἰσχροῖς] αἶσχος ἐπάγουσιν.

39. Δύσπαρι] ἠθικῶς τὸ τῆς παρονομασίας προσέρριψε δυσχεραίνων τῷ ὀνόματι, ὡς καὶ Κακοίλιόν που φησὶν ἡ Πηνελόπη (Od. 23. 19). A~B=

εἶδος ἄριστε] ἐφ' ᾧ μεγαλύνεται, τούτῳ αὐτὸν διασύρει. ὄνειδος δέ ἐστιν οὐχ' ὁμοιούμενον ψυχῇ, ὡς τὸ "Ἕκτορ εἶδος ἄριστε" (Il. 17. 142)· καὶ "εἶδος ἀγητός" (Il. 24. 376)· "σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος" (Hes. Opp. 714). B−

40. ἄγονός τ' ἔμεναι] ὁ "τέ" ἀντὶ τοῦ διαζευκτικοῦ η, ὡς καὶ ὁ καί, οἷον "πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν" (Il. 15. 634)· ἢ τῷ θυμῷ ἐπὶ τὸ ἀδύνατον τῆς κατάρας ἐκπίπτει. B=

41. καί κε τὸ βουλοίμην] ἐβουλόμην ἂν τοῦτο. "φέρτερον" δὲ κρεῖττον, σοὶ δηλονότι. B=

42. ἢ οὕτω λώβην τ' ἔμεναι] ἢ οὕτως ἐπὶ πάντων ὁρώντων τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην κερδαίνειν· δεῖ δὲ εἰς τὸ "λώβην ⟨τ' ἔμεναι⟩" στίξαι καὶ τὸ λοιπὸν συνάψαι ἕως τοῦ "ἄλλων." B−

ὑπόψιον ἄλλων] ἢ ὑφορώμενον τοὺς ἄλλους, μὴ ἃ δέδρακας πείσῃ, B=

8. τῷ B: τὸ ‖ 9. ὦμος A pro μῶμος ‖ 20. παρωνομασίας ‖ 32. ὅτι post ἢ alt. omisi

ἢ ὃν διὰ μῖσος ὑπόδρα ὁρᾷ τὸ πλῆθος. βαρύτερον δὲ φόβου ἐχθρῶν ἡγεῖται τὸ τῶν πολιτῶν μῖσος. §. Ἀριστοφάνης δὲ "ἐπόψιον" γράφει, ἵν' ᾖ, ἐπὶ πάντων ὁρώντων κερδᾶναι τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην.

B= ᾗ που καγχαλόωσι] ἐκ προοιμίου τὸ φιλότιμον δείκνυσιν Ἕκτορος καὶ τῆς παρὰ τοῖς πολλοῖς πεφροντικὸς δόξης· "αἰδέομαι Τρῶας" (Il. 6. 442)· "πατρός γ' ὅδε πολλὸν ἀμείνων" (ib. 479)· "ὅν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ" (Il. 7. 90).

B= 43. ᾗ που καγχαλόωσι] τὸ ἑξῆς· ᾗ που καγχαλόωσιν, οὕνεκα καλὸν εἶδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσίν. τὸ δὲ "φάντες ἀριστῆα" διὰ μέσου· καίτοι γε, φησίν, ἀριστέα σε ὑπονοήσαντες εἶναι ἐκ τῆς καθοπλίσεως καὶ τοῦ προηγεῖσθαι τῆς παρατάξεως.

AB= 44. φάντες ἀριστῆα] πότε ὑπέλαβον αὐτὸν ἄριστον εἶναι; δῆλον ὅτι ὁπότε πάλλων τὰ δόρατα "Ἀργείων προκαλίζετο πάντας ἀρίστους" (19).

A–B= οὕνεκα καλὸν εἶδος ἔπ'] μετὰ τὸ "εἶδος ἔπ'" ἐὰν στίξῃς, τὸ ἑξῆς ὡς ἀπὸ τοῦ Ἕκτορος δώσεις· ἐὰν δὲ ὑποστίξῃς, ὃ καὶ ἄμεινον, ἀπὸ κοινοῦ τὸ "φάντες," ὅτι καλὸς μέν ἐστι, γύννις δέ.

AB= 46. ἦ τοιόσδε ἐών] τινὲς κατὰ πεῦσιν καὶ θαυμασμόν· τοιοῦτος ὢν δειλός, συναγαγὼν πλῆθος, διελθὼν πέλαγος γυναῖκα ἀνδρὸς πολεμικοῦ ἤγαγες, τῷ πατρὶ καὶ τοῖς ἄλλοις κακὸν μέγα; εἶτα ἀπὸ ἄλλης ἀρχῆς "οὐκ ἂν δὴ μείνειας Μενέλαον," ἠθικῶς μετὰ πεύσεως, ἢ διαβεβαιωτικῶς. τινὲς δὲ τὸ πᾶν οὕτως· τὸν ἢ ἀντὶ τοῦ εἰ· εἰ τοιοῦτος ὢν ἐπηγάγου πλῆθος καὶ ἀπὸ ξένης γῆς γυναῖκα ἀνδρὸς πολεμικοῦ ἀνήγαγες, οὐκ ἂν ὑπομείναις τὸν ταύτης ἄνδρα. ὃ καὶ προκρίνει Νικάνωρ ὡς μᾶλλον τὴν δικαιολογίαν ἔχον.

B– 47. ἑτάρους ἐρίηρας] παρὰ τὸ ἔρι καὶ τὸ ἄρω, ὅ ἐστιν ἁρμόζω, τὸ ἦρα, ὅ ἐστι χάρις.

A+ 49. * ἀπίης γαίης] οὐ τῆς Πελοποννήσου· φησὶ γοῦν "ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ" (Od. 16. 18).

B– νυὸν ἀνδρῶν] πάντες γὰρ οἱ ἄριστοι ἐμνηστεύσαντο τὴν Ἑλένην, Μενελάου δὲ γέγονε θαλερὴ παράκοιτις. ἢ ὅτι παντὶ τῷ οἰκείῳ τοῦ νυμφίου νυὸς ὀνομάζεται.

B= 50. πατρί τε σῷ μέγα πῆμα] ἀπλήρωτον καὶ ἄτακτον θυμός· πολλὰς γοῦν εἴωθεν ἐπὶ τῶν ὀργιζομένων ποιεῖσθαι ⟨ἀρχὰς⟩ ὁ ποιητής, ἀσύνδετον ἐῶν τὸν λόγον, ὡς τὸ "οἰνοβαρές" (Il. 1. 225) καὶ τὰ ἑξῆς. ἄτοπον γὰρ πῆμα καλεῖν τὴν Ἑλένην Ἕκτορα, περὶ οὗ φησιν "ἀλλ' οὔπω σεῦ ἄκουσα κακὸν ἔπος" (Il. 24. 767).

4. ἦ που ut infra ‖ 6. π. δ' ὄγε ‖ 9. ἔπε

53. γνοίης ⟨χ'⟩ οἷου φωτός] ἀσύνδετος ὁ λόγος. θυμουμένου γὰρ ἀνδρὸς τὰ ῥήματα.

* οἷου φωτός] οἷος ὢν τίνα ἐστέρησας, ἵν' ᾖ τὸ γνῶθι σεαυτὸν ὑποφαινόμενον. B+

54. οὐκ ἄν τοι χραισμῇ κίθαρις] κίθαρις ἡ ἐπὶ πορνείᾳ πρὸς χάριν Ἀφροδίτης, οὐ Μουσῶν, διδομένη. ἡ δὲ Ἀχιλλέως κιθάρα καὶ τὸ εἶδος ἐνάρετον. πᾶν δὲ σωματικὸν πλεονέκτημα δίχα ψυχικῆς ἀρετῆς ἄχρειόν ἐστιν· διὸ καὶ Ἀφροδίτης αὐτά φησι, τὸ δὲ ἄλλο θεῶν. "τῷ δὲ θεοὶ κάλλος τε καὶ ἡνορέην ἐρατειννὴν ὤπασαν" (Π. 6. 156). B−

55. * ὅτ' ἐν κονίῃσι μιγείης] ὅταν συνέλθῃς εἰς μάχην. A=

56. Τρῶες δειλήμονες] εὐλαβεῖς περὶ ⟨τοὺς⟩ ἄρχοντας. φιλάδελφος δέ, ὃς κατὰ πρόσωπον λοιδορεῖ, ἡττώμενον δὲ οὐ προδίδωσιν. B=

57. λάινον ἕσσο χιτῶνα κακῶν ἕνεχ'] εἰς τὸ "ἕνεκα" ὑποστικτέον καὶ τὸ ἑξῆς ἰδίᾳ μετὰ ἤθους προενεκτέον. A+ B=

59. Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας—μή μοι δῶρ' ἐρατὰ πρόφερε· διὰ μέσου δὲ ἡ παραβολή. AB=

60. Ἕκτορ, ἐπεί με] οὐκ ἠθεῖε οὐδὲ κασίγνητε· πᾶσαν γὰρ εὐνοϊκὴν προσηγορίαν ὁ θυμὸς ἐξέκοψεν. AB=

61. αἰεί τοι κραδίη πελεκὺς ὣς] μή πω μου οὖν καταγίνωσκε πρὸς ἑαυτόν με συγκρίνων. εὖ δὲ καὶ εἰκόνα ἀπαθεστάτην εὗρε τὴν τοῦ σιδήρου, καὶ οὐκ ἀργοῦ ἀλλὰ καὶ δρῶντός τι. B=

62. * δουρός] παντὸς ξύλου διὰ τὴν δρῦν.

63. ὀφέλλει δ' ἀνδρὸς ἐρωήν] ὀξὺς ὢν καὶ ἠκονημένος τὴν ὁρμὴν τοῦ τέμνοντος αὔξει, ὡς καὶ ὁ ἀμβλὺς θραύει. B=

64. ὣς τοι ἐνὶ στήθεσσιν ἀτάρβητος] δύο ὑπεροχῶν ὁμοιότητας παρέθετο, πελέκεως καὶ γνώμης, ὡς εἰ λέγοι, ὅσον ἦν Αἴας πρᾶξαι δυνατὸς τοσοῦτον Ὀδυσσεὺς βουλεύειν. B+

* ἀτάρβητος] ἀκατάπαυστος.

65. μή μοι δῶρ' ἐρατὰ πρόφερε] ὡς ὑγρὸς ἄμφω αὔξει· ὁ δὲ Ἕκτωρ "δῶρ' Ἀφροδίτης" (54).

68. ἄλλους μὲν κάθισον] ὡς διὰ τοὺς συμμάχους αὐτοῦ μὴ πολεμῶν. §. βαρβαρικὸν δὲ τὸ μονομαχεῖν. B+ B=

69. * ἀρηίφιλον] ποιητικὸν τὸ ἐπίθετον. B=

70. * κτήμασι] ἀντὶ τοῦ χρήμασιν.

6. Ἀφροδίτη ‖ φιλομένη B ‖ 8. αὐτόν ‖ 14. ἕσο

B= 71. ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται] καὶ εἰς τὸ "νικήσῃ" καὶ εἰς τὸ "γένηται" βραχὺ διασταλτέον.

B= 74. ναίοιτε Τροίην] διὰ τὸ νεμεσητὸν οὐκ εἶπε ναίοιμεν.

75. Ἄργος ἐς ἱππόβοτον] τὴν Θεσσαλίαν· καὶ ὁ Ἀχιλλεὺς "οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος" (Il. 19. 329).

A= Ἄργος ἐς ἱππόβοτον] Ἑλ⟨λ⟩άνικός φησι Φορωνέως γεγενῆσθαι παῖδας τρεῖς, οἵτινες μετὰ θάνατον τοῦ πατρὸς διενείμαντο τὴν Ἀργείαν· καὶ τὴν μὲν πρὸς Ἐρασίνῳ τῷ ποταμῷ Πελασγὸς λαχὼν ἔκτισε τὴν νῦν καλουμένην Λάρισσαν, Ἴασος ⟨δὲ⟩ τὴν πρὸς Ἰνάχῳ· ἀναλωθείσης δὲ τῆς γῆς ὁ νεώτατος Ἀγήνωρ πολλὴν ἵππον ἐκτήσατο· ὅθεν ἐν τῷ αὐτῷ χρόνῳ ὠνόμασται τριχῶς τὸ Ἄργος Ἄϊασον Ἄργος, Πελασγικὸν Ἄργος, ἱππόβοτον Ἄργος.

AB= Ἀχαιΐδα] πᾶσαν τὴν Ἑλλήνων γῆν Ἀχαιΐδα φησὶ καλλιγυναῖκα· τῷ γὰρ ἔρωτι τῆς Ἑλένης πᾶσαν τοιαύτην εἶναι μαντεύεται.

B= 76. Ἕκτωρ δ' αὖτ' ἐχάρη] εἰκότως ἥδεται· ἢ γὰρ νικήσει, ἢ ἀκλεοῦς ἀδελφοῦ ἀπαλλαγήσεται.

77. καί ῥ' ἐς μέ⟨σ⟩σον ἰών] διὰ τί "μέσ⟨σ⟩ου δουρὸς ἑλών;" ἐπεί, ἕως ἐν καταστάσει τὰ τῆς μάχης, καὶ ἀκούεται· ἡνίκα δὲ μεσοῖ ὁ πόλεμος, τοῦτο ποιεῖ.

* ἀνέεργε] ἐκώλυε τοῦ πολέμου.

B= 79. τῷ δ' ἐπετοξάζοντο] πληροῦν γὰρ τούτῳ τὴν μάχην ᾤοντο· Ἀλεξάνδρου δὲ προϊόντος οὐκ ἠκόντιζον.

B+ 80. ἰοῖσίν τε τιτυσκόμενοι] ἀπὸ μετοχῆς εἰς ῥῆμα, ἢ ἀπὸ κοινοῦ τὸ "ἔβαλλον·" οἱ δέ, τιτυσκόμενοι ἰοῖς ἐτόξαζον.

A= 82. * ἴσχεσθ'] ἀντὶ τοῦ ἴσχετε.

A= 83. * στεῦται] ὁρίζεται.

85. * ἐσσυμένως] σπουδαίως.

B= 87. μῦθον Ἀλεξάνδροιο] οἷ δὲν ἄδικα ἀξιῶν· διὸ Ἀλεξάνδρου φησὶν ἐρεῖν, οὐχ ἑαυτοῦ λόγον, ἐλευθερῶν ἑαυτόν· ἐπιδυσχεραίνων τε αὐτῷ φησι "τοῦ εἵνεκα νεῖκος ὄρωρεν."

* νεῖκος] φιλονεικία διεγήγερται.

B= 95. ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ] καλῶς· καταπλήσσει δὲ αὐτοὺς τὸ ξένον, ὡς εἴ τις μοιχείας διωκόμενος προκαλοῖτο τὸν ἄνδρα τῆς γυναικὸς εἰς μάχην, ὡς μετὰ τοῦ γυναίου καὶ τὴν ψυχὴν ἀφελούμενος. Ἀγαμέμνων δὲ οὐδὲν φθέγγεται, οὔτε προκιν-

3. νεμεσιτὸν ‖ 9. τὰ πρ. ‖ Ἰνάχῳ W : Ἥλιν ‖ 18. τέως.

δυνεύειν τὸν ἀδελφὸν θέλων—φιλάδελφος γάρ—οὔτε ἀναδύεσθαι· οὐ γὰρ ἔπρεπε γινομένης τῆς κρίσεως περὶ τῶν ὅλων.

ἀκὴν ἐγένοντο σιωπῇ] πρεπόντως οἱ πολλοὶ σιωπῶσιν· ἕνα γὰρ B= προυκαλοῦντο εἰς μάχην.

97. κέκλυτε νῦν καὶ ἐμεῖο] ἀκούσατέ φησιν· οὐ μὲν ἐπὶ δικαίοις B– κινδυνεύσω, ἀλλὰ λυπούμενος ἐφ' ὑμῖν καταπονουμένοις, καὶ εἰς τὸ ἀπαλλάξαι ὑμᾶς τὸν ἀλυσιτελῆ ὑπομενῶ πόλεμον. Τυνδάρεων γὰρ ἔδει τοῦτο προτείνειν.

99. πέποσθε] "πέπασθε" οὕτω πᾶσαι. §. ἀπὸ τοῦ πήθω δὲ τὸ A+ "πέποσθε" ⟨ἢ⟩ τοῦ πεπόνησθε συγκοπῇ· οἱ δὲ ἀπὸ τοῦ πέπασθε μεταβολῇ.

100. εἵνεκ' ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς] ἐπιεικῶς B= συγκατασπᾷ καὶ ἑαυτὸν ὡς προσφιλονεικήσαντα τῷ ἄρξαντι. ἀντέστρεψε δὲ τὴν τάξιν.

101. ἡμέων δ' ὁπποτέρῳ] καταγνωστέος, φασίν, Ἀλέξανδρος B= μαχόμενος περὶ ὧν ἔχει, καὶ Μενέλαος περὶ τῶν ἰδίων. ἀλλ' ὁ μὲν εἶχε μέν, οὐκ ἴδια δέ, μάχεται δέ, ἵνα γένηται ἴδια, ὁ δέ, ἵνα τῶν ἰδίων κρατήσῃ, καὶ ὁ μέν, ἵνα τὴν πόλιν ἐλευθερώσῃ, ὁ δέ, ἵνα τὸ πρόστιμον ἀπαιτήσῃ.

103. οἴσετε δ' ἄρν'] ἐὰν στίξωμεν εἰς τὸ "ἄρν'," δυϊκὸν ἔσται, ἐὰν A= B= δὲ συνάψωμεν, ἔσται αἰτιατικῆς πτώσεως. ἀπὸ κοινοῦ τὸ νοούμενον.

οἴσετε] ἀπὸ τοῦ οἶσε, ὡς ἄξετε ἀπὸ τοῦ ἄξε. §. ταῦτα δὲ θύουσιν, A– ἐπεὶ καρποφόρα, τῇ γῇ· καὶ ἥλιος δὲ καὶ γῆ αἰτία τῶν καρπῶν. διὰ τί A~ B= δὲ οἱ Τρῶες γῇ καὶ ἡλίῳ; ὅτι ὁ κίνδυνος περὶ σωτηρίας καὶ γῆς. Ἕλληνες δὲ Διί, ἐπεὶ ξένιος· περὶ ξενίαν ⟨δὲ⟩ ἠδίκηνται. μέλαιναν δὲ καὶ λευκόν, ὅτι οἰκειότατα τὰ χρώματα ἑκατέρῳ τῶν θεῶν. ἐπὶ δὲ Διὸς οὐκ εἶπε τί χρῶμα· γῆν μὲν γὰρ καὶ ἥλιον ὁρῶμεν, Δία δὲ νοοῦμεν μόνον.

105. ὄφρ' ὅρκια τάμνῃ] συνετῶς ἀξιοῖ ὅρκους γενέσθαι, ὅπως εἰ B= μὲν στέργοιεν Τρῶες εὖ ἔχοι, εἰ δὲ μή, τὸν θεὸν αὐτοῖς ἐκπολεμώσαι. ἐμφρόνως δὲ γέροντι πιστεύει τοὺς ὅρκους.

106. ἐπεί οἱ παῖδες ὑπερφίαλοι] οὐκ ἀλόγως· αὐτὸς γάρ ἐστι τῆς ἀπιστίας Ἀλέξανδρος κατήγορος.

108. * αἰεὶ δ' ὁπλοτέρων] ὁ δέ ἀντὶ τοῦ γάρ.

6. λυπούμενος B: λυποῦμαι ‖ 21. αἰτιατικῆς B: ἀντὶ ‖ 27. τί scripsi, τὸ W: τι

B= φρένες ἠερέθονται] ἀβέβαιοί εἰσιν· ὑποτέμνεται δὲ τὴν ὕβριν, ἀνάγων ἐφ' ἅπαντας τοὺς νέους τὸ ἔγκλημα.

B= 109. οἷς δ' ὁ γέρων μετέῃσιν] περὶ Πριάμου ὁ λόγος· πεπεί-
AB= ραται γὰρ αὐτοῦ. §. ἡ δὲ στιγμὴ ἐὰν μετὰ τὸ ἔῃσιν ᾖ, οὕτως ὁ νοῦς· τὰ παρόντα καὶ ⟨τὰ⟩ μέλλοντα προορᾷ καὶ πῶς ἄμφω ἄριστα πραχθήσεται· εἰ δὲ εἰς τὸ ὀπίσσω, οὕτως, οἷς ⟨ἂν⟩ παρῇ ὁ γέρων εἰς τὸ νῦν καὶ ⟨τὸ⟩ μέλλον, ὅ ἐστιν ἑκάστοτε.

113. * ἔρυξαν] κατέσχον.

B= 114. τεύχεα τ' ἐξεδύοντο] τὰς ἀσπίδας· αὗται γὰρ τελαμῶνας εἶχον, οὐκ ὄχανα:

κατέθεντ' ἐπὶ γαίῃ] πλησίον ἀλλήλων, μὴ γένοιτό τις αὐτῶν χρεία.

115. ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα] ἡ διακεχωρισμένη γῆ μεταξὺ Τρώων καὶ Ἑλλήνων.

A+ 117. καρπαλίμως ἄρνας τε φέρειν] τὸ "καρπαλίμως" τούτῳ τῷ στίχῳ συναπτέον, οὐ τοῖς ὀπίσσω.

B+ 121. λευκωλένῳ ἄγγελος ἦλθε] δηλονότι παρὰ τοῦ Διός· οὐ γὰρ αὐτάγγελος. θῆλυ δὲ θήλεϊ πείθεται, ἐρωτική τε θεὸς ἡ Ἶρις. τινὲς δὲ αὐτῆς καὶ Ζεφύρου τὸν Ἔρωτα λέγουσιν εἶναι υἱόν (Alc. fr. 13 B.).

A+ 122. * γαλόῳ] ἀνδρὸς ἀδελφῇ· ἡ γάλως τῆς γάλω.

B= Ἀντηνορίδαο δάμαρτι] οὔτε τῇ γαλόῳ δοτικῇ οὔτε τῇ Ἀντηνορίδαο γενικῇ ὑπήντησε σχηματίζων τὸν λόγον.

B= 123. τὴν Ἀντηνορίδης] τὸ γένος γὰρ Ἀντήνορος ἠγάπα μᾶλλον Ἑλένη, ἐπεὶ πρόξενος ἦν τῶν Ἑλλήνων.

124. εἶδος ἀρίστην] ἀντὶ τοῦ ἁπλοῦ· φησὶ γοῦν "Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην Κασάνδρην" (Il. 13. 365), εἰ μὴ τὴν μὲν παρθένων, τὴν δὲ γαμηθεισῶν ἀρίστην φησὶν εἶναι.

AB= 125. ἐν μεγάρῳ] τοῦτο γὰρ ⟨ἐν⟩διαίτημα γαμηθεισῶν, χηρῶν δὲ καὶ παρθένων ὑπερῷον.

ἣ δὲ μέγαν ἱστὸν ὕφαινε] οὐκ ἄδει ὡς Κίρκη καὶ Καλυψώ· ἀπαθεῖς γὰρ ἐκεῖναι καὶ ῥῆμα ζῶσαι.

B= 126. πολέας δ' ἐνέπασσεν ἀέθλους] ἀξιόχρεων ἀρχέτυπον ἀνέπλασεν ὁ ποιητὴς τῆς ἰδίας ποιήσεως. ἴσως δὲ τούτῳ τοῖς ὁρῶσιν ἐπειρᾶτο δεικνύναι τὴν Τρώων βίαν καὶ τὴν Ἑλλήνων δικαίαν ἰσχύν.

A+ B− δίπλακα μαρμαρέην] διπλοΐδα χλαῖναν· οἱ δὲ δίμιτον· αἱ

4. εἴῃ ‖ 6. προαχθῇ ‖ 19. γάλως scripsi: γάλη ‖ 25. Κασάνδραν ‖ 27. τοῦτο B: οὕτως ‖ supplevi ex A B ‖ 33. β. Τρ. ‖ Ἑλλήνων B: Ἑλένης

πᾶσαι δὲ "πορφυρέην" εἶχον· καὶ ἔστι συναδὸν τῷ "ἰοδνεφὲς εἶρος ἔχουσα" (Od. 4. 135) καὶ "φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα" (Od. 13. 108).

128. οὕς ἑθεν] ἐγκλιτικῶς· τὸ δὲ ἐμέθεν καὶ σέθεν ὀρθοτονοῦνται παρ' αὐτῷ. A + B =

130. δεῦρ' ἴθι] "δεῦρο" ἀντὶ τοῦ ἄγε. §. τὸ δὲ "νύμφα" Ἰωνικόν, ὡς τὸ τόλμα τῆθε κοῦρα. B = A –

ἵνα θέσκελα] θεοείκελα θέσκελα, ὡς θέσφατα· μετὰ τὴν συγκοπὴν ὁ πλεονασμός. A B =

132. οἷ πρὶν ἐπ' ἀλλήλοισι φέρον] ἡ "ἐπί" πρὸς τὸ "φέρον." §. τοῦτο δὲ τὸ οἷ ὑποτακτικόν ἐστιν ἄρθρον, τὸ δὲ ἑξῆς (134) ἀντωνυμικόν. A + B =

133. λιλαιόμενοι πολέμοιο] εἰς τὸ "πολέμοιο" ὑποστικτέον.

134. οἳ δὴ νῦν ἔασι] ἀπὸ τοῦ ἦνται, ὡς μέμνηνται μεμνέασι. A –

*διὰ μέσου τὸ "πόλεμος δὲ πέπανται." A B +

135. ἀσπίσι κεκλιμένοι] ὑπὸ τῆς ἀπορρίψεως τῶν ὅπλων ἐμποδιζόμενοι πολεμεῖν. B =

137. μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο] τὸ δέος ἀναιρεῖ τοῦ μὴ τοξευθῆναι Μένελαον ὑπὸ Ἀλεξάνδρου, ἐπεὶ τὴν τοξείαν εὖ ἤσκητο, τὸ δ' ἔγχος οὐδαμῶς, εἰ καὶ δύο πάλλων προὐκαλεῖτο πάντας ἀρίστους· καὶ τοῦτο γὰρ δειλίας τεκμήριον, ὡς τῇ θεᾷ δῆθεν ἐκπλήξῃ τὸν ἀντιτεταγμένον.

138. φίλη κεκλήσῃ ἄκοιτις] ὅτι οὐ μνησικακήσει ὁ λαβών. τὸ δὲ "κεκλήσῃ" ἀντὶ τοῦ ἔσῃ, ὡς τὸ "σὴ παράκοιτις κέκλημαι" (Il. 4. 60). B =

139. ὡς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ⟨—τοκήων⟩] καὶ περὶ Ἡρακλέους "κρατερὸς παῖς Ἀμφιτρύωνος" (Il. 5. 392) φησίν· διὰ τοῦτο κἀνταῦθα "καὶ ἄστεος ἠδὲ τοκήων."

140. ἀνδρός τε προτέροιο] ἀγνοεῖ τὴν Θησέως ἁρπαγὴν ὁ ποιητής· ἐπὶ δύο γοῦν τὸ "προτέροιο" φησίν. B +

141. ἀργεννῇσι καλυψαμένη] οὕτος γὰρ σώφρονι γυναικὶ κόσμος· καὶ ποικίλλειν γοῦν εἰδυῖα οὐκ ἀμπίσχεται ποικίλα. ὀθόνη δὲ ὁ ἑανός, ὃν καὶ πέπλον καλεῖ. B =

142. δάκρυ χέουσα] διαίρεσις, οὐ σύνθεσις· ἐθρήνει δὲ δεδοικυῖα ὑπὲρ Μενελάου, ἢ μνήμῃ χαρᾶς. B =

143. οὐκ οἴη] στικτέον εἰς τὸ "οἴη," καὶ τὸ ἑξῆς ἀσύνδετον. A + B =

2. φάρεα ὑφαίνουσα ‖ 28. προτέρου ‖ ὁ ποιητὴς B : ὅπως

AB+ 144. Αἴθρη, Πιτθῆος] εἰ μὲν ὁμωνυμία ἐστίν, ἑατέον· εἰ δὲ οὔ, στικτέον ἐν τῷ Αἴθρη καὶ τὸ ἑξῆς συναπτέον. Ἀντίμαχος δὲ τὴν Κλυμένην Ἱππάλκ⟨μ⟩ου θυγατέρα εἶναί φησιν.

A+ Πιτθῆος θυγάτηρ] καὶ πῶς τοσούτων ἐτῶν οὖσα ἀμφιπολεῖν δύναται; ἀλλὰ καὶ ἐπὶ τῆς γραὸς κεῖται "γρηὶ σὺν ἀμφιπόλῳ" (Od. 1. 191)· πιθανώτερον δὲ ὁμωνυμίαν εἶναι· οὐ γὰρ ἡλικία ἐᾷ· τοὺς περὶ Θησέα γὰρ προτέρους ἄνδρας ὁ Ὀδυσσεύς φησιν (Od. 11. 630)· πῶς τε ἡ ἐν Τροιζῆνι ἐκεῖ ἦν; πῶς τε Μενέλαος τὴν θείαν δουλεύειν ἠνείχετο; Πελοπὶς γὰρ ἦν· κουρι⟨δί⟩ην τε ἄλοχον Μενέλαος αὐτήν φησιν (Il. 13. 626).

πῶς ἐν ταῖς πρώην πρὸ τείχους γενομέναις ⟨συμ⟩βολαῖς οὐ παρεκάλει Πρίαμος παρ' Ἑλένης τοὺς ἀρίστους μαθεῖν; ὡς ἐνόπλων αὐτῶν προσβαλόντων τῷ τείχει δυσχερὲς ἦν ἐπισημήνασθαι τῶν ὅπλων πολλάκις δυναμένων ἀπατᾶν, ὡς καὶ ἐπὶ Πατρόκλου "καί τοι τεύχεα καλὰ δότω—αἴ κε σε τῷ ἴσκοντες" (Il. 11. 798).

A+ 145. ὅθι Σκαιαὶ πύλαι] καὶ Δαρδανίας ἐνίοτε αὐτάς φησιν, ἢ τὰς ἀριστεράς, ἢ ὅτι κατὰ ταύτας εἰσῆλθεν ὁ δούρειος ἵππος καὶ ἐπορθήθη ἡ πύλη.

146. οἳ δ' ἀμφὶ Πρίαμον] ὡς ἡμεῖς οἱ περὶ τόνδε καὶ τόνδε ἀντὶ τοῦ ὅδε καὶ ὅδε.

147. Ἱκετάονά ⟨τ'⟩ ὄζον Ἄρηος] ὡς καὶ ὁ Πρίαμος εὐμελίης οὐ νῦν, ἀλλ' ἐπὶ νεότητι.

B− 148. Οὐκαλέγων τε] μεταβὰς ἐπὶ ἕτερον γένος καὶ τὴν πτῶσιν ἤλλαξεν· Αἰσυήτου γὰρ οὗτοι· Ἀττικὸν δὲ τὸ ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν μεταβαίνειν.

B= 149. εἵατο δημογέροντες] οἱ γέρας ἐν τῷ δήμῳ ἔχοντες. ἀπὸ δὲ τῶν ἐνδόξων τοὺς πάντας δηλοῖ.

AB= 150. γήραϊ δὴ πολέμοιο] ἐντελῶς "γήραϊ·" γράφεται δὲ καὶ "γήρεϊ" ὡς οὔδεϊ.

B= γήραϊ δὴ πολέμοιο πεπαυμένοι] δύο οἶδεν ἀνδρῶν ἀρετάς· "βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων" (Il. 2. 273).

AB= 151. τεττίγεσ⟨σ⟩ιν ἐοικότες] ὅτι οἱ ἄρσενες τῶν τεττίγων ᾄδουσιν.

AB= 152. δενδρέῳ ἐφεζόμενοι] ἄναιμον γὰρ καὶ ψυχρὸν τὸ ζῷον, ἐπί τε τείχους κάθηνται.

3. suppl. W ‖ 8. ἡ W: εἰ ‖ 10. αὐτόν ‖ 11. suppl. L ‖ 12. supra scr. rec. λύσις ‖ 28. ἐ. τῷ γ. ‖ 33. καὶ ante τὸ omisi

ὄπα λειριόεσσαν] ἀνθηράν, παρὰ τὰ λείρια, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ ἀκουόμενα. οἱ δὲ τὴν ἐκ δρόσου ἀνθοῦσαν ὡς βοτάνην. B=

155. ἦκα πρὸς ἀλλήλους] ἠρέμα, ἡσύχως· αἰσχύνην γὰρ αὐτοῖς ὁ λόγος ἔφερε, παρ' ὥραν κάλλος γυναικὸς θαυμάζουσιν. καὶ ἄλλως φιλαλήθης ἡ μὴ κατὰ πρόσωπον μαρτυρία. B=

156. οὐ νέμεσις] τρίγωνον ἐπίγραμμα πρῶτος Ὅμηρος γέγραφε ⟨τὸ⟩ "οὐ νέμεσις Τρῶας·" ἀφ' οἵου γὰρ τῶν τριῶν στίχων ἀρξόμεθα, ἀδιάφορον. A=

οὐ νέμεσις] οὐ νεμεσητόν, ὡς τὸ "οὐχ ὁσίη" (Od. 22. 412) ἀντὶ τοῦ οὐχ ὅσιον. B=

158. αἰνῶς ἀθανάτῃσι] ὡς τὸ "αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα" (Od. 1. 208)· οὐκ ὀρθῶς οὖν τινες τὸ "αἰνῶς" τῷ "πάσχειν" συνάπτουσιν. ἀθανάτῃσι θεῇσι] δι' ὑπερβολὴν ἄμφω κεῖται. AB=

160. μηδ' ἡμῖν τεκέεσ⟨σ⟩ί τε] ὀρθοτονητέον τὸ "ἡμῖν·" μόλις δὲ ἀνακαλοῦνται τὸν λογισμόν. A+B=

161. * φωνῇ] οὐ δι' ἀγγέλου. B=

162. φίλον τέκος] "φίλον," ἵνα μὴ ὑπονοοῦντας αὐτοὺς ἀποστρέφηται. B=

163. πηούς] πηοί λέγονται οἱ ἐπίκτητοι συγγενεῖς παρὰ τὸ πάσασθαι. B–

164. οὔτι μοι αἰτίη ἐσσί] πατρικὴν σῴζων διάθεσιν οὔ φησι, παῖς μού μοί ἐστιν. B=

165. οἵ μοι ἐφόρμησαν] ἐμφαντικῶς ἀπὸ τῶν θηρευτικῶν κυνῶν φησι τὸ "ἐφόρμησαν." B+

166. ὥς μοι καὶ τόνδ' ἄνδρα] τὸ ἐξῆς, ὅφρα ἴδῃς πρότερόν τε πόσιν καὶ ὥς μοι τόνδ' ἄνδρα, ἵν' ᾖ τὸ "ὡς" ἀντὶ τοῦ ἵνα· τινὲς δὲ τὸ "ὡς" ἀντὶ τοῦ εἴθε καὶ τὸ "ὀνομήνῃς" ἀντὶ τοῦ ὀνομήναις. A+

168. κεφαλῇ καὶ μείζονες ἄλλοι] καὶ πῶς "κεφαλὴν ἴκελος Διί" (Il. 2. 478); ἢ τὸ ἡγεμονικὸν ἔλεγε τότε, ἢ τῷ εἰπεῖν "ἤματι κείνῳ" δηλοῖ, τότε μόνον πρὸς ἡμέραν ταῦτα συμβῆναι αὐτῷ.

169. καλὸν δ' οὕτω ἐγών] τὸ ἐξῆς, καλὸν ὀφθαλμοῖσιν.

170. γεραρόν] τὸν γεραηρόν, συγκοπῇ.

172. αἰδοῖός τε μοι ἐσσί] εὐφυῶς τὸ τῆς δυσαρεστήσεως ἰάσατο, φάσκουσα τὰ μὲν αἰδεῖσθαι, τὰ δὲ φοβεῖσθαι αὐτόν. ἐπειδὴ δὲ B=

3. αὐτοὺς ‖ 7. supplevi ex A ‖ 9. νεμεσιτόν: corr. rec. ‖ 17. φ. ὡς ἵνα ‖ 22. αἰτῖ ‖ 28. εἴκελος ‖ 31. οὔπω ‖ 32. τ. γεραρηνὸς: corr. W

αὐτὸς τέκος αὐτὴν εἶπε, καὶ αὐτή φησιν· πατρικὴν αἰδῶ καὶ φόβον σῴζω περὶ σέ· ἡ γὰρ ὑπερβάλλουσα τιμὴ ἐν αἰδοῖ καὶ φόβῳ κεῖται.

B= 173. θάνατός μοι ἁδεῖν κακός] τερφθῆναί μοι· ἐρασθεῖσα γὰρ ἠκολούθησεν Ἀλεξάνδρῳ.

174. θάλαμον] μετ' ἐπικρύψεως τὸν ἄνδρα δηλοῖ.

178. οὗτός γ' Ἀτρεΐδης] ὡς ἑνικὸν ἐπιγραμματικῶς αὐτὸν δηλοῖ.

A–B= 179. ἀμφότερον] τοῦτο συναπτέον τῷ "ἀγαθός," ἵν' ᾖ κατ' ἄμφω ἀγαθός· καὶ τὸν ἰσχυρὸν γὰρ ἀγαθόν φησιν. μέγιστα δὲ πρὸς βασιλείαν ταῦτα, τήν τε τῶν οἰκείων καὶ τὴν τῶν πολεμίων εἰρήνην πραγματευόμενα. τοιοῦτος δὲ Ἀγαμέμνων, ὑπὸ μὲν Ὀδυσσέως καὶ Διομήδους ἐνίοτε ὑβριζόμενος, ὑπὸ δὲ Ἀδράστου ἱκεσίαν οὐ δεχόμενος (Il. 6. 54).

AB= 180. δαὴρ—ἐμὸς—κυνώπιδος] πρὸς τὴν σημασίαν ὑπήντησεν·

B= τὸ γὰρ "δαὴρ ἐμός" δηλοῖ τὸ δαήρ μου, τῆς κυνώπιδος. §. τούτου δὲ τὸ θηλυκὸν οὐ δάειρα ἀλλὰ γάλως. διὰ δὲ τοῦ δαέρος λελῃθότως τὸν ἄνδρα ὀλοφύρεται.

B= εἶποτ' ἔην γε] εἴποτε ἦν δαήρ, ἐμὸς ἦν δαήρ.

B= 182. ὦ μάκαρ Ἀτρεΐδη] ἱκανὸς πρὸς πίστιν ὁ παρὰ τῶν ἐχθρῶν

AB= οὐ κατὰ πρόσωπον γινόμενος ἔπαινος. §. σημειώσαιο δ' ἂν ὡς κατὰ πρόοδον συλλαβῇ ηὔξηται μετ' ἐκπλήξεως ὁ ἔπαινος κλιμακηδόν.

183. ἦ ῥά νυ τοι πολλοὶ δεδμήατο] λείπει τὸ δικαίως, ὡσεὶ λέγοι· δικαίως αὐτῷ πολλοὶ ὑπείκουσι τοιούτῳ ὄντι.

B= 184. ἤδη καὶ Φρυγίην] τὴν παρὰ Σαγγαρίῳ, ἥ ἐστι μεγάλη· ἡ γὰρ μικρὰ παρὰ τῇ Τροίᾳ.

185. αἰολοπώλους] εὐκινήτους πώλους ἔχοντας.

B= 186. λαοὺς Ὀτρῆος] λαοὺς τοὺς ἐπικούρους φησίν· "λαοὶ δ' Ἀτρεΐδεω Ἀγαμέμνονος" (Od. 9. 263).

B= 187. ἐστρατόωντο παρ' ὄχθας] τὸ μῆκος δηλοῖ τοῦ ποταμοῦ· διιὼν ⟨γὰρ⟩ Φρυγίαν ἔξεισι διὰ Βιθυνίας.

B= 188. καὶ γὰρ—ἐπίκουρος] ἴσως διὰ τούτου καὶ τοῦ γάμου τῆς Ἑκάβης ἠξίωται.

AB– 189. Ἀμαζόνες] παρὰ τῷ Θερμώδοντι οἰκοῦσιν. Ἄρεος καὶ Ἀρμενίας νύμφης Ναΐδος θυγατέρες εἰσίν· αἱ δὲ ἐπιφανεῖς αὐτῶν

21. συλλαβὴ ‖ κλιμακιδόν ‖ 28. Ἀγαμέμνονι ‖ 30. ἐξίεισι

Ἱππολύτη, Ἀντιόπη, ἣν ἥρπασε Θησεύς, Ἀναία, Ἀνδρομάχη, Γλαύκη, Ὀτρηρή, ἧς Πενθεσίλεια· ἃς ἐπὶ πυριπνόων ἵππων μαχομένας ληίζεσθαι τοὺς περιχώρους, καταδραμεῖν τε ὕστερον τὴν Φρυγίαν λείας ἕνεκεν ἐπὶ Μύγδονος τοῦ Ἀκμωνος καὶ Ὀτρέως τοῦ Δύμαντος. ὠνομάσθησαν δὲ ἢ παρὰ τὸ μὴ ἔχειν τὸν ἕτερον τῶν μαζῶν—ἐπυράκτουν γὰρ αὐτὸν πρὸς τὸ μὴ ἐμποδίζεσθαι ἐν τῇ τοξείᾳ—ἢ παρὰ τὸ μὴ χρῆσθαι μάζαις, χελώναις δὲ καὶ ὄφεσιν· τινὲς δὲ ταῖς Σαυροματίσι φασὶ ⟨τὰς⟩ αὐτάς.

190. ἑλίκωπες] ἀξιοθέατοι, εὐγενεῖς τὴν θέαν. B=

* οὐκ ἀλόγως αὔξει τοὺς Ἕλληνας· τοὺς γὰρ πλείους καὶ κρατῆσαι καλὸν καὶ ἡσσᾶσθαι ὑπὸ πάντων οὐκ ἐπονείδιστον. B=

191. δεύτερον αὖτ' Ὀδυσῆα] οὐδετέρως διὰ τὸ "τρίτον αὖτ' Αἴαντα" (225), εἰ μὴ ἐνήλλακται, ὡς τὸ "πρώτην ἄλοχον θέτο Μῆτιν—δεύτερον ἠγάγετο" (Hes. Theog. 886, 901).

192. εἶπ' ἄγε μοι καὶ τόνδε] καλῶς ἔταξεν ἀρχήν, φρόνησιν, ἀνδρ⟨ε⟩ίαν· ὁ δὲ χρόνος αὐτῷ λήθην ἐνεποίησεν Ὀδυσσέως.

193. * μείων μέν] τοῦτο ἀπὸ ἄλλης ἀρχῆς λείποντος τοῦ ἐστίν. A+

194. ἴδε στέρνοισιν] ἀντὶ τοῦ καί· σημαίνει δὲ ἐνίοτε καὶ τὸ ὅπως.

196. αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν] περιφοιτᾷ, μὴ δόλος τις ᾖ περὶ τὴν στρατιάν. στίξ δὲ τὸ ἐκ δύο φαλάγγων, ὅ ἐστι σμ⟨ῆνος ἀνδρῶν⟩. §. κτίλος οἱονεὶ κίλος τις ὢν παρὰ τὸ κίειν. B= B+

197. πηγεσιμάλλῳ] μελανομάλλῳ· οὗτος γὰρ ἐν λευκῷ ποιμνίῳ διάδηλος ἔσται. τῷ πραϋτάτῳ δὲ εἴκασται διὰ τὸ ἀτάραχον. A B=

198. ὅς τ' οἰῶν μέγα πῶυ] ὁ μὲν Ἀρίσταρχος οἰῶν ὡς αἰγῶν, ὁ δὲ Ἡρωδιανὸς οἰῶν ὡς δαΐδων, λέγων ὡς οὐ κλίνει τὸ μονοσύλλαβον ὁ ποιητής, εἰ μὴ μέτρον κωλύσειεν. §. "πῶυ" δὲ παρὰ τὴν πόαν· ἢ "πῶυ" ἐστὶ ⟨παρὰ τὸ⟩ πίνω. A B=

200. οὗτος δ' αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς] ἐν βραχεῖ τὸ ἐπίγραμμα πάντα ἔχει. μετὰ ἐπαίνων δὲ περὶ ἑκάστου ἐκτίθεται διὰ τὸ προσπεπονθέναι τῷ Ἑλληνικῷ. A B=

201. κραναῆς περ ἐούσης] καὶ λυπρὰ γὰρ χωρία πέφυκεν ἀρίστους ἄνδρας ἐκβάλλειν. ᾔδει δὲ τούτους ὡς ξενισθέντας παρ' αὐτῇ, ὃ διὰ B=

1. ἄναια ‖ 3. τὰς π. ‖ 8. suppl. W. ‖ 13. πρῶτον ‖ 14. δεύτερον Hes. codd.: τὸ τρίτον ‖ 18. ἠδὲ ‖ 21. εἴη ‖ στρατείαν ‖ 24. τῷ : legi εὐ ‖ 28. πῶς

τὸ προσκορὲς ἐπὶ μόνου Ἰδομενέως ἐσήμανεν· "πολλάκι μιν ξείνισ-⟨σ⟩εν" (232).

B= 202. *παντοίους τε δόλους] εἰσὶ γὰρ καὶ κακοὶ καὶ καλοί.

B= 203. *Ἀντήνωρ πεπνυμένος] ὁ ἄρχων τὸν ἄρχοντα καὶ ὁ ῥήτωρ τὸν ῥήτορα ἐπαινεῖ.

A– B= 205. ἤδη γὰρ καὶ δεῦρο] ὅτε ἐκ Τενέδου ἐπρεσβεύοντο οἱ περὶ Μενέλαον, τότε Ἀντήνωρ ὁ Ἰκετάονος ὑπεδέξατο αὐτοὺς καὶ δολοφονεῖσθαι μέλλοντας ἔσωσεν· ὅθεν μετὰ τὴν ἅλωσιν τῆς Τροίας ἐκέλευσεν Ἀγαμέμνων φείσασθαι τῶν οἴκων Ἀντήνορος, παρδάλεως δορὰν ἐξάψας πρὸ τῶν οἴκων αὐτοῦ.

*ἤδη γὰρ καὶ δεῦρό ποτ'] "ποτὲ δεῦρο" εἰς τόπον.

B= 206. σεῦ ἕνεκ' ἀγγελίης] οὐ ῥιψοκινδύνως, ἀλλ' εἴ πως αἰδεσθῶσι τὸν παθόντα. εἰ γὰρ Ἑλένης χάριν ὁ πόλεμος, πόσον εἰ Μενέλαος ἀνῄρητο; Ὀδυσσεὺς δὲ ὡς συνετὸς σκοπῆσαι τὰ βαρβάρων, ὅπως ῥώμης ἔχοιεν, οὐχὶ δὲ Νέστωρ· οὐ γὰρ μόνον συνετούς, ἀλλὰ καὶ δραστηρίους πρεσβεύεσθαι δεῖ.

*ἀγγελίης] ὡς "ἀγχονίης θάνατος—ὀρθῆς."

208. *φυήν] τὸ εἶδος.

210. *ὑπείρεχεν] ὑπὲρ αὐτὸν εἶχεν.

A+ 211. ἄμφω δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς] ὡς τὸ "σύν τε δύ' ἐρχομένω" (Il. 10. 224) καὶ "οἱ δὲ δύο σκόπελοι" (Od. 12. 73).

B= 213. ἐπιτροχάδην ἀγόρευε] παρατρέχων καὶ τὰ καίρια μόνον λέγων.

B– 214. παῦρα μέν, ἀλλὰ μάλα λιγέως] οὐχ ὡς Λάκων· οὔπω γὰρ Δωριεῖς· ἀλλ' ὅτι ἀπορώτεροι οἱ νέοι καὶ τὸ ἀνθηρὸν διώκοντες.

AB= 215. ἦ καὶ γένει ὕστερος ἦεν] ἀντὶ τοῦ εἰ. §. τινὲς δὲ εἰς τὸ

A+ B= "ἀφαμαρτοεπής" στίζουσι τελείαν, εἶτα καὶ περισπῶσι τὸν ἦ μετ' ἐπιτάσεως· καίτοι νεώτερος ἦν.

B= 216. ἀναΐξειεν Ὀδυσσεύς] τὸ πρόθυμον τῆς ἐγέρσεως πρὸς κατά-

AB– πληξιν. §. τρεῖς τρόπους ῥητορείας οἶδεν Ὅμηρος, τὸν ἀπολελυμένον, βραχύν, ἱκανὸν αὐτὰ τὰ ἀναγκαῖα παραστῆσαι, ὃν Λυσίας ἐζήλωσεν· τὸν δὲ ὑψηλόν, καταπληκτικόν, μεστὸν ἐνθυμημάτων, καὶ τούτων ἀθρόως λεγομένων, ὃν Δημοσθένης· τὸν δὲ πιθανὸν καὶ τεχνικὸν πολλῶν πλήρη διηγημάτων, ὃν Ἰσοκράτης ἐζήλωσε, τὸ γνωμικὸν καὶ

12. σεῦ δ' ‖ 17. ? ‖ 26. τὸν ἀ. ‖ 27. εἰ καὶ ‖ 29. νεώτερος B: νεώτατος ‖ 35. *δογμάτων*: corr. W

σαφὲς ἐπιλεγόμενος· ἀπολελυμένος Μενέλαος Λυσίας, πυκνὸς Ὀδυσσεὺς Δημοσθένης, πιθανὸς Νέστωρ Ἰσοκράτης.

217. στάσκεν] ὅτι οὐ σχεδιάζειν δεῖ, ἀλλὰ καὶ τὴν στάσιν τῶν ἐρούντων μεμελετημένην εἶναι· οἶδε γὰρ καὶ αὕτη πολλάκις ὑπόνοιαν κινεῖν. ῥητορικὴ οὖν ἡ στάσις αὐτοῦ. ἀφροσύνην δὲ σχηματίζεται πρὸς τὸ μὴ ὑπονοεῖσθαι παρὰ τοῖς ὁρῶσιν· ἤ, οἷα εἰκὸς Μενελάου τὰς οἰκείας βλάβας ἐκθεμένου τεταράχθαι τὴν ἀγοράν, τῇ εἰς ἑαυτὸν οὖν ἐπιστροφῇ καταρτίζει τοὺς ὁρῶντας. A– B=

219. ἀΐδρι φωτί] ἀΐδριι ἀπὸ τοῦ ἄϊδρις· καὶ δι' εὐφωνίαν τὸ ἕτερον ἰ μετατίθεται. B=

220. ζάκοτον] διὰ τὸ ὑπόδρα ὁρᾶν, "ἄφρονα" δὲ διὰ τὸ ἀκίνητον τοῦ σκήπτρου. B=

221. ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην] τετράκις ἐν τῷ προσώπῳ φυλακτέον τὰς ὑποστιγμὰς διὰ τοῦ ⟨ὅτ⟩ε ⟨ἀποτελουμένας⟩.

*μεγάλην] διὰ τὸν θόρυβον τῶν Τρώων ἢ διὰ τὴν κατάπληξιν τῶν ἀδίκων. B=

222. νιφάδεσσιν ἐοικότα] ἡ εἰκὼν πρὸς τὸ τάχος τὸ πλῆθος τὸ πυκνὸν τὸ σαφὲς τὸ λευκὸν τῆς νιφάδος τὴν φρίκην τῶν ἀκουόντων. καὶ αἱ μὲν χειμέριαι ἁπαλαί, αἱ δὲ ἐαριναὶ ἐκκόπτουσι τοὺς καρπούς. B+

224. οὐ τότε γ' ὧδ' Ὀδυσῆος ἀγα⟨σ⟩σάμεθα] οὐχ' ὡς ἐπὶ τῇ μορφῇ τότε ἐθαυμάσαμεν, ὥσπερ τὸν λόγον. A+ B=

225. τὸ τρίτον αὖτ' Αἴαντα] μετὰ φρόνησιν ἡ ἀνδρεία. B+

226. ἠύς τε] προσηνὴς τὴν ὄψιν.

227. ἔξοχος—κεφαλὴν ἠδ' εὐρέας ὤμους] διὰ μὲν τῆς κεφαλῆς τὸ μῆκος, διὰ δὲ τῶν ὤμων τὸ πλάτος.

229. ἔρκος Ἀχαιῶν] ἐπὶ δὲ Ἀχιλλέως "μέγα ἔρκος" φησίν (Il. 1. 283). B+

230. θεὸς ὣς] κάλλει. τὸ δὲ "Κρήτεσσι" προσέθηκεν, ὅπως δειχθῇ μὴ δελεασθεῖσα. ἢ τοῖς τρόποις, εἰδυῖα τῇ συνεχεῖ ξενίᾳ. B=

232. *ξείνισσεν] ὡς συγγενῆ.

235. *ἐὺ γνοίην] ἀντὶ τοῦ γινώσκω. B=

236. οὐ δύναμαι ἰδέειν] ὡς ἐκπετάσασα πάντη τὴν θέαν. πῶς οὐκ ἐρωτηθεῖσα προβάλλεται τὰ περὶ τῶν ἀδελφῶν; δῆλον οὖν ὅτι προοικονομεῖ ὁ ποιητής, βουλόμενος εἰπεῖν τὴν ἀφάνειαν αὐτῶν. ἠγνόει δὲ τὰ περὶ αὐτῶν, ἴσως μὴ συγχωρουμένη συντυγχάνειν τοῖς B=

14. suppl. Friedlaender ‖ 18. ante τὸ λ. 3 litt. erasae, videtur διὰ ‖ 20. ἔτι τὴν μορφὴν

αἰχμαλώτοις. §. Ζηνόδοτος δὲ διοικητὰς ὑπολελεῖφθαι τῆς Ἑλλάδος φησὶν τοὺς Διοσκούρους.

AB= 238. αὐτοκασιγνήτω, τώ μοι μία] τοῦτο καὶ τοῖς πρώτοις δύναται συνάπτεσθαι.

B= αὐτοκασιγνήτω] ἀλλήλων ἀδελφοὺς ὁμομητρίους· καὶ τοὺς ὁμοπατρίους δὲ οὕτω καλεῖ, ὡς Αἴαντα καὶ Τεῦκρον.

AB= 239. ἦ οὐχ ἑσπέσθην—ἦ δεῦρο μὲν ἔποντο] ὁ Νικάνωρ ἄμφω ὀξύνει ὡς διαζευ⟨κ⟩τικούς, Ἡρωδιανὸς ⟨δὲ⟩ τὸν δεύτερον περισπᾷ, ὡς διαπορητικοὺς ἄμφω δεχόμενος.

B= 240. ἦ δεῦρο ⟨—νέεσσ' ἐνὶ ποντοπόροισιν⟩] οὐκ ἔστιν Ἀττικὸν τὸ δεύρω· οὔποτε γὰρ μακρᾶς προκειμένης τὴν τοιαύτην ἔκτασιν

A+ ποιοῦνται. §. τὴν δὲ πρόθεσιν ἔδει μὲν ἀναστρέφεσθαι καὶ τῷ κυριωτέρῳ συντάττεσθαι· ὅμως ἀδιαφόρως συντέτακται.

B− 242. αἴσχεα δειδιότες] στυγοῦντες, ὡς "ῥιγεδανῆς Ἑλένης" (Il. 19. 325) τῆς στυγητῆς.

A ~ B= καὶ ὀνείδεα] εἰς τὸ "ὀνείδεα" στικτέον, ἐπειδὴ τὸ "πολλ' ἅ" συναλ⟨ε⟩ιφόμενον οὐ δέχεται στιγμὴν ἐν μεταξύτητι.

B= πόλλ' ἅ μοι ἐστίν] ἀντὶ τοῦ δι' ἐμέ ἐστιν. ἑαυτῆς δὲ κατηγοροῦσα ἔλεον ἐπισπᾶται.

AB= 245. κήρυκες δ' ἀνὰ ἄστυ θεῶν] ἐδύνατο τὸ "θεῶν" καὶ τοῖς πρώτοις συντάσσεσθαι, εἰ μὴ ὅτι ἐν τοῖς ἑξῆς φησιν "ὅρκια πιστὰ θεῶν σύναγον" (269).

B− 246. καὶ οἶνον εὐφρονα] παρὰ γὰρ τὴν ὄνησιν ἐτυμολογοῦσιν· καὶ "αὐτὸς ὀνήσεαι, αἴ κε πίῃσθα" (Il. 6. 260).

248. κύπελλα] χύπηλά τινα ὄντα, ἔνθα ὁ πηλὸς χεῖται.

A− B= 250. ὄρσεο, Λαομεδοντιάδη] μετὰ τὴν προσαγορευτικὴν ἡ στιγμή· τὸ δὲ "ὄρσεο" ἀπὸ τοῦ ὄρσω ἐνεστῶτός ἐστιν.

A+ Λαομεδοντιάδη] Πρίαμος μητρὸς ἐστι Ζευξίππης.

252. ἐς πεδίον καταβῆναι] ἠνεμόεσσα γὰρ ἡ πόλις.

B− 254. μακρῇς ἐγχείῃσι] τοῦτο εἰς ἀγωνίαν ἄγει τὸν γέροντα.

B= 258. Ἄργος ἐς ἱππόβοτον] Ἄργος καὶ τὴν πόλιν καὶ τὴν Πελοπόννησον καὶ τὴν Θεσσαλίαν καλεῖ. ἄμεινον δὲ Ἄργος ἱππόβοτον τὴν Θεσσαλίαν λέγειν, Ἀχαιΐδα δὲ πᾶσαν τὴν Ἑλλήνων.

B= 259. ῥίγησεν δ' ὁ γέρων] φυσικὴ γὰρ ἡ φιλοπαιδία. ὁ δὲ Ἕκτωρ "ἐχάρη μέγα μῦθον ἀκούσας."

12. πρόσωπον ἔδει ‖ 17. μεταξύ ‖ 28. Λαομέδοντος ‖ 33. Ἑλληνίδα B

261. ἂν δ' ἄρ' ἔβη Πρίαμος] προοικονομεῖ τὴν ἐν τῇ Ω ἡνιοχείαν. B=
ἄγει δὲ τὸν Ἀντήνορα ὡς συνετὸν καὶ πρόξενον Ἑλλήνων.

262. βήσετο δίφρον] ὁ μὲν Ἀρίσταρχος ἄμεινόν φησι τὸ "βήσετο," A=
οὐ μεταποιεῖ δὲ τὴν γραφήν.

267. ὦρνυτο δ' αὐτίκ' ἔπειτα] "ἔπειτα" ἀντὶ τοῦ δή.

269. ὅρκια πιστὰ—σύναγον] λείπει τῶν Τρώων καὶ τῶν Ἑλλήνων.

270. ἐπὶ χεῖρας ἔχευαν] διὰ τοῦ ο̄ τὸ "ἔχευον," καὶ ἔστιν ἀνα- A B=
λογοῦν τῷ "μίσγον."

271. Ἀτρεΐδης δὲ ἐρυσσάμενος] ἀξιόχρεως αὐτουργῶν ὁ βασιλεύς. B–
ἢ ὡς ἀγνοούντων τῶν Τρώων· Μενέλαος γοῦν αὐτοὺς διδάσκει (103).

272. ἄορτο] Ἡρωδιανὸς ἄρω κατὰ πλεονασμὸν τοῦ ω̄. A+

273. ἀρνῶν ἐκ κεφαλέων] τινὲς "ἀρνέων," ἵν' ᾖ ὡς "ἱππείων A+B=
ὁπλέων" (Il. 11. 536). §. σημειωτέον δὲ ὅτι τῶν ἐναγιζομένων οὐκ B=
ἐπιβάλλουσι τὰς τρίχας πυρί, ὡς οὐδὲ τοῦ κάπρου (Il. 19. 253).

274. νεῖμον ἀρίστοις] τοῦ οἴνου, ἢ τῶν τριχῶν ἄψασθαι.

276. Ζεῦ πάτερ Ἴδηθεν μεδέων] καθ' ἑκάστην προσαγόρευσιν A+B=
διασταλτέον.

Ἴδηθεν μεδέων] ἀντὶ τοῦ ἐξ Ἴδης ἐποπτεύων. §. τὸ⟨ν⟩ ἐπιχώριον B=
καλεῖ, ἐκπολεμῶν αὐτὸν αὐτοῖς, εἰ παραβαῖεν τοὺς ὅρκους. B=

277. ἠέλιός τε] Ἀττικῶς· "ἀλλά, φίλος, θάνε καὶ σύ" (Il. 21. 106). A+

278. καὶ οἳ ὑπένερθε] ἐκφοβῶν τοὺς Τρ[ῶ]ας οὐρανίους ἐπιγείους B=
ὑπογείους καλεῖ θεούς· δεισιδαιμονεῖν δὲ διδάσκει, μηδὲ μετὰ θάνατον
ἀπαλλάσσεσθαι τοὺς ἁμαρτάνοντας λέγων. §. "ὑπένερθε" δὲ θεοὺς B=
λέγει Πλούτωνα καὶ Περσεφόνην.

279. ὅτις ἐπίορκον ὀμόσσῃ] τελεία εἰς τὸ "ὀμόσ⟨σ⟩ῃ." B=

280. μάρτυροι ἔστε] βαρυντέον τὸ "ἔστε" καὶ προστακτικῶς A+B=
ἐκδεκτέον.

φυλάσσετε δ' ὅρκια πιστά] ἀντὶ τοῦ πιστώσατε τὰ ἐπὶ πίστει B=
γινόμενα.

281. Ἀλέξανδρος καταπέφνῃ] ἀνεμεσήτως προέταξε τὴν τοῦ B=
ἀδελφοῦ ἧτταν.

εἰ μέν κεν Μενέλαον] ὅλῃ τῇ παραβάσει τῶν συνθηκῶν ἀπολογίαν B=
δίδωσι προσθεὶς τὸ "κτείνῃ ξανθὸς Μενέλαος·" δικαίαν γὰρ ἀπο-
λογίαν παρέχει Τρωσὶ δυναμένοις λέγειν, ὅτι οὐκ ἐγένετο τὸ ὁρισθὲν

11. ἄρω A: αἴρω ‖ 22. δεισιδαιμονεῖν B: δεισιδαίμονα ‖ 25. ὅστις ‖
28. πιστώσητε ‖ 30. κατέπεφνε ‖ 33. ξανθὸν Μενέλαον

ὑπὸ σοῦ. οὐ γὰρ ἀπέκτεινε τὸν Ἀλέξανδρον ὁ Μενέλαος. δύνανται δὲ καὶ οἱ Ἕλληνες, τὴν πρόκλησιν τοῦ Ἕκτορος προβαλλόμενοι "ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται" (92), εὐλόγως ἀπαιτεῖν τὰς συνθήκας. ἰσχυρότερα δὲ τὰ τῶν Τρώων, ὅτι μάλιστα δεῖ ὁρᾶν τὰ ἐπὶ τοῖς ὅρκοις ὁριζόμενα.

B= 286. τιμὴν δ' Ἀργείοις] ἔθος τοῖς προκαθημένοις τὰς ἐκτίσεις αἰτεῖν· ὁ οὖν Μενέλαος σπεύδων ἀπολαβεῖν τὸ γύναιον οὐδὲν περὶ τούτων φησίν, ὃ δὲ μεγαλοφυῶς τὸ ἐπιζήμιον ὁρίζει. ἐπειδὴ δὲ οὐδεὶς ἐμνήσθη τοῦ κεφαλαίου, ἐπιμένει τῷ λόγῳ.

B= τιμὴν δ' Ἀργείοις] οὐ δίκαιον γὰρ τοὺς προκατάρξαντας ἐπίσης ἀπαλλάττεσθαι.

287. ἥ τε καὶ ἐσσομένοισιν] καὶ τοῦτο πρὸς εὔκλειαν τοῦ κατορθώματος.

288. εἰ δ' ἂν ἐμοὶ τιμήν] τρίτον ἐν τῇ προσωποποιίᾳ. §. ὅτι ὑποστιγμὴν ἐποίησε τὸ ⟨εἰ⟩ δέ.

ἐμοί] ὡς τῷ μὲν ἀδελφῷ τῆς Ἑλένης, αὐτῇ δὲ τῆς ποινῆς ὀφειλομένης.

B= 290. καὶ ἔπειτα μαχήσομαι] οἶδε γὰρ εὔνους τοὺς θεούς, εἰ παραβαίεν· ἁπλοϊκὸν δὲ τὸ ἦθος τῶν ἡρώων, εἴ γε οὐ μεσεγγυᾶται ἡ Ἑλένη.

A+ 292. ἦ, καὶ ἀπὸ στομάχους] οὕτως Ἀρίσταρχος· αἱ δὲ ἄλλαι πᾶσαι "ἐπὶ στομάχους."

A+ 295. ἀφυσσόμενοι] διὰ τῆς ο τὸ "ἀφυσσόμενοι" ἐν παρατατικῷ· καὶ ἀναλογεῖ τῷ "ἔκχεον."

B= 296. ἔκχεον] οὐκ εἶπεν ἔσπενδον, προειδὼς τὸ ἀτελὲς αὐτῶν.

B= θεοῖς ἀειγενέτῃσι] ἀίδιον γενεὰν ἔχουσιν.

297. εἶπεσκεν] τὸ "εἶπεσκε" ἀπὸ τοῦ εἶπα, ὡς τὸ στρέψασκε.

B= 300. ὧδέ σφ' ἐγκέφαλος] ἀντὶ τοῦ αὐτῶν, ὡς "ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ δεισάντων" (Od. 9. 256).

B= 302. οὐδ' ἄρα πώ σφιν] κεφαλαιωδῶς τὴν τῶν μελλόντων προαπήγγειλεν ἐπίδειξιν "αὐτῶν καὶ τεκέων· ἄλοχοι δ' ἄλλοισι δαμεῖεν·" διὰ δὲ τοῦ "πώ" ἐλπίδα πάλιν ὑπολείπεται τῷ φιλέλληνι.

B= 305. εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν] ἐπεὶ σῴζειν μέλλει Ἀλέξανδρον, πιθανῶς ὑπεξάγει τὸν πατέρα, Ἕκτορα δὲ αὐτόπτην ἐᾷ ἐπὶ

3. νικήσει ‖ 6. παρακαθημένοις: corr. W ‖ τὰς ἐκτίσεις Eust., τὰ πρόστιμα B: τὰς ἡμίσεις ‖ 14. τρίτον scil. εἰ ‖ ὅτι om. et 15. τὸ εἰ coni. Friedl. ‖ 16. ἐμοί ὡς scripsi: ὁμοίως, cum praecedentibus coniunctum ‖ 22. τὴν ‖ 26. τὸ ει ἀπὸ

τῷ τὸν οἶκτον αὔξειν. καὶ παρὼν ἔδωκεν ἂν τὴν Ἑλένην ὡς τοὺς ὅρκους ἐμπιστευθείς.

306. ἐπεὶ οὔπω τλήσομαι] εἰ καὶ πᾶσι γὰρ ὡς κὴρ ἀπέχθεται, ἀλλ' ὁ πατὴρ τὸ φυσικὸν οὐ δύναται μὴ σῴζειν. B=

308. Ζεὺς μέν που] ἴσως ὁ "μέν που" ἀντὶ τοῦ μέντοι, ὅς ἐστιν ἀντὶ τοῦ δέ· ἐγὼ μὲν ἄπειμι, Ζεὺς δὲ τὸ τέλος οἶδε καὶ τὴν τύχην. οὐκ ἀποκόπτει δὲ τοῦ υἱοῦ ⟨τὴν ἐλπίδα⟩. B=

310. καὶ ἐς δίφρον ἄρνας] τὰ γὰρ θεοῖς θυόμενα ἤσθιον· ἠγοῦντο γὰρ ὥσπερ συσσιτεῖσθαι τοῖς θεοῖς. A=

ἄρνας θέτο] τὰ γὰρ ἐν ὅρκοις σφαζόμενα οἱ μὲν ἐγχώριοι ἔκρυπτον γῇ, οἱ δὲ ξένοι θαλάσσῃ. ἢ δείξων ἀποφέρει τοῖς ἐν ἄστει, πιστωσόμενος κἀκείνοις, ἢ ὡς ἀγνοοῦντας διδάξων. A B=

314. Πριάμοιο πάις καὶ δῖος Ὀδυσσεὺς χῶρον—διεμέτρεον] ὑπηρετικὸν γὰρ τοῦτο· τὸ δὲ τῶν σπονδῶν βασιλικόν. B=

315. χῶρον μὲν πρῶτον] καὶ πῶς ἐπὶ Ἕκτορος, ὅτε Αἴαντι μονομαχεῖ (Il. 7. 235), μὴ διαμετρεῖται ὁ τόπος; ἢ ὅτι ἐκεῖνοι μὲν περὶ τῆς ἀλλήλων σφαγῆς διαμιλλῶνται, ἐνθάδε δὲ περὶ τῆς κοινῆς ἐλπίδος ἐστὶν ὁ πόλεμος· διότι οἵ τε ὅρκοι καὶ ἡ γύμνωσις τῶν στρατῶν, μή ποτέ τις ἔνοπλος ὢν προσαμύνῃ τῷ στρατηγῷ. ἥ τε διαμέτρησις καρτερικωτέρους ἐργάζεται τοὺς πολεμοῦντας. ἄλλως τε δεδίασι, μὴ τοξότης ὢν Ἀλέξανδρος δραπετεύσῃ τὴν συμβολὴν καὶ τὴν τοξείαν ἀντεπεισάξῃ τῷ Μενελάῳ. σκόπει γὰρ ὅτι καὶ ἀφανισθέντος αὐτοῦ, Μενελάου δὲ τοξευθέντος οὐκ ἴσασι μὴ καὶ αὐτὸς ᾖ ὁ τοῦτο δράσας· φησὶ γὰρ Ἀγαμέμνων "ὅν τις ὀιστεύσας ἔβαλεν, τόξων εὖ εἰδώς, Τρώων ἢ Λυκίων" (Il. 4. 196). B=

316. χαλκήρεϊ] ἡ διὰ τοῦ ηρης παραγωγὴ βαρύνεται, εἰ μὴ τοῦ ἄρω ἐγκειμένου διὰ τοῦ ᾱ γίνεται ἡ παραγωγή, ὡς τὸ "ἔχει δ' ἄλοχον θυμαρέα" (Il. 9. 336). A+ B=

318. λαοὶ δ' ἠρήσαντο] ἐὰν εἰς τὸ "ἠρήσαντο" στίξωμεν, φησὶν ὁ Νικάνωρ, ὡς ἑτέροις ἔσονται θεοῖς ἀνατείνοντες τὰς χεῖρας· διὸ στίζει εἰς τὸ "θεοῖσι·" καὶ τὸ "ἰδέ" ἀντὶ τοῦ καί. A= B+

321. ὁππότερος τάδε ἔργα] "ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (454).

323. ἡμῖν δ' αὖ φιλότητα] ἢ φιλότης γενέσθω, ὡς καὶ παρὰ

6. post οἶδε omisi τὴν οἰωνὸν ut B ‖ 9. συσσιτίσθαι ‖ 24. εἴη ‖ 25. τόξον ‖ 27. ἀρῶ ‖ γίνεται B: γένοιτο ‖ 31. ἰδέ A: δέ ‖ 32. σφίσιν

Θεοκρίτῳ (10. 48) "σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὕπνον" ἀντὶ τοῦ ἀλοιῶντες φευγέτωσαν.

B= 324. πάλλεν δὲ μέγας] πανταχόθεν ἀπροφασίστους καθίστησι τοὺς Τρῶας.

B= 325. ἂψ ὁρόων· Πάριος δὲ θοῶς] τούτῳ μὲν τὰ ἀπὸ τῆς τύχης, ὅτι καὶ τοῖς ἥσσοσι προσγίνεται ἡ τύχη, τῷ δὲ τὰ ἀπ' ἀρετῆς περιποιεῖ. δηλοῖ δὲ διὰ τούτων, ὡς κενὰ τὰ τῆς τύχης πρὸς τοὺς ἀνεπιτηδείους.

A+ B= 326. ἦχι ἑκάστῳ] μόνως κατὰ γενικὴν τὸ "ἑκάστου."

B− 327. ἵπποι ἀερσίποδες] τὸ "ἔκειντο" οὐκ ἔστι κοινὸν ἐπὶ τῶν ἵππων, ἀλλὰ προσυπακούομεν τὸ ἑστήκεσαν, ὡς ἐπὶ τοῦ "ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήια, ποῦ δέ οἱ ἵπποι" (Π. 10. 407); "ἐλεύσσομεν ἐγγὺς ἐόντων καπνόν ⟨τ'⟩ αὐτῶν τε φθογγήν" (Od. 9. 166)· ἢ ὡς ἰσοδυναμοῦν τῷ ἕστασαν. ἐφίστασθαι γοῦν τὴν στήλην φαμὲν ἀντὶ τοῦ ἐπικεῖσθαι. ἢ καὶ ἐπὶ ἀργῶν ἵππων τὸ "ἔκειντο."

A+ ἵπποι—καὶ τεύχε' ἔκειντο]"ἀερσίποδες" παρὰ τὸ ἀείρω ἄερω ἀέρσω ὡς κέρσω.

B= 328. ἑδύσατο τεύχεα καλά] ὡς ἰδίᾳ μέλλοντες κινδυνεύειν ἀσφαλέστερον ὁπλίζονται· ἢ ὡς μέλλοντες κάμνειν προανεκτήσαντο αὐτοὺς τῇ τῶν ὅπλων ἀνέσει.

B= 329. Ἑλένης πόσις ἠυκόμοιο] κοσμεῖ αὐτὸν τῷ γάμῳ ὡς "πόσις Ἥρης" (Π. 10. 5). πρῶτος δὲ λαχὼν πρῶτος ὁπλίζεται.

B+ 330. κνημῖδας μὲν πρῶτα ⟨—ἐπισφυρίοισι⟩] ὁπλισμὸν διδάσκει· ἐπισφύρια δέ εἰσι γλυμμοὶ τῶν σφυρῶν.

B= 333. κασιγνήτοιο Λυκάονος] κωμῳδεῖται ὡς οὐκ εἰδὼς τὸ συστάδην, ἄλλως τε καὶ δειλὸς Λυκάων, ὃς ἔρριψε τὴν παντευχίαν οὐ φέρων τὸν ἱδρῶτα (Π. 21. 50).

B= ἦρμοσε δ' αὐτῷ] τοῖς γὰρ ὁμογενέσι καὶ ὁμοτρόποις ὅμοιαι τῶν σωμάτων αἱ κατασκευαί.

AB= 334. ἀργυρόηλον χάλκεον] βραχὺ διασταλτέον εἰς τὸ "χάλκεον." ἔστι δὲ κοινὸν καὶ τοῖς ἑξῆς.

AB= 335. αὐτὰρ ἔπειτα σάκος] ἀπὸ κοινοῦ τὸ "ὤμοισιν βάλετο" ἀναγκαίως διὰ τοὺς τελαμῶνας.

1. οἱ τὸ ἀλύοντες φ. μεταμβρινὸν ὕπνον, cf. codd. Theocriti ‖ 2. ἀλύοντες ‖ 6. προσγίνεται B : προτείνεται ‖ 9. κατὰ γένος ‖ 14. τὸ ἔστ. ‖ 16. τεύχεα ‖ 18. ἐδήσατο ‖ 19. αὐτούς ‖ 24. οἱ γλ. ‖ 30. εἰς τὸ B : ἐπὶ τοῦ ‖ 31. τοῖς B : τοῦ

336. κυνέην—ἔθηκεν] Ἀττικῶς ἀντὶ τοῦ περιέθηκεν, ὡς "τιθή- B−
μενον ἔντεα καλά" (Il. 10. 34)· "καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου
θέμενος τὰ ὅπλα," ὅ ἐστι περιθέμενος, ἐν τῷ κατὰ Μειδίου (§ 145).

337. δεινὸν δὲ λόφος] πολλὴν ἔμφασιν ἔχει νεύων ὁ λόφος. B=

340. οἳ δ' ἐπεὶ οὖν ἑκάτερθεν] ἐξ ἑκατέρου ὁμίλου.

342. δεινὸν δερκόμενοι] ζῆλος αὐτοὺς ἐρεθίζει.

θάμβος δ' ἔχεν εἰσορόωντας] ἐκ παντὸς τόπου καὶ προσώπου τὴν B=
ἔμφασιν κινεῖ. τὸ δὲ ἄδηλον καραδοκοῦντες ἐκπλήσσονται· "ξυνός"
γὰρ "Ἐνυάλιος" (Il. 18. 309).

346. δολιχόσκιον] οἱ μὲν παρὰ τὸ κίειν ἐν πλεονασμῷ, οἱ δὲ παρὰ A B=
τὴν σκιάν· οὐκ ἔχει δὲ παρρησίαν Ἀλέξανδρος εὐχῆς ἄδικος ὤν.

348. οὐδ' ἔρρηξεν χαλκόν] οὕτως Ἀρίσταρχος· ἄμεινον δὲ διὰ τοῦ σ̄ A B=
γράφειν· καὶ γὰρ ὕστερόν φησιν "ὃ δὲ δεύτερος ὦρνυτο χαλκῷ" ἀντὶ
τοῦ τῷ δόρατι. καὶ τὸ μὲν τῆς τύχης ἔτυχε, τὸ δὲ τῆς ἰσχύος ἀπώλεσεν.

350. ἐπευξάμενος] Ἑλληνικὸν τὸ μὴ πᾶν ἐπιτρέπειν τῇ ῥώμῃ. B−
καὶ γὰρ μὴ βουλομένου θεοῦ ὁ πολλῶν κρατήσας ἑνὸς ἡττᾶται μόνου
πολλάκις.

352. δῖον Ἀλέξανδρον] τινὲς τὸ "δῖον" τῷ "ἐμέ" συνάπτουσιν. ἢ B=
ἐρεθίσαι κατ' αὐτοῦ βούλεται τὸν θεὸν ὡς αἰσχύναντος τὸ ἀπὸ
Δαρδάνου γένος.

* δάμασσον] γράφεται "δαμῆναι," ἵνα συνᾴδῃ τῷ "δὸς τίσασθαι." A+

353. ἐρρίγῃσι] ἀπὸ τοῦ ῥιγῶ ῥιγεῖς ὁ μέσος παρακείμενος A+
ἔρριγα, ὃς μεταπλάττεται εἰς ἐνεστῶτα ἐρ⟨ρ⟩ίγω, ὡς δέδοικα δεδοίκω.

354. ξεινοδόκον] διὰ τοῦ κ̄ ὡς πανδοκεῖον. ὁ δεχόμενος δὲ A+ B=
ἐνεργεῖ, οὐ πάσχει· διὸ παροξύνεται.

φιλότητα παράσχῃ] μόνως ὅτι γράφεται· φιλότητα δὲ ξενίαν· A−
καὶ "ἐν μεγάροις ἐφίλησα" (207).

355. ἀμπεπαλών] ἀνακραδήνας ἀπὸ τοῦ πάλλω, ὡς τεταγών.

358. ἠρήρειστο] τὸ βίαιον τῆς πληγῆς δηλοῦται τῷ τραχεῖ τοῦ B=
ῥήματος.

362. κόρυθος φάλον· ⟨ἀμφὶ δ' ἄρ' αὐτῷ⟩] αἱ χαριέστεραι καὶ A+
πλείονες θηλυκῶς ἔχουσιν, ἵν' ᾖ "ἀμφὶ δ' ἄρ' αὐτῇ" τῇ κόρυθι·
ἐὰν δὲ ᾖ ἀρσενικόν, ἐπὶ τοῦ λόφου κεῖται.

363. ⟨διατρυφέν⟩] ⟨τὰ⟩ ὑπερβάλλουσαν ἀκμὴν ἔχοντα εὔθρυπτα. B=

10. ἐν πλεονασμῷ A : ἔμπλεων ‖ 11. σκιάν :— ‖ 19. αἰσχύναντα ‖
21. τὸ δὸς ‖ 22. ἐρριγήσῃ ‖ 25. οὐ πάσχει B : τοῦ πάσχειν " ?6. ? ‖
33. κινεῖται ‖ 34. διατρυφθέν textus ‖ τὰ ὑ. ἀλκὴν B

διατρυφέν] παρὰ τὸ θρύπτω, ὅθεν καὶ τρυφὴν ἡ θρύπτουσα τὸ σῶμα· καὶ γὰρ οὐδὲν ἧττον αὕτη τὸ σῶμα ἢ ὁ σίδηρος διαθρύπτει τὸ δόρυ.

B= 364. Ἀτρείδης δ' ὤμωξεν] διοτρεφεῖς γὰρ οἱ βασιλεῖς, καὶ φιλεγκλήμονες οἱ ἀτυχεῖς ⟨εἰς οὐρανόν⟩.

B= 365. ὀλοώτερος ἄλλος] ὀλέθρων αἰτιώτερος. ἀναιρουμένου γὰρ Ἀλεξάνδρου τὰ τῆς μάχης ἐλύετο ⟨ἄν⟩.

B+ 366. τίσασθαι—κακότητος] Ἀττικῶς πέφρασται, ὡς "ἐγραψάμην Φιλῖνον κλοπῆς."

367. ἄγη ξίφος] πλεονασμῷ ἐάγη.

A+ 368. οὐδ' ἔβαλόν μιν] πᾶσαι "οὐδὲ δάμασ⟨σ⟩α." §. γράφεται

A+ καὶ "οὐδ' ἔβαλόν μιν."

B= 369. καὶ ἐπαΐξας κόρυθος λάβεν] εἴδωλον Ἀλεξάνδρου καταλιμπάνει τῇ ὑποθέσει, τριχῇ φονεύσας αὐτὸν δόρατι, ξίφει, αἰχμαλωσίᾳ.

κόρυθος λάβεν] ὃ γὰρ ἂν παραπέσῃ, τοῦτο ὅπλον χορηγεῖται τῷ θυμῷ.

B= 370. ἕλκε δ' ἐπιστρέψας] διὰ τοῦ ῥήματος παρέτεινεν αὐτοῦ τὴν αἰσχύνην. οὐ φονεύει δὲ αὐτὸν τῷ αὐτοῦ ξίφει ἢ ὑπὸ τοῦ καιροῦ ἢ ὑπὸ τῆς Ἀφροδίτης σφαλλόμενος, ἢ τοῖς ὅπλοις ἀπογνούς, ἢ καὶ ὅτι ἴσον ἦν θανάτου τὸ ὑπεκστῆναι τοῦ μετρητοῦ, ἢ ζῶντα αὐτὸν ἐλεῖν βουλόμενος, ὅπερ ἦν μεῖζον· οὕτω γὰρ ἂν ἀξίως ἐτιμωρήσατο αὐτὸν ⟨μᾶλλον⟩ ἢ συντόμως ἀνελών.

B+ 371. ἄγχε δέ μιν πολύκεστος ἱμάς] θέραψ γάρ ἐστι [τοῦ κεστοῦ] τῆς Ἀφροδίτης. συνεπάγει δὲ αὐτόν, ὅπως ἀγχονισθῇ.

AB= ἁπαλὴν ὑπὸ δειρήν] ὡς ἐπὶ γυναικὸς εἶπεν οὐκ εἰωθυίας κόρυθα φορεῖν.

372. * ὑπ' ἀνθερεῶνος] τοῦ ἀνθερεῶνος αὐτοῦ.

A– 373. καί νυ κεν εἴρυ⟨σ⟩σέν τε] ἐν τῇ Ἀριστοφάνους "καί νυ κεν ἐξείρυσσε," οὐ μέντοι ἐν τῇ Ἀριστάρχου.

B= 374. εἰ μὴ ἄρ' ὀξὺ νόησε] οὐ βοηθεῖ Ἀθηνᾶ Μενελάῳ, ὅπως ἡ Ἴλιος πορθηθῇ σῳζομένου Ἀλεξάνδρου.

B= 375. ῥῆξεν ἱμάντα] οὐ λῦσεν· τάχους γὰρ ἦν χρεία. οὐ σῴζεται δὲ σὺν τῇ κόρυθι, ὅπως τὸ κάλλιστον τῶν λαφύρων παρὰ τοῖς πολεμίοις καταλειφθῇ.

1. διατρυφθέν ‖ 14. γ. ἐν τῷ θυμῷ π.: corr. W ‖ 19. ὑπεκστᾶναι ‖ ἑλεῖν B: ἀνελεῖν ‖ 21. suppl. W ‖ 22. κεστῷ ἄγχεται ὡς θεράπων Ἀφροδίτης Eust. ‖ 23. αὐτὸν B: ἑαυτὸν ‖ μὴ post ὅπως del. W ‖ ἀγχονισθείη ‖ 28. ἐξείρυσσε Nauck: ἐξείρυσεν A: ἐξήρυσεν ‖ 33. καταλειφθῇ B: σώζηται

377. ἥρως μετ' ἐυκνήμιδας] εὔκαιρον ἐπὶ τῇ νίκῃ τὸ "ἥρως," B=
καίτοι δυναμένου 'Ατρείδης' κεῖσθαι.

378. ῥῖψ' ἐπιδινήσας] σύμβολον τῆς νίκης· ταὐτὸν γάρ ἐστι τῷ B=
καὶ τὴν κεφαλὴν ῥῖψαι.

380. ἔγχεϊ χαλκείῳ] καὶ πῶς φησιν "ἐκ δέ μοι ἔγχος ἠίχθη B=
παλάμηφιν;" ἢ ὅτι δύο δόρατα ἐβάσταζεν· ἢ τῶν παρόντων ἥρπασεν·
ἢ τῷ ἐμπεπηγότι αὐτῷ διαχρησόμενος ἐπεδίωκεν.

τὸν δ' ἐξήρπαξ' Ἀφροδίτη] ἐπὶ τοσοῦτον ἄγει τὰς περιπετείας B=
ὁ ποιητής, ὡς ὑπὸ μόνων ἰᾶσθαι θεῶν.

382. κηώεντι] κοιμιστικῷ, εὐώδει. καὶ τοῦτο δὲ τῆς ἀκολασίας B=
Ἀλεξάνδρου τεκμήριον.

383. αὐτὴ δ' αὖθ' Ἑλένην] κατηγοροῦσιν ὡς προαγωγὸν εἰσά- B=
γοντος αὐτοῦ τὴν θεόν. ἀλλ' ἐπεὶ ὥρμηται γέλωτα μὲν θέσθαι τὸν
Πάριν ἐπαινέσαι δὲ τὴν Ἑλένην, καὶ τοῦ μὲν τὴν ἀκρασίαν τῆς δὲ
τὴν σωφροσύνην ὑπ' ὄψιν ἄγειν, οὐ δύναται δὲ διεστῶτα τὰ πρόσωπα
δι' ἑτέρου συμβιβάζειν, ἐπίτηδες παρέλαβε τὴν Ἀφροδίτην.

* καλέουσ'] καλέουσα.

τὴν δ' ἐκίχανεν πύργῳ ⟨ἐφ'⟩ ὑψηλῷ] ὅπως μὴ ἀποδοθῇ B–
ὁρωμένη ἀπὸ τοῦ τείχους. διὰ τοῦτο γὰρ εἶπε "περὶ δὲ Τρωαὶ
ἅλις ἦσαν·" ἢ ὅπως μὴ οἰόμενος αὐτὴν ἐκδεδόσθαι διαχρήσηται
ἑαυτόν. πυθόμεναι γὰρ τὸ μονομάχιον ἐξῆλθον. πιθανὸν δὲ ἀπο-
στάντος τοῦ Πριάμου προστεθῆναι ταῖς Τρωάσιν αὐτήν· θεωροῦσα
δὲ τὴν μάχην οὐδ' ὁτιοῦν φθέγγεται, ὅπως μὴ τὸ πάθος ἐκφήνῃ.

385. χειρὶ δὲ νεκταρέου] γραφικῶς τοῦτο. ὑπεξάγει δὲ αὐτήν, B–
ὅπως μὴ ἐν μέσαις ταῖς Τρωάσι διαλέγηται αὐτῇ· πρᾶγμα δὲ
εὐτελὲς μεθ' ὅσης φαντασίας δηλοῖ, ὑψῶν τῷ κόμπῳ τῶν ἐπιθέτων.
§. "νεκταρέου" δὲ θείου παρὰ τὸ νέκταρ· "ἑανοῦ" δὲ λευκοῦ ὡς
"ἑανῷ λιτί" (Il. 18. 352) καὶ "ἑανοῦ κασ⟨σ⟩ιτέροιο" (ib. 613).

387. Λακεδαίμονι ναιεταώσῃ] μιᾷ τῶν ὑπολειφθεισῶν εἴκασται
δηλοῦσα, ὅτι θεός ἐστιν· ἢ λείπει ὁ καί, ἵν' ᾖ 'καὶ ἐν Λακεδαί-
μονι.'

ναιεταώσῃ] ναίω ναιέτης· ὡς κυνηγέτης κυνηγετῶ, οὕτως ναιέτης A= B–
ναιετῶ ναιετᾷς, διαίρεσις ναιετάω· καὶ ἔδει μὲν ναιεταούσῃ ὡς
βοαούσῃ· ἀλλ' ἔστιν ὅμοιον τῷ "ἰδρῶσαι, ἦγον δέ" (Il. 11. 598).

2. δυνάμενον: corr. W ‖ 3. τῷ B: τὸ ‖ 6. παλάμηφιν scripsi: παλάμη φησίν ‖ 11. Ἀλ. τ. B: ἀλέξημα ‖ 18. ἑκίχαν' ἐπὶ π. ‖ 20. καὶ post ἑκδ. omisi ut B

388. μάλιστα δέ μιν φιλέεσκε] τὴν γραῦν, ὡς καὶ ὁ ὄνειρος εἰκασται τῷ φιλτάτῳ Νέστορι.

A+ 390. * ἴθι] τελεία μετὰ τὸ "ἴθι" στιγμή.

B= Ἀλέξανδρός σε καλεῖ] διχῇ αὐτὴν ἀναζωπυρεῖ ὑπομιμνήσκουσα τοῦ ἀνδρὸς ἀπὸ τοῦ κάλλους καὶ τοῦ τόπου.

A+B= 391. δινωτοῖσι] ἐφ' ὧν ἀκινητοῦμεν, κατὰ ἀντίφρασιν· ἢ ὅτι

B= δῖνος ὁ τόρνος. §. καὶ διὰ τοῦ ῑ φησὶν ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ σχημάτων.

B= * κεῖνος ὅ γε] λείπει τὸ ἐστίν· ἐπεὶ δὲ συνήθης ἡ φράσις, ἐὰν τεθῇ, δοκεῖ πλεονάζειν.

B= 392. κάλλεί τε στίλβων] ταῦτά φησιν, ἵνα μὴ διὰ τὸν λύθρον αὐτὸν μυσαχθῇ.

A+ 393. * τόν γ' ἐλθεῖν] ὀλίγον διασταλτέον μετὰ τὸ "ἐλθεῖν."

B= ἀλλὰ χορόν] ἠιθέων τὸ χορεύειν· ἐφ' ᾧ καὶ Πρίαμος ὀνειδίζει τοῖς υἱοῖς "χορο⟨ι⟩τυπίῃσιν ἄριστοι" (Π. 24. 261).

B= 396. περικαλλέα δειρήν] καὶ μὴν γραῖ παρεικασθεῖσα ἦν. ἀλλ' ἔθος τοῖς ἡμιθέοις ἐπιγινώσκειν τοὺς θεούς, ὡς Αἴας τὸν Ποσειδῶνα (Π. 13. 68).

B= 397. στήθεά θ' ἱμερόεντα] οὐδὲν ἄτοπον γυμνὴν φαίνεσθαι τὴν θεόν· Ἑλένῃ γὰρ ἤθελε γνωρισθῆναι· κρύπτεται δὲ τὰς Τρωάς.

398. *ἔπειτα] "ἔπειτα" τὸ δεύτερον.

B= 399. δαιμονίη] [παρρη]σιάζεται ἡ Ἑλένη ὡς πρὸς ἀδελφήν.

λιλαίεαι] λῶ τὸ θέλω· ἀναδιπλασιασμὸς λιλῶ· ὡς κερῶ κεραίω, οὕτω καὶ λιλῶ λιλαίω.

AB= 400. ἦ πή με προτέρω] τὸ ἦ περισπαστέον, τὸ δὲ "πή" ὀξυντέον διὰ τὸ "μέ·" οὐ γάρ ἐστι νῦν ἐρωτηματικὸν τὸ πῆ, ἀλλὰ ἀόριστον.

401. * Φρυγίης] λείπει ἡ ἐπί.

A+ 402. εἴ τις τοι καὶ κεῖθι φίλος] ἐκ πλήρους ὁ καί σύνδεσμος.

B= 403. οὕνεκα δὴ νῦν] κομματικὸς ὁ λόγος τῇ δυσχεραινούσῃ διανοίᾳ. θέλει δὲ εἰπεῖν, ὅτι οὐ με λανθάνεις ἐφ' ᾧ ἦλθες ἐνθάδε.

* δῖον] τοῦτο ἀπὸ ἄλλης ἀρχῆς.

405. τοὔνεκα δὴ νῦν—δολοφρονέουσα παρέστης] ἠθικῶς πυνθάνεται· διὸ οὐ δεῖ ὑποστίζειν εἰς τὸ "παρέστης."

3. στιγμή scripsi : σ ‖ 7. Ἡρωδιανὸς B : ἡρόδοτος ‖ 20. ἦλθε ‖ δὲ B: γὰρ ‖ 23. λιλαίεται ‖ 30. ᾧ B : ὅτι

406. ἧσο παρ' αὐτὸν ⟨ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθου⟩] οὕτω πᾶσαι· οὐκ ἐπαρᾶται δέ, ἀλλ' ὀνειδίζει ἀντὶ τοῦ μὴ πρᾶσσε τὰ θεῶν.

411. κείνου πορσυνέουσα] λέχος εὐτρεπίζουσα, ὡς τὸ "λέχος πόρσυνε καὶ εὐνήν" (Od. 3. 403, 7. 347). §. τὸ δὲ ἑξῆς, οὐκ εἶμι κεῖσε πορσυνέουσα λέχος· τὸ δὲ "νεμεσ⟨σ⟩ητόν" διὰ μέσου. A–B=

Τρῳαὶ δέ μ' ὀπίσσω πᾶσαι μωμήσονται] ὡς δευτέρας μάχης αἰτίαν οὖσαν· ἔδει γὰρ αὐτὴν τῷ νικήσαντι ἕπεσθαι. B=

414. μή μ' ἔρεθε, σχετλίη] τὸ ἀνεξίκακον τῆς θείας ἐδήλωσε φύσεως· "θεὸς ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται, ἀλλ' ὡς λέβης τις μείζονος δεῖται πυρός" (fr. adesp. 371 N.). B=

μὴ χωσαμένη σε μεθείω] μετωνυμικῶς ἀντὶ τοῦ ἐαθῆναι ποιήσω, ὡς καὶ φιληθῆναι ἐποίησα. AB=

416. μητίσομαι αἴσχεα λυγρά] καὶ τῶν ἐναντίων γὰρ ἔχουσιν ἐξουσίαν οἱ θεοί, ὡς αἱ Μοῦσαι ἐπὶ Θαμύριδι (Il. 2. 599). B=

αἴσχεα λυγρά] ἡ μὲν ἑτέρα τῶν Ἀριστάρχου "αἴσχεα," ἡ δὲ ἑτέρα "ἄλγεα." A=

417. * ὄλεαι] ἀντὶ τοῦ ὄλοιο.

418. ἔδδεισεν δ' Ἑλένη] διδάσκει μὴ θρασείας γίνεσθαι πρὸς τοὺς ὑπερέχοντας τὰς ἀποκρίσεις. B=

419. βῆ δὲ κατασχομένη] πάλιν κοσμίως ἀναχωρεῖ.

ἑανῷ ἀργῆτι φαεινῷ] ἐκ παραλλήλου τὸ αὐτό.

421. δόμον περικαλλέ' ἵκοντο] τοῦ Ἀλεξάνδρου· ἐπὶ δὲ Ἕκτορος "δόμους εὖ ναιετάοντας" (Il. 6. 497).

422. ἀμφίπολοι μὲν—ἐπὶ ἔργα] ἔδει γὰρ αὐτὰς χωρίζεσθαι διαλέξεως ἀνδρὸς καὶ γυναικός, τὰ συνήθη πρασσούσας. B=

424. δίφρον ἑλοῦσα—Ἀφροδίτη] εἰ μὲν ὡς γραῦς, οὐκ ἄτοπον· εἰ δὲ ὡς Ἀφροδίτη, καὶ Ἀθηνᾶ λύχνον φαίνει Ὀδυσσεῖ (Od. 19. 34). καὶ οὐ θαυμαστόν, εἰ ἀδελφῇ ὑπηρετεῖται· διὸ καὶ ἐπάγει "κούρη Διός." B=

427. ὅσσε πάλιν κλίνασα] ὑπογράφει τὸ σῶφρον τῆς Ἑλένης· τέχνῃ γὰρ ἀντιτάσσεται τῇ Ἀφροδίτῃ. B=

428. ἦλυθες ἐκ πολέμου] πλανώμενοί τινες ὑποστίζουσιν ἐν τῷ "πολέμου" διὰ τὴν ὑπόκρισιν· Νικάνωρ δὲ τελείαν δίδωσι καὶ τὸ ἑξῆς ἀπόλυτόν φησιν. AB=

1. οὕτω Ludwich: οὐ ‖ 2. πράσω, at ω incertum ‖ 3. προσανέουσα pr. πορσανέουσα sec. ‖ 5. προσανέουσα ‖ 8. ἔρεσθε ‖ 9. ἡ θ. ἐ. σμικροῖς ὀνείδεσιν οὐ ‖ τις, ut coni. Porson: om. B ‖ 14. Θαμύριδι B: θαμύριδος ‖ 15. ἔχθεα λ. textus ‖ Ἀ. ἄχθεα A ‖ 25. πρασσόντων B

* τὸ "ὡς" ἀντὶ τοῦ εἴθε.

429. ἀνδρὶ δαμείς, ὃς ἐμός] διαθρύπτεται, ὡς τὸ "δαὴρ αὖτ' ἐμός" (180).

B= 430. ἦ μὲν δὴ πρίν γ' εὔχεο] ἠθικῶς αὐτοῦ τὸ ἀλαζονικὸν ἔσκωψεν· ἴδιον γὰρ ἐρῶντος ἐπ' ἀνδραγαθίᾳ αὐχεῖν.

B= 431. σῇ τε βίῃ ⟨καὶ χερσὶ⟩ καὶ ἔγχει φέρτερος εἶναι] "βίῃ" τῇ ψυχῇ, "χερσί" τῷ σώματι, "ἔγχει" τοῖς ἀμυντηρίοις.

B= 433. ἀλλά σ' ἔγωγε παύσασθαι κέλομαι] θελγομένη ὑπὸ Ἀφροδίτης εἰς τοῦτο ἔρχεται. τάχα δὲ καὶ ἀποδοθῆναι θέλουσα λεληθότως παραινεῖ μὴ μάχεσθαι· μὴ μαχομένου δὲ αὐτοῦ ἀπεδόθη ⟨ἂν⟩ κατὰ τὰ δεδογμένα. καὶ διὰ τοῦτο καὶ ἐκδειματοῦσα ἀρηίφιλον αὐτόν φησιν.

A + B= 434. παύσασθαι κέλομαι] παρατατικῶς τὸ παύεσθαι. §. τελεία δὲ

A + B= εἰς τὸ "κέλομαι," καὶ τὰ ἑξῆς ἀντὶ τοῦ προστακτικοῦ.

436. * ἀφραδέως] ἀπείρως.

438. * μή με] ἀντὶ τοῦ "μή μου."

B= 439. νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ] οἷαι τῶν ἠσχημονηκότων αἱ ἀπολογίαι. διὰ τὴν Ἀθηνᾶν φησι νενικῆσθαι, ὥσπερ οὐκ ἐκ τῶν ἐναντίων διὰ τὴν Ἀφροδίτην αὐτὸς σωθείς. νικήσειν δὲ ὑπισχνεῖται τὸν Μενέλαον, οὐδὲ μετὰ τὴν ἧτταν τῆς ἀλαζονείας παυόμενος.

A= B~ 440. κεῖνον δ' αὖτις ἐγώ] κοινὸν ἀπὸ τοῦ "ἐνίκησε," 'νικήσω αὖτις αὐτὸν ἐγώ·' διὸ βραχὺ στικτέον.

B= 441. ἀλλ' ἄγε δὴ φιλότητι] πῶς, φασί, μετὰ τοσαύτην αἰσχύνην ὀργᾷ; ἐμφανίζει οὖν τὴν πρόξενον ἁπάντων τῶν κακῶν αὐτοῦ λαγνείαν. ἢ ἀνακτώμενος Ἑλένην προσποιεῖται αὐτῆς ἐρᾶν, ὑπονοῶν ὀργίζεσθαι αὐτὴν ἐφ' οἷς ἐκδοῦναι αὐτὴν ἐσπείσατο τῷ πολεμίῳ. ἢ ὅτι ὧν στερόμεθα ἐρῶμεν.

B= φιλότητι τραπείομεν] τερφθῶμεν· κινδυνεύσας δὲ ὑπὲρ αὐτῆς ὡς νικήσας τῶν ἐπινικί[ων ἀπολαύειν ἀξιοῖ].

B= 442. ἔρως φρένας ἀμφεκάλυψεν] ἐθήρευσεν. ἡ μεταφορὰ ἐκ [τῶν περισκεπόντων δικτύων].

B= 443. Λακεδαίμονος ἐξ ἐρατεινῆς] τοῖς ἐρῶσι καὶ αἱ πατρίδες τῶν ἐρωμένων δοκοῦσιν εἶναι καλαί.

A + B= 445. νήσῳ δ' ἐν Κρανάῃ] ταύτην πρὸ Ἀττικῆς εἶναί φασιν. οἱ

2. δ. αὐτὸς ‖ 5. ἐρ. ἐπ' ἀ. B: ἐρ. ἀνδραγαθίας ‖ 10. ἀποδοθείη ‖ 21. κεῖνον ἀντὶ τοῦ, cf. A ‖ 26. ἔσπευσεν: corr. W ‖ 28. τρεφθῶμεν coni. W ‖ 29, 30. novavit rec.

δὲ τὰ Κύθηρα· Ἀφροδίτης γὰρ ἱερά. §. οἱ δὲ ἐν τῇ νῦν Ἑλένῃ· τῷ χειμῶνι γὰρ πολλοὶ τῶν Ἀχαιῶν ἀπολώλασιν αὐτόθι.

446. ὥς σεο νῦν ἔραμαι] ἐγκλιτέον· ἀπόλυτος γάρ ἐστιν. ἐπὶ δὲ Διὸς (Π. 14. 328) ὀρθοτονητέον. τὸ δὲ ἑξῆς, οὐδέποτε οὕτως ἔρως ἀμφεκάλυψεν ὡς νῦν ἐρῶ σου. A+ B=

447. ἦ ῥα, καὶ ἄρχε λέχοσ⟨δε⟩] τηρεῖ τὸν νόμον, ὡς ἐπὶ Ἥρας καὶ Διός. B+

ἅμα δ' εἵπετ' ἄκοιτις] ἄκοιτις νῦν μόνον εἴρηται ἡ Ἑλένη τοῦ Πάριδος.

448. κατεύνα⟨σ⟩θεν] ἐπὶ τῶν ἀξιοχρέων γάμων εὐνὴν καὶ φιλότητα ὀνομάζει· ἐπὶ δὲ Πηνελόπης καὶ πλέον τι "λέκτροιο παλαιοῦ θεσμόν" (Od. 23. 296)· ἐπὶ δὲ τῶν παρανόμων μῖξιν "τῇ πρῶτον ἐμίσγοντο πάροιθεν" (? Od. 20. 7). B−

449. Ἀτρεΐδης δ' αὖ' ὅμιλον ἐφοίτα] τὸν Τρωικόν.

θηρὶ ἐοικώς] ἄγρας ἀφῃρημένῳ, ἐπεὶ καὶ ἄνω (23) ἐπιτυχόντι αὐτὸν εἰκάζει. B=

450. εἴ που ἐσαθρήσειεν] γελοίως ζητεῖ τὸν ἀφροδισιάζοντα.

455. *τοῖσι δὲ καί] πλεονάζει ὁ "καί."

456. Τρῶες καὶ Δάρδανοι] εἰς δύο γὰρ ἡ Τρώων ἀρχὴ διῄρητο ἀπὸ Ἀσσαράκου καὶ Ἴλου· Γανυμήδης γὰρ ἥρπαστο. B+

457. νίκη μὲν δὴ φαίνετο] ὑπερέβη γὰρ τὸ μετρητὸν ⟨καὶ⟩ καλούμενος ἄπεστιν. καὶ Τρῶες μὲν ἔξουσι τὴν Ἀγαμέμνονος φωνὴν ἐπίκουρον, "εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ" (284), Ἀχαιοὶ δὲ τὴν Ἕκτορος, "ὁππότερος δέ κε νικήσῃ" (71)· καὶ γίνεται ἡ στάσις ῥητὸν καὶ διάνοια. διὸ ἀμφοτέρων εὔλογον αἰτίαν ἐχόντων ἐπίσκεψις καὶ πρὸς ὀλίγον ἐπίσχεσις γίνεται τοῦ πολέμου. A B=

458. ὑμεῖς δ' Ἀργείην Ἑλένην] τὴν προσήκουσαν Ἀργείοις. B+

461. ὣς ἔφατ' Ἀτρεΐδης, ἐπὶ δ' ἤνεον—Ἀχαιοί] Τρῶες σιωπῶσιν, οὔτε τῶν βασιλέων καταγινώσκοντες οὔτε τοῦ δικαίου. B=

ΕΙΣ ΤΗΝ Δ.

1. οἱ δὲ θεοί] πιθανῶς ἐκ τοῦ κάτωθεν θορύβου εἰς οὐρανὸν τὴν σκηνὴν σεμνύνων μετήγαγε, ποικίλλων ἅμα τὴν ποίησιν τόποις τε B=

1. post Ἑλένῃ sec. add. καλουμένῃ ‖ 12. μῖξιν B: παριᾶσι ‖ 17. γελοῖος: corr. W ‖ 21. τῶν μετρητῶν ‖ 22. φ. ἐπ. B: ἐπ. φ. ‖ 23. κτείνει ‖ 24. νικήσει ‖ 27. ἡμεῖς δ' Ἀργείη Ἑλένη ‖ Ἀχαιοῖς, cf. B ‖ 30. addidi: δέλτα Ὁμήρου inscriptum

καὶ προσώποις καὶ λόγοις. ὑπονοεῖν δὲ δεῖ περὶ τὴν ἁρπαγὴν Ἀλεξάνδρου τοὺς λόγους γεγενῆσθαι τοῖς θεοῖς. ηὔξησε δὲ τὸ ἀγωνιστικὸν τῆς ὑποθέσεως τῇ τῶν θεῶν προνοίᾳ.

B− οἱ δὲ θεοὶ—μετὰ δέ] ὅτι τῷ δέ τὸν δέ ἀνθυπήγαγεν εἰς τὸν δέ, "τὴν δέ, ἐκ δ' εὐνάς, κατὰ δὲ πρυμνήσια" (Π. 1. 435), ὡς "εἰ μὲν δὴ
A+ Ὀδυσεὺς—ταῦτα μὲν—⟨πολλὰ μέν⟩ (Od. 22. 45). §. ... Διὸς οἰνοχόος, ἢ ὅτι περὶ Ἰλίου ὁ λόγος, ἵνα μὴ λυπῇ τὸ συμπόσιον· νέων δὲ τὸ ὑπηρετεῖν, ὡς καὶ Μεγαπένθης· ὅθεν καὶ παῖδας τοὺς δούλους φαμέν.

⟨πὰρ Ζηνί⟩] τὸ πάθος ἀποκοπή, οὐ συναλειφή· συναλοιφὴ γὰρ γίνεται φωνήεντος ἐπιφερομένου.

B+ * ἠγορόωντο] ἀγορή, ἀγορῶ, ἠγορῶντο.

B= 2. χρυσέῳ ἐν δαπέδῳ] ἀπὸ τῶν παρ' ἀνθρώποις τιμίων αὔξει τὰ θεῖα· τέως δὲ νῦν ἀνθρωποπαθεῖς εἰσάγει τοὺς θεοὺς προ⟨ρ⟩ρυθμίζων ἡμᾶς
AB= πληγὰς αὐτῶν ἀκούειν καὶ πάθη. §. δάπεδον δὲ τὸ ὁμαλὸν χωρίον, γήπεδα δὲ τὰ ἐν ταῖς πόλεσι προκείμενα ταῖς οἰκίαις, οἷον κηπίδιον· οἰκόπεδον δὲ οἰκίας καταρριφείσης ἔδαφος.

B= δύο δὲ δηλοῖ, ὅτι τε ἀεὶ τὰ θεῶν ἡβᾷ, καὶ ὅτι παρὰ τὸν καιρὸν τῆς ἥβης οὐκ ἀπρονοητοῦσιν.

B+ 3. νέκταρ ἐφυσχόει] καταχρηστικῶς, ὡς βωμὸν οἰκοδομεῖν καὶ "ἵπποι βουκολέοντο" (Π. 20. 221). πλεονασμὸς δέ ἐστιν, ὡς τὸ
A+ ἐήνδανε. §. τινὲς δὲ γράφουσιν "ἐνῴ⟨νο⟩χόει."

B= 4. δειδέχατο] ἀπὸ τῆς δεξιᾶς· ἐδήλωσε δὲ αὐτὸς ἐκ τοῦ "πλησάμενος δ' οἴνοιο δέπας δείδεκτο" (Π. 9. 224). καὶ ὁ φιλόφρων ἀριδείκετος.

B= Τρώων πόλιν εἰσορόωντες] ἀπρεπές φασιν, εἰ τέρπει τοὺς θεοὺς πολέμων θέα. ἀλλ' οὐκ ἀπρεπές· τέρπει γὰρ τὰ γενναῖα ἔργα. ἄλλως τε πόλεμοι καὶ μάχαι ἡμῖν δεινὰ δοκεῖ, τῷ δὲ θεῷ οὐδὲ ταῦτα δεινά· συμπληροῖ γὰρ ἅπαντα τὴν ἁρμονίαν τῶν ὅλων· ἅπερ καὶ Ἡράκλειτος λέγει, ὡς τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν, ἃ δὲ δίκαια (fr. 61 Byw.).

1. παρὰ ‖ 2. post θεοῖς repetivit pr. ηὔξησεν εἰς οὐρ. τὴν σκηνὴν σεμνύνων καὶ ποικίλλων λόγοις· ὑπονοεῖν δὲ δεῖ παρὰ τὴν ἁρπαγήν ‖ 6. Ὀδυσσεὺς : corr. W ‖ lacunam indicavi, cf. A ‖ 7. οἰνοχίος ‖ 10. συναλιφή ut fere semper ‖ 15. πληγὰς B : πάντας ‖ 16. κηπίδια B ‖ 17. οἰκόπεδα ‖ κατεριφείσης ‖ 20. μὲν post βωμὸν delevi ‖ 24. ὁ φιλόφρων B : ὀλοόφρων ‖ 27. ἀλλ' B : ἢ ‖ 29. ὅπλων

5. * ἐρεθιζέμεν″Ηρην] ἤθελε μὲν παράβασιν ποιῆσαι δι' Ἀχιλ- B=
λέα, τὴν δὲ αἰτίαν αὐταῖς περιτιθέναι.

6. * παραβλήδην] ἀπατητικῶς διὰ τὸ λέγειν "αὖτις δ' Ἀργείην B+
Ἑλένην" (19)· ἢ ἀντιπαραβάλλων τὰς ἐπικούρους θεάς.

7. ἀρηγόνες] ἐπὶ θηλυκοῦ μόνου τάσσει αὐτὸ ὁ ποιητής, ἢ ἀρηγών. AB=

9. νόσφι καθήμεναι] νόσφι τοῦ Μενελάου· διασταλτέον δὲ εἰς τὸ B=
"καθήμεναι" λείπει γὰρ ὁ καί.

πάντοθεν τὸ παράδοξον θηρῶν τὰς μὲν Ἀργείαν καὶ πολεμικήν, B=
τὴν δὲ φιλομειδέα φησίν· πόρρωθεν δὲ ἄρχεται τῶν βουλευμάτων.

11. παρμέμβλωκε] ἀπὸ τοῦ μελῶ μελήσω μεμέληκα, καὶ κατὰ τρο-
πὴν τοῦ η̄ εἰς τὸ ω̄ μεμέλωκα, καὶ κατὰ ἀποβολὴν τοῦ δευτέρου ε̄ καὶ
πλεονασμῷ τοῦ β̄ μέμβλωκα· καὶ ἐπειδὴ ἀμετάβολον πρὸ ἀμετα-
βόλου οὐχ εὑρίσκεται ἐν συλλήψει, εἰ μὴ τὸ μ̄ ⟨πρὸ⟩ τοῦ ν̄ ὡς ἐν
τῷ μνῆμα, τούτου χάριν πλεονάζει τὸ β̄, καὶ γίνεται μέμβλωκα, καὶ
ἐν συνθέσει τῆς παρά προθέσεως καὶ συγκοπῇ παραμέμβλωκα, καὶ
τὸ γ′ παρμέμβλωκεν.

καὶ αὐτοῦ κῆρας] τινὲς ἀντὶ τοῦ αὐτόθι, τουτέστιν ἐπὶ τοῦ αὐτοῦ
μένουσα τόπου. §. τὸ δὲ "ἀμύνει" ἀντὶ τοῦ ἀναβάλλεται.

12. καὶ [νῦ]ν ἐξεσάωσεν] ἐπαναλαμβάνων ἐρεθίζει αὐτὰς πλέον.

13. ἀλλ' ἦ τοι νίκη μὲν ἀρηιφίλου Μενελάου] λείπει τὸ ἐστί. B=
διέκρινε δὲ τὸ ἀμφίβολον ὁ λόγος τοῦ Διός, ὅπως μὴ δοκῇ τοῖς
Ἀχαιοῖς χαρίζεσθαι ὁ ποιητής.

14. ὅπως ἔσται τάδε ἔργα] βραχὺ διασταλτέον εἰς τὸ "ἔργα." τὸ δὲ A+ B=
"ἦ ῥα" δύο μέρη λόγου· ἄρχεται δὲ τῶν κερτομιῶν.

15. φύλοπιν] ἐπεὶ κατὰ φῦλα μάχονται. B=

16. ἦ φιλότητα] περισπαστέον τὸ δεύτερον ἦ· ἔστι γὰρ διαπορη- B=
τικόν.

17. εἰ δ' αὖτως τόδε πᾶσι] ἀντὶ τοῦ ὁμοίως. §. καὶ "ἠδὺ γένοιτο,"
οὕτως Ἀριστοφάνης· Ἀρίσταρχος δὲ "πέλοιτο."

18. * οἰκέοιτο] ἀντὶ τοῦ οἰκείσθω.

19. Ἀργείην Ἑλένην] πᾶσι τοῖς″Ηρας ἐπιθέτοις κοσμεῖ αὐτήν,
"Ἀργείην" (8), "λευκώλενον" (Il. 3. 121)· "πόσις″Ηρης" (Il. 10. 5),
"Ἑλένης πόσις" (Il. 3. 329).

20. ἐπέμυξαν] μεμυκόσι τοῖς χείλεσιν ἐπεμύχθησαν. ἠθικῶς δὲ B=

9. θηρῶν B: τηρῶν ‖ τὴν μὲν ‖ 26. φύλα ‖ 31. Διὸς: corr. W ‖ 34. ἐπεμίχθησαν ‖ ἠθικὸν

καὶ τὸ γυναικεῖον τῷ σχήματι ἐμφαίνει, ὅπως γνώμης ἔχουσιν. καὶ ἤρκει μὲν τοῦτο· ἡ δὲ ὀργὴ καὶ ἐπὶ λόγους αὐτὴν ἄγει.

A= 21. πλησίαι—ἥσθην] πλησίον τοῦ Διός· καὶ εἶξε δὲ ἡ Ἀθήνη ἐξ ἀριστερῶν οὖσα τοῦ Διός.

AB= 23. σκυζομένη] ὀργιζομένη· καὶ οἱ ὀργιλώτατοι Σκύθαι καλοῦνται.

B= 24. Ἥρη δ' οὐκ ἔχαδε] εὐθείας ἐστίν· ἔμφασις δὲ τῆς ὑπεκχεομένης διὰ τοῦ στόματος ὀργῆς.

B= 25. αἰνότατε Κρονίδη] σχετλιαζούσης ὁ λόγος. ὅτε δὲ φιλοφρονεῖται αὐτόν, "Ζεῦ πάτερ, ἦ ῥά τι μοι κεχολώσεαι, ὅττι κεν εἴπω" (Il. 5. 421);

* ποῖον τὸν μῦθον] τὸν ποῖον μῦθον.

B= 26. ἄλιον θεῖναι πόνον] εὔλογον αἰτίαν τῆς ἀπωλείας φησὶ τὸ ἀκυρῶσαι τὰ πεπονημένα.

A+B= 27. ἰδρῶ θ' ὃν ἵδρωσα] μόνως "ἰδρῶ τε"· ἀεὶ γὰρ δισυλλάβως ὁ ποιητής φησιν.

B= καμέτην δέ μοι ἵπποι] ἐξήλλαξε τὴν φράσιν. ἔδει γὰρ εἰπεῖν 'καὶ τὸν κάματον τῶν ἵππων.'

τὰ ὀνόματα τῶν ἵππων τῆς Ἥρας Γλαῦκος καὶ Πν(ρ)ρίας.

B= 29. οὔ τοι πάντες ἐπαινέομεν] ὃ ἕκαστος ἀποδέχεται, καὶ τοῖς ἄλλοις περιτίθησιν. ἢ οἱ Ἑλληνικοί, ὡς "πάντες δ' ἠτιόωντο" (Il. 11. 78). παιδεύει δὲ μὴ ἰδίᾳ ψήφῳ τοὺς βασιλεῖς ἀρέσκεσθαι.

B= 30. τὴν δὲ μέγ' ὀχθήσας] ἠθικῶς, ὅπως δοκῇ παρὰ τὴν γνώμην αὐτῇ χαρίζεσθαι.

B= 31. δαιμονίη] ἠθικῶς ἀντὶ τοῦ μακαρία.

B— τί νυ σε Πρίαμος] τί νυ σε—τόσσα, ὡς "κῆτος, ἆ μυρία" (Od. 12. 97)· οἳ δὲ ἀντὶ τοῦ πῶς δή, ὡς "τί νυ βείομαι, αἰνὰ παθοῦσα" (Il. 22. 431), ὅ ἐστι πῶς δή.

32. τόσ⟨σ⟩α κακὰ ῥέζουσιν] ἀντὶ τοῦ ἔρεξαν· ἀγνοεῖ δὲ τὴν κρίσιν. ἀσπερχὲς μενεαίνεις] ἄγαν ἐσπευσμένως.

B= 35. ὠμὸν βεβρώθοις] ηὔξησε τὸ ὑπερβάλλον τῆς γυναικείας κακίας, ὡς ἐν τῷ "τοῦ ἐγὼ μέσον ἦπαρ" (Il. 24. 212). αὔξεται οὖν ὁ λόγος ἐν τῇ καθ' ἕκαστον ἐξεργασίᾳ.

B= 37. ἔρξον ὅπως ἐθέλεις] ἵνα μηδὲ αὕτη ἐναντιωθῇ τῇ τῶν Ἑλλήνων ἄτῃ.

AB= ἔρξον ὅπως ἐθέλεις] ὡς θέλεις πρᾶξον, μή πως ἡ ἀμφιβολία αὕτη

8. δὲ B: καὶ ‖ 12. πόνον θεῖναι ‖ 14. δισυλλάβως B: δισύλλαβον ‖ 25. τόσσα scripsi: τὸ σ̄

ἐμοὶ καὶ σοὶ πόλεμος γένηται. οἱ δὲ στίζοντες εἰς τὸ νεῖκος λείπειν φασὶ τὴν διά, καὶ τὸ "γένηται" ὑποτακτικὸν ἀντὶ τοῦ γένοιτο ἢ γενέσθω. §. νεῖκος δὲ παρὰ τὸ εἴκειν.

40. * ὁππότε κεν καὶ ἐγώ] καὶ ταῦτα κερτομικὰ πρὸς τὸ τὴν B=
χάριν ἐπὶ πλεῖον αὔξειν.

ἐξαλαπάξαι] παντελῶς δηλοῦσιν ἀπώλειαν αἱ δύο προθέσεις.

41. φίλοι ἀνέρες ἐγγεγάασιν] ἐνδιατρίβουσιν· καὶ ἡμεῖς γεγε- B~
νῆσθαι ἐν Ῥόδῳ φαμέν.

42. μή τι διατρίβειν] μαλάσσειν, ἐκ τοῦ κηροῦ. ἐμφαίνει δὲ B=
τὴν τῶν Ἡρακλειδῶν κάθοδον.

43. καὶ γὰρ ἐγώ σοι δῶκα] πολλὰ γὰρ παρὰ προαίρεσιν τῆς AB=
ψυχῆς πράττομεν πρὸς τὸ κεχαρισμένον τῶν πέλας, ὡς εἰ ἔλεγε, κατεδεξάμην μὲν ἐγώ, τὰ δὲ τῆς προαιρέσεως οὔ πω μοι κατένευσεν.

καὶ γὰρ ἐγώ σοι δῶκα] τινὲς ὀρθοτονοῦσι τὸ "σοί." A+

* θυμῷ] τῇ ἐπιθυμίᾳ.

44. ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ] ἡμέρας καὶ νυκτὸς παρείληφε B=
λαμπτῆρας, ἥλιον καὶ ἀστέρας.

αἳ γὰρ ὑπ' ἠελίῳ ⟨—ναιετάουσι πόληες⟩] ἀντὶ τοῦ παθητικοῦ. A+

45. * ναιετάουσι] οἰκοῦνται. A=

46. * κῆρι] περισσῶς, τῷ κέαρι. B=

47. καὶ Πρίαμος καὶ λαός] ψεύδεται αὔξων τὴν χάριν· φησὶ γοῦν B=
Ποσειδῶν "ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων" (Il. 20. 306), καὶ μάλα εἰκότως, ἀσεβῆ γενομένην.

ἐυμελίω] ἢ τοῦ ε̄ συγκοπή, ἢ συναίρεσις· ἔστι δὲ ἀντὶ τοῦ ἐυμελίου.

49. κνίσης τε] ἡ κνῖσα τῇ ἀναθυμιάσει τῆς γῆς ἔοικε τῶν σωμάτων καιομένων.

51. ἦ τοι ἐμοὶ τρεῖς] ἐκτίθεται τὴν αἰτίαν τῆς περὶ τοὺς Ἕλληνας A+
σπουδῆς· ἀγνοεῖ οὖν τὴν κρίσιν.

διὰ τί ὁ μὲν Ζεὺς μίαν, ἡ δὲ Ἥρα τρεῖς ἔχει πόλεις φιλτάτας; B=
ῥητέον δὲ ὅτι εὐπρεπῆ βουλόμενος περιθεῖναι αὐτῇ τὴν αἰτίαν τῆς ὀργῆς ὁ ποιητής, καὶ οὐχ ἧν ὁ μῦθος ἀναπλάττει, ὡς ἄρα διὰ τὸ μὴ προτιμηθῆναι τῆς Ἀφροδίτης ἐν τῇ κρίσει τοῦ κάλλους τοῖς Τρωσὶν ἐχαλέπαινεν, ἐπίτηδες ταύτας φησὶν αὐτὴν τὰς πόλεις φιλεῖν, περὶ

1. στίζουσι ‖ 6. ? ‖ 18. παθητικοῦ A: γάρ ‖ 22. ἤχθειρε ‖ 24. iteratur* ἐυμμελίω] ἀντὶ γενικῆς ‖ 27. ἤτοι ‖ 29. schol. post 3. 57 scriptum ‖ 32. ἐπὶ τῇ

ἃς τὸ ἀδίκημα τὸ κατὰ τὴν Ἑλένην γέγονεν, "Ἄργος τε Σπάρτη ⟨τε⟩·" σύμψηφα δὲ τούτων κἀκεῖνα, ἐν οἷς αὐτὴν ποιεῖ λαμβάνουσαν τὸν κεστὸν παρὰ τῆς Ἀφροδίτης, ἵνα τῷ Διὶ μᾶλλον οὕτως ἐπέραστος φανῇ· οὐ γὰρ ἦν εἰκὸς τὴν δεομένην ⟨τῆς⟩ βοηθείας τῆς παρ' αὐτῆς, ἵνα τῷ ἰδίῳ ἀνδρὶ ἀρέσειεν, ἀγανακτεῖν ἠττηθεῖσαν ἐν τῇ τοῦ κάλλους κρίσει. ὁ δὲ Ζεὺς μίαν πόλιν λέγων φιλεῖν ἐξαίρει τὴν χάριν· οὐχ οὕτω γὰρ ὁ ἀπὸ πολλῶν διδούς τι θαυμάζεται ὡς ὁ ἀπὸ ὀλίγων. ὥστε ἀμφότεροι ῥητορικῶς κατασκευάζουσιν· ἡ μὲν γὰρ πολλὰς ἀντὶ μιᾶς προήσεσθαί φησιν, ὁ δὲ τὴν μίαν, ἣν καὶ μόνην ἔχει, χαριεῖσθαι.

A = 53. *διαπέρσαι] ἀντὶ τοῦ πέρσον.

A B = τὰς διαπέρσαι] δείκνυσι τῶν ὀργιζομένων τὸ ἦθος ἀλόγιστον ⟨ὄν⟩,
B = οἳ πόθῳ τῶν παρὰ χεῖρα τῶν μειζόνων ἀμελοῦσιν. §. διὰ δὲ τοῦ "περὶ κῆρι" ἐμφαίνει ⟨περὶ⟩ τῶν Τρώων, ὡς αὐτῇ περὶ κῆρι μισοῦνται.

A = 54. *μεγαίρω] ἀντὶ μέλλοντος τοῦ φθονήσω· ἀνθυπάγει οὖν αὐτῷ τὸ φθονέω.

55. εἴπερ γὰρ φθονέω τε] κωλύω, ὡς "ᾧ δέ κ' ἐπιφθονέοις" (Od. 11. 149).

εἴ περ γὰρ φθονέω] μειοῖ τὴν χάριν, φησίν, εἰ διὰ τοῦτο δίδωσιν ἑκοῦσα, ὅτι καὶ ἀκούσης ὁ Ζεὺς δύναται λαβεῖν· ῥητέον δέ, ὅτι οὐ μειοῖ τὴν χάριν, ἀλλ' ἐμφαίνει, ὡς οὐ θέλει μέν τι παθεῖν τὰς πόλεις, οὐκ ἀντιπράξει δὲ διὰ τὸ ἀδύνατον· οἶκτον δὲ ἐμφαίνει τῷ λόγῳ, ὅπως μὴ ἐξ αὐτῆς ἀπαιτῇ τὴν χάριν.

57. οὐκ ἀτέλεστον] ἀντὶ τοῦ μὴ ἀτέλεστον.

B = 58. καὶ γὰρ ἐγὼ θεός εἰμι] ἔντεχνον τὸ σχῆμα. τὰ γὰρ ἑαυτῆς δίκαια, δι' ἅπερ ὀφείλει τιμῆς τυγχάνειν, ἐκ τῆς περὶ τὸν ἄνδρα δόξης λαμβάνει, προσαγομένη τὸν θεὸν λελη θότως.

A B = 59. *πρεσβυτάτην] τιμιωτάτην νῦν. πλανηθεὶς δὲ ἐντεῦθεν Ἡσίοδος νεώτερόν φησι τὸν Δία (Theog. 454).

60. *ἀμφότερον] λείπει ἡ κατά.

A – B = 61. κέκλημαι] οὐκ ἔστι τελεία εἰς τὸ "κέκλημαι·" φησὶ ⟨γάρ⟩, διότι σοῦ εἰμι γυνὴ τοῦ πάντων ἀνάσσοντος. ἡδὺ δὲ τὸ τῆς ἐξαλλαγῆς· ἔδει γὰρ τοῦ πάντων βασιλέως εἰπεῖν.

B = *κέκλημαι] Ἰακῶς εἰμί.

4. φανείη ‖ suppl. W ‖ 5. ἐπὶ τῇ ‖ 11. suppl. W ‖ 13. supplevi ex B ‖ αὐτὴ π. κ. μισοῦσα ‖ 15. repetitur *φθονέω] κωλύω ‖ 20. τι μὲν ‖ 21. τοῦ λόγου : corr. W ‖ 25. δι' ὅπερ ‖ 30. supplevi ex B

* παρέλκεται ἡ "μετά."

63. σοὶ μὲν ἐγώ] πιθανῶς προτέραν ἔταξε τὴν ἰδίαν χάριν, ὡς προκατάρχουσα καὶ οὐκ ἀμειβομένη. B=

64. * τὸ "θᾶσσον" συντακτέον τῷ "ἐλθεῖν." B+

* ἐπιτεῖλαι] ἐπίτειλον. A=

66. πειρᾶν δ' ὥς κεν Τρῶες] οὐκ ἀναγκάζουσιν ἐπιορκεῖν Πάνδαρον, ἀλλὰ πειρῶνται, εἰς πλείω τε ἁμαρτίαν προκαλοῦνται Τρῶας, ὅπως ἀξίαν τίσωσι δίκην· ἤδη γὰρ παρέβη Ἀλέξανδρος λέγων "κεῖνον δ' αὖτις ἐγώ" (Π. 3. 440). B=

* "πειρᾶν" ἀντὶ τοῦ πειράτω· Ἀττικοὶ δὲ ἐπὶ συνουσίας τάττουσι τὴν λέξιν. A+B−

ὑπερκύδαντας] μεγάλως γαυριάσαντας ἐπὶ τῇ Μενελάου νίκῃ. μέγιστον δὲ πρὸς εὐσέβειαν πορθεῖσθαι Τροίαν διὰ τὴν παράβασιν τῶν ὅρκων· καὶ Ὀδυσσείας τὸ συνεκτικὸν ἡ κατὰ Ποσειδῶνος βλασφημία. B=

§. "ὑπερκύδαντας" παρὰ τὸ κῦδος κύδας καὶ ἐν συνθέσει ⟨ὑπερκύδας⟩· ἢ μεταπέπλασται ἀπὸ τῆς ὑπερκυδάν⟨αν⟩τας ⟨μετοχῆς⟩. A+ B−

67. ὑπὲρ ὅρκια δηλήσασθαι] ὑπερβάντες τὰ ὅρκια.

69. αὐτίκ' Ἀθηναίην] οὐ γὰρ ἀγγέλου μόνον, ἀλλὰ τοῦ καὶ πείσοντος Πάνδαρον ἔδει καὶ Μενέλαον σώσοντος· διὰ τοῦτο καὶ ἡ πάρος μεμανῖα (73) πέμπεται. B=

75. * "ἀστέρα" νῦν φησι τὸν ἀστεροειδῶς ἐξακοντιζόμενον. B=

οἷον δ' ἀστέρα] τούτους διάττοντας καλοῦσιν· δοκοῦσι δὲ ἀπὸ συστροφῆς ἀέρος γίνεσθαι· ὅθεν καὶ ἀνέμους δηλοῦσιν· σπινθηρίζουσι δὲ καὶ πρὶν εἰς γῆν πεσεῖν ψυχροτέρῳ ἀέρι λύονται. ἐν ᾧ δὲ ταρατ-τόμενοι σκοποῦσι περὶ τοῦ ⟨πολέμου διὰ τὸ τέρας⟩, τέως λανθάνει βαλὼν ὁ τοξότης. A− B=

ἀγκυλομήτεω] ὁ καὶ τὰ τοῖς ἄλλοις ἀγκύλα μήσασθαι εἰωθώς.

76. ἠὲ στρατῷ εὑρέι] καλῶς ἡ πολεμικὴ πολεμικῷ σημείῳ εἴκασται. B=

77. ἀπὸ σπινθῆρες] ἐὰν δηλοῖ τὸ ἄποθεν, βαρύνεται ἡ "ἀπό." A= B+

79. κὰδ δ' ἔθορε] τὸ ἐνεργὲς καὶ σφοδρὸν τῆς θεοῦ ἡ πρόθεσις δηλοῖ. AB=

§. τὸ "θάμβος" δὲ οὐδετέρως παρ' Ὁμήρῳ· Σιμωνίδης δὲ ἀρσενικῶς (fr. 237 B.). AB=

81. * ἄλλον] ἀντὶ τοῦ τινά.

13. προθεῖσθαι ‖ 16. ultima suppl. W ex A ‖ 17. ὑπερόρκια ‖ 18. καὶ τοῦ: transp. W ‖ 25. supplevi ex B ‖ 30. ἄπο σπ.

B= 82. ἦ ῥ' αὖτις πόλεμος] πόλεμον μὲν ὑφορῶσιν ἐκ τοῦ πυρός, διστάζουσι δὲ ⟨διὰ⟩ τὴν σβέσιν.

A+ B= καὶ φύλοπις αἰνὴ ἔσσεται]τελείαν εἰς τὸ "ἔσσεται" φησὶ Νικάνωρ, εἰ καὶ ἀπαντᾷ ἡ ὑπόκρισις.

B= 84. ἀνθρώπων ταμίης] καλῶς τοῦτο τῇ φιλότητι ἐπήγαγεν. ταμιεύει⟨ν⟩ γὰρ τὸ ἐναποκλείειν.

B= 86. ἣ δ' ἀνδρὶ ἰκέλη] ἔπεσε μὲν εἰς τὸ πλῆθος τῶν Τρώων ὡς ἀστήρ, ἀνδρὶ δὲ εἰκασθεῖσα Πάνδαρον ζητεῖ.

* κατεδύσεθ'] ἐπήρχετο.

B+ 87. Λαοδόκῳ Ἀντηνορίδῃ κρατερῷ αἰχμητῇ] "Λαοδόκῳ" καλῶς ὁ

B= τοῦ φιλοξένου ἀνδρὸς παῖς Λαοδόκος καλεῖται. §. καλῶς δὲ τούτῳ εἴκασται. Ἀντήνορος γὰρ ὢν παῖς καὶ παραβὰς νόμον προξενίας καὶ τοῦτον θέλει παραβῆναι νόμον σπονδῶν· εἰ γὰρ ἕτερος ἦν ὁ συμβουλεύων, ἔφη ἂν ὁ Πάνδαρος, διὰ τί μὴ σὺ παραβήσῃ τοὺς ὅρκους;

B= 89. εὗρε Λυκάονος υἱόν] αἰσχροκερδὴς οὗτος ὁ καὶ τοὺς ἵππους

B– οἴκοι καταλιπὼν φειδοῖ τροφῆς. §. Πάνδαρος ἡ πάντων ἀρά· τοῦτον δὲ ζητεῖ ὡς σμικρολόγον καὶ πεισόμενον ὑποσχέσει δώρων. §. φασὶ δὲ Τριόπαν Περραιβῶν τύραννον ⟨ἐπὶ⟩ τοσοῦτον ὠμὸν εἶναι, ὡς τὸν υἱωνὸν ἀποκτείναντα αὐτὸν Καρνάβαν τυραννοκτονίας γέρας λαβεῖν παρὰ τῶν πολιτῶν· φυγὰς δὲ ἥκων εἰς Βρένθιν τῆς Τροίας καθαρθείς τε ὑπὸ Τρωὸς λαβὼν ἔδαφος κτίζει Ζέλειαν τὴν μικρὰν Λυκίαν· ὥστε ἀναγκαίως ἐκ τούτου τοῦ αἵματός ἐστιν ὁ συγχέας τοὺς ὅρκους.

B= ἀμύμονα] σώματι ἢ τέχνῃ ἢ γένει· οὐ γὰρ ἐπὶ τρόπων.

B= 90. ἀμφὶ δέ μιν κρατεραί] προοικονομεῖ τὴν ἀπὸ τῶν ὅπλων σκέπην (113). οὐκ ἄτοπον δὲ τοξότην εἶναι τὸν ἡγούμενον, ὁπλίτας δὲ τοὺς ὑπηκόους. Λοκροὶ γοῦν ὁπλίτην ἔχουσιν ἄρχοντα· περὶ ὧν φησι "καὶ ἐυστρόφῳ οἷός ἀώτῳ Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες" (Il. 13. 716)· ὁ δὲ Αἴας "ἐγχείῃ ἐκέκαστο" (Il. 2. 530).

B= 91. οἵ οἱ ἕποντο] πρὸς τὸ "λαῶν" ἀπέδωκεν, ὡς τὸ "γενεαὶ ἀνθρώπων, οἵ οἱ πρόσθεν ⟨ἅμα⟩ τράφεν" (Il. 1. 251).

B= 93. ἦ ῥά νυ μοι] οἰκεία ἡ παραίνεσις ὁμοτίμῳ ἀνδρὶ εὐσχήμονα πρᾶξιν ὑποτιθεμένῳ. ἕτοιμον δὲ πρὸς πειθὼ τὸ μὴ κελεύειν καὶ τὸ ἐκ πατέρων ὀνομάζειν.

2. suppl. W ex B ‖ 11. παῖς :— ‖ 19. Περραιβῶν Eust. : Περραιβὸν ‖ suppl. W, ut legit Eust. ‖ υἱὸν legit Eust. ‖ 30. λαόν

⟨μοί⟩] οἰκειότητα ὑποφαίνει· "πατρόθεν ἐκ γενεῆς" (Il. 10. 68).

Λυκάονος υἱὲ δαΐφρον] τελεία ἐνταῦθα καὶ εἰς τὸ "ταχὺν ἰόν."

94. ἔπι προέμεν] οὕτως Ἀρίσταρχος, Μενεκράτης δὲ ὑφ' ἓν A+ B= "ἐπιπροέμεν."

95. χάριν καὶ κῦδος ἄροιο] "χάριν" ὡς τῆς μάχης παύσας αὐτούς, B= "κῦδος" δὲ ὡς τὸν βασιλέα τῶν πολεμίων ἀνελών. βεβαιωτικῶς δὲ ἀναγνωστέον· ὅμοιον γάρ ἐστι τῷ "ἦ γάρ κε σφι μάλα μέγα κῦδος ἄροιο" (Il. 9. 303). πιστὸς δὲ ὁ λόγος ἀνδρὶ περικείμενος ἐπιφανεῖ.

96. Ἀλεξάνδρῳ βασιλῆι] προσαγωγικῶς, εἴγε οὐ τῷ τυχόντι A~ B= χαριεῖται τοῦτο ποιῶν. ἀγχίνουν δὲ τὸ τοῖς καιροῖς οἰκείους τοὺς ἐπαίνους καὶ τοιούτους ποιεῖν.

97. τοῦ κεν δὴ—παρ' ἀγλαά] τινὲς ἀναστρέφουσι τὴν "παρά," AB= κακῶς· οὐδέποτε γὰρ ἀναστρέφεται πρόθεσις γενικῇ συνταττομένη πτώσει.

*"πρῶτα" ὡς καὶ ἄλλων δωσόντων. §. "ἀγλαά" δὲ ὡς παρὰ B= βασιλέων. B=

99. σῷ βέλεϊ δμηθέντα] ἐφελκυστικῶς, ὡς πάντως αὐτοῦ τεθνη- B= ξομένου.

πυρῆς—ἀλεγεινῆς] "ἀλεγεινῆς" τοῖς οἰκείοις τῶν ἀποθνῃσκόντων.

100. ἀλλ' ἄγ' οἰστευσον Μενελάου] πῶς οὐ μᾶλλον Ἀγαμέμνονα B= τοξεύει μὴ καθωπλισμένον ἤ τινα τῶν ἀρίστων, ἀλλὰ τὸν ἐντεθωρακισμένον; δῆλον οὖν ὡς ἀποτριψόμενος τὴν κατηγορίαν τῆς ἐπιορκίας, ἵνα δοκῇ οὐ Πάνδαρος Ἀλέξανδρος δὲ εἶναι ὁ ἐκ λόχου τὸν Μενέλαον τοξεύσας.

οἰστευσον Μενελάου] ὡς "ἐξέρρηξεν ὀδοῖο" (Il. 23. 421) καὶ "κατεάγῃ τῆς κεφαλῆς" (Ar. Vesp. 1428).

101. Λυκηγενέι] ἐν Λυκίᾳ γενομένῳ· ἀψευδέστατον γάρ ἐστιν AB– ἱερὸν Ἀπόλλωνος ἐν Λυκίᾳ. ἢ ὅτι λύκος ἡγήσατο ⟨μετὰ⟩ τὰς ὠδῖνας Λητοῖ ὥστε καθαρθῆναι εἰς τὸν Ξάνθον· φρονήματος δὲ αὐτὸν πληροῖ πολίτην ὑποτιθέμενος αὐτοῦ τὸν θεόν.

γενεὰ σημειοῖ ζ'· ἡλικίαν, ὡς τὸ "ὁπλότερος γενεῇφιν" (Il. 9. 58)·

1. schol. cum praecedenti coniunctum ‖ 3. ὑποτελεία post ἰόν suppl. Friedl. ‖ 4. ἐπιπροέμεν ‖ 8. τῷ B: τὸ ‖ καί σφι ‖ 12. χαρίσεται ‖ 22. π. μὴ μ. ‖ 24. ἀποτριβόμενος ut B ‖ 25. ὡς ante οὐ omisi

εὐγένειαν, "γενεῇ μὲν ὑπέρτερος" (Il. 11. 786)· ἐκγόνους, "ὄφρα μὴ ἄσπερμος γενεή" (Il. 20. 303)· πατρίδα, "γενεὴ δέ τοι ἐστ' ἐπὶ λίμνῃ" (ib. 390)· χρόνον ὡρισμένον, "δύο μὲν γενεαί" (Il. 1. 250)· λγ' ἔτη ἀνθρώπου, "ἐννέα γὰρ ζώει γενεάς" (Hes. fr. 222 M.)· τὴν φύσιν, "οἵη περ φύλλων γενεή" (Il. 6. 146). καὶ ὁ ἐνιαυτὸς παρὰ τοῖς νεωτέροις.

B= 102. ἀρνῶν πρωτογόνων] καὶ πῶς ὁ Χρύσης "ταύρων ἠδ' αἰγῶν" θυσίαν ὑπισχνεῖται (Il. 1. 41); ἐροῦμεν, ὅτι τὰ ἀπόρρητα τοῦ θεοῦ σαφῶς ἐπιστάμενος τὰ τῷ θεῷ φίλα θύει· θυσίαις γὰρ ταύρων καὶ αἰγῶν Ἀπόλλων ἥδεται. ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα τούτων· Πάνδαρος δὲ ὑπὸ τῆς Ἀθηνᾶς πειθόμενος τοξεῦσαι οὐκ αἶγας ἢ ταύρους ὑπισχνεῖται, ἀλλὰ πρωτογόνους ἄρνας· ἀποτυχεῖν
B= γὰρ αὐτὸν ἡ Ἀθηνᾶ τῆς καιρίας πληγῆς ἐβούλετο. §. "πρωτογόνων" δὲ νέων—ἀεὶ γὰρ νεάζει τὸ θεῖον—ἢ πρωτευόντων ἐν γονῇ ἢ ἠριτόκων· πρῶτον γὰρ πάσης ὥρας τὸ ἔαρ.

A+B= 103. ἱερῆς εἰς ἄστυ Ζελείης] τοῦτο πρὸς τὸ ἐπᾶραι Πάνδαρον· ἢ ἐπεὶ χρηστήριόν ἐστι τοῦ θεοῦ ἐκεῖ.

B= 104. φρένας ἄφρονι] ὅτι θεοὺς ἐκάλει εἰς τὴν κατὰ θεῶν πρᾶξιν. διδάσκει δὲ μηδὲ θεῷ παρὰ ⟨τὸ δέον⟩ συμβουλεύοντι πείθεσθαι.

B= 105. ἐσύλα τόξον] ὅτι ἡσυχῇ μέλλει κλέπτειν τὴν πρᾶξιν ἢ θεῶν πίστιν λύειν ὡς ἱερόσυλος.

ἰξάλου αἰγός] ὁ τρόπος μετατύπωσις, ὡς "πόλιν ἄκρην" (Il. 22. 383).

A+B– ἰξάλου αἰγός] ὄνομα ἡλικίας· ἢ τὸν ἐπὶ ἄλας ἱκνούμενον—ψωριᾷ γὰρ μετὰ χειμῶνα—ἢ ἀφηγούμενον ἄλλων ἢ τὸν εἰς τὰς ἰξύας ἐρχόμενον, ὅ ἐστι κήλωνα, ἢ τὸν τομίαν—οἱ γὰρ τέλειοι διωκόμενοι ἐκτρίβονται τοὺς ὄρχεις—ἢ τὸν εἰς πᾶν ὕψος ἱκέσθαι δυνάμενον· ὅθεν καὶ ἡ αἰγίλιψ πέτρα.

A~B= 106. ὅν ῥα ποτ' αὐτὸς—τυχήσας] προκατασκευάζει τὴν εὐστοχίαν τοῦ ἀνδρός.

τυχήσας] παρὰ τὸ τύχη τυχῶ· ἀτριβὴς δὲ ὁ σχηματισμὸς τῆς μετοχῆς· οὐδὲ γὰρ παρὰ τὸ λαβών ⟨ἂν⟩ εἴποι τις λαβήσας. §. οὐκ οἶδεν Ὅμηρος ὄνομα τῆς τύχης.

107. *πέτρης ἐκβαίνοντα] γραφικῶς πάλιν ἡμῖν ὁ τόπος ἠκρίβωται.

1. ὄφρα ἂν ἅ. ‖ 4. ζῶσιν γ. ‖ 5. φῦλον ‖ 8. ὡς ante ὅτι omisi ut B ‖ 15. ἠρικότων ‖ 18. ὅτι B: ὃς ‖ 19. μήτε ‖ supplevi ex B ‖ 24. χειμῶνα Eust.: λοιμὸν ‖ 26. ἐντρίβονται: corr. W

προδοκῆσι] τόποις προβλήματα ἔχουσιν· οἳ δὲ ταῖς ἐνέδραις παρὰ Β–
τὸ προσδέχεσθαι.

108. ὃ δ' ὕπτιος ἔμπεσε] ἐναργῶς ἐδήλωσε τὸν ὑπὸ καιρίας Β=
πληγῆς ὑπτιασθέντα.

109. κέρα] ἀποκοπὴ τοῦ κέρατα· Ἡρωδιανὸς συναλοιφὴν τοῦ Α= Β–
κέραα. τὸ δὲ χρέεα χρέα συγκοπή.

τοῦ κέρα ἐκ κεφαλῆς] καὶ ποῦ ἐστι κέρας δύο ἥμισυ πήχεων; ἀλλ' Α Β=
οὐκ ἐπὶ ἑκατέρου φησίν, ἀλλ' ἀμφοτέρων. §. Ἀλέξανδρος δέ φησιν ἐν Α=
Δήλῳ κεῖσθαι κέρατα ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, κριοῦ μὲν δίπηχυ
καὶ δακτύλων ὀκτώ, σταθμούμενα δὲ μνῶν εἴκοσι ἥμισυ, τράγου δὲ
πηχῶν δύο καὶ σπιθαμῆς καὶ σταθμοῦ ἴσου.

110. καὶ τὰ μὲν ἀσκήσας—πᾶν δ' εὖ λειήνας] πρὸς τὸ νοητὸν
ἀπὸ πληθυντικοῦ ἑνικόν· "αἳ δ' αὖ πρὸς νότου εἰσὶ—οὐδέ τι τῇ γε"
(Od. 13. 111)· "Εὖμαι', ἦ μάλα δὴ ⟨τάδε δώματα⟩" (Od. 17.
264).

κεραοξόος—τέκτων] "τέκτων" πᾶς τεχνίτης· ὅθεν λιθοτέκτονες καὶ Β–
χρυσοτέκτονες. Πίνδαρος δὲ "τέκτονα νωδυνίας" (Pyth. 3. 6) φησίν.

111. ἐπέθηκε κορώνην] κορώνη πᾶν τὸ ἐπικαμπὲς μεταφορικῶς Β=
ἀπὸ τοῦ ζῴου. §. "ἐπέθηκε" δέ, ἐπάνω ἔθηκεν. Β=

112. * καὶ τὸ μὲν εὖ τανυσάμενος καὶ ἐπαναβιβάσας τῇ κορώνῃ Β=
τὴν νευράν. §. βραχὺ δὲ διασταλτέον εἰς τὸ "τανυσ⟨σ⟩άμενος." Α+ Β=

113. * ἀγκλίνας] ἐπερείσας, ὡς "κλίνας κολλητῇσιν ⟨ἐυξέστῃς Α+ Β–
σανίδεσσιν⟩" (Od. 21. 164).

πρόσθεν δὲ σάκεα] κατάφωρον αὐτὸν μᾶλλον ποιοῦσι τειχίζοντες Β=
τοῖς ὅπλοις. ἀλλὰ ἅμα ἔτεινε καὶ ἀφῆκεν, οὐ πρὸς τὴν τῶν λόγων
διήγησιν.

116. αὐτὰρ ὃ σύλα πῶμα] σημειοῦται ὁ στίχος ὡς ἐνοχλῶν τῇ Β=
τάξει. §. καὶ τὸ "ἀβλῆτα" (117) οὐχ Ὁμηρικόν, ἄμεινόν τε τοῦ Β=
"πτερόεντα" τὸ "πικρὸν ὀιστόν."

117. * ἔρμα] ἔρεισμα· συνέχει γὰρ ἕως ⟨ἂν⟩ ἀφαιρεθῇ τὴν Α+ Β=
ὀδύνην. ὅμοιον δέ ἐστι τῷ "ἔρμα πόληος" (Il. 16. 549).

118. τὸ "αὐτίκ' ἐσύλα τόξον" καὶ τὸ "αἶψα" τὸν ἐπτερωμένον Β=
τοῖς ὠώροις δηλοῦσιν. §. τὸ δὲ "κατεκόσμει" διὰ τὸ ἐπικίνδυνον τῆς Β=

3. βιαίας, cf. B ‖ 5. συναλιφὴν B, συναλιφὴ ‖ 7. schol. cum praecedenti coniunctum ‖ 12. schol. post 19 scriptum omisso signo finali ‖ 17. τεκτονᾶν ὀδύνας ‖ 18. πᾶν τὸ B: παντ' ‖ 22. ἐπερείσας A: ἀπερείσας ‖ 25. οὕτως post καὶ omisi ut B ‖ 26. διήγησιν B: ἀφήγησιν

B= βολῆς. §. ἀμέλει καὶ οἰστὸν ἐπιλέγεται, ὃν μάλιστα εὐστυχήσειν οἴεται. Ὀδυσσεὺς δὲ "ταχέας ἐκχεύατ' ὀιστούς" (Od. 22. 3)· κατὰ γυμνῶν γὰρ ἴησιν, οὐ σκοποῦ δεόμενος.

* πικρόν] μεταφορικῶς ἀπὸ τῶν γευμάτων.

B– 122. γλυφίδας τε λαβών] "γλυφίδας" ἀντὶ ἑνικοῦ. οὕτω γὰρ ἡ χηλὴ καὶ ἐγκοπὴ τοῦ βέλους· ἐπεὶ δὲ πρώτη βέλους ἐστὶν ἄφεσις αὕτη, εἰκότως αὐτὴν ἐπεξεργάζεται· §. "μαζῷ" (123) δὲ τῷ ἀριστερῷ.

B= νόμον δὲ τοξείας γράφει. Σκύθαι δὲ ἐπὶ τῶν ὤμων τείνουσιν· οἷς ἐναντίως Κρῆτες.

B= * Κρῆτες μὲν βοείοις νεύροις, Σκύθαι δὲ ἱππείοις χρῶνται.

* γλυφίδας—νεῦρα] ἀντὶ ἑνικοῦ.

A+ B= 123. * ἀπὸ τῶν παρεπομένων τὴν ἔντασιν δηλοῖ.

A+ B= 124. * κυκλοτερὲς—ἔτεινεν] τείνας ἐκύκλωσεν.

B= 125. ἆλτο ὀιστός] συνέτεμε τὴν λέξιν πρὸς τὸ τάχος τῆς ἀφέσεως.

B= 126. * ὀξυβελής] ὀξέως βάλλων ἢ βληθείς.

B= καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων] ἐπιπεσεῖν τῷ πλήθει θέλων. §.

B= ἐμφαντικῶς δὲ τὴν τοῦ βαλόντος προθυμίαν εἰς τὸ βληθὲν μετήγαγεν, ὡς "λιλαιομένη χροὸς ἆσαι" (Il. 21. 168), "ἀγαλλόμεναι Διὸς οὖρῳ" (Od. 5. 176).

B– ἐπιπτέσθαι] ἀπὸ τοῦ πτῶ τὸ πτέσθαι· καὶ Σοφοκλῆς "πτέσθαι σθένοντες" (Oed. Tyr. 17)· τὸ δὲ "διαπτάσθαι" (Eur. Med. 1)

B– ἀπὸ τοῦ πτῆμι.

127. οὐδὲ σέθεν, Μενέλαε] ἀποστροφὴ ἀπὸ προσώπου εἰς [πρ]όσωπον. προσπέπονθε δὲ Μενελάῳ ὁ ποιητής· διὸ συνεχέστερον αὐτῷ διαλέγεται, ὡς καὶ Πατρόκλῳ, Εὐμαίῳ, Μελανίππῳ (Il. 15. 582). ἀποστροφῆς εἴδη τὸ παρὰ λέξιν, ὡς ὅταν ἐκ μετοχῆς εἰς ῥῆμα μετέλθῃ "ἐξ ὁμόθεν πεφυῶτας· ὃ μὲν—ὃ δέ" (Od. 5. 477)· τὸ παρὰ φράσιν, ὅταν ἀπὸ διηγηματικοῦ εἰς τὸ μιμητικὸν ⟨μετ⟩έλθῃ "ἱππεῦσιν μὲν πρῶτα —ὃς δέ κ' ἀνήρ" (301, 306)· ἢ τὸ ἐναντίον· ἢ ἀπὸ προσώπου εἰς πρόσωπον, ὡς νῦν "οὐδὲ σέθεν, Μενέλαε," ἢ ἀπὸ τόπου εἰς τόπον.

B= λελάθοντο] κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ἐφρόντισαν. ἡ δὲ ἀντίφρασις ἢ κατὰ ἐναντίωσιν, ὡς νῦν, ἢ κατὰ εὐφήμησιν, ἢ παρ'

8. τῶν ὤμων B: τὸν ὦμον ‖ 12. ἔντασιν A: ἔνστασιν ‖ 19. λιλαιόμενα ‖ 27. εἴδη B: ἤδη ‖ περὶ ‖ 28. πεφυότες ‖ περὶ

ὑπόνοιαν, ὡς "χωρίον σκληρὸν μέν, οὐκ ἔχον δὲ ὕλην," δέον εἰπεῖν εὔγειον μέν.

* ἀπὸ κοινοῦ τὸ 'οὐκ ἐλάθετο.' A+

129. * ἤμυνε τὸ βέλος πρὸς τὸ μὴ γενέσθαι αὐτὸ "ἐχεπευκές." B=

130. ὡς ὅτε μήτηρ] ἡ μήτηρ πρὸς τὸ εὔνουν· ἡ μυῖα πρὸς τὸ B= εὐχερῶς μὲν ἀποσοβεῖσθαι, μεταπηδᾶν δὲ εἰς ἕτερον τόπον· ὁ δὲ ὕπνος πρὸς τὸ ἀπαραφύλακτον καὶ τὸ ἀσθενὲς τῆς πληγῆς.

131. * ὅθ'] ὅτε.

132. ὅθι ζωστῆρος ὀχῆες] Αὐτόχθων οὕτως· ἵνα μὴ χαλεπὴ B− γένηται ἡ πληγή, εἰς τοῦτο τὸ μέρος τὸ βέλος ἄγει, καθ' ὃ ἀλλήλοις ἐπιφερόμενα τὰ πτερύγια τοῦ θώρακος ἐσφίγγετο ὑπὸ τοῦ ζωστῆρος. οὗτός ἐστιν ὁ θώραξ ὁ διπλοῦς.

ὅθι ζωστῆρος ὀχῆες] ζωστὴρ ἡ θωρακῖτις ζώνη, ᾗ ζώννυ⟨ν⟩ται τὸν B= θώρακα.

133. καὶ διπλόος ἤντετο θώρηξ] ὑπῆρχε διὰ τὴν συνάντησιν τοῦ A− B= χαλκοῦ θώρακος πρὸς τὸ ζῶμα. Τήλεφος γάρ φησι τὸ ἀπὸ τοῦ αὐχένος ἄχρι ὀμφαλοῦ στατὸν θώρακα καλεῖσθαι, τὸ δὲ ἀπὸ λαγόνων ἄχρι κνημῶν ζῶμα· περὶ δὲ τὸ ἧτρον ἡ μίτρα, ἔσωθεν ἐριώδης περὶ δὲ τὴν ἐπιφάνειαν χαλκῆ οὖσα, πρὸς τὸ μὴ θλίβεσθαι τὴν γαστέρα ὑπὸ τοῦ θώρακος καὶ τοῦ ζώματος. διὸ τὴν συμβολὴν διπλόον θώρακά φησιν. ἄνωθεν δὲ τῆς μίτρας καὶ τῆς συνδέσεως τοῦ ζώματος καὶ τοῦ θώρακος ζώνη ἐπέκειτο συσφίγγουσα τὰ πάντα, ἣν ζωστῆρα καλεῖ.

καὶ διπλόος ἤντετο θώρηξ] Αὐτόχθων οὕτως· τὰ πρὸς ταῖς λαγόσι A B− μέρη τοῦ θώρακος διὰ τὸ μὴ συνδεδέσθαι ἀλλήλοις πτερύγα καλεῖται· ταῦτα ἐπιτιθέμενα ἀλλήλοις καὶ σφιγγόμενα ὑπὸ τοῦ ζωστῆρος διπλοῦν τὸν θώρακα ἐκεῖσε ἀπεργάζονται. ἔστιν οὖν ἐν μὲν τῷ χρωτὶ ἡ μίτρα, μεθ' ἣν τὸ ζῶμα τὸ ἀπὸ κνημῶν ἀνιὸν ἄχρι λαγόνων, μεθ' ὃ ὁ θώραξ, ὡς εἴρηται, περὶ τὰς λαγόνας διπλούμενος, ἄνωθεν δὲ ὁ ζωστήρ.

136. καὶ διὰ θώρηκος πολυδαιδάλου] ἐσίγησε τὸ ζῶμα, ἐν δὲ ⟨τοῖς⟩ B= ἑξῆς (186) ἐναντίον "εἰρύσατο ζωστήρ τε παναίολος ἠδ' ὑπένερθε ζῶμά τε καὶ μίτρη."

137. * ἔρυμα] Ζηνόδοτος καὶ Ἀριστοφάνης "ἔλυμα." A+

138. ᾗ οἱ πλεῖστον ἔρυτο] διὰ τί μᾶλλον αὕτη τοῦ θώρακος B=

27. ἔστιν B : διὰ

συνεργεῖ πρὸς ἀσφάλειαν; ὅτι δυσπαθέστερα τῶν ἀντιτυπούντων τὰ ὑπείκοντα.

A+ B= 139. * ἀκρότατον] ἀντὶ τοῦ ἄκρου· χρὼς γάρ ἐστιν ἡ ψιλὴ τοῦ σώματος ἐπιφάνεια.

B= 140. αὐτίκα δ' ἔρρεεν αἷμα] ἴσως φλὲψ ἣν λυθεῖσα· καὶ διὰ μὲν τοῦ κελαινοῦ τὴν χροιάν, διὰ δὲ τοῦ νέφους τὴν σύστασιν· "νέφος εἵπετο πεζῶν" (274). ἐπεξεργάζεται δὲ τὴν πληγήν, ὅπως τὴν Ἀγαμέμνονος ὑποφήνῃ διάθεσιν.

A+ B− ἐξ ὠτειλῆς] οὕτω τὴν ἀπὸ δόρατος μόνην πληγὴν καλεῖ, εἰ μὴ ἄρα τῷ γενικωτέρῳ χρῆται, ὡς τὸ "ἀλλ' οὐ γάρ σε θέλω βαλέειν" (Il. 7. 242).

A+ * ὠτειλῆς] νῦν ἡ ἀπὸ βέλους.

B= 141. ὡς δ' ὅτε τίς τ' ἐλέφαντα] ὄψιν ἡμῖν γραφικὴν παρέστησεν. θαυμάζεται δὲ παρὰ Λάκωσι λευκὸς χρὼς καὶ ξανθὴ κόμη· διὰ τοῦτο καὶ Τρῶες μαλθακὸν αὐτὸν οἴονται· ἐπὶ παντὸς γὰρ ζῴου τὸ μελάγχροόν ἐστιν ἰσχυρότερον.

B= φοίνικι μιήνῃ] φοινικῷ ἄνθει, ὃ ἀπὸ τῆς πρίνου συλλέγουσι

B= Τροιζήνιοι. §. "μιήνῃ" δὲ ἐνώσῃ παρὰ τὴν μίαν, ἢ βάψῃ· μιάμματα γὰρ τὰ βάμματα.

B= 142. * Μῃονίς] ἔχει τὸ ῑ̄ ἀπὸ τοῦ Μαιονίς.

A+ * Κάειρα] τινὲς ⟨ἐκ τοῦ Καῖρα Κάιρα⟩ διῃρῆσθαι, οἱ δὲ ⟨ὡς⟩ ἀπὸ τοῦ φαίνω φαείνω· καὶ ὁ λόγος δὲ τὴν δίφθογγον ἀπαιτεῖ.

παρήιον ἔμμεναι] τὴν γνάθον γὰρ παρηίδα φησίν. §. τὸ δὲ

A+ "ἵππων" ἀντὶ ἑνικοῦ· οἱ δὲ "ἵππῳ" δυϊκῶς.

B− 143. κεῖται δ' ⟨ἐν⟩ θαλάμῳ] θάλαμος ὁ οἶκος· πρὶν γὰρ ὅτε δὴ θάλαμος ἡ ἀποθήκη· "ὅθι νητὸς χρυσός" (Od. 2. 338)· ὁ κοιτών· "Τηλέμαχος δ' ὅθι οἱ θάλαμος" (Od. 1. 425)· ὅθεν "θαλαμηπόλος" (Od. 7. 8).

B= * πολέες τέ μιν ἠρήσαντο] πολλοὶ μὲν οἱ ἐπιθυμοῦντες, βασιλεὺς δὲ ἐπέτυχεν.

B= 145. * ἀμφότερον] ἐπίρ⟨ρ⟩ημα· οὐ γάρ ἐστιν ἑνικὸν τοῦ ἀμφότεροι.

B= ἐλατῆρι δὲ κῦδος] μεγαλοπρεπέστερον γὰρ ἀποφαίνει τὸν ὀχούμενον.

3. τ. ἁπλοῦ, cf. A ‖ 17. ὀν ‖ πρόνου ‖ 18. τροινίοι ‖ ἑνώσει ‖ βάψει ‖ 20. τοῦ μαόνες ‖ 21. suppl. W ex A ‖ 22. φαίνω φαῖνω ‖ δεῖ ‖ 23. παρηιάδα: corr. W ‖ 27. δ' ἠιόθι ‖ 31. ἑνικοῦ τοῦ ἀμφότερον

146. τοῖοί τοι, Μενέλαε] ἀντὶ τοῦ τοῖον. §. περιπαθῶς δὲ ἐπιμένει τῇ ἀποστροφῇ ὁ ποιητής. B= B=

147. Νικάνωρ τὸ "εὐφυέες" τῷ "μηροί" προσάπτει, οἱ δὲ ὑπομνηματισταὶ τῷ "κνῆμαι." καὶ Πείσανδρος "ξανθοκόμης μέγας ἦν, γλαυκόμματος, ἄρτι παρειὰ λοχμάζων εὔκνημος." AB−

148. ῥίγησεν δ' ἄρ' ἔπειτα] ⟨δείκνυσι⟩ τοῦ μὲν τὸ φιλάδελφον, εἰ ⟨πρὸ⟩ τοῦ τετρωμένου αἴσθεται, τοῦ δὲ τὸ καρτερικόν· ἐπίσης δὲ ἄμφω ἀσχάλ⟨λ⟩ουσιν, ὃ μὲν τοῦ ἀδελφοῦ, ὃ δὲ τοῦ πλήθους χάριν. B=

149. ὡς εἶδεν μέλαν αἷμα] τὸ μὲν γὰρ ἐξ ἐπιπολῆς κατ' ἀρχὰς φερόμενον πυ⟨ρ⟩ρόν ἐστι, τὸ δὲ ἐκ βάθους μέλαν· ἢ διὰ τὸ παγῆναι. B−

* εἶδεν] ἀντὶ τοῦ ᾔσθετο· πῶς γὰρ ἑώρα τὸ ἐμπεπηγὸς τῇ παντευχίᾳ; B=

150. * ῥίγησεν δὲ καὶ αὐτός] κοινῇ λέξει χρησάμενος ἐπ' ἀμφοῖν τὸ ἴσον δέους ὑπέφηνεν. B=

152. * ἐνὶ στήθεσσι] φαίνεται τὸ ἡγεμονικὸν περὶ τὰ στήθη εἰδώς· ἐκεῖ γοῦν ἀθροισθῆναι τὸν λογισμόν φησιν. B=

153. * βαρὺ στενάχων] ἠθικὸν καὶ περιπαθές· ηὔξηται δὲ τὸ "βαρύ" ⟨τῷ⟩ "οἷον προστήσας" (156). B=

154. χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ' ἑταῖροι] ἄφελε τὸν στίχον, καὶ οὐ βλάψεις τὴν σαφήνειαν, ἀπολέσεις δὲ τὴν ἐνάργειαν, ἥτις ἐμφαίνει τὴν Ἀγαμέμνονος συμπάθειαν καὶ τὴν τῶν συναχθομένων ἑταίρων διάθεσιν. B=

155. φίλε κασίγνητε] περιπαθῶς αὐτῷ διαλέγεται. B+

156. οἷον προστήσας] μεταφορικῶς ἀπὸ τῶν θυμάτων ἅπερ προϊστῶσι τῶν βωμῶν, ὡς καὶ παρὰ Νέστορι "προὔχοντο ἑκάστοθι —ταύρους" (Od. 3. 8). B−

* πρὸ Ἀχαιῶν] οἶκτον ἅμα καὶ σπουδὴν κινεῖ τοῖς Ἀχαιοῖς. B=

157. ὣς σ' ἔβαλον Τρῶες] μετ' ἀγανακτήσεως εἴρηται· διὸ καὶ ἀπὸ ἄλλης ἀρχῆς ἐστιν. συνασχά⟨λ⟩λων δὲ τῇ πληγῇ οὐ παραμυθεῖται. B=

ὣς σ' ἔβαλον Τρῶες] ὡς κοινῇ παρασπονδησάντων αὐτῶν, καὶ λόγῳ μὲν τὸ μονομάχιον, ἔργῳ δὲ τὸν δόλον σοφισαμένων. B=

158. οὐ μέν πως ἄλιον] γενναίου στρατηγοῦ τὸ μὴ συμπεπτω- A+ B=

1. Μενέλαον ‖ 3. schol. cum praecedenti coniunctum ‖ 4. μ. ἢ γλ. ‖ 5. παρειὰν λαχνάζων coni. Haupt op. 3. 567, παρειὰν Meineke ‖ 6, 7. supplevi ex B ‖ 16. εἶδος ‖ 28. ὥστ' ἔ. ‖ 31. ἔβαλλον ‖ π. τῶν αὐτῶν

κέναι τοῖς καιροῖς, ἀνέχειν δὲ εἰς θεοὺς τὴν ἐλπίδα, ἄλλως τε καὶ ἐπὶ πολεμίων λαλεῖ.

B= 159. καὶ δεξιαί] "δεξιαί" ἴσως ἐγένοντο κατὰ τὸ σιωπώμενον. ἢ ⟨διὰ⟩ τὸ δέξασθαι τὰς τρίχας.

B= 161. * τελεῖ] ἀντὶ τοῦ τελέσει.

B– σύν τε μεγάλῳ ἀπέτισαν] λείπει 'κακῷ·' παρὰ τὸ "μεγάλων ἄτερ ἰσώσασθαι" (Arat. Phaen. 658).

B= 162. σὺν σφῇσιν κεφαλῇσι] εὐσεβὲς τὸ δι' ἑαυτῶν καὶ τῶν φιλτάτων προσδοκᾶν τὴν τίσιν· ἀπὸ μέρους δὲ αὐτοὺς ⟨δηλοῖ⟩.

163. εὖ γὰρ—τόδε οἶδα] τελεία· ἀσύνδετος γὰρ ὁ λόγος.

B= 164. ἔσσεται ἦμαρ] τούτοις προτρέπεται πολεμεῖν τοὺς ἀκούοντας.

B= ὅταν ποτ' ὀλώλῃ] ἀπόληται, οὐχ ὑπ' αὐτοῦ πάντως, ἀλλ' ὑφ' ἑτέρων· φησὶ γοῦν "καί κεν ἐλέγχιστος πολυδίψιον" (171). §. τὸ δὲ "ὀλώλῃ" ὑποτακτικὸς παρακείμενος χρόνος.

B= 167. αὐτὸς ἐπισσείῃσιν] ἀντὶ τοῦ μέλλοντος τοῦ ἐπισείσει.

B= ἐρεμνὴν αἰγίδα] σκοτοποιόν· φησὶ γοῦν "Ἴδην δὲ κατὰ νεφέε⟨σ⟩σι κάλυψεν" (Il. 17. 594).

B= 169. ἀλλά μοι αἰνὸν ἄχος] ἠθικῶς οὐκ εἶναί φησιν ὄφελος ἑαυτῷ, εἰ οὗτος μὲν ἀπολεῖται, ὕστερον δὲ Τρῶες δίκας τίσουσιν· περιπαθῶς δὲ τοὔνομα πάλιν ἀνακαλεῖται τοῦ Μενελάου.

B= 171. καί κεν ἐλέγχιστος] διὰ τί; ὅτι Ἕλληνες μὲν ἄπρακτοι ἐπανελεύσονται, Τρῶες δὲ κερτομήσουσι τὸν Ἀγαμέμνονα, Μενέλαος ἐπὶ ξένης σαπήσεται, ἀτελὴς ἡ μάχη μενεῖ. τεχνικῶς δὲ δι' ὧν ἀπολοφύρεται, ὡς καταλειφθησόμενος ὑπὸ τῶν συμμάχων, εἰ ὁ Μενέλαος ἀποθάνοι, κατέχειν αὐτοὺς πειρᾶται, ⟨καὶ⟩ μὴ τεθνηκότος τοῦ Μενελάου.

B– πολυδίψιον] πλεονασμῷ τοῦ δ, ὡς "ἐνδίεσαν" (Il. 18. 584).

A + B– §. "πολυδίψιον" πολυπόθητον ἀπὸ τῆς δίψης, ἢ πολυβλαβὲς διὰ

B= τὴν ἧτταν.

B= 173. κἀδ δέ κεν εὐχωλήν] κινητικὸν ἡ τῶν ἐχθρῶν εὐημερία.

176. ὑπερηνορεόντων] ὑπερηφανο⟨ύ⟩των· ἡ γὰρ ὑπὲρ ἄνδρα δύ-

B= ναμις ὑβριστὰς ποιεῖ.

177. τύμβῳ ἐπιθρῴσκων] ὅσον ἐφ' ἑαυτῷ βαρεῖαν αὐτὴν τῷ

9. αὐτοὺς B : ἑαυτοὺς ‖ 20. τίσωσιν ‖ 34. ἀὐτὴν τῶν νεκροποιῶν εἶγε

νεκρῷ ποιῶν, εἴγε ἡμεῖς κούφην αὐτὴν αὐτοῖς εὐχόμεθα εἶναι. παρατέταται δὲ τὸ πάθος, ἐπὶ ζῶντι καὶ παρόντι λεγόμενον.

178. αἴθ' οὕτως ἐπὶ πᾶσι] χρήσιμον ἀνεστραμμένης τύχης ὑπόδειγμα. AB=

5 * τελέσει] ἀντὶ τοῦ τελέσειεν εὐκτικῶς.

179. * ἅλιον] ἁλίως.

181. σὺν κεινῇσιν νηυσί] κεναῖς τῶν συστρατευομένων ἢ τῶν λαφύρων ἢ τῶν ἡρπασμένων· ἢ περιπαθῶς κενὰς αὐτὰς καλεῖ, ἐν αἷς ὁ Μενέλαος οὐ πλεῖ. A – B=

10 λιπὼν ἀγαθὸν Μενέλαον] ἢ κατ' εἰρωνείαν, ὡς ἀπὸ τῶν Τρώων, ἢ ὡσεὶ πατέρα τις θάψας λέγοι 'ἀγαθὸν πατέρα ἀπώλεσα·' οὐ τοσοῦτον γὰρ τὰ τοῦ γένους ὅσον τὰ τῶν τρόπων ἀγαπητά. B=

182. εὐρεῖα χθών] ἀντὶ τοῦ εὐρέως, ὡς τὸ "λῦσεν ⟨δ'⟩ ἀγορὴν αἰψηρήν" (Od. 2. 257) καὶ "ταχέες δ' ἵπποι ἄγερθεν" (Π. 23. 15 287). B –

183. τὸν δ' ἐπιθαρσύνων] τοιοῦτός ἐστιν, ὡσεὶ νοσῶν υἱὸς παρεμυθοῖτο γονεῖς. ἄτοπος δὲ ⟨ἂν⟩ ἦν μαλθακευόμενος Μενέλαος, ἐκείνων οἰκειουμένων τὴν αἰτίαν τοῦ θανάτου αὐτοῦ. B=

184. * μηδέ τι πω] οὐ 'πού.' A+

20 μηδέ τι πω δειδίσσεο] ⟨μὴ⟩ εἰς φυγὴν παρακάλει τὸν λαὸν διὰ τοῦ ἐμοῦ θανάτου. B=

185. οὐκ ἐν καιρίῳ] τῷ κούφῳ τῆς πληγῆς ἐπικουφίζει τὴν λύπην τοῦ ἀδελφοῦ. B=

187. ζῶμά τε] τοῦτο προσῆπται τῷ θώρακι· καὶ "ζῶμα φαεινόν" (Od. 14. 482) διὰ τὸν χαλκόν. A+

25 καὶ μίτρη] ἡ μίτρα ἔσωθεν ἐριώδης ἐστὶ περὶ τὴν ἐπιφάνειαν χαλκῆ ὑπάρχουσα. AB=

189. αἲ γὰρ δὴ οὕτως εἴη] εἰκότως θαρσυνθεὶς οὐ μηκύνει τὸν λόγον. §. οὐδέποτε δὲ παρὰ τῷ ποιητῇ τὸ εἰ ἀντὶ τοῦ εἰ γάρ. B=

30 190. ⟨ἐπι⟩μάσσεται] μῶ μαίω μάω ὡς νῶ ναίω νάω, ἀφ' οὗ καὶ ὁ μαστὸς καὶ ἡ μάσταξ.

191. φάρμακα] τὰ φέροντα ἄκεσιν. εἴρηται δὲ ἀπὸ τῶν ἀνθῶν· AB=

1. αὐτοῖς ‖ 2. λεγόμενα ‖ 3. αἱ δ' ‖ ἀνεστρεμένης ‖ περιόδου pro τύχης A ‖ 13. iteratur *εὐρεῖα] ἀντὶ τοῦ εὐρέως ‖ 17. ἄτοπον ‖ μαλθακευόμενον ‖ 24. προσῆπτε ‖ 27. ὑπάρχει ‖ 29. αἱ ἀ. τ. εἰ :—: corr. W

καὶ τὰ βαφεῖα φαρμακῶνας ἐκάλουν, καὶ τὸ ἐκ τῆς βαφῆς στομοῦν φαρμάσσειν φησίν (Od. 9. 393).

B– 192. θεῖον κήρυκα] ἐπεὶ Διός εἰσιν ἄγγελοι· ἢ ὅτι ἐκ τοῦ Ἑρμοῦ κατάγεται τὸ γένος τῶν Κηρύκων.

B= 193. ὅττι τάχιστα] ποιητικόν, ὅσον τάχος Ἀττικοί, ὡς τάχος ἡ συνήθεια.

B= Μαχάονα] οὐ μεταπέμπεται ἄμφω, ὅτι ὁ μὲν περὶ ⟨τὰ⟩ τραύματα ἦν, ὁ δὲ περὶ τὰ ἄλλα νοσήματα.

B= 194. φῶτ' Ἀσκληπιοῦ υἱόν] οὐ περιττὸς ὁ στίχος, ἐλπίδα ὑποκαίων τῆς σωτηρίας Μενελάῳ ὡς ἀγαθοῦ ἰατροῦ τυγχάνειν μέλλοντι.

B= 195. ὄφρα ἴδῃ Μενέλαον] θορυβούμενος πέρα τοῦ δέοντος φέρεται· οὐ περιττὸς οὖν ὁ στίχος τὸ "ὅν τις ὀιστεύσας," μιμούμενος τὸ ἦθος τῶν τεταραγμένων.

196. τόξων εὖ εἰδώς] ἀντὶ τοῦ εἰδήμων.

198. * οὐδ'—ἀπίθησεν] ἀντὶ τοῦ ἠθέλησεν.

B= 199. βῆ δ' ἰέναι] τὸ "βῆ δὲ θέειν" ἀνοίκειον τῷ παπταίνοντι· οὐδὲ τὴν ἔφοδον δὲ αὐτοῦ ἐσιώπησεν.

AB= 200. παπταίνων] ⟨ὄπτω⟩ πέτω πτῶ πταίω παπταίνω. §. παντα-

B= χόσε ῥίπτων τοὺς ὀφθαλμούς.

A+ 205. * ἴδῃ] ἄνευ τοῦ σ̄.

B= 207. Τρώων ἢ Λυκίων] "Τρώων" πρὸς σύστασιν τῆς μάχης, "Λυκίων" ὡς ἀρίστων συμμάχων.

B= τῷ μὲν κλέος, ἄμμι δὲ πένθος] οὐ διακόνου ὁ λόγος, φίλου δὲ καὶ συμπαθοῦς· τὴν ἀπὸ παντὸς γὰρ προσώπου εὔνοιαν εἰς Μενέλαον συνίστησιν ὁ ποιητής. τοὐναντίον δὲ ἐπὶ Ἀλεξάνδρῳ.

B= 208. τῷ δ' ἄρα θυμόν] περιεῖλεν αὐτοῦ τοὺς λόγους διὰ τὴν σπουδήν.

211. * βλήμενος] ἀπὸ τοῦ ἐβλήμην.

B= ἀγηγέραθ' ὅσσοι ἄριστοι] ταῦτα τὰ δύο ἔπη τὰ μὲν πράγματα οὐ λυπεῖ περιγραφόμενα, ἀπόλ⟨λ⟩υσι δὲ τὴν ἔμφασιν· ἐμφαντικὸν γὰρ τὸ τοὺς φίλους ἀγωνιῶντας περιεστάναι.

AB+ 212. κύκλος] οὕτως Ἀρίσταρχος· καὶ λείπει τὸ ὡς. Ἡρωδιανὸς δὲ "κυκλοσε.

8. ἦν B: εἶχεν ‖ 12. ὄφρ' ‖ 15. δ' εὖ ‖ 19. supplevi ex B

ἰσάδεις φῶς] διὰ τὸν ἀφηγοῦ [illegible] τὸν τοῦ Διὸς υἱὸν τὸν τοῦ Ζηνὸς αὐτὸν (δε)δάμασσε δ' ἀφηγοῦ.

213. αὐτίκα δ' ἐς ζαθέην] κοινὸς παρεμβολισμὸς ἀπὸ ἱστορίας τοῦ ἔργου φησίν.

214. ⟨τὸν δ' ἐξελάσασκε⟩ πολλὰ ἐνὶ ζώνῃ ἴκελα] πολλὰ ἐνὶ A- B=
εἰς τοιοῦτον ἀποκαθάρσιον. ὁ δὲ τοιοῦτος ἐς τὸ πολλὰ ἱκανὸς
ἐστὶν εἰς τοιοῦτον ἐλαττωθῆναι καὶ ἐς τοιοῦτον ἀποκαθαρθῆναι ἢ τῇ
ἐμπλοκῇ ἐκλείπουσα. πολλὰ δὲ τοῦτο τοιοῦτον ἐστὶ πολύτιτα.

217. κακὸς ὀστὸς] τὸ ἀπὸ κακοῦ καὶ ὀστοῦ ἢ ἀπὸ τῆς ὀδύνης B=
αἴτιον μετήγαγεν.

218. αἶψα ἑκαστέρωσε] τὸ μὴ κοινὸν ἐπὶ ἐκείνου καὶ τοῦ B=
ἀπειλήσαντος.

ἤτοι φάρμακα] τοὺς φαρμακοὺς λέγει ἐκείνους, οἷς ἐπὶ AB=
Μενελάου χριστὰ "οἷσι χριστὰ χείλεσιν" (Od. 1. 261)
τότμα, οἷς ἐπὶ Ἑλένης (Od. 4. 220). ἢ ἐπὶ τοῦ διὰ τοῦ AB=
εἶδος, ἑξολκήν, οἷς ἐπὶ Μενελάου· ἐκτομήν, οἷς ἐπὶ Εὐρυπύλου (Il. 11.
844)· δυσμόν, οἷς ἐπὶ Διομήδους (Il. 5. 112). τρεῖς B=
φαρμάκων ἰδέας, ἐπίπαστα, οἷς ἐπὶ Μενελάου· χριστά, "οἷσι χριστὰ"
(Od. 1. 262)· τότμα, οἷς ἐπὶ Ἑλένης (Od. 4. 220). ἢ ἐπὶ τοῦ διὰ τοῦ
ἑξολκήν, ἐκτομήν, δυσμόν, οἷς ἐπὶ Διομήδους (Il. 5. 112). τρεῖς
φαρμάκων ἰδέας, ἐπίπαστα, οἷς ἐπὶ Μενελάου· χριστά, "οἷσι χριστὰ"
(Od. 1. 262)· τότμα, οἷς ἐπὶ Ἑλένης (Od. 4. 220). cf. schol. 218 ‖ 7.
καὶ B: ἢ ‖ τοὐπίσσω ‖ 8. κεκλασμένοι ‖ 18. cf. schol. 213 ‖ 26. ἐμπεσεῖν
‖ 29. συνφαίωσε B: συνοικείωσιν

αἱ δὲ τοιαῦται συγκοπαὶ λῆξιν ἔχουσι τὴν παράληξιν τῆς γενικῆς τῆς μετοχῆς. ἀπὸ τῆς δύντος φύντος ἔδυν καὶ ἔφυν.

B= 223. ἔνθ' οὐκ ἂν βρίζοντα] τότε καταπεσὼν τῇ φιλαδελφίᾳ νῦν ἀνοιστρεῖται τῇ προθυμίᾳ, καὶ νῦν πρακτικὸς καὶ τότε συμπαθής· ἐπειδὴ γὰρ τὸ παράδοξον τῆς παραβάσεως εἰς ἀθυμίαν αὐτοὺς ἐκάλει, διεγείρει αὐτούς. προσευκτικὸν δὲ λίαν εἰς Ἀγαμέμνονα τὸν ἀκροατὴν ποιεῖ.

B= ἔνθ' οὐκ ἂν βρίζοντα] ὑπεραποφαντικὸν τοῦτο, ὅ ἐστι καταφατικόν. τὸ δὲ "βρίζοντα" ἀναπαυόμενον ἢ ἡσυχάζοντα· ὁμοίως δὲ καὶ τὸ "οὐκ ἐθέλοντα" ὑπεραποφαντικόν.

B= 226. ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα] τῇ φιλοπονίᾳ τοῦ σώματος δυσωπεῖ τοὺς ὁρῶντας, ὥς που φησὶν "ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα" (Il. 10. 70)· ἐκκόπτει τε πᾶσαν ὑπόνοιαν δειλίας· ἄλλως τε γελοῖος ἦν καὶ ἐπαχθὴς ἀπὸ τῶν ἁρμάτων διαλεγόμενος τοῖς Ἕλλησιν.

A+B− 228. Πειραΐδαο] Πείραιος Πειραιδης, καὶ ἐν διαστάσει τοῦ ῑ Πειραΐδης, ὡς Ἀλκαΐδης.

B= 229. τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν] ἔδει γὰρ ⟨αὐτοῖς τὴν⟩ δύναμιν, εἰς τὴν μέλλουσαν ταμιευόμενος μάχην.

A+ 235. οὐ γὰρ ἐπὶ ψευδέσσι] Ἀρίσταρχος ἐπιθετικῶς ὡς σαφέσι·

B= Ἑρμαπ⟨π⟩ίας προσηγορικόν, ὡς βέλεσι. §. στρατηγικὸς δὲ ὁρᾶται, ὃς τῇ αἰτίᾳ τῆς ἀθυμίας ἐλπίδα νίκης ὑπέγραψεν. ἐν βραχεῖ δὲ προὔτρεψε, δύο προβαλών, θεοῦ βοήθειαν καὶ λαφύρων ἐλπίδα. §. ἡ δὲ "ἐπί" πρὸς τὸ "ἀρωγός."

B= 236. *πρότεροι] καὶ οὗτοι γὰρ παρὰ τοὺς ὅρκους ποιοῦσιν· ἐκεῖνοι δὲ ἦρξαν.

A+ 238. *⟨ἡμεῖς δέ⟩] "ἡμεῖς" ἄνευ τοῦ δέ.

B= 240. οὕστινας αὖ μεθιέντας] εἰκὸς γὰρ ἐνίους ἀγνοεῖν τὸ πραχθέν.

B= 241. χολωτοῖσιν] τοῖς ἀπὸ χολῆς ἢ εἰς χολὴν ἄγουσιν.

A−B= 242. ἰόμωροι] οἱ μὲν ἰῶν φύλακες ἐν πλεονασμῷ τοῦ μ· ἐπονείδιστον δὲ τὸ μόνον τοξεύειν. ἀμέλει εἰδὼς οὐ χρῆται. οἱ δὲ περὶ ἰοὺς

4. νῦν οὖν πρακτικὸς (ὡς): corr. W ‖ 8. schol. cum praecedenti coniunctum ‖ 16. Πειραιῶς Πειραάδης καὶ ‖ 18. supplevi ex B ‖ 19. ταμιευόμενος B: ταμιεύεσθαι ‖ 20. ὡς ἀφέσει ‖ 22. τὴν αἰτίαν ἀθυμίας ἐλπίδα ν. ἐπέγραψεν B, τὴν αἰτίαν ῥαθυμίας ἐλπίδι ν. ὑπέγραψεν: corr. W ‖ 27. δέ A: μέν

πεπονημένοι· ἢ περὶ τὴν μάχην καὶ τὸν πόλεμον ἀναστρεφόμενοι.
§. τετάρακται δὲ τῇ Μενελάου λύπῃ. B=

243. τεθηπότες] εἰκὸς γὰρ ἐπὶ τῷ παραδόξῳ ἐκπεπλῆχθαι B=
αὐτούς.

ἠύτε νεβροί] πρόχειρον γὰρ εἰς φυγὴν ἔλαφος· καμοῦσαι δὲ B=
ἀλλήλαις ἐμπεπληγμέναι ἵστανται "ἠύτε νεβροί·" καὶ τὸ ἀπὸ τῆς
ἡλικίας προσέλαβεν.

* τὸ "νεβροί" διχῶς.

245. * οὐδ' ἄρα τίς σφι] σὺν τῷ σ τὸ "τίς." A+

246. ⟨ἕστητε⟩] ἀντὶ τοῦ ἵστασθε, ὡς "ἐπίδρομον ἔπλετο τεῖχος"
(Il. 6. 434).

247. ἦ μένετε Τρῶας] ἀνδρ⟨ε⟩ίας παρασκευαστικὸν σωτηρίας B=
ἀπόγνωσις.

σχεδὸν ἐλθέμεν] καὶ εἰς τὸ "ἐλθέμεν" καὶ εἰς τὸ "θαλάσσης" AB=
βραχεῖα διαστολή.

249. ὄφρα ἴδητ' αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων] ἐπεὶ B−
ἔλεγεν "οὐ γὰρ ἐπὶ ψεύδεσσι" (235) καὶ "αὐτὸς ἐπι⟨σ⟩σείῃσι"
(167), συμβουλεύει τὸν οἰκεῖον πόνον προσεπεισφέρειν ὑπηρετοῦντας
τῇ τοῦ θυμοῦ βουλήσει· καὶ τὸ τραγικὸν "αὐτός τι νῦν δρᾶ, χοὔτως
δαίμονας κάλει· τῷ γὰρ πονοῦντι χὠ θεὸς συλλαμβάνει" (Eurip. Hipp.
fr. 435 N.). τοῦτο οὖν πρῶτος Ὅμηρος εἶπεν.

251. ἦλθε δ' ἐπὶ Κρήτεσσι] ἀντὶ τοῦ πρὸς Κρῆτας· καὶ "ἐπ' A−B=
ἄνθεσιν" (Il. 2. 89) ἀντὶ τοῦ πρὸς ἄνθη· οὓς δὲ κατέλεξεν ἡ
Ἑλένη (Il. 3. 166), τούτους πάλιν ἡμῖν δηλοῖ· καὶ ὃ παρέλιπεν
ἐκεῖ, τοῦτο ὧδε ἀναπληροῖ.

οὐλαμὸν ⟨ἀνδρῶν⟩] συστρ[αφέντων] ἀπὸ τῆς εἰλήσεως. A~

253. συὶ εἴκελος] διώκειν οὐ δύναται ὡς μεσα[ιπό]λιος· ἢ ὅτι B=
δεύτερον λέοντος ⟨σῦς⟩. Αἴας δὲ καὶ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς
εἰς λέοντος εἰκόνα φέρονται ἀλκιμωτάτου ζῴου.

254. πυμάτας ὤτρυνε φάλαγγας] οὐκ εἶπε συνῆν αὐταῖς, ἀλλ' B=
οἱονεὶ ἔρεισμα αὐτῶν ⟨ἦν⟩. ἦσαν οὖν οἱ μὲν ἐχόμενοι ἔργου, οἱ δὲ
παρασκευαζόμενοι· τὸν πλέονα δὲ πόνον ἀναδέχεται καὶ τὸ τιμιώ-
τερον ἐξίστησι τῷ βασιλεῖ. τινὲς δὲ πύματα τὰ ἀριστερὰ τῆς
παρατάξεως.

1. ἢ οἱ π. ‖ 2. τετ.—λύπῃ post πεπον. scripta ‖ 8. τὸ νεβρὸν ‖ 19. δρῶν
εἶτα δ. Nauck ‖ 20. καὶ θεὸς Nauck ‖ 26, 27. sustulit bibliopega ‖
28. λέοντα ‖ supplevi ex B ‖ 31. οἱονεὶ scripsi: οἷον εἰς

B= 257. *πέρι μέν σε τίω*] τῶν [τιμῶν] αὐτὸν ὑπομνήσας προθυμότερον εἰς τὸ [παρὸν] ποιεῖ.

B= 258. *ἡμὲν ἐνὶ πτολέμῳ*] "πτολέμῳ" τῇ διαιρέσει τῶν λαφύρων.

B= *ἠδ' ἀλλοίῳ ἐπὶ ἔργῳ*] "ἀλλοίῳ" προεδρίᾳ, συμβουλίᾳ· ὅσα δὲ εἶπεν Ἑλένη, ἀνακεφαλαιοῦται, Ἰδομενεὺς "θεὸς ὥς" (Il. 3. 230), Αἴας "ἔρκος Ἀχαιῶν" (ib. 229), Ἀγαμέμνων ἀγαθὸς βασιλεύς (ib. 179), Ὀδυσσεὺς δόλιος (ib. 202).

B= 259. *ἠδ' ἐν δαίῃ*, ⟨*ὅτε περ*⟩], *τίμιον τοῦτο παρὰ τοῖς παλαιοῖς,*

B= *ὡς καὶ ἔτι νῦν παρὰ Κυμαίοις.* §. "γερούσιον" [δὲ] *τὸν τοῖς ἐντίμοις δι[δό]μενον· κατελείπετο γάρ* ⟨*τι*⟩ *τῶν λαφύρων εἰς τὰς κοινὰς εὐωχίας.*

A+ 260. * *κρητῆρσι*] "κρητῆρι" ἐνικῶς.

A+ 262. * *δαιτρόν*] μεριστόν· διαιρετόν.

B= 266. *ἐρίηρος ἑταίρος*] *συντόμως ἄρα καὶ μετρίως· οὐ γὰρ ἀριστεύσειν ὑπισχνεῖται, ἀλλ' οὐκ ἀδικήσειν τὴν ἑταιρίαν.*

270. * *θάνατος καὶ κήδεα*] ἤλλακται ἡ τάξις.

273. *ἦλθε δ' ἐπ' Αἰάντεσσι*] ἀντὶ τοῦ πρὸς Αἴαντας.

B= 274. *νέφος εἵπετο πεζῶν*] τινὲς "νέφος" τὸ ἄτακτον πλῆθός φασιν.

AB= 275. *εἶδεν νέφος αἰπόλος ἀνήρ*] *τὸ πυκνὸν καὶ καταπληκτικὸν τῆς φάλαγγος μιᾷ λέξει περιέλαβεν, εἰκάσας μέλανι καὶ σκυθρωπῷ νέφει. ἀπὸ δὲ τῆς μεταφορᾶς καὶ* ⟨*τὴν*⟩ *εἰκόνα πεποίηκεν.*

B= *αἰπόλος ἀνήρ*] *ὑψίνομοι γὰρ αἶγες καὶ δύσριγοι. καλῶς δὲ ἀπὸ ὕψους ὁρᾷ οὐδενὸς ἐπιπροσθοῦντος τῇ θέᾳ. πελάγιον δὲ νέφος ὄμβρον ἐπάγει. εὖ δὲ καὶ ὑπὸ ζεφύρου ἐλαύνεσθαί φησιν αὐτό· οὗτος γὰρ μάλιστα συνάγει νέφη καὶ δεινὴν χειμῶνος ἀπειλήν, εὖρος δὲ καὶ νότος χειμῶνα παύουσι διαλυομένων εἰς ὄμβρον τῶν νεφῶν· εἰσὶ δὲ Αἴας, στρατός, Τρῶες.*

A+ 277. *ἄνευθεν ἐόντι*] *οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ "ἰόντι," κακῶς.*

A+B− *μελάντερον ἠύτε πίσσα*] *μέλαν ὡς "ἀδινώτερον ἢ τ' οἰωνοί"* (Od. 16. 216)· *ἢ τῶν ἄλλων νεφῶν μελάντερον.*

B= 278. *λαίλαπα*] *τὴν μεθ' ὑετοῦ αὖραν· "ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθών"* (Il. 16. 384).

1, 2, 9, 10. sustulit bibliopega ‖ 22. δύσριγοι B: διώρυγοι ‖ 25. οὗτος B: αὐτός ‖ 28. lemma *ἰὼν κατὰ πόντον* falso adscriptum

279. ὑπό τε σπέος ἤλασε μῆλα] κύουσα γὰρ ὅις, ἐὰν ἔξω ἀκούσῃ AB=
βροντῆς, ἐκτιτρώσκει.

281. πυκιναί] πυκνούμεναι γὰρ καὶ μελαινόμεναι ὁρῶνται. A—B=

282. πεφρικυῖαι] ὠρθωμέναι· καὶ "ἔφριξεν δὲ μάχη" (Il. 13. B=
339). §. βραχὺ δὲ διασταλτέον εἰς τὸ "σάκεσίν τε·" ἐξ αὐτῶν AB=
γὰρ ἦσαν μέλαιναι, ἐκ δὲ τῶν δοράτων ὠρθωμέναι. §. Ἀρίσταρχος A+
δὲ "βεβριθυῖαι·" τὸ δὲ "πεφρικυῖαι" ἐκ τοῦ φρίσσω.

285. Αἴαντ', Ἀργείων ἡγήτορε] τοῦτο προτρεπτικῶς. ἢ πρόμαχοι AB=
καὶ ἡγούμενοι τῶν ἄλλων Ἑλλήνων ἐν ταῖς μάχαις.

286. σφῶι μέν] εἰς τὸ "μέν" διαστολή, εἰς δὲ τὸ "ὀτρυνέμεν" AB=
ἀνυπόκριτος. §. τὸ ἑξῆς· ὑμᾶς μὲν οὔτι κελεύσω μάχεσθαι, οὐ γὰρ B=
ἔοικεν ὀτρυνέμεν ὑμᾶς. καὶ Ἰδομενέα μὲν τῆς τιμῆς ⟨καὶ⟩ τοῦ
γέρως ὑπέμνησε, τοὺς δὲ τῇ φιλοτιμίᾳ προὐτρέψατο. §. τινὲς δὲ τὸ
"σφῶι" ἀντὶ δοτικῆς.

287. * λαόν] τὸν Ἑλληνικόν.

289. τοῖος πᾶσιν θυμός] πᾶσι τοῖς ἡγεμόσιν, ἵνα πρὸς τοὺς ὁμο- B=
τίμους ἡ σύγκρισις ᾖ.

τοῖος πᾶσιν θυμός] ἐπὶ δὲ Νέστορος "τοιοῦτοι δέκα μοι συμ- B=
φράδμονες" (Il. 2. 372)· μᾶλλον οὖν φρόνησιν ἐπαινῶν φαίνεται.

295. Πελάγοντα] Πελάγων Ἀλάστωρ Βίας καὶ ἐν Τρωσίν. B=

296. *Αἱμονά τε κρείοντα] ἄδηλον ποῖον κύριόν ἐστιν.

297. * ἱππῆας μέν] ποῦ ὁ δέ;

ἱππῆας μὲν πρῶτα] οὐ δεόντως, φασί, τὴν πρώτην τάξιν οἱ ἱππεῖς AB—
ἔχουσι, κινδύνου ὄντος, εἰ τροπὴ γένοιτο τῶν ἱππέων, συμπατηθῆναι
τὴν ἀκολουθοῦσαν φάλαγγα· ἀγνοοῦσι δέ, ὅτι οἱ πεζοὶ ὄπισθέν εἰσιν,
ὅπως τῶν ἱππέων ὑποχωρούντων διιστάμενοι δέχωνται αὐτοὺς—ἀλλα-
χοῦ φησι "τί δ' ὀπιπεύεις πολέμοιο γεφύρας;" (371)—καὶ πάλιν
ἑνούμενοι ὡσεὶ τεῖχος δέχωνται τοὺς πολεμίους ἐπιόντας· μεταξὺ
δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλεν. τινὲς δὲ τὸ ἔμπροσθεν καὶ ὄπισθεν
ἐπὶ τοῦ δεξιοῦ καὶ ἀριστεροῦ κέρατος λαμβάνουσιν, τοὺς δὲ κακοὺς
τετάχθαι ἐν μέσῳ, ἵνα καὶ ὑπὸ τούτων καὶ ὑπ' ἐκείνων ἀναγκάζωνται
πολεμεῖν. ἀλλὰ φαίνεται πεζοῖς οὐδὲν ἐπιτάσσων περὶ τοῦ πολέμου·

7. φρίκω ‖ 11. ἀ. εἰς δὲ τὸ ‖ 26. iteratur ad 299 ἔρκος ἔμεν πο-
λίμοιο] ὅπως τῶν ἱππέων ὑποχωρούντων ὡσεὶ τεῖχος δέχοιντο τοὺς ἐπιόντας
οἱ πεζοί ‖ δέχοιντο αὐτοῖς οἱ πεζοὶ ἀ. ‖ 27. φ. πῇ δ' ‖ 28. δέχοιντο ‖
29. ἀνδρῶν

ἄλλως τε οὐκ ἠδύναντο ἕκαστοι κατὰ ἡγεμόνα τοὺς ἱππέας ἔχειν ἐπὶ τοῦ δεξιοῦ κέρως, μιᾶς παρατάξεως ἐξ ὅλων οὔσης καὶ συνεχοῦς.

AB= σὺν ἵπποισιν καὶ ὄχεσφι] βραχὺ διασταλτέον εἰς τὸ "ὄχεσφι·" κοινὸν γὰρ τὸ "στῆσεν."

B= 299. κακοὺς δ' ἐς μέσσον ἔλασσεν] ἵνα μιμοῖντο τοὺς ἔμπροσθεν καὶ ὑπὸ τῶν ὄπισθεν ἐπείγοιντο. ἤτοι δὲ τοὺς πάντων κακοὺς ἢ τοὺς τῶν πεζῶν· οἱ δέ, ὅτι ἐν τοῖς δύο τάγμασι τοὺς κακοὺς ἐμέσασεν.

301. ἵπποισιν μὲν πρῶτα] ἐπειδὴ μεταβαίνει εἰς ἄλλην φάλαγγα, οὐκ ἐπάγει τὸν δέ.

B= 302. σφοὺς ἵππους ἐχέμεν] ἐπὶ τόπῳ τὰς φάλαγγας πολεμεῖν καὶ μὴ διαλύειν τὸ στῖφος. θαυμασίως δὲ τὸ λιποτακτεῖν ἀνεῖλε μηδὲ τοῖς ἀριστεῦσιν ἐάσας τρόπον ἐκτροπῆς· ἴσον γὰρ ἑκάτερος τῇ οἰκείᾳ ἀπουσίᾳ λυμαίνεται τὴν τάξιν.

A~B= 303. μηδέ τις ἱπποσύνῃ τε] ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν ⟨μέτεισιν⟩.

A+B= 306. ἕτερ' ἄρμαθ' ἵκηται] τὰ τῶν πολεμίων. εἰ γὰρ ἐπὶ τῶν ὁμοφύλων, εἶπεν ἂν 'ἄλλα·' πολλαὶ γὰρ αἱ τάξεις.

B= 307. *ἔγχει ὀρεξάσθω] ἐκ τοῦ παρεπομένου· οἱ γὰρ ἀποθνήσκοντες ἐκτείνονται.

B− ἔγχει ὀρεξάσθω, ἐπειὴ πολὺ φέρτερον οὕτως] αἱρετώτερον ὡς πρὸς μεῖζον κακόν. καὶ ἀλλαχοῦ "κακῶν δέ κε φέρτερον εἴη ἓξ ἑτάρους ἐν νηὶ ποθήμεναι" (Od. 12. 109).

B= 308. ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε' ἐπόρθουν] τρία παρείληφε χρήσιμα, διάταξιν, ἀπειλήν, ζῆλον. §. Νικάνωρ δὲ ἀπὸ τοῦ "ὧδε

A+ καὶ οἱ πρότεροι" τοῦ ποιητοῦ φησιν.

B= 310. πάλαι πολέμων εὖ εἰδώς] καὶ πρὸ τῶν Ἰλιακῶν εὐτυχήσας τὴν πεῖραν τῶν πολεμίων.

B= 313. ὦ γέρον, εἴθ' ὡς θυμός] ἁρμόζουσαν τῷ γήρᾳ ποιεῖ τὴν εὐχήν· τιμᾷ οὖν αὐτὸν εὐχῇ.

B= *"θυμός" ἡ προαίρεσις.

A+B− 315. γῆρας—ὁμοίιον] καὶ θάνατος ὁμοίιος (Od. 3. 236) καὶ "νεῖκος ὁμοίιον" (Il. 4. 444) τὸ ὁμοίως πᾶσι χαλεπὸν καὶ κοινῇ ἐπερχόμενον.

316. *κουροτέροισι] τοῖς σου νεωτέροις.

A+B= 319. ὣς ἔμεν, ὡς ὅτε δῖον] Πύλιοι πρὸς Ἀρκάδας ἐπολέμουν περὶ

3. βραχύ om. A ‖ 8. ἐπεὶ μὴ ‖ 15. supplevi ex B ‖ 21. εἴη καὶ ἓξ ἑταίρους ‖ 24. νικᾷ δὲ : corr. W ‖ 27. post πολ. suppl. W ἔλαβεν

ὅρων γῆς· γίνεται δὲ αὐτοῖς συμβολὴ περὶ τὸν Ἀκίδαντα ποταμόν· Ἐρευθαλίωνος δὲ τοῦ Ξανθίππου προτρεπομένου τὸν βουλόμενον Νέστωρ ἀντιστὰς ἐνίκησεν. ὑπὸ δὲ τῆς ἡδονῆς ἐκπεπήδηκε τοῦ περιορισθέντος χωρίου· ὅθεν Ἀρκάδες Ἐρευθαλίωνα μᾶλλον ἔφασαν νικᾶν τὸν μὴ ἐξελθόντα τοῦ τόπου· καὶ συμβαλόντες ἐκ δευτέρου περιγράφουσι χωρίον, καὶ ἀναιρεῖται ὑπὸ Νέστορος· καὶ θάψαντες αὐτὸν ἐπέγραψαν τῷ σήματι "ἐνθάδ' Ἐρευθαλίωνα φίλοι περὶ τύμβον ἔθηκαν, Ἀρκαδίης βασιλῆς, γένος ἔξοχον Ἀμφιδάμαντος, οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο." ἱστορεῖ Ἀρίαιθος.

ὡς ὅτε δῖον Ἐρευθαλίωνα] καὶ φιλόμυθος ὢν ὁ γέρων ἄκρως κατεμέτρησε τὸν καιρόν· ἐξῆς δὲ αὐτὸν πληροῖ. B=

Ἐρευθαλίωνα κατέκτα] μετὰ τοῦ ν̄ ἐκτεταμένως· ἀπὸ γὰρ τοῦ κτῆμι β' ἀόριστος ἔκτην καὶ δωρικῶς ἔκταν. A+ B—

320. * πάντα] λείπει τὸ ἡδέα. B=

321. εἰ τότε κοῦρος ἔα] οὐκ εἶπεν, εἰ τότε ἰσχυρὸς ἦν, νῦν εὔβουλός εἰμι, διὰ τὸ φορτικόν· ἀντὶ δὲ τῶν ἀρετῶν τὰς ἡλικίας ὑπήλλαξεν. §. τὸ δὲ "ἔα" ἀπὸ τοῦ ἦν διῄρηται, ὡς ἦδε ἔαδε ἦλη ἑάλη. B=

322. * ἱππεῦσι μετέσσομαι] οὐ γὰρ δύναται πεζὸς μάχεσθαι διὰ τὸ γῆρας. B=

323. * βουλῇ καὶ μύθοισι] ὑπηρετεῖ γὰρ ὁ λόγος τῇ βουλῇ. B=

τὸ γὰρ γέρας ἐστί] ἐν τούτῳ γὰρ προέχουσιν οἱ γέροντες.

324. * αἰχμὰς δ' αἰχμάσσουσι] ἀπὸ μέρους τὸ πᾶν φησιν. B=

327. Μενεσθῆα πλήξιππον] καὶ "Ἀθηναῖοι μήστωρες ἀυτῆς" (328)· οὐκ ἐπεξεργάζεται δὲ τὸ τακτικὸν τοῦ Μενεσθέως· ἠρκέσθη γὰρ Νέστορι. A=

328. * ἑσταότ'· ἀμφὶ δ' Ἀθηναῖοι] ἀπὸ κοινοῦ τὸ 'ἵσταντο.'

329. * Ἰακῶς τὸ "ἑστήκει." A+

330. * Κεφαλλήνων] ἴσως, ἐπεὶ Κέφαλος ὁ Δηιόνος Ἀθηναῖος ὢν ᾤκισε τὴν Κεφαλ⟨λ⟩ηνίαν, συνετάγησαν αὐτῷ.

οὐκ ἀλαπαδναί] διὰ τοῦ "οὐκ ἀλαπαδναί" ἀπολογία τῆς ἀργίας. B=

331. οὐ γάρ πω σφιν ἀκούετο] ὁ λαὸς γὰρ αὐτῶν οὔπω ἤκουσε τῆς βοῆς· οὐ γὰρ ἠλάλαξαν οἱ Τρῶες, ἵνα μὴ νοηθῶσιν. A~ B=

2. ἱππομέδοντος ἢ ὡς ἔνιοι ἀφείδαντος A Eust. ‖ 5. turbata ut B, cf. A Eust. ‖ 7. τῷ B: ἐν τῷ ‖ ἐρευθαλίωνα φίλοι περὶ B, ἐρευθαλίωνι φίλοις τ' ἐπὶ A recte: ἐρευθαλίωνι φίλοι περὶ ‖ 8. βασιλῆα γένος ἔξοχον ἀμφιδάμαντος B, βασιλῆες γένος ἔξοχον ἱππομέδοντος A, βασιλῆος γ. ἔ. ἱππομέδοντος Eust.: βασιλῆες ἔξοχον γένος ἀμφιδάμαντα ‖ 12. τοῦ ν̄ A: τοῦτο ‖ 13. δωρικῶς scripsi: δυϊκῶς, cf. A ‖ 17. ἦδε ἔαδε ἦλεε ἄλλη: corr. Bekker ‖ 28. ᾤκησε

A+ 333. *Τρώων] χωρὶς τοῦ συνδέσμου.

B= 334. ἔσταναν ὁππότε πύργος] εἴτε διὰ τοῦτο "ἔσταναν," ἵνα οἱ Τρῶες πρότερον κατάρξωσιν, εἴτε, ἵνα τινὲς ἄλλοι τῶν Ἑλλήνων, ἄμφω ἄλογα, καὶ τὸ ὑπὸ τῶν Τρώων προληφθῆναι—οὐ γὰρ μικρὰ καὶ τοῦτο βλάπτει—καὶ τὸ ὑπὸ τῶν οἰκείων· δεῖ γὰρ συντεταγμένους ἅπαντας πολεμεῖν. ἁρμόζει δὲ μᾶλλον τὸ πρότερον, ἵνα οἱ Τρῶες παραβάντες τὰς συνθήκας καὶ τῆς μάχης ἄρξωσιν. ἀλλὰ τούτῳ δοκεῖ ἐναντιοῦσθαι τὸ "νῦν δὲ φίλως χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν ὑμείων προπάροιθε μαχοίατο" (347).

ὁππότε πύργος] ἔν τισι γράφε⟨τα⟩ι "κέν τις Ἀχαιῶν."

A~B= 335. Τρώων ὁρμήσειε] λείπει ἡ κατά, ὡς "ὡρμήθη δ' Ἀκάμαντος" (Π. 14. 488)· θέλουσι δὲ πρὸ ἑαυτῶν ἄλλους Ἕλληνας ἄρξασθαι τῆς μάχης, ἀσυκοφαντήτους ἑαυτοὺς ἐκ παντὸς πρὸς τὸ θεῖον πειρώμενοι σῶσαι· διὸ καὶ δόλιον αὐτὸν (339) καλεῖ ὁ Ἀγαμέμνων, ἐπεὶ οὐ φιλέλλην ἀλλὰ φίλαυτος φωρᾶται· καὶ ὃ μὲν ἕνα πύργον περιμένει (336), ὃ δὲ ὀνειδίζων "δέκα πύργοι Ἀχαιῶν" (347) φησίν.

B= 338. ὦ υἱὲ Πετεῶο] τὸν μὲν τῇ τοῦ πατρὸς ὑπεροχῇ κατῄσχυνεν, τῷ δὲ παρρησιαστικώτερον ὡς καὶ φίλῳ ἐπιφέρεται, τοῖς ἄλλοις δι' αὐτοῦ μείζονα τὴν προτροπὴν ποιῶν.

B= 339. καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε] μέσον γὰρ ὁ δόλος· ἐπὶ δὲ τοῦ ἀμφότερα εἰδότος "εἰδὼς παντοίους τε δόλους καὶ μήδεα

A= πυκνά" (Π. 3. 202). §. τὸ δὲ "κεκασμένε" ἐπὶ κακοῦ, ὡς τὸ "ἑκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε" (Od. 19. 395).

B= 340. καταπτώσσοντες] προτρεπτικὸν ἀνδρείου ἀνδρὸς ψυχῇ τὸ καταπτώσσειν λεγόμενον.

B– τίπτε καταπτώσσοντες] ᾔσθετο γάρ, διὸ ἀνεβάλλοντο· διὸ καὶ δόλιον αὐτὸν καὶ κερδαλεόφρονα καλεῖ. ὀνειδίζει οὖν τῆς μονῆς.

341. σφῶιν—ἐόντας] ἀντὶ τοῦ ἐοῦσιν.

342. μάχης καυστείρης] "ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο" (Π. 13. 673).

A+B– 343. πρώτω γὰρ καὶ δαιτός] οὐ περὶ βρωμάτων, ἀλλὰ περὶ τιμῆς ὁ λόγος. τινὲς τὸ "δαιτός" πρὸς τὸ "ἐμεῖο."

AB– 344. ὁππότε δαῖτα γέρουσιν] ὡς τὸ "γερούσιον αἶθοπα οἶνον"

7. παραβαίνοντες ‖ post ἄρξωσιν omisi λείπει οὖν ⟨εἰς add. B⟩ τὸ "Ἀχαιῶν" ἡ κατά, cf. schol. 335 ‖ 29. κ. ὅσοι μὲν

(259). αἰσχρὸν δὲ τὸ ἐν συμποσίῳ μὲν τοῖς ἀρίστοις καταλέγεσθαι, ἐν δὲ πολέμῳ τοῖς ἐσχάτοις· καὶ ὁ Σαρπηδὼν "τί⟨η⟩ δὴ νῶι τετιμήμε⟨σ⟩θα μάλιστα" (Il. 12. 310).

345. * "φίλα" ἀντὶ τοῦ φίλως.

347. νῦν δὲ φίλως χ' ὁρόῳτε] ἔλυσε τὸ ἔμπροσθεν ἀμφίβολον· B= καὶ οἱ μὲν ἀναμένουσιν, ὁ δὲ ὀνειδίζων φησὶ "τίπτε καταπτώσσοντες" (340).

350. ποῖόν σε ἔπος φύγεν ⟨ἕρκος ὀδόντων⟩] φαντασίαν ἐποίησε τοῦ B= ἀπερισκέπτως ἐξενεχθέντος λόγου· πρὸς φυλακὴν γὰρ τῶν φαύλων τούτους ἡμῖν ἡ φύσις ἐχορήγησεν.

351. πῶς δὴ φῆς πολέμοιο μεθιέμεν] ἠθικὸν καὶ τῶν προγε- B= γονότων ὑπομνηστικόν. §. ἐν δὲ τῷ "μεθιέμεν" τελείαν, ἐν δὲ τῷ A+ B= "Αρηα" ὑποστιγμήν.

ὁππότ' Ἀχαιοὶ Τρωσὶν ἐφ' ἱπποδάμοισιν] ταῦτα ἀπὸ ἄλλης ἀρχῆς.

353. ὄψεαι, ἢν ἐθέλῃσθα] ἐὰν ἀπεχόμενος τῶν ἀγώνων ἐποπτεύειν B= ἡμᾶς θέλῃς.

354. Τηλεμάχοιο φίλον πατέρα] προσυνίστησι τὰ πρόσωπα καὶ A+ B= τὰς διαθέσεις· ἢ ὡς φιλόδοξος καὶ τὸν παῖδα συνίστησιν.

356. τὸν ⟨δ'⟩ ἐπιμειδήσας] τῷ σχήματι καὶ τῷ λόγῳ θεραπεύει B= τὸν Ὀδυσσέα.

357. ὡς γνῶ χωμένοιο] ἀντὶ τοῦ χωόμενον. A+

πάλιν δ' ὅ γε λάζετο μῦθον] εἰς τοὐναντίον μετήγαγε τὸ "καὶ σὺ B= κακοῖσι δόλοισι κεκασμένε" (339).

359. οὔτε σε νεικείω περιώσιον] περισσόν, πλέον τοῦ Μενεσθέως. A+ B=

362. ὄπισθεν ἀρεσσόμεθα] ληψόμεθα εἰς ἄρεσίν τε μετάξομεν. B= τεχνικὸν δὲ τὸ ὁμολογεῖν ὑπὸ τῆς ὀργῆς εἰς τὰ μὴ δέοντα ἐξῆχθαι.

365. εὗρε δὲ Τυδέος υἱὸν—ἑσταότα] ζηλωτὴς γὰρ Ὀδυσσεὺς B= Διομήδους· καὶ πικρότερον δὲ αὐτοῦ ἅπτεται, ἐπεὶ καὶ ἐφ' ἁρμάτων ἵστατο· ὃ συνιεὶς καθήλατο. ηὐτρέπιστο μὲν πρὸς τὴν μάχην, ἀνέμενε δὲ Ὀδυσσέα.

367. * Ἰακῶς τὸ "ἑστήκει." A+

371. τί δ' ὀπιπεύεις πολέμοιο γεφύρας] τὰς διόδους τῶν φα- λάγγων.

11, 12. μεθειέμεν ‖ 15. ἦν κ' ἐ. ‖ 17. τηλεμάχου ‖ 25. λαβόμεθα ‖ 29. καθήλλατο

τί δ' ὀπιπεύεις] τινὲς περιέργως εἰς τὸ "ὀπιπεύεις" στίζουσιν· εἶτα τὸ ἑξῆς "πολέμοιο γεφύρας ⟨οὐ μὲν Τυδέι γ' ὧδε φίλον πτωσκαζέμεν ἦεν⟩."

B= 372. οὐ μὲν Τυδέι γ' ὧδε] τὴν ὕβριν μειοῖ ὁ ἔπαινος τοῦ πατρός· ἡδέα γὰρ τὰ τῶν πατέρων ἐγκώμια λεγόμενα. ξενικωτέρας δὲ διαλέξεις
B= βούλεται εἰσαγαγεῖν. §. ἢ ἐν κεφαλαίοις μὲν εἴρηται, τῇ δὲ ποιήσει ἐπιτέταται.

B= 375. οὐδὲ ἴδον] ἀπὸ κοινοῦ τὸ "πονεύμενον." δῶμεν δὲ τὴν ἀδολεσχίαν τῷ τεταραγμένῳ Ἀγαμέμνονι.

B= 377. ξεῖνος ἅμ' ἀντιθέῳ] ξένος καὶ ὁ δεχόμενος καὶ ὁ δεχθείς· "ξεῖνος γάρ μοι ὅδ' ἐστί" (Od. 8. 208)· πρόξενος ὁ ὑπὸ πόλεως ἠξιωμένος ὥστε ἐν τῇ σφετέρᾳ προΐστασθαι αὐτῆς· ἰδιόξενος, ὡς ὁ Μέντωρ τῷ Τηλεμάχῳ· ἀστόξενος ὁ ἐκ προγόνων ἐπιχώριος, ὡς Ἀτρεὺς Φρυξὶ καὶ Τεῦκρος Τρωσίν· δορύξενος, ὡς Γλαῦκος καὶ
A+ Διομήδης. §. γράφεται δὲ καὶ "κεῖνος."

378. ἱερὰ πρὸς τείχεα Θήβης] διὰ τὸ μουσικῇ γεγενῆσθαι.

380. καὶ ἐπῄνεον ὡς ἐκέλευον] ἀντὶ τοῦ παρεκάλουν· "ἔνθα δ' ἔπειτα, ἄναξ, κέλομαι" (Od. 11. 71).

381. ἀλλὰ Ζεὺς ἔτρεψε] ῥῆμα ἀπολογεῖται· ἄτοπον γὰρ ἦν προτρέπειν, ᾧ συμμαχίας μὴ μεταδέδωκεν.

παραίσιμα σήματα φαίνων] παρὰ τὴν αἶσαν· ἢ αἴσια περὶ ζωῆς ἡμῖν φαίνων παρέτρεψεν.

B= 382. ἠδὲ πρὸ ὁδοῦ ἐγένοντο] ἔμπροσθεν τῆς ὁδοῦ, ὅ ἐστιν εἰς
B= Θήβας. §. τινὲς δὲ εἰς τὸ "ἐγένοντο" στίζουσι καὶ τῷ "λεχεποίην" τὴν τελείαν παρέχονται, πλεονάζειν λέγοντες τὸν "δέ."

A+B= 383. λεχεποίην] παρὰ τὸ λέχος ἢ τὸν λόχον.

384. ἀγγελίην ἐπὶ Τυδῆ] "Τυδῆ" ὡς "ἀλλ' Ὀδυσῆ ποθέουσα" (Od. 19. 136) καὶ "Μηκιστῆ δ' ἕλε Πο⟨υ⟩λυδάμας" (Il. 15. 339).

386. βίης Ἐτεοκληείης] ἴσως ἐπὶ τυραννίδι.

388. μοῦνος ἐὼν πολέσιν] καὶ μόνος καὶ πολλοῖς.

B= 389. ἀεθλεύειν προκαλίζετο] μετὰ τὸ δεῖπνον γὰρ οἱ ἀγῶνες· "νῦν δ' ἐξέλθωμεν καὶ ἀέθλων πειρήσωμεν" (Od. 8. 100). καὶ Πηνελόπη τὸ τόξον μετὰ τὸ δεῖπνον τίθησιν.

5. λεγόμενα B: λέγειν ‖ 16. θήρης ‖ 17. iteratur *ὡς ἐκέλευον] ὡς παρεκάλουν ‖ 26. τὸν λόγον ‖ 27. ὀδυσσῆ

προκαλίζετο] ἴσως ηὐτέλιζον τοὺς Ἀργείους διὰ τὸ βραχὺ αὐτοῦ· διὸ B=
⟨τοῦ μώμου ἑαυτὸν⟩ ἀπαλλάξαι θέλων ⟨καὶ⟩ τοὺς οἰκείους τοῦτο ἐποίει.

391. κέντορες ἵππων] ἔνθεν καὶ εὐάρματον τὴν Θήβην φησὶν ὁ Πίνδαρος (fr. 207).

392. ἆψ ⟨ἄρ'⟩ ἀνερχομένῳ πυκινὸν λόχον εἶσαν] ἵνα μὴ τοῖς Ἀρ- B=
γείοις ἐξαγγείλῃ τὴν ἀσθένειαν Θηβαίων.

396. Τυδεὺς μὲν καὶ τοῖσιν] οὐ μόνον, φησί, τοὺς προκληθέντας B=
ἐνίκησεν, ἀλλὰ καὶ τοὺς ἐνηδρευκότας.

398. Μαίον' ἄρα προέηκε θεῶν τεράεσσι πιθήσας] ἡ Ἀθηνᾶ γὰρ B=
αὐτῷ εἶπεν· ἢ τὸ δόρυ ἐκλάσθη.

399. τοῖος ἔην Τυδεύς] Ἀντίμαχός φησι παρὰ συφόρβοις AB=
τετράφθαι Τυδέα· Εὐριπίδης δὲ (Suppl. 902) οὐκ ἐν λόγοις φησὶν
εἶναι δεινόν, ἀλλ' ἐν ἀσπίδι. πιθανῶς δὲ προφυλαξάμενος ἀγορητὴν
τὸν Διομήδη φησίν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ· διὸ οὐδὲν προσ-
φθέγγεται ὁ Διομήδης.

400. ἀγορῇ δέ τ' ἀμείνω] Ἀρίσταρχος μετὰ τοῦ ν̄ τὸ "ἀμείνων," A=
ἵνα λείπῃ τὸ ἐστίν.

401. τὸν δ' οὔτι προσέφη] πῶς οὗτος νεώτερος ὢν τὴν ἐπίπληξιν B=
ἤνεγκεν, ὁ δὲ Ὀδυσσεὺς καὶ πρεσβύτερος καὶ φρονιμώτερος ἐπιπλη-
χθεὶς ἐχαλέπηνεν; ῥητέον, διὰ τοῦτο, ἐπεὶ καὶ πρεσβύτερος καὶ φρονι-
μώτερός ἐστι, τὴν βλασφημίαν οὐ φέρει· τιμᾶσθαι γὰρ σφᾶς
αὐτοὺς οἱ πρεσβύτεροι δεῖν νομίζουσιν. ἄλλως τε οὐχ ὁμοίως ἀμφο-
τέροις ἐπέπληξε, τὸν μὲν πανοῦργον, τὸν δὲ ἧττω τοῦ πατρὸς εἰπών·
ὁ γὰρ τοῦ πατρὸς ἔπαινος ἐμείου τὴν ὕβριν. πρὸς τούτοις ἐπιπλη-
χθεὶς ὡς λάλος οὐκ ἤμελλεν ἐπιβεβαιοῦν τὸ λάλος εἶναι.

402. αἰδεσθεὶς βασιλῆος] σώφρων, ὃς οὐδέποτε τοὺς πολεμίους B=
δείσας φοβεῖται τὴν ἐπίπληξιν τοῦ στρατηγοῦ. καὶ νῦν μέν, ἵνα μὴ
δοκῇ λάλος, ἡσυχάζει, τοῖς γε μὴν ἔργοις δείξας ἑαυτὸν ἐφάμιλλον
τῷ πατρί φησιν "ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας" (Il. 9. 34).
καὶ τὸ "κρατερός" νῦν ἔμφασιν ἔχει, πληροῦν ὃ παρέλιπεν ὁ βασι-
λεύς.

404. μὴ ψεύδεαι] ὡς τὸ νήχεαι· Ἡρῳδιανὸς δὲ τὸ ἐντελὲς A—
"ψεύδεο" φησίν.

2. supplevi ex B ‖ 3. εὐάρμοστον ‖ 11. ἀντίμαχος :—εὐριπίδης δέ cf. schol. 400 ‖ 13. πιθανῶς A B : πιθανὸν ‖ 17. post ἐστίν add. φησὶ παρὰ συφόρβοις τετράφθαι τυδέα : transposui ad schol. 399 ut A B ‖ 29. ὠνείδισας.

B− 405. ἡμεῖς τοι πατέρων] παροιμία "τίς πατέρ' αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα;" (Diogenian. viii. 46).

B− πατέρων μέγ' ἀμείμονες] ἐν τῷ τῆς ἀρετῆς ἀγῶνι οὐδὲ γονεῦσί φησι δεῖν παραχωρεῖν· φησὶ γοῦν "υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι" (Od. 24.515)· ὕψωσε δὲ καὶ τὸ "μέγα" καὶ τὴν μαρτυρίαν ἐπήγαγεν· τοῦτο δέ, ὅτι οὐ δεῖ ταῖς τῶν προγόνων ἀρεταῖς κοσμεῖσθαι.

A−B= 406. ἡμεῖς καὶ Θήβης] καὶ γὰρ στρατεύσαντες οἱ ἐπίγονοι τὰς Θήβας κατέσκαψαν καὶ τὸν βασιλέα ἀνεῖλον Λαοδάμαντα τὸν Ἐτεοκλέους ἐννέα ὄντες τὸν ἀριθμόν, Αἰγιαλεὺς Ἀδράστου, Θέρσανδρος Πολυνείκους, Διομήδης Τυδέως, Σθένελος Καπανέως, Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου, Στρατόλαος Παρθενοπαίου, Πολύδωρος Ἱππομέδοντος, Μέδων Ἐτεόκλου.

ἑπταπύλοιο] πρὸς γὰρ ἑπτάχορδον Ἀμφίονος λύραν ἡρμόσθη.

B= 407. παυρότερον λαὸν ἀγαγόντε] ἐπεὶ δύο εἰσὶν οἱ κακολογούμενοι· ἔδειξε δὲ καὶ νῦν τὴν σύμπνευσιν αὐτῶν· καὶ "αὐτὰρ ἐγὼ Σθένελός τε" (Il. 9. 48).

A+ ὑπὸ τεῖχος ἄρειον] τοῦ παυροτέρου λαοῦ βέλτιον· ἢ καθ' ὃ Ἄρεος ἦν ἱερόν, ὡς καὶ ἡ Δίρκη.

B= 408. πειθόμενοι τεράεσσι θεῶν] ὑποφαίνει, ὡς καὶ νῦν διὰ δεισιδαιμονίαν οὐκ ἠθέλησαν ἄρχειν τῆς πρὸς τοὺς Τρῶας συμβολῆς.

A+ 410. *ὁμοίῃ ἔνθεο τιμῇ] ἀντὶ τοῦ ἐν ὁμοίῃ· οὕτω πᾶσαι· Ἀρίσταρχος δὲ "ἔνθεο τιμήν."

B= 412. τέττα, σιωπῇ ἧσο] ἐπίδειξις χρηστοῦ ἤθους μὴ δεῖν ταῖς τῶν πατέρων ἐπαίρεσθαι συμφοραῖς· καὶ ἐνδείκνυται μὲν τῷ βασιλεῖ,

A+B− ὡς ἀδίκως ὕβρισται, συγγινώσκει δὲ τῷ καιρῷ. §. τὸ δὲ "τέττα" οἱ μὲν ἐπίρρημα σχετλιαστικόν, οἱ δὲ κατὰ πάθος ἀπὸ τοῦ τέτλαθι, οἱ δὲ ὡς βάπτω βαπτίζω βάπτης οὕτω ⟨τέπτω⟩ τέττω τεττίζω—ἤδη γάρ τινες ἀξιοῦσι γράφειν "τοὺς ἐλεεινὰ κατήσθιε τεττίζοντας" (Il. 2. 314)—τέττης, ἡ κλητικὴ "τέττα."

σιωπῇ ἧσο] βασυντέον καὶ ἐκδεκτέον ἀντὶ τοῦ διάτριβε ὡς τὸ "ἧμαι ἐνὶ Τροίῃ" (Il. 24. 542)· ἢ ψιλῶς ἀντὶ τοῦ ἔσο, γίνου.

B= 413. οὐ γὰρ ἐγὼ νεμεσῶ] αἰδεῖται μὲν ἀποκρίνεσθαι πρὸς τὸν βασιλέα, οὐ παραλέλοιπε δὲ τὴν εἰς αὐτὸν ἀπόκρισιν ἐν τῷ πρὸς

21. πεῦσαι ‖ 23. ταῖς B: ἐν ταῖς ‖ 25. ὑβρίσθαι ‖ 27. supplevi ex A ‖ 28. ἐλ[‖ 31. φίλος: corr. W

Σθένελον λόγῳ. δέδεικται οὖν καὶ ἐκ τούτου τὸ περὶ τὰς ἀποκρίσεις φιλότιμον αὐτοῦ, ὃ ἔφη "ἀγορῇ δέ τ' ἀμείνω" (400).

415. τούτῳ μὲν γὰρ κῦδος] νομοθετεῖ, ποῖον δεῖ εἶναι περὶ τοὺς ἄρχοντας ὡς καὶ τῆς φθορᾶς καὶ τῆς σωτηρίας μέλλοντας αἰτίαν ἔχειν. B=

420. ἔβραχε] ἤχησεν. §. τινὲς τελείαν εἰς τὸ "ἄνακτος."

421. * προανυψοῖ τὸ πρόσωπον Διομήδους. B=

422. ὡς δ' ὅτ' ἐν αἰγιαλῷ] οὐ πρὸς τὸν ἦχον, ἀλλὰ τὴν ἐπάλληλον τῶν φαλάγγων φοράν· πορεύονται γὰρ "σιγῇ δειδιότες σημάντορας" (431). ζέφυρον γὰρ παρέλαβεν ἄνωθεν ἐπικυλίοντα τὰ κύματα, ἠρεμαίως τε ἄρχεται, ἐπιτείνεται δὲ ὕστερον· διὸ καὶ τὸ "ὑποκινήσαντος." καὶ νῦν οὕτως αὔξει τὰ τοῦ πολέμου. B=

423. ζεφύρου ὑποκινήσαντος] Πτολεμαῖος ἀναστρέφει τὴν πρόθεσιν, καλῶς· οἱ δὲ ἄλλοι παρέλκειν αὐτὴν φασι καὶ φυλάττουσι τὸν τόνον ὡς ἐπὶ τοῦ "ὑφηνιόχος" (Il. 6. 19) καὶ "Ποσειδάωνος ὑποδμώς" (Od. 4. 386). A+ B−

426. * ἰόν] οὐκ "ἐόν." A+

⟨ἀποπτύει δ' ἁλὸς ἄχνην⟩] πτύελον γὰρ τῆς θαλάσσης ἐστὶν ὁ ἀφρός, ὃν ἐρευγομένη ἐκχεῖ. διὸ "ἀποπτύει" φησίν. A+ B=

429. οἱ δ' ἄλλοι ἀκήν] ὡς "ἀκὴν ἐγένοντο σιωπῇ" (Il. 3. 95)· τὸ δὲ ἑξῆς, οἱ δὲ ἄλλοι ἀκὴν ἦσαν σιγῇ. B=

οὐδέ κε φαίης τόσσον λαὸν ἕπεσθαι] ἄρρητος ἡ ἐπίνοια σιωπὴν τοσούτου στρατοῦ εἰκάσαντος ἀφωνίᾳ. B=

431. δειδιότες] ἄκρως εὐπειθεῖς Ἕλληνες, τοὺς πολεμίους οὐ δεδιότες ἀλλὰ τοὺς ἡγεμόνας. B=

433. Τρῶες δ' ὥς τ' ὄιες] εἴωθεν ἀεὶ ἀντιπαραβάλλειν τὸ θορυβῶδες τῶν Τρώων. δειλὸν δὲ καὶ κατωφερὲς ἡ ὄις. B=

435. ἀζηχὲς μεμακυῖαι] ηὔξησε τὸν θόρυβον παραλαβὼν τὰς ὄις ἀντιμηκωμένας τοῖς νεογνοῖς. §. "ἀζηχές" δὲ ἀκατάπαυστον. B=

436. Τρώων ἀλαλητός] λαλητός καὶ ἀλαλητός πλεονασμῷ τοῦ α. B=

437. οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος] εἰκότως τὸ βάρβαρον θορυ- B=

2. ἀμείνωι ‖ 3. περὶ B: παρὰ ‖ 6. post ἤχησε sec. add. ὀνοματοποιία ὁ τρόπος ‖ 7. προανυψοῖ B: προσανυψοῖ ‖ 8. ἐπάλληλον B: ἐπαλλήλων ‖ 19. ἐκχέει

βῶδές ἐστιν· ἑτερόγλωσσον γάρ ἐστιν· ὃ δὲ οὐκ ἔστιν ὁμόφωνον, τοῦτο ἀνάγκῃ θορυβῶδες.

B= 439. ὦρσε δὲ τοὺς μὲν Ἄρης] μεγαλοπρεπὴς ἡ φαντασία· δεῖ γὰρ αὐτοὺς ὅμοια τῶν ἡγουμένων πράσσειν· ἄλλως τε καὶ τὴν πρώτην συμβολὴν αὔξει.

B= 440. Δεῖμός τ' ἠδὲ Φόβος] δαίμονες ἐκ τῶν ἡμετέρων παθῶν πεπλασμένοι, οὐ σύμμαχοι.

AB+ * ἄμοτον] ἀπλήρωτον.

B− 441. Ἄρεος ἀνδροφόνοιο κασιγνήτη] ἀπὸ τῆς ὁμοιότητος τῶν παθῶν πλάττουσι τὰς συγγενείας, ὡς Δεῖμος καὶ Φόβος καὶ "Φύζα, Φόβου κρυόεντος ἑταίρη" (Il. 9. 2)· ἔστιν οὖν ἀδελφὴ αὐτῷ τοὺς τρόπους, οὐ ξυγγενὴς ἡ "Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε."

B= 442. ἥ τ' ὀλίγη μὲν πρῶτα] ποιητικῶς ἐσήμανε τῆς ἔριδος τὸ πάθος.

B= 445. ὀφέλλουσα στόνον ἀνδρῶν] ἐκ γὰρ τοῦ ἐρίζειν πλείων ὁ φόνος γίνεται.

B= 447. σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα] τὰς μὲν πρὸς τὸ μηδὲν παθεῖν, τὰ δέ, ἵνα τι δράσωσιν.

B= 448. ὀμφαλόεσσαι] τινὲς ὀμφαλοέσσας τὰς εὐομφάλους, ὡς "ποιητὰς—πύλας" (Il. 12. 470) εὐποιήτους.

B= ὀμφαλόεσσαι] ὁτὲ μὲν αὐτὰς εὐκύκλους, ὁτὲ δὲ ὀμφαλοέσσας καλεῖ, τὴν ἀπὸ κέντρου πρὸς τέλος τυπῶν ἰσότητα, καὶ πάντοσε ἴσας.

AB= 449. ὀρυμαγδός] ὀρυμαγδός ἐστι πολέμου ἦχος, ἔχων κτύπον ὅπλων, στρατιωτῶν ἀλαλαγμόν, ἡγητόρων παράκλησιν, εὐχὴν ἀγωνιώντων, οἰμωγὴν ἀπολλυμένων, θρῆνον ἐπὶ πεπτωκόσιν. ἔστιν οὖν ὀρυμαγδὸς ἔνθα ὄρνυται ὅμαδος.

450. οἰμωγή τε καὶ εὐχωλή] Θουκυδίδης "πάντα ὁμοῦ ἀκοῦσαι" φησὶν "ὀλοφυρμὸς βοή, κρατοῦντες κρατούμενοι" (7. 71)· καὶ Γοργίας "ἀνεμίσγοντο δὲ λιταῖς ἀπειλαὶ καὶ εὐχαῖς οἰμωγαί."

B= οἰμωγή τε καὶ εὐχωλή] ἀκριβῶς ἔχει ἡ λέξις· πρότερον γὰρ ὁ παθὼν ἀνοιμώζει, εἶτα ὁ δράσας ἐπ' αὐτῷ μεγαλαυχεῖ.

B= 451. ⟨ῥέε⟩] ἐμφαντικῶς· οὐ γὰρ εἶπεν ἐρραίνετο, ἀλλ' ὡσεὶ λέγοις 'ἐπήγαζεν αἷμα.'

8. ἀπλήρωτον A B: ἄτρωτον ‖ 11. ἀδελφὴ B: ἀδελφὸς ‖ 27. ὦρνυται ‖ 33. ἐρέετο

452. ὡς δ' ὅτε χείμαρροι] ἔστιν ἀκοῦσαι δύο ποταμῶν ἦχου. B=
πανταχόθεν δὲ αὐτῶν ηὔξησε τὸν ἦχον. οὐ γὰρ διὰ πεδίων ἀλλ'
ἐξ ὄρους ῥέουσιν, ἵνα μὴ ῥύσις ἀλλ' ἐμβολὴ ὕδατος ᾖ· καὶ εἰς τὸν
αὐτὸν τόπον καταφέρονται, τῇ συμπτώσει τῶν ῥευμάτων πολὺν ἀπερ-
γαζόμενοι τὸν ἦχον· καὶ "κρουνῶν ἐκ μεγάλων" προστίθησι, τῷ πλήθει
τοῦ καταρρήσσοντος ὕδατος τραχὺν τὸν ψόφον ἐγείρων· καὶ τὸ κοίλωμα
δὲ τὸ δεχόμενον αὐτοὺς μισγάγκεια εἴρηται, τραχυνόμενον τῇ ὀνομα-
τοποιίᾳ καὶ συναπειλοῦν τῷ ῥεύματι. ἴσως δὲ καὶ δύο τοὺς ποταμοὺς
παρέλαβεν οὐκ αὐξήσεως μόνον ἕνεκεν, ἀλλ' ὅτι εἰσὶ καὶ τὰ στρα-
τεύματα δύο, καὶ τούτους ἐμπίπτοντας ἀλλήλοις· καὶ γὰρ οἱ
στρατοὶ ἀλλήλοις ἐπεφέροντο.

* ὄρεσφι] τὸ σ̄ ἔδωκεν ἡ συγκοπή, ὡς θεόφατον θέσφατον.

453. * μισγάγκειαν] τὸ ἄγκος, εἰς ὃ μίγνυνται οἱ ποταμοί. A B=

ἐς μισγάγκειαν] τὸ ἑξῆς, ὡς δ' ὅτε χείμαρροι κατ' ὄρεσφι ῥέοντες B=
ἐς μισγάγκειαν συμβάλλετον τὸ ὕδωρ ἐκ τῶν κρουνῶν ἔσω τῆς
χαράδρας.

455. τηλόσε δοῦπον] γράφεται "τηλόσε," εἰς μακρὰν ἀφικνου- B=
μένων τῶν ψόφων· ἄμεινον δὲ τὸ "τηλόθι·" ἀποκέκλεισται δέ που
χειμῶνος ὄντος ὁ ποιμήν.

456. ὣς τῶν μισγομένων γένετο ἰαχή τε φόβος τε] Ἀρίσταρχος A=
"πόνος·" οὔπω γὰρ γέγονε φυγή· ἀλλ' ἐὰν πόνος ᾖ, ἐνέργειαν, ἐὰν
δὲ φόβος, τὸ δέος δηλοῖ ὁμοίως τῷ τοῦ ποιμένος φόβῳ.

457. πρῶτος δ' Ἀντίλοχος] τοῦτο χαρίζεται αὐτῷ, ἐπεὶ ἄλλην B–
ἀριστείαν αὐτοῦ οὐ γράφει, ἄλλως τε καὶ ζηλοῖ τὸν πατέρα—"πρῶτος
ἐγὼν ἕλον ἄνδρα" (Il. 11. 738)—καὶ θεατὴν αὐτὸν ἔχει· καὶ
"Ἀντίλοχ', οὔτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν" (Il. 15. 569).
θερμότητος οὖν νεωτερικῆς τὸ ἔργον. ἢ Τρῶες καταφρονοῦντες
Νέστορος κατὰ τοῦτο μᾶλλον ἐνέκρουσαν τὸ μέρος.

458. Θαλυσιάδην Ἐχέπωλον] κύριον τὸ δεύτερον· ἐπιθετικῶς A B=
γάρ φησιν ὅτε ταχύπωλον λέγει καὶ αἰολοπώλους καὶ πατρωνυμικοῖς
ἀντὶ κυρίων ⟨οὐ⟩ χρῆται, ὅτι μὴ ἐπὶ τοῦ "καὶ Ἀργεάδην Πολύμη-
λον" (Il. 16. 417).

459. * φάλον] τὸ τετυφωμένον.

460. ἐν δὲ μετώπῳ πῆξεν] ἱκανὴ μὲν καὶ ἡ τῆς κεφαλῆς ἔκπληξις B+

13. ἄγγος: corr. Bekker ‖ 18. ἀποκεκλεῖσθαι ‖ 20. γένετ' ‖ 30. γ. ὅτε φησὶ ‖ 34. κεφαλῆς scripsi: πληγῆς

ἄκαιρος οὖσα θανατῶσαι· ἢ καὶ τῆς μήνιγγος, ἣ διείργει τὸν ἐγκέφαλον, διῃρημένης καὶ τοῦ δόρατος ἄχρι τῆς τοῦ ἐγκεφάλου βάσεως εἰσθορόντος. σημείωσαι δὲ ὅτι τοὺς περὶ κεφαλὴν βαλλομένους ἀνωδύνως φησὶ τελευτᾶν· "τόν ῥ' ἔβαλε κεφαλὴν ὑπὲρ οὔατος, ὦκα δὲ θυμὸς ᾤχετ' ἀπὸ μελέων" (Il. 16. 606)· "αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεσσύμενον βάλε πέτρῳ μέσσην κὰκ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσα κεάσθη ἐν κόρυθι βριαρῇ. ὃ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο" (ib. 411)· τοῦ κυρίου γὰρ τρωθέντος τόπου ἅμα τῇ πληγῇ ὁ θάνατος, οὐδὲ ὀλίγον χρόνον εἰς ἀντίληψιν τῆς ὀδύνης παρέχων. ἐπὶ δὲ ὀμφαλοῦ "ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινός" (Il. 13. 568)· "ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν—γνὺξ δ' ἔριπ' οἰμώξας" (Il. 20. 416). οἱ γὰρ περὶ γαστέρα τόποι νευρώδεις ὄντες τὴν ἀπὸ τῶν ἡγεμονικῶν αἴσθησιν δέχονται.

B= 462. ἤριπε δ', ὡς ὅτε πύργος] ὕπτιος γὰρ ἔπεσεν ὑπὸ τῆς ὁρμῆς τοῦ δόρατος.

B= ἤριπε] εἰς τὴν ἔραν ἔπεσεν.

A+ 465. ἕλκε δ' ὑπὲκ βελέων] εἰς τὸ "βελέων" ὀλίγη διαστολή.

B= §. ἡ ὑπό τὸν ὑποκύψαντα δηλοῖ, ἡ δὲ ἔξ τὴν ἔξω φοράν.

B= 466. τεύχεα συλήσειε] δικαίως κολάζεται ὁ αἰσχροκερδής, δέον τῶν ζώντων ἅπτεσθαι.

B= 468. πλευρὰ—ἐξεφαάνθη] καὶ ἡμεῖς εἴδομεν αὐτοῦ τὰ πλευρά· καίριος δὲ ἡ πληγὴ κατὰ καρδίας ἢ πνεύμονος ἐνεχθεῖσα.

B= παρ' ἀσπίδος ἐξεφαάνθη] ἀντὶ τοῦ παρενεχθέντος τοῦ ὅπλου. διδάσκει δὲ μηδὲν ἀπερισκέπτως ποιεῖν.

B= 470. ἐπ' αὐτῷ δ' ἔργον ἐτύχθη] ἀνανεοῦται τὴν στάσιν καὶ ὑπεκκαύματα δίδωσι τὰς τῶν ἀριστέων πτώσεις καὶ τὸν πόλεμον ἐπιφανέστερον ποιεῖ. ἱκανὴν δὲ πίστιν ἐπάγει τοῖς λόγοις ὡς αὐτόπτης ὤν.

B= ἔργον ἐτύχθη ἀργαλέον Τρώων καὶ Ἀχαιῶν] ἤλλακται ἡ φύσις· πρῶτοι γὰρ ὥρμησαν Ἕλληνες δι' Ἐλεφήνορα πεσόντα.

A– 472. ἐδνοπάλιζεν] δονῶ δονοπίζω, πλεονασμῷ δονοπαλίζω, συγκοπῇ δνοπαλίζω, ὡς πυκτεύω "πυκταλεύω" (Sophro Et. M. 345, 40)· σημαίνει δὲ κατέβαλε· "τὰ ⟨σὰ⟩ ῥάκεα δνοπαλίξεις" (Od. 14. 512).

B= 473. Ἀνθεμίωνος υἱόν] οὐ ψιλὸν τοῦ τετρωμένου τὸ ὄνομα τέθεικεν,

1. ἄπειρος ‖ 6. εὐρύαλον ‖ ἀπεσσύμενον

ἀλλὰ καὶ τὴν αἰτίαν δι' ἣν ἐκαλεῖτο Σιμοείσιος, καὶ τοῦ πατρὸς τὸ ὄνομα καὶ τὸ χωρίον ἐν ᾧ ἐτέχθη, καὶ ἐπὶ τί πορευομένη ἡ μήτηρ ἔτεκεν αὐτόν, καὶ τὴν ἡλικίαν ἣν ἔχων ἀπέθανεν, ὅτι ἡίθεος ἦν. ταῦτα δὲ εἶπε πολλὴν πίστιν ἐπιφέρων τῷ λόγῳ ὡς αὐτόπτης ὤν.

474. * ἡίθεον] τὸν ἰσόθεον ἡλικίαν ἔχοντα.

476. μῆλα ἰδέσθαι] "μῆλα" ὁ ποιητὴς τὰ πρόβατα καὶ αἶγας, Ἡσίοδος τὰ τετράποδα πάντα (Opp. 163). B=

477. * οὐδὲ τοκεῦσι θρέπτρα φίλοισ' ἀπέδωκε] διδάσκει μὴ καραδοκεῖν τὴν ἀπὸ παίδων γηροκομίαν. B=

480. * πρῶτον] ἐν τοῖς προμάχοις δηλονότι. B=

482. πέσεν, αἶγειρος ὥς] μέχρι τούτου τὰ τῆς ὁμοιώσεως· τὰ δὲ λοιπὰ ἐκ περιουσίας ἐναβρυνόμενός φησι καὶ διώκων ἡδονήν. §. ποιητικὴ δὲ ⟨ἡ⟩ ἀναστροφή, οὐ μετρική. B=

483. ἦ ῥα τ' ἐν εἰαμενῇ] καὶ ἀλλαχοῦ "αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος" (Od. 17. 208)· εἰαμενὴ δὲ ἡ συνεστηκυῖα τῶν ὑδάτων συμβολή· εἰμένη εἰαμένη εἰαμενή, ὡς δεξαμενή. §. δασυντέον δὲ τὸ "εἰαμενῇ" παρὰ τὴν ἕσιν. A+ A=

484. ἀτάρ τε οἱ ὄζοι ἐπ' ἀκροτάτῃ πεφύασιν] τὰ γὰρ ἄοζα ἕτοιμα πρὸς κάμψιν. παρυδατίῳ δὲ φυτῷ εἴκασε τὸν παρὰ ποταμῷ γεγενημένον. B=

486. ὄφρα ἴτυν κάμψῃ] παντὸς περιφεροῦς τὸ τελευταῖον μέρος.

487. ποταμοῖο παρ' ὄχθας] πρὸς τὸ ἀχθῆναι ὑπὸ τοῦ ποταμοῦ. A B+

491. Ὀδυσσέος ἐσθλὸν ἑταῖρον] ἀλλ' οὐκ ἐστρατεύοντο πλησίον Σαλαμινίων Ἰθακήσιοι· ἑταῖρον οὖν οὐ τὸν πολίτην ἀλλὰ τὸν συνεργόν φησιν· τί γὰρ ἄτοπον, εἰ Σαλαμίνιος ὢν ἑταῖρός ἐστιν Ὀδυσσεῖ; Ἀρίσταρχος δὲ ὡς ποιητικὸν παραιτεῖται· οἱ δέ, ὅτι συγκέχυται ἡ μάχη, ὡς καὶ "ἀνὴρ ⟨δ'⟩ ἄνδρ' ἐδυνοπάλιζεν" ἢ ὅτι Αἴας ἐπῄει τὰς τάξεις βοηθῶν. καί που γὰρ Ὀδυσσεῖ βοηθεῖ, ὡς δηλοῖ ἡ πεδιὰς μάχη (Il. 11. 472), καί που Μενεσθεῖ βοηθεῖ ἐν τῇ τειχομαχίᾳ (Il. 12. 370) καὶ Μενέλαον αὐτὸν ἄγει ἐπὶ Πάτροκλον (Il. 17. 120). B−

492. βεβλήκει βουβῶνα] ἐμπεφύκασι μεγάλαι ἀρτηρίαι καὶ φλέβες τοῖς βουβῶσιν αἱμορραγίας ποιοῦσαι, αἳ βοηθούμεναι μὲν ἐπικίνδυνοι, ἀμελούμεναι δέ εἰσι θανατώδεις. B=

7. Ἡρόδοτος B, Ἡρόδικος: corr. W ‖ 16. εἰμένη εαμενὴ εἰαμενὴ ‖ 19. παρὰ B: περὶ ‖ ποταμὸν ut B ‖ 21. ὄφρ' ‖ 23. ὀδυσσέως ‖ 28. ἡ ἐπαδείας μ.

B= 493. ἤριπε δ' ἀμφ' αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε] ὡς ἐκεῖ "μίννυθα δέ οἱ γένεθ' ὁρμή" (466). περὶ ὃ δὲ μάλιστα ἐσπούδαζον, τούτου στερῶν αὐτοὺς ὁ ποιητὴς κολάζει.

494. τοῦ δ' Ὀδυσεὺς—ἀποκταμένοιο χολώθη, βῆ δὲ διὰ προμάχων] "ἀρνύμενος ἦν τε ψυχήν" (Od. 1. 5).

B= 496. στῆ δὲ μάλ' ἐγγὺς ἰών] "ἐγγὺς ἰών" τοῦ Λεύκου ὑπερασπίζων.

B= 497. ἀμφί ἑ παπτήνας] οἰκεῖον τῷ προνοητικῷ Ὀδυσσεῖ, οὐχ ὡς ὁ Ἐλεφήνωρ· οὗτος δὲ περισκοπεῖ, μή τι γυμνὸν ᾖ τοῦ σώματος.

B= * κεκάδοντο] ⟨διὰ⟩ τὴν τοῦ δόρατος ὁρμὴν οἱ μὲν ἔνθεν, οἱ δὲ ἐκεῖθεν ἐχωρίσθησαν.

B= 499. Δημοκόωντα] πρῶτος οὗτος Πριαμιδῶν ἀναιρεῖται.

B= 500. ὅς οἱ Ἀβυδόθεν ἦλθε] τῆς Ἑλλησποντίδος Ἀβύδου μέμνηται· τὰς γὰρ πλησίον τῆς Τροίας πόλεις ἀσφαλεστέρας ἔδει εἶναι ὡς τῶν ἐπιτηδείων χορηγούς· διὸ οὐ πεπόρθηται ὑπὸ Ἀχιλλέως.

B= παρ' ἵππων οἰκειάων] ἐκ τῶν ἵππων, ὡς ἐκεῖ ὄντων τῶν ἱπποστασίων Πριάμου· οἱ δὲ ἀντὶ τοῦ ἐφ' ἵππων.

A B= 502. κόρσην· ἣ δ' ἑτέροιο] τὸν κρόταφον· ἐπὶ κόρσης γὰρ λέγουσιν Ἀττικοὶ τὴν γνάθον. καὶ "ἑτέροιο διὰ κροτάφοιο" ὡς οὖν ἐλλὸς ἔλαφος, οὕτω κόρση κρόταφος.

B= 505. χώρησαν δ' ὑπό τε πρόμαχοι] πῶς νικῶσιν Ἕλληνες, οὓς ὁ Ζεὺς θέλει ἡττᾶσθαι; ἐροῦμεν ὅτι ἐᾷ Ζεὺς ποινὰς τίνειν τῶν πλημμελημάτων τοὺς Τρῶας, ἢ καθ' ὅτι δείκνυσι δι' ἀμφοτέρων τὴν δύναμιν, ἵνα καὶ συμμαχῶν Τρωσὶν ἐπιδείξηται τὴν χάριν, εἴγε ὃν ἔτρεψε μόνος Αἴας οὗτος ἅμα Διὶ καὶ τοὺς πάντας Ἕλληνας διώκει.

B= 506. ἐρύσαντο δὲ νεκρούς] τοὺς ἰδίους· φιλάλληλοι γάρ, καὶ ὑπὲρ Ἐλεφήνορος πόλεμος γίνεται, καὶ Ὀδυσσεὺς ὑπερασπίζει Λεύκου.

B= 507. νεμέσησε δ' Ἀπόλλων] φθονεῖ μὲν τῇ τῶν Ἀχαιῶν εὐπραγίᾳ, συνάχθεται δὲ Τρωσίν· καλῶς δὲ πρῶτοι βοηθοῦνται, ἵνα καὶ Ἀθηνᾶ παραστῇ τούτοις.

B– 510. οὔ σφι λίθος χρώς] καὶ Ἀγησίλαος παρατασσόμενος ὑπε-

1. αὐτῶν ‖ 9. εἴη ‖ 19. ἠδ' ἑτάροιο ‖ 24. δείκνυσι καθότι

μίμνησκεν, ὅτι πρὸς ἀνθρώπους καὶ τρωτοὺς ἡ μάχη· ὑπερβολὴ δὲ λίαν, εἴγε τοιούτους ὑπειλήφασι τοὺς πολεμίους· καὶ ἀλλαχοῦ· "καὶ γάρ τ' ἦν τούτῳ τρωτὸς χρὼς ὀξέι χαλκῷ" (Il. 21. 568).

511. ταμεσίχροα] ὡς ἐμῷ ἐμέσω, οὕτω ταμῷ ταμέσω.

512. οὐδ' Ἀχιλεὺς—μάρναται] εἰδότας ὑπομιμνήσκει θρασυτέρους ποιῶν καὶ ἡμᾶς εἰς ἐπιπόθησιν ἄγει τῆς Ἀχιλλέως ἐξόδου· ἅμα δὲ καὶ αὔξει τὸ πρόσωπον. B=

513. χόλον—πέσσει] ἐπὶ πολὺ κατέχει. πολὺ γὰρ τὸ διάστημα ἄχρι πέψεως τῶν καρπῶν· ἐδηλώθη οὖν ἡ μῆνις Ἀχιλλέως. B=

515. Τριτογένεια] ὅτι γεννηθεῖσαν ἔτρεσαν αὐτὴν οἱ θεοί. A+ B=

516. ὄθι μεθιέντας ἴδοιτο] οὐχ ὡς Ἀπόλλων τοὺς πάντας, ἀλλὰ τοὺς ἀμελεῖς. τοῦτο γὰρ διορθώσεως δύναται τυχεῖν, ἑκούσιον ὂν πταῖσμα· τὸ δὲ φυσικόν. B=

517. ἔνθ' Ἀμαρυγκείδην] νῦν ἀπὸ τῶν Ἑλλήνων ἤρξατο, ἐπεὶ τότε ἀπὸ τῶν Τρώων. μοιρίδιον δὲ τὸν θάνατόν φησιν. §. καὶ "ἐπέδησε" καλῶς ἐπὶ τοῦ κατὰ τὸν πόδα βληθέντος. B= B= B=

519. βάλε δὲ Θρῃκῶν ἀγός] ἐν γὰρ τῷ καταλόγῳ (Il. 2. 844) φησὶ μόνον ὅτι Θρᾷκας ἦγε σὺν Ἀκάμαντι, "αὐτὰρ Θρήικας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως, ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει·" δύναται οὖν ἐν Αἴνῳ τὰ βασίλεια εἶναι. B+

521. λᾶος ἀναιδής] ὁ σκληρός, μεταφορικῶς, εἴγε ἀμφότερα τὰ νεῦρα καὶ τὰ ὀστᾶ διαρρήγνυσιν. A~

522. ὃ δ' ὕπτιος] εἰκότως· σφοδρὰ γὰρ ἡ πληγή, εἴγε τὰ ὀστᾶ καὶ ἄμφω τὼ τένοντε συνηλοίησεν ὁ λᾶας. B=

523. χεῖρε—πετάσσας] συμμαχίαν αἰτῶν. B=

526. χύντο χαμαὶ χολάδες] μαλθακὰ γὰρ καὶ ὀλισθηρά εἰσι τὰ ἔντερα. "χολάδες" δὲ τὰ παχέα ἔντερα, ὅθεν καὶ χόλιξ. A+ B=

527. ἀπεσσύμενον βάλε δουρί] "ἀπεσσύμενον" διὰ τοῦ ᾱ. A+

535. ὧσαν ἀπὸ σφείων, ὃ δὲ χασ⟨σ⟩άμενος πελεμίχθη] ἄμεινον οὕτως· οὐ γὰρ ἐπὶ αὐτῶν, μὴ καὶ γυμνωθῇ τῆς ἀσπίδος. B=

539. οὐκέτι ἔργον ἀνήρ] πλεονασμὸς τὸ "ἔτι·" "μηκέτι πάμπαν Ἀχιλλῆι προμάχιζε" (Il. 20. 376)· "ἦν μοι δῶκε πατὴρ ἔτι" (Od. 23. 228). §. παντοδαπὰς δὲ πληγὰς καὶ πτώματα διελθὼν ἐπαναπαύει τὸν ἀκροατήν. A+ B− B=

3. γε post τούτῳ omisi ‖ 8. τε post χόλον omisi ‖ 9. πέψεως B: πεύσεως ‖ 19. πείρωος ‖ οὗς ‖ 32. ἦν μοι

B= 541. ἄγοι δέ ἑ Παλλὰς Ἀθήνη] θεατὴν ἑαυτῷ ἀνέπλασε τῆς μάχης ὑπὸ θεῶν ὁδηγούμενον, ἵνα ἀθορύβως σκοποίη, καὶ ἐν μέσοις τοῖς μαχομένοις, ἵνα ἀκριβῶς θεῷτο.

ΕΙΣ ΤΗΝ Ε.

AB= 1. ἔνθ' αὖ Τυδεΐδῃ] τότε, ὅτε καὶ πολλοὶ ἀπώλοντο.

B= ἔνθ' αὖ Τυδεΐδῃ Διομήδεϊ] καλῶς Διομήδης προτρέπεται ἰδίᾳ· ἡ γὰρ κοινὴ πρὸς τὸ πλῆθος προτροπὴ τὸν καθ' ἕνα ἀμελέστερον ἐργάζεται, ἡ δὲ πρὸς ἕνα τινὰ ⟨εὐθαρσέστερον καὶ γενναιότερον⟩.

A+ 2. δῶκε μένος καὶ θάρσος] ἑκάτερον θατέρου χωριζόμενον ἄπρακτον· οὐχ ὡς πρότερον δὲ μὴ ἔχοντος, ἀλλὰ τὸ ἔμφυτον ηὔξησεν· Θαρσὼ δὲ παρά τισιν ἡ Ἀθηνᾶ τιμᾶται· θάρσος δὲ τὸ ὑπὸ θεοῦ ἔπαρμα τῆς ψυχῆς.

B– ἵν' ἔκδηλος] ἐπεσκοτεῖτο γὰρ ὑπὸ τῆς Ἀχιλλέως ἀρετῆς· ἢ ὅτι πρώτην ἐγεώργει τὴν Θρᾴκην.

B= μετὰ πᾶσιν] ἀντὶ τοῦ ἐν πᾶσιν ὡς "σφῶιν μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας" (Il. 4. 341).

B= 3. ἰδὲ κλέος ἐσθλὸν ἄροιτο] ἀπὸ τοῦ αἴρω μέσος δεύτερος ἀόριστος.

B= 4. δαΐῃ οἱ ἐκ κόρυθος] ἄλλο φῶς ἀντὶ Ἀχιλλέως ἤστραψεν Ἕλλησιν ὁ ποιητής. §. πῶς ἐν τῷ καταλόγῳ (768) δεύτερον εἰπὼν Ἀχιλλέως Αἴαντα τὴν πρώτην ἀριστείαν οὐ τούτῳ, τῷ δὲ Διομήδει ἀνατίθησιν; ἢ ὅτι ὁ μὲν δυσκίνητος καὶ μεγαλόφρων τὴν φύσιν ὑπάρχων κατὰ πᾶσαν μάχην ἦν ἄριστος, ὁ δὲ ὀξὺς καὶ φιλότιμος ὢν ὑπὸ τῆς Ἀγαμέμνονος προτροπῆς ἐπτέρωται—οἱ γὰρ νεανίσκοι καὶ θυμοειδεῖς ὑπερεθισθέντες εἰς μεγάλην τὴν ἐπίδοσιν ἀναφέρονται—ἢ ὅτι εἰς τὸν μείζονα κίνδυνον αὐτὸν φυλάττει τὸν περὶ ⟨τῶν⟩ νεῶν· ἧττων γὰρ ἡ πεδιὰς καὶ διὰ τὸ δέος Ἀχιλλέως καὶ διὰ τὴν ἐκ τῶν ὅρκων ὑποψίαν.

AB– 5. ἀστέρ' ὀπωρινῷ] τὸν Ἀρκτοῦρον ἢ τὸν Κύνα.

AB= 6. λελουμένος Ὠκεανοῖο] λείπει ἡ ἔξ. Ὠκεανὸς δὲ ὁ ὁρίζων παρὰ τὸ ὠκέως περὶ αὐτὸν ἀνύεσθαι τὸν δρόμον τῶν ἄστρων· ὥσπερ δὲ ἐπὶ σωμάτων τὰ λαμπρότερα λελοῦσθαί φαμεν, ⟨οὕτω⟩ καὶ ἐπὶ ἡλίου. "πέμψεν ἐπ' Ὠκεανοῖο ῥοάων" (Il. 18. 240).

2. ὁδηγούμενος : corr. W ‖ σκοπῇ ‖ 4. addidi : ἀρχὴ τῆς ε΄ Ὁμήρου Ἰλιάδος textui inscriptum ‖ 5. ἀπώλλοντο ‖ 8. μονομαχία post τινὰ del. W ‖ supplevi ex B ‖ 10. ἔχοντος A : ἔχοντι ‖ 26. suppl. W ex A B ‖ 26, 27. ἡ πεδιὰς W cf. p. 157, 28 : ἐπ' ἀδείας ‖ 32. ῥοὰς

7. τοῖόν οἱ πῦρ δαῖεν] ἀντὶ τοῦ λαμπηδόνα τῶν ὤμων αὐτοῦ A+B−
ἀπολάμπειν ἐποίει ὡς πυρός, ὡς καὶ ἀλλαχοῦ "ὣς οἱ μὲν μάρναντο
δέμας πυρός" (Il. 18. 1) ἀντὶ τοῦ ὡς δέμας· εἰ γὰρ πῦρ, ἐκινδύνευσεν
ἂν ὁ ἥρως καταφλεχθῆναι· ἀλλ' οὖν τοῖς θεοῖς πάντα ἐνχερῆ.

8. ὦρσε δέ μιν κατὰ μέσ⟨σ⟩ον] ἐκεῖ γὰρ τὸ τῆς μάχης ἦνθει· B−
καὶ ἀλλαχοῦ "δινεύοι κατὰ μέσ⟨σ⟩ον" (Il. 4. 541).

9. ἦν δέ τις ἐν Τρώεσσι Δάρης] τρεῖς ἀρεταὶ διηγήσεως, σαφή- AB=
νεια, συντομία, πιθανότης, ἅ⟨σ⟩περ ἐνέθηκεν τὸ ἔθνος, τὸ ὄνομα, τὸν
τρόπον, τὴν τύχην, τὴν ἀρχήν, τῶν παίδων τὰ ὀνόματα καὶ τὴν
ἀρετὴν ⟨παραστήσας⟩. §. Δάρης δὲ παρὰ τὸ ἐκδέρειν τὰ θύη. A+B=
ἀφνειὸς ἀμύμων] τοῦτο λελυμένον φασίν.

10. ἱρεὺς Ἡφαίστοιο] ἀπὸ τοῦ ἱερεύς συνήλειπται ὡς πόλιες πόλις. B=
ψιλοῦται δέ, ἐπεὶ τὸ ῑ μακρὸν ψιλοῦται μὴ ἐκ κλίσεως ὂν μηδὲ
ἐκτεινόμενον διὰ χρείαν.

12. ἐναντίον ὥρμηθήτην] θρασεῖς γὰρ οἱ Τρῶες. B=

14. οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν] Διομήδης καὶ οἱ νέοι.

15. Φηγεύς ῥα πρότερος] πρότερος Διομήδους· οἰκεῖον δὲ τῷ προ- B=
πηδῶντι καὶ προακοντίζειν. ἀεὶ δὲ τοὺς πρώτους εἰσάγει ὀλλυμένους.

20. λιπὼν περικαλλέα δίφρον] ἵνα ἀσχολίαν λίπῃ Διομήδει τὸ A+B=
λάφυρον πρὸς τὸ αὐτὸς ἀποφυγεῖν.

21. οὐδ' ἔτλη περιβῆναι] κατακερτομεῖ τὴν δειλίαν· Ὀδυσσεὺς B=
δὲ ὑπὲρ Λεύκου ἀγωνίζεται ἑταίρου ὄντος (Il. 4. 491).

22. οὐδὲ γὰρ οὐδέ κεν αὐτός] συνέστησε Διομήδεα καὶ μὴ B−
φονεύσαντι δίδωσι τὴν ψῆφον τῆς σφαγῆς.

25. οὐδὲ γὰρ οὐδέ κεν] ἡ μία περισσὴ ἀπόφασις· "οὐδὲ γὰρ οὐδὲ AB=
βίη" (Il. 18. 117)· "οὐδὲ γὰρ οὐδὲ Δρύαντος" (Il. 6. 130). καὶ
ἔστιν ἡ μία μὲν ἐπὶ τοῦ πράγματος, θατέρα δὲ ἐπὶ τοῦ προσώπου.

23. ἀλλ' Ἥφαιστος ἔρυτο] ἠύζηται μὲν Διομήδης ἀντιτασσο- B=
μένου θεοῦ, πεπαιδεύμεθα δὲ ἡμεῖς εὐσεβεῖν· καὶ γὰρ ⟨πρὸς⟩ Ἕλλήνων
⟨ὢν⟩ ὁ θεὸς ὅμως ἀμείβεται τὸν θεράποντα. εὐχάριστος δὲ ὁ
Ἥφαιστος καὶ περὶ Θέτιν.

24. ὡς δή οἱ μὴ πάγχυ γέρων] ἵνα μὴ αὐτῷ παντελῶς Δάρης· B−
ἐμφαίνει, ὅτι παίδων ἑτέρων οὐκ εἶχεν ἐλπίδα.

2. ὡς ἀπὸ π. ‖ 10. τὰ θύη B: ἃ θύει ‖ 11. λελουμένον ‖ 12. ἱερεὺς Ἡ. ‖ πόλιες πόλεις ‖ 29, 30. suppl. W ‖ 32. ὅπως μὴ αὐτῷ παντελῶς D eodem lemmate praefixo: καὶ μὴν ἵσταται

* "ἀκαχήμενος" τιθήμενος ὀνήμενος Αἰολικῶς.

B= 25. * ἵππους δ' ἐξελάσας] ἱππομανὴς ἀεὶ ὁ Διομήδης· Ἀργεῖος γάρ· ἱππόβοτον δὲ ἀεὶ τὸ Ἄργος καλεῖ.

B– 26. κοίλας ἐπὶ νῆας] ἐν ταπεινῷ τὸ ναύσταθμον· ἡ δὲ πόλις ἠνεμόεσ(σ)α· καὶ "οἳ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν" (Il. 24. 329).

A+B= 28. παρ' ὄχεσφι] καὶ μὴν ἀπήλαστο τὸ ἅρμα· ἢ τῷ τόπῳ τῶν ἁρμάτων φησίν· διό τινες ἔλεγον "παρ' ὄχεσφι πᾶσιν ὀρίνθη θυμός," ἵν' ᾖ, τοῖς ἁρματηλάταις ὁ θυμὸς ὠρίνθη προσδοκῶσι τὸ δεινὸν καὶ ἐφ' ἑαυτοὺς ἥξειν. τὰ δὲ ἐπείγοντα πρῶτον εἰπὼν ἐπιφέρει καὶ τὸ τῶν Τρώων πάθος.

AB= 31. Ἄρες Ἄρες] ἐπαναλαβὴ ὁ τρόπος. §. ὁ Ἰξίων δὲ τὸ δεύτερον

AB= ὀξύνει, ἵν' ᾖ ἀντὶ τοῦ βλαπτικέ· οὐδέποτε γὰρ κλητικὴ ἀναδιπλασιάζεται παρὰ τῷ ποιητῇ· οὐχ οὕτω δὲ ἔχει ἡ παράδοσις. §. τὸ δὲ ἀλα-

A= ζονικὸν τοῦ δαίμονος ἐξαίρει τοῖς ἐπιθέτοις.

* μιαιφόνε] ἰαιφόνε.

B= 32. οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν] ἀγωγὸν τὸ ἐρωτηματικῶς καὶ μὴ προστα(κ)τικῶς λέγειν.

B= 33. μάρνασθαι] πυρώδης γὰρ ὁ πόλεμος, καὶ μαραίνει τὰ σύμπαντα.

35. θοῦρον Ἄρηα] θείως ὀρούοντα.

B= 37. Τρῶας δ' ἔκλιναν Δαναοί] εἰκότως ἐπὶ τῇ Ἄρεως ἀπουσίᾳ καὶ τῇ ταραχῇ ἣν παρέσχον οἱ Δάρητος παῖδες.

B– 38. πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων] ἄτοπον γὰρ τὸν πρώην ἐγκαλοῦντα πᾶσιν ἀργὸν εἶναι, καὶ ταῦτα κλινομένων τῶν βαρβάρων.

B= 39. ἀρχὸν Ἀλιζώνων] τῆς Παφλαγονίας, διὰ τὸ ὑπεζῶσθαι τῇ ἁλί. καὶ ἐπὶ μὲν τῶν Δαρητιδῶν προετύπωσε τὴν μάχην, νῦν δὲ λελῃθότως ἐπεῖπε "πρώτῳ γὰρ στρεφθέντι" (40).

A+B= Ὀδίον μέγαν] τὸ κύριον παροξύνεται, τὸ δὲ προσηγορικὸν προπαροξύνεται.

B= 40. μεταφρένῳ] μεθ' ὅ εἰσιν αἱ φρένες. οὐδένα δὲ τῶν Ἀχαιῶν οὕτω φονεύει, εἰ μὴ τὸν ἔκδοτον ὑπὸ θεῶν Πάτροκλον.

B= 43. Ἰδομενεὺς δ' ἄρα Φαῖστον] Ἰδομενεὺς παρὰ τὴν Ἴδην. δεύτερος δὲ Ἀγαμέμνονος ἀριστεύει ὡς ὑποσχόμενος αὐτῷ. εἶτα Μενέλαος· οὐ γὰρ εἷα συνανδραγαθεῖν τῷ ἀδελφῷ τὸ τραῦμα.

4. τὸ B: τὸν ‖ 11. ἐπαναβολὴ A, ἐπανάληψις B ‖ 22. ᾖ π.

46. ἵππων ἐπιβησόμενον] ἐφαψάμενον αὐτὸν τοῦ ἅρματος καὶ μέλλοντα τελειῶσαι τὴν βάσιν ἔφθασεν ἡ τοῦ πολεμίου πληγή. B=

48. ἐσύλευον θεράποντες] ἐν ἀκμῇ γὰρ τὰ τῆς συμβολῆς. Ἐλεφήνωρ γοῦν παρὰ καιρὸν τοῦτο ποιῶν ἀναιρεῖται· σῴζεται δὲ καὶ τὸ ἀξίωμα τοῦ βασιλέως. B=

49. Σκαμάνδριον] οἰκεῖον κυνηγῷ· ποταμοὶ γὰρ αὐτοῖς ἡ διαγωγὴ καὶ ὕλαι. B=

50. Ἀτρεΐδης Μενέλαος ἕλ' ἔγχει] καταπλήττει τοὺς πολεμίους καὶ θαρσύνει τοὺς Ἀχαιοὺς ὑπόγυιος τρωθεὶς καὶ μαχόμενος. B=

ὀξυόεντι] οὐκ ἀπὸ ὀξύας· μελίνοις γὰρ ἐχρῶντο.

51. δίδαξε γὰρ Ἄρτεμις] τὰς ἐν ταῖς τέχναις ἐξοχὰς προσάπτουσι θεοῖς· "κλεπτοσύνῃ θ' ὅρκῳ τε" (Od. 19. 396). B–

53. ἀλλ' οὔ οἱ τότε χραῖσμε] δείκνυται τὸ ἀπαράβατον τοῦ μοιριδίου καὶ διὰ τούτου. B=

56. μετάφρενον οὔτασε] ἀσθενὴς γὰρ ἡ βολὴ Πανδάρου· ἢ διὰ τὴν ἀσέβειαν ⟨τῶν⟩ Τρώων ἐξῆπται προθυμίᾳ ἢ διὰ τὴν ἐπικουρίαν τῶν θεῶν. B=

58. ἤριπε δὲ πρηνής] ἀπὸ ⟨τῆς⟩ βίας τοῦ δόρατος ἀνατραπείς. ἔδειξε δὲ ἡμῖν ὅπλα κραδαινόμενα τῇ πτώσει τοῦ τεθνεῶτος. B=

59. * Φέρεκλος ὁ φέρων κλόνον διὰ τῶν νέων. B=

⟨Τέκτονος υἱὸν⟩ Ἁρμονίδεω] ὄνομα κύριον, ὁ Ἁρμονίδου. A–

60. ⟨ὃς χερσὶν ἐπίστατο —⟩ ὃς καὶ Ἀλεξάνδρῳ] ὁ Ἁρμονίδης τουτέστιν ⟨ὁ Τέκτων⟩, ἐπεὶ ὁ Φέρεκλος πρὸς τὰ δεύτερα ὑπαντᾷ· καὶ οἱ ἱστορικοὶ .... §. ὁ δὲ δεύτερος "ὅς" ἐπὶ Φερέκλου. καὶ Λυκόφρων (97) "τράμπις ⟨σ'⟩ ὀχήσει καὶ Φερέκλειοι πόδες." B– A+

δαίδαλα πάντα] ἀπὸ τῆς δαίσεως.

δαίδαλα πάντα] Ἀρίσταρχος δὲ "δαίδαλα πολλά." A+

61. ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη] ἡ ἐργάνη. διδάσκει δὲ μὴ κακῶς κεχρῆσθαι τοῖς παρὰ θεῶν δώροις. B=

62. νῆας εἴσας] ἴσας τὰς ναῦς φησιν, ὅτι ἀντι⟨ρ⟩ρόπως πορεύονται. ἀντίρροπος δέ ἐστι ναῦς ἡ ἔχουσα ἴσα τὰ πλευρὰ κατὰ τὸ μέγεθος καὶ σχῆμα καὶ βάρος. A B=

64. ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ἤδη] Λακεδαιμονίους φασὶ λιμῷ A+ B=

8. ἐλέγχεϊ ‖ 9. ὑπὸ γνιὸς ‖ 10. ὀξείας: corr. Bekker ‖ 16. ἐπῆρται coni. W ‖ 20. κύριον //// ὁ Α. ‖ 22. ὁ φέρεκλος ἐπεὶ ‖ 23. lacunam indicavi ‖ ὁ δὲ δῖος ἐπὶ φ' ἔκλου ‖ 24. supplevi ex B ‖ 26. schol. cum praecedenti cohaeret ‖ 27. ἡ ὀργανικὴ

πιεζομένους τὸ αἴτιον ἀνακρίνειν τὸν θεόν· τὸν δὲ εἰπεῖν ἐξιλάσκεσθαι τοὺς Τεύκρων δαίμονας, Ἰμερτὼ καὶ Λύκον· τὸν δὲ Μενέλαον ἀπελθόντα εἰς Ἴλιον ἐπιτελεῖν τὰ προσταχθέντα καὶ συμμίξαντα Ἀλεξάνδρῳ ἅμα αὐτῷ ἀπιέναι εἰς Δελφοὺς ἐρησόμενον περὶ παίδων γονῆς· ἐρωτᾶν δὲ καὶ Ἀλέξανδρον, ὅπως ἂν ἁρπάσαι τὴν Ἑλένην· τὸν δὲ θεὸν εἰπεῖν "τίπτε δύω βασιλῆες, ὃ μὲν Τρώων, ὃ δ' Ἀχαιῶν, οὐκέθ' ὁμὰ φρονέοντες ἐμὸν ποτὶ νηὸν ἔβητε, ἦτοι ὃ μὲν γενεὴν ἵππου διζήμενος εὑρεῖν, αὐτὰρ ὃ πῶλον ἐλεῖν; τί νυ μήσεαι, ὦ μεγάλε Ζεῦ;" τοὺς δὲ μὴ νοήσαντας ὑποστρέψαι. τοῦτο οὖν λέγει ὁ ποιητὴς "ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη."

* τ' αὐτῷ] ⟨τε⟩ αὐτῷ.

66. * γλουτόν] τοῦ ἰσχίου τὸ μέρος.

AB= 67. ἀντικρὺ κατὰ κύστιν] αἰσχρὸν τὸ τραῦμα τοῦ τῆς πορνείας ναυπηγοῦ. δηλοῦται τῆς πληγῆς ⟨ἡ βία⟩· ὀστέοις γὰρ σκέ[πεται] ἡ κύστις· ἃ παρῆλθε τὸ δόρυ.

B– 68. γνὺξ δ' ἔριπε] τὸ εἰς γόνατα πεσεῖν· πιθανὸν δὲ σπασμοῦ γεγονότος [καὶ] συννεῦσαι τὸν τρωθέντα.

A+ 69. Πήδαιον δ' ἄρ' ἔπεφνε] Ἀρίσταρχος Πήδαιον· παρὰ τὸ πηδᾶν.

AB– 70. ὅς ῥα νόθος μὲν ἦεν] βάρβαρον ἔθος τὸ πολλαῖς γυναιξὶ μίγνυσθαι· Λαέρτης γοῦν "χόλον δ' ἀλέεινε γυναικός" (Od. 1. 433). ἢ τάχα ἤγνευεν αὐτὴ διὰ τὴν ἱερωσύνην· νόμον δὲ τοῦτον ὑπογράφει ταῖς γυναιξὶν ὁ ποιητής. σώφρονος γὰρ γυναικὸς τὸ γεγονὸς ἁμάρτημα τοῦ ἀνδρὸς σκέπειν. φησὶ δὲ καὶ Εὐριπίδειον "σοὶ καὶ ξυνήρων" (Andr. 221). §. νόθος δὲ ὀνοτός τις ὤν, ἢ νωθὴς τῷ γένει.

B= πύκα δ' ἔτρεφε] ὡς ἀγαθὸς τρόπος περιγίνεται τῶν παθῶν τοῦ λογισμοῦ. ἕκαστον δὲ σαφηνίζει, τοὺς βάλλοντας ⟨καὶ τοὺς πίπτοντας⟩ αὔξων καὶ τὸ προσκορὲς ἀφανίζων.

* [Θεανώ]] παρὰ τὸ θέαινα.

B= 74. ὑπὸ γλῶσσαν τάμε χαλκός] ὑπὸ τὴν γλῶσσαν διὼν ὁ χαλκὸς τοὺς ὀδόντας ἀνέτεμεν. ὀξέως δὲ δι' ἀναίμων ὀστέων διιόντος τοῦ σιδήρου ψυχρὸν αὐτὸν ὀνομάζει. ἀλλαχοῦ δὲ "πᾶν δ' ὑπεθερμάνθη ξίφος" (Il. 16. 333).

4. Δελφούς B: *θεούς* ‖ 5. *ἁρπάσοι* ‖ 6. *δύο* ‖ 8. *πῶλον ἐλεῖν* add. sec. ut B spatio a pr. relicto ‖ *μεγάλε* W ex Eust.: *μάκαρ ὦ* ‖ 14. supplevi ex B ‖ 18. *πῆδον παρὰ τὸ πηδᾶν* ‖ 19. *τὸ ταῖς π.* ‖ 26. supplevi ex B ‖ 28. novavit rec.

75. ἤριπε δ' ἐν κονίῃσι] εἰκότως τελευτᾷ· ἠνέχθη γὰρ τὸ δόρυ, καθὸ λήγει ὁ ἐγκέφαλος καὶ ὁ νωτιαῖος μυελὸς ἄρχεται, ἴσον δὲ τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ δύναται τοῦτο ⟨τὸ⟩ μέρος· δῆλον δὲ ἐκ τῶν ἱερείων, ἃ τιτρωσκόμενα κατὰ τὸ ἰνίον διαλύεται. B−

76. Ὑψήνορα δῖον] δύο Ὑψήνορες· καὶ ἀλλαχοῦ γάρ φησιν "Ἱππασίδην Ὑψήνορα" (Il. 13. 411).

78. θεὸς δ' ὣς τίετο δήμῳ] διδάσκει πῶς χρὴ διακεῖσθαι πρὸς τοὺς ἱερεῖς. B=

80. μεταδρομάδην] τὸ ἑξῆς "μεταδρομάδην αἴξας," ἐπιδιώξας τὸν φεύγοντα. B=

81. ἀπὸ δ' ἔξεσε χεῖρα] τὸ ῥᾴδιον τῆς ἐκτομῆς ἐδήλωσεν "ἔξεσε" εἰπών, οὐκ ἀπέκοψεν. A B=

82. αἱματόεσσα δὲ χεὶρ] οἷκτον ⟨ἔχει ἡ⟩ χεὶρ δίχα παντὸς τοῦ σώματος κειμένη· ὑπ' ὄψιν γοῦν ἤγαγε τὸ πάθος. B=

83. πορφύρεος θάνατος] ὁ μέλας· καὶ "πορφύρεον δ' ἄρα κῦμα" (Il. 21. 326). "μέλαν δέ ἑ κῦμα κάλυψεν" (Il. 23. 693). A+ B−

84. ὡς οἱ μὲν πονέοντο] ὡς καὶ ἄλλων τινῶν ἀσήμων ἐνεργησάντων. B=

85. Τυδεΐδην δ' οὐκ ἂν γνοίης] ἡδὺ τὸ τῆς ἀποστροφῆς ὡς πρὸς πρόσωπον· "φαίης κε ζάκοτόν τε τιν' ἔμμεναι" (Il. 3. 220)· ἡ δὲ τῆς ἑρμηνείας θερμότης τὸν βεβακχευμένον Διομήδεα δείκνυσιν. B=

87. θῦνε γάρ] ἐνθουσιωδῶς μετά τινος ὁρμῆς ἐφέρετο. ἐπιτείνει δὲ αὐτὸν τῷ "χειμάρρῳ," εἰκονίσας ἡμῖν τί ἐστι χειμάρρους, καὶ τῷ "πλήθοντι." B=

88. ἐκέδασσε γεφύρας] καλῶς κἀκ τῶν πασχόντων τοῦ ποταμοῦ τὴν βίαν ἠύξησεν. B=

89. τὸν δ' οὔτ' ἄρ τε γέφυραι] ἡδὺ τὸ τῆς ἐναλλαγῆς τῆς πτώσεως ἐν τῇ ἐπαναλήψει, καὶ πάλιν ἐν τῇ γενικῇ "πολλὰ δ' ὑπ' αὐτοῦ ⟨ἔργα⟩ κατήριπε" (92). B=

* ἐεργμέναι] χωρὶς τοῦ γ̄ "ἐερμέναι." A+

90. * ἀλωάων] τῶν ἀμπελοφύτων. B+

92. κατήριπε κάλ' αἰζηῶν] ἀντὶ τοῦ ἀνθρώπων· "μινύθει δέ τε ἔργ' ἀνθρώπων" (Il. 16. 392). ἐμφαντικῶς δὲ καὶ τὰ ὑπὸ νεανιῶν οἰκοδομηθέντα παρασύρεσθαί φησιν. B−

3. ᾧ οὐ post δύν. omisi ut B ‖ 13. supplevi ex B ‖ 25. ἐσκέδασε ‖ 31. χωρίων post ἀμπ. add. sec.

B= 97. αἶψ' ἐπὶ Τυδείδῃ] καλῶς τιτρώσκει Διομήδεα, ἐπεὶ "ῥέζοντά τι καὶ παθεῖν ἔοικεν" (Pind. Nem. 4. 32).

B= 98. ἐπαΐσσοντα τυχών] συνήργησεν ἡ Διομήδους ὁρμὴ πρὸς τὴν δίοδον τοῦ βέλους.

A= 99. θώρηκος γύαλον] τὸ γύαλον ὅταν ἐπίθετον ᾖ ὀξύνεται· "εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γύαλον λίθον ἀγκάσ⟨σ⟩ασθαι" (? Call. p. 773 Schn.).

B– θώρηκος γύαλον] πρὸς ἀντιδιαστολὴν τῶν χειρίδων "θώρηκος γύαλον" φησὶ τὸ περὶ τὸν ὦμον μέρος· λέγει δὲ τὸ κοίλωμα.

B– 101. ἐπὶ μακρὸν ἄυσε] οὐδεὶς τῶν βαλλόντων ἢ μόνος οὗτος ὁ ἀλαζὼν ἐφθέγξατο. διὸ ὥσπερ ἐλέγχων αὐτοῦ τὸ φλύαρόν φησι "τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν." οὐ φθέγγεται δὲ τρώσας Μενέλαον, ὅτι ἡ πρᾶξις αἰσχρὰ ⟨οὖσα⟩ καὶ ἔλεγχον ἀσεβείας ἔχει, ἣ βουλόμενος ἑαυτὸν μὴ φανερὸν ποιῆσαι τοὺς ὅρκους παραβάντα ἐν τοῖς Τρωσίν.

AB= 103. βέβληται ⟨γὰρ⟩ ἄριστος Ἀχαιῶν] ἀντὶ τοῦ ἀριστεύς— Αἴας γὰρ μετ' Ἀχιλλέα—ἢ διὰ τὴν εὐδαιμονίαν· "ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν" (Il. 6. 98)· ἢ ἑαυτὸν ὑψῶν ὁ Πάνδαρος ἄριστον τὸν τρωθέντα φησίν.

B= 107. πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν ἔστη] γενναῖον ἦθος Διομήδους, ὃς οὐκ οἴχεται καιρίαν λαβὼν τὴν πληγήν.

B= 109. ὄρσο, πέπον] οὐδὲν ἀποιμώζει πρὸς τὴν πληγήν, ἀλλὰ γενναίως τὴν χρείαν μόνην φησίν.

B= 111. Σθένελος δὲ καθ' ἵππων] πρεπόντως καὶ Σθένελος οὐδὲν ἐπιζητεῖ· καὶ γὰρ ἀνοίκειον τῷ καιρῷ.

B= 112. ἐξέρυσ' ὦμου] αὕτη ἐστὶν ἡ κατὰ διωσμὸν βελουλκία, ἵνα μὴ πάλιν τιτρώσκηται ταῖς ἀκίσιν ὑποστρεφούσαις.

AB= 113. αἷμα δ' ἀνεκόντιζε] ἐμφαντικὴ ⟨ἡ⟩ μεταφορὰ τοῦ αἵματος ἀναθέοντος μετὰ βίας· ἀρτηριώδης γὰρ καὶ φλεβώδης ὁ τόπος.

B= 116. εἴ ποτέ μοι καὶ πατρί] ἀντὶ τοῦ μου. §. προφκονόμησε δὲ τὸν

B= Τυδέα ὁ ποιητής.

B= 117. δηίῳ ἐν πολέμῳ] ὑποστικτέον ἐν τῷ "πολέμῳ." §. ἄμεινον

B= δὲ ὀρθοτονεῖν τὸ "ἐμέ," ἵν' ᾖ καὶ ἐμὲ ὡς ἐκεῖνον.

B= 118. δὸς δέ τε μ' ἄνδρα ἑλεῖν] οὐ περὶ τῆς ἰάσεως ἀλλὰ τῆς τοῦ βαλόντος εὔχεται τιμωρίας. οἰκείως δὲ τοῖς παθήμασιν οἱ

13. βασιλείας: corr. W ‖ 14. παραβῆναι ‖ 21. ὄρσεο ‖ 26. τιτρώσκοιτο ‖ 27. ἅμα ἀν.

εὐχόμενοι τοῖς θεοῖς τὰ ἐπίθετα ποιοῦνται, καὶ νῦν μὲν ὁ καταπονούμενος ἀτρυτώνην, ἡ δὲ Ἑκάβη εὐχομένη τὴν Ἴλιον σῴζεσθαι ἐπικαλεῖται τὴν ἐρυσίπτολιν (Il. 6. 305), οἱ δὲ τὴν λείαν λαβόντες ἀνατιθέασι τῇ λητίδι (Il. 10. 460).

καὶ ἐς ὁρμὴν ἔγχεος] ἢ ἐμὲ ἰσχῦσαι πάλλειν δόρυ, ἢ αὐτὸν ἀντιστῆναι τῇ ὁρμῇ τοῦ ἐμοῦ δόρατος. μόνον δὲ πλησιάσαι αὐτὸν εὔχεται· πέποιθε γὰρ ὡς αἱρήσων τὸν Πάνδαρον. A+ B=

119. * ὅς μ' ἔβαλε φθάμενος] καλῶς ἐπὶ τὴν τύχην, οὐκ ἐπὶ τὴν ἀρετὴν τοῦ βαλόντος ἀνήνεγκε τὴν ἀνδραγαθίαν. B=

καὶ ἐπεύχεται] ἅπτεται τῶν μειζόνων ἡ τῶν χειρόνων μεγαλαυχία. A B=

122. γυῖα δ' ἔθηκεν ἐλαφρά] οἰκείως· τρωθεὶς γὰρ ἐβεβάρητο. οὐκ ἔχομεν οὖν εἰπεῖν, πῶς ἀριστεύει πάλιν. B=

126. ἄτρομον, οἷον ἔχεσκε] φασὶν ἐν τῷ Θηβαϊκῷ πολέμῳ Τυδέα τρωθέντα ὑπὸ Μελανίππου τοῦ Ἀστακοῦ σφόδρα ἀγανακτῆσαι· Ἀμφιάρεων δὲ κτείναντα τὸν Μελάνιππον δοῦναι τὴν κεφαλὴν Τυδεῖ· τὸν δὲ δίκην θηρὸς ἀναπτύξαντα ῥοφᾶν τὸν ἐγκέφαλον ὑπὸ θυμοῦ· κατ' ἐκεῖνο δὲ καιροῦ παρεῖναι Ἀθηνᾶν ἀθανασίαν αὐτῷ φέρουσαν ἐξ οὐρανοῦ, καὶ διὰ τὸ μύσος ἀπεστράφθαι. τὸν δὲ θεασάμενον παρακαλέσαι κἂν τῷ παιδὶ αὐτοῦ χαρίσασθαι τὴν ἀθανασίαν. ἱστορεῖ Φερεκύδης. A B=

127. ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον] παιδευτικῶς ἐδογμάτισεν ἀχλὺν ἐπικεχύσθαι τοῖς ἀνθρώποις, ὅπως ἀεὶ δοκοῖμεν ἡμῖν παρεστάναι τὸ θεῖον. B=

128. ἠδὲ καὶ ἄνδρα] θεὸν ὁμοιωθέντα ἀνδρί, ἵνα διακρίνῃς καὶ τὸν ὄντως ἄνδρα· τοῦτο γὰρ δηλοῖ "ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα." B=

131. Ἀφροδίτη—τήν γ' οὐτάμεν] ἡ πρακτικὴ φρόνησις καταφρονεῖν αὐτὸν ⟨τῶν⟩ ἡδονῶν παρασκευάζει. B=

132. τήν γ' οὐτάμεν] καὶ μετὰ τοῦ γ̄ καὶ χωρὶς τοῦ γ̄· Ζηνόδοτος δὲ "τὴν οὐτάσαι." A+

136. ἕλεν μένος] Πτολεμαῖος διὰ τοῦ γ̄ "ἔχεν μένος." A+

ὥστε λέοντα] καλῶς τῶν μὲν τετραπόδων τὰ ἀσθενέστερα παρείληφε τὰ πρόβατα, τῶν δὲ θηρίων τὸ ἀλκιμώτατον ⟨τὸν⟩ λέοντα, καὶ τὸν μὲν ὑπὸ τῆς πληγῆς ἠρεθισμένον, τὰ δὲ ἔρημα τοῦ φυλάττοντος. B=

2. ἑκάτη: at cf. Il. 6. 305 ‖ 17. ὑπὸ A: ἀπὸ ‖ 19. μῦσος ‖ 22. αὖ τ' ἀπ' ‖ 33. τὸν ἀ.

B= 137. *οἰεσσιν*] *ἀντὶ τοῦ ταῖς ἐπαύλεσιν, ὡς τὸ "ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη"* (Il. 6. 25).

138. *χραύσῃ*] *τύψῃ ἢ τρώσῃ. §. εὖ δὲ τὸ μὴ φάναι τύψῃ ἢ*
A–B= *βάλῃ, ἀλλὰ θίξῃ διὰ τὴν ἐπιπολαίαν πληγήν.*

B= 140. *ἀλλὰ κατὰ σταθμοὺς δύεται*] *ἐναργῶς τὸν δεδιότα ἐσήμανεν.*

B= 141. *αἳ μέν τ' ἀγχηστῖναι ἐπ' ἀλλήλοισι κέχυνται*] *οὕτω γὰρ συνέρχονται ἀλλήλαις ἐπιπτοηθεῖσαι· ἤτοι δὲ αἱ ζῶσαι ἢ αἱ καταβαλλόμεναι.*

B= *κέχυνται*] *τὸ πλῆθος δηλοῖ· διὸ καὶ "μελισσάων ἀδινάων"* (Il. 2. 87) *φησὶ καὶ "μῆλ' ἀδινά"* (Od. 1. 92).

A+B= 142. *ἐξάλλεται αὐλῆς*] *ἔξω ὧν ἅλλεται κατὰ τῆς αὐλῆς· ἢ ἀντὶ ⟨τοῦ⟩ καθάλλεται· ἢ ὑπεράλλεται τῆς αὐλῆς, ὡς ἐξωγκῶσθαι λέγομεν τὸ ὑπερυψῶσθαι. ἔμφασις δέ, εἴγε καὶ ὑψηλῆς οὔσης τῆς αὐλῆς ⟨ὑπερ⟩άλλεται αὐτήν. ἔστι δὲ ὡς τὸ "Τρώων ὁρμήσειαν"* (Il. 4. 335)· *οὐ γὰρ ἀναχωροῦντι τῷ λέοντι εἴκασεν αὐτόν. §. ἢ ἐξάλλεται ἐκ τῆς αὐλῆς, ἐκ τοῦ σταθμοῦ.*

B= 143. *ὣς μεμαὼς Τρώεσσι*] *δῆλον ὅτι τῆς προθυμίας ἐποιήσατο τὴν ὁμοίωσιν. οὐκέτι δὲ καθ' ἕνα, ἀλλὰ σύνδυο ἀναιρεῖ. ὅρα δὲ τὴν ποικιλίαν τῆς ἑρμηνείας.*

146. *κληῖδα παρ' ὦμον ⟨— ἐέργαθεν ἠδ' ἀπὸ νώτου⟩*] *ὦμος ἀπεκόπη αὐχένος· οὕτω δὲ διήρηται.*

B= 147. *⟨βαλὼν —⟩ πλῆξε*] *ἀπὸ μετοχῆς τῆς βαλών εἰς ῥῆμα, ὡς τὸ "ἰοῖσίν τε τιτυσκόμενοι λάεσ⟨σ⟩ί τ' ἔβαλλον"* (Il. 3. 80).

A+B= 150. *τοῖς οὐκ ἐρχομένοις*] *ἐρχομένοις εἰς τὴν μάχην οὐκ ἐμαντεύσατο· ὅμοιον δέ ἐστι τῷ "ἀλλ' οὔ οἱ τότε ⟨γε⟩ χραῖσμ' Ἄρτεμις ἰοχέαιρα"* (53).

B= 153. *ἄμφω τηλυγέτω*] *μεθ' οὓς οὐκ ἐπαιδοποίησεν ὁ πατήρ, ἢ τῆλε τῆς ἡλικίας γενομένῳ τῷ πατρὶ γεννηθέντες.*

B= *ὃ δὲ τείρετο γήραϊ λυγρῷ*] *ἐλέγχει τοὺς οἰομένους δεῖν ἐπὶ γήρᾳ παιδοποιεῖν, ὅπως διαδόχοις χρήσωνται, ὡς κακῶς οἰομένους· νικᾷ γὰρ ἡ πήρωσις.*

AB= 158. *χηρωσταί*] *οἱ τὸν χῆρον οἶκον διανεμόμενοι κληρονόμοι.*

A+B– §. *"χηρωσταί" δὲ ὡς ἀθληταί. ἢ ἀγχιστεῖς ἢ κληρονόμοι.*

1. δὲ πόεσι ‖ 10. μῆλα ‖ 12. supplevi ex B ‖ 18. σὺν δύο ‖ 20. πρώτη μέν τις ἀπ. τῆς χειρός, cf. D ‖ 21. post διήρ. omisi κρεμᾶται ἡ χείρ ‖ 27. ἢ W : οἱ ‖ 30. χρήσαιντο ‖ 31. πήρωσις B : πεπρωμένη

διὰ κτῆσιν δατέοντο] προληπτικῶς· οὔπω γὰρ ἀπέθανεν ὁ γέρων. B=

161. ἐξ αὐχένα ἄξει] ἔμφασιν διακοπῆς ἔχει ἡ ὑπέρ[θεσις], ὡς τὸ "λέων κατὰ ταῦρον ἐδηδώς" (Π. 17. 542).

ἐν βουσὶ θορὼν—πόρτιος ἠὲ βοός] εἰπὼν τὸ γενικὸν ἐπὶ τὰ ἰδικὰ ἔρχεται. ὁ δὲ ἢ ἀντὶ τοῦ καί, ὡς "εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Π. 20. 138). B=

162. πόρτιος] νέου βοός, μόσχου. A+

ξύλοχον] τόπον σύνδενδρον· οἱ δὲ κοίτην θηρίου.

166. * ἀλαπάζοντα] ἀναλίσκοντα.

τὸν δ' ἴδεν Αἰνείας] τὸ ὁμοειδὲς ἐκκλίνει καὶ πρόθυμον Πάνδαρον ποιεῖ ἀθυμοῦντα ἐπὶ Διομήδει. B=

168. Πάνδαρον—διζήμενος] αὐτὸς ἔξω κινδύνων στὰς τοξότην ἀντικαθίστησιν αὐτῷ· οὐ γὰρ ἐθέλει κινδυνεύειν Αἰνείας. B=

171. ποῦ τοι τόξον] ἡ τοξεία· οἰκεῖα δὲ τὰ ἐγκώμια τῇ προτροπῇ, ὡς εἰς αὐτὸν μόνον σαλευούσης τῆς σωτηρίας τῶν Τρώων. B=

177. εἰ μή τις θεός ἐστι] οἰκείως ὑπονοεῖ θεὸν ὁ προελθὼν ἐκ θεᾶς. ἅμα δὲ καὶ ἦθος ἔχει. B=

178. χαλεπὴ δὲ θεοῦ ἐπιμῆνις] κατὰ παρολκὴν ἐστιν ἡ "ἐπί" πρόθεσις· διὸ οὐκ ἀμείβει τὸν τόνον. A+B=

181. Τυδείδῃ μιν—πάντα εἴσκω] καὶ πῶς γινώσκει τοῦ πυρὸς καιομένου; ἢ οὐ πάντα τὸν καιρὸν καίεται.

Τυδείδῃ μιν] διχῶς, καὶ "μίν" καὶ "μέν." A+

182. αὐλώπιδί τε τρυφαλείῃ] εἶδος περικεφαλαίας λόφον εἰς ὀξὺ ἀνατεταμένον ἐχούσης· τρυφαλὴς δὲ τρυφάλεια. B~

186. εἰλυμένος ὤμους] ἀπὸ μέρους τὸ πᾶν.

187. * ἔτραπεν] ἔτρεψεν.

191. θεός νυ τίς ἐστι κοτήεις] ἐν ἤθει τοῦτο διὰ τὸ μὴ ἀνῃρῆσθαι αὐτόν. B=

192. * ἐπιβαίην] ἵνα φύγῃ.

193. ἀλλά που ἐν μεγάροισι] κερτομεῖ αὐτοῦ τὸ φιλάργυρον, ὡς ἀμελοῦντος τῆς ἰδίας σωτηρίας ἀναλωμάτων φειδοῖ. B=

194. πρωτοπαγεῖς] πρώτως παγέντες, ὅ ἐστιν ἐξόχως. A=B+

πρωτοπαγεῖς νεοτευχέες] τὸν φειδωλὸν ὅρα καὶ ἀχράντους φυλάξαντα πρὸς ἀνάθεμα τοὺς δίφρους, καὶ ταῦτα πλῆθος ἔχοντα συνωρίδων. B=

10. τε post ὁμ. omisi ut B ‖ 15. τριῶν ‖ 16. προνοεῖ ‖ 34. post συνωρίδων add. ἕνδεκα δίφροι : traieci ad lemma proximum

195. ἕνδεκα δίφροι—παρὰ δέ σφιν ἑκάστῳ] "σφίν" ἀντὶ τοῦ σφῶν.

A– 196. ⟨κρῖ⟩] εἰδέναι δεῖ καὶ ζητεῖν πότερον ἐκ τοῦ κρῖμνον ἢ ἐκ τῆς κριθῆς ἀποκέκοπται τὸ "κρῖ" εἰ μὴ γὰρ ἦν τὸ κρῖ οὐδετέρου γένους, οὐκ ⟨ἂν⟩ ἐποιεῖτο τὴν σύνταξιν μετὰ τοῦ "λευκόν" οὐδετέρου, οἷον "κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας·" καὶ αὐτὸ γὰρ τὸ κρῖμνον οὐδετέρου γένους ἐστίν. φαίη ⟨ἄν⟩ τις πρὸς τοῦτο, οὐδὲν μέγα· δύναται γὰρ καὶ ἐπὶ θηλυκοῦ λαμβάνεσθαι, οἷον τὴν κρῖ λευκὸν οὖσαν, ἀντὶ τοῦ ⟨λευκήν⟩, ὥσπερ τὴν θεόν, τὴν δοῦλον, ἅπερ εἰσὶν Ἀττικά· πρὸς ὃ λέγομεν, ὅτι ἂν πιστώσειε ⟨τὸ⟩ οὐδέτερον καὶ μόνον ὂν ἐνταῦθα τὸ "εὐρυφυὲς κρῖ ⟨λευκόν⟩" (Od. 4. 604)· κρῖμνον δέ ἐστι τὸ λεπτὸν ἄχυρον τῆς κριθῆς· ἀποδέδεικται οὖν, ὅτι τὸ κρῖ ἐκ τοῦ κρῖμνον καὶ οὐκ ἐκ τοῦ κριθή ἐστι γεγονός.

AB– ἐρεπτόμενοι] κυρίως, ἀπὸ τῆς ἔρας λαμβάνοντες.

B= 197. ἦ μέν μοι μάλα πολλὰ γέρων] ἐπιτείνει τὴν φειδωλίαν· τοὐναντίον γὰρ ἔδει. τὸ φιλότιμον γὰρ τῶν νέων ἐπέχουσιν οἱ γέροντες· ὃ δὲ καὶ τοῦ γέροντος ὤφθη σμικρologώτερος.

AB+ 203. ἔδμεναι ἄδδην] Νικίας διὰ δύο δέλτα γράφει διὰ τὸ μέτρον —ὁμοίως καὶ τὸ "κύον ἀδδεές" (Il. 21. 481)—καὶ ψιλοῖ, Ἀρίσταρχος τὸ "ἄδην" δι' ἑνὸς δ̄ καὶ βραχέως καὶ δασέως· τὸ γὰρ ᾱ πρὸ τοῦ δ̄ δεκτικὸν μὲν ψιλοῦται, ὡς τὸ ἀδολέσχης ἀδρανής, μὴ οὕτω δὲ ἔχον δασύνεται "ἄδε δ' Ἕκτορι μῦθος" (Il. 12. 80)· "ἄδος τέ μιν ἵκετο θυμόν" (Il. 11. 88). §. "ἄδδην" δὲ εἰς κόρον.

B= 206. ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν] ὡς πρὸς φίλον ὁμολογεῖν ὑπὸ μεγαλαυχίας ἐξέλκεται τὰ ἀπόρρητα.

B= 208. ἀτρεκὲς αἷμα ⟨ἔσσευα⟩] ἀντὶ τοῦ ἀτρεκέως εἶδον αὐτό, οὐκ

AB= ἠπάτημαι. §. διαστολὴ δὲ εἰς τὸ "βαλών."

AB= 211. ἡγεόμην Τρώεσσι] μετὰ ⟨τὸ⟩ "Τρώεσσιν" ἀναπαύσασθαι δεῖ 'ἡγούμην τῶν Τρώων χάριν φέρων τῷ Ἕκτορι.' τὸ δὲ "Τρώεσ⟨σ⟩ιν" ἤτοι καθολικῶς, ὡς "Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν" (Il. 6. 1), καὶ τοῖς ὑφ' Ἕκτορι τεταγμένοις, "Τρωσὶ μὲν ἡγεμόνευε—κορυθαίολος Ἕκτωρ" (Il. 2. 816)· ἢ καὶ τοῖς Ζελείταις, "οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης—Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱὸς Πάνδαρος" (ib. 824).

B= ἡγεόμην Τρώεσσι] τοῖς Ζελείταις· τινὲς μὴ θέλοντες Τρῶας εἶναι

7. κρῖ λευκὴν ‖ 8. λευκὸν ante θεὸν del. W. ‖ 9. ὅτι πιστοῖ coni. W, ὅτι ὃν πείσει ‖ 9, 10. suppl. W ‖ 12. κριθῆς ‖ 16. σμ. B: σμικρologώτατος ‖ 19. ἄδην ‖ 27. δεῖν

τοὺς Ζελείτας, τὸ "Ἕκτορι" ἀντὶ τοῦ δι' Ἕκτορά φασιν, ὡς τὸ "σοὶ πάντες μαχόμεσθα" (Il. 5. 875), οὐκ εὖ.

φέρων χάριν Ἕκτορι δίῳ] ἔν τισι "φέρων χάριν ἱπποδάμοισιν." A+

216. χερσὶ διακλάσσας] διὰ τῆς ἀναδιπλασιάσεως τοῦ σ τὸν B=
ἀπὸ τῆς συντρίψεως τῶν κεράτων γινόμενον κτύπον ἐμιμήσατο.

ἀνεμώλια γάρ μοι] ἀνέμοις ἀπολέσθαι ὀφείλοντα· ἀλλαχοῦ φησιν B=
"ἀνηρείψαντο θύελλαι" (Od. 4. 727).

217. Αἰνείας Τρώων ἀγός] καὶ Δαρδάνιοι γὰρ τῶν Τρώων.

219. πρίν γ' ἐπὶ νὼ ⟨τῷδ' ἀνδρί⟩] πρὶν νὼ ἐπὶ τῷδε ἀνδρί· A+ B−
ἐνταῦθα δὲ μόνον κέχρηται τῷ "νώ" καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ "νὼ ἀναβησάμενοι" (15. 475).

222. οἷοι Τρώιοι ἵπποι] τοῦτο κοινόν, εἰ μὴ καὶ τοὺς ἀπὸ Τρωὸς B=
λάβοιμεν.

223. κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα] συνέτεμε τὸ ἐγκώμιον πρὸς B=
εἰδότα λέγων. Διομήδης δὲ (263) ἐξέτεινεν, ὅπως μὴ καταφρονήσῃ ὁ Σθένελος.

224. τὼ καὶ νῶι πόλινδε σαώσετον] πιθανῶς ἀλαζονευόμενος ἐπ' B=
αὐτοῖς στέρεται αὐτῶν, καὶ πρὸ πείρας φυγὴν προσδοκᾷ. Διομήδης δὲ τοὐναντίον.

226. σιγαλόεντα δέξαι] "δέξαι" ἀπὸ τοῦ ἡνιόχου. §. "σιγαλόεντα" B=
δὲ τὰ σῖγα ἀλλόμενα.

227. ἐγὼ δ' ἵππων ἀποβήσομαι] Ζηνόδοτος "ἐπιβήσομαι" φησὶ A+ B=
γοῦν "ἐς ἅρματα ποικίλα βάντες" (239). ἐὰν δὲ γραφῇ "ἀποβήσομαι," ἀντὶ τοῦ ἐκστήσομαι τῆς ἐπιμελείας αὐτῶν.

231. ὑφ' ἡνιόχῳ εἰωθότι] ὡς ἄπειρος προφασίζεται, ἐπεὶ Κεβριό- B=
νου ἀποθανόντος ἄλλον Ἕκτορι δίδωσιν ἡνίοχον, καὶ Διομήδης αὐτοῖς ἀγωνίζεται, καὶ Μενέλαος Αἴθῃ τῇ Ἀγαμέμνονος ἵππῳ. §. μόνως διὰ A+
τοῦ ι τὸ "εἰωθότι."

233. μὴ τὼ μὲν δείσαντε ματήσετον] οὐδὲ περὶ αὐτῶν τι χρη- B=
στὸν μαντεύεται. Δημοσθένης δέ φησι "δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ἃ ἂν ὁ θεὸς διδῷ γενναίως" (de Cor. § 97).

241. τοὺς δὲ ἴδε Σθένελος] ὡς ἀπὸ τοῦ δίφρου ὑψηλότερος ὢν AB=
ἐθεᾶτο, ἢ ὡς ἀσχολουμένου Διομήδους περὶ τοὺς πολεμίους.

1. τὸ Ἕ. B: τῷ ‖ 8. ἀγός /////// και Δαρδ. ‖ 9. supplevi ex B ‖ 17. νῶιν ‖ 26. Ἕκτωρ ‖ 28. τὸ ι τῷ

B= 242. αἶψα δὲ Τυδείδην] ἐπείγει γὰρ τοὺς λόγους ὁ καιρός.

AB– 245. ἵν' ἀπέλεθρον ἔχοντας] στιγμὴ εἰς τὸ "ἔχοντας·" λείπει δὲ τῷ ἑξῆς τὸ ἐστίν· οὐ γὰρ δύναται σχῆμα εἶναι, ὡς Νικάνωρ φησίν.

AB= §. τὸ δὲ πλέθρον πήχεις ἔχει ξς' δίμοιρον.

A+B= 249. χαζώμεθ' ἐφ' ἵππων] ἀντὶ τοῦ εἰς ἵππους, ὡς ἐπὶ Ἀθηνῶν πλεῖν φαμεν· καὶ "⟨πέτονται⟩ ἐπ' Ὠκεανοῖο ῥοάων" (Il. 3. 5).

A+B= χαζώμεθ' ἐφ' ἵππων] οὐκ ἀναχωρεῖν αὐτῷ τῆς μάχης παραινεῖ ἐπὶ τῶν ἵππων, ἀλλ' ἀναβῆναι ἐπὶ τὸ ἅρμα καὶ μὴ πεζὸν πρὸς ἱππέας μάχεσθαι.

A–B= 252. μή τι φόβονδ' ἀγόρευε] ὡς γενναῖος καὶ τὴν ἐπὶ τὸ ἅρμα ἀνάβασιν φυγὴν ὁρίζει καὶ τὸ μετακινῆσαί τι τῆς στάσεως ἐν οἷᾳ κατελείφθη. ἠθικὸν δὲ τὸ "ἐπεὶ οὐδέ σε πεισέμεν οἴω" τὸν πάνυ φίλον· ἠθικὸν δὲ καὶ τὸ "οἴω."

A= 253. * ἀλυσκάζοντι] φεύγοντι.

256. τρεῖν μ' οὐκ ἔα Παλλὰς Ἀθήνη] καὶ ἀνδρείου καὶ εὐσεβοῦς πείθεσθαι θεῷ. §. τὸ δὲ "οὐκ ἔα" ἀπὸ τοῦ ἐάᾳ τρίτον πρόσωπόν ἐστι κατ' ἀποκοπήν· "οὐκ ἐάᾳ Κρονίδης" (Il. 8. 414).

A+B– τρεῖν οὐκ ἔα Παλλάς] συστέλλεται τὸ ᾱ καὶ βαρύνεται, ἵν' ᾖ παρατατικοῦ εἶων εἴας εἶα, καὶ τὸ προστακτικὸν "ἀλλ' ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας" (Il. 1. 276). ποιητικῶς οὖν συνέσταλται τὸ ᾱ καὶ ἔστιν παρατατικὸς ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ἐνεστώς ἐστιν, ἔθει Ὁμηρικῷ λυθήσεται· τὰ γὰρ τῆς δεύτερας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύει εἰς δύο ᾱ, ὧν τὸ μὲν πρῶτον συνέσταλται, τὸ δὲ δεύτερον ἐκτέταται καὶ σὺν τῷ ῑ γράφεται· "οὐχ ὁράᾳς οἷος κἀγώ" (Il. 21. 108), "ἰσχανάᾳ δακέειν" (Il. 17. 572), "ἦτ' ἐκπεράᾳ μέγα λαῖτμα" (Od. 9. 323), "οὐκ ἐάᾳ Κρονίδης" (Il. 8. 414). τοῦτο τοίνυν τὸ "ἐάᾳ" ἀποκέκοπται, ἔνθεν καὶ συνέσταλται τὸ ᾱ καὶ βαρύνεται. ὡς τὸ "σὲ γάρ φη Ταργήλιος" παρὰ Ἀνακρέοντι (fr. 40 B.).

B= 257. τούτω δ' οὐ πάλιν αὖτις ἀποίσετον] πολὺ τὸ διάφορον αὐτοῦ τε καὶ τῶν Πανδάρου λόγων.

B= 258. εἰ γοῦν ἕτερός γε φύγῃσι] γενναῖον τὸ λῆμα, εἰ μὴ ἀμφοτέρων, τοῦ ἑτέρου κρατήσειν πεπεισμένου· ἅμα δὲ καὶ ἀνθρωπίνως οὐ περὶ τῶν δύο ἀποφαίνεται, τὸ δὲ ὅλον τῇ Ἀθηνᾷ ἐπιτρέπει.

2. ἔχοντες bis ‖ 10. ἐνοία ‖ 11. οἷον τῶν πάνυ φίλων B ‖ 14, 17. ἐᾷ ‖ 20. ἰσοδυναμοῦν ‖ 22. ἅσωπον ‖ 23. συνστέλλεται ‖ 24. ὁρᾷς ‖ 27. φησιν ‖ 31. schol. post 256 legitur ‖ λῆμμα ‖ 33. ἐπὶ τ. Α. τρίπει : corr. W

260. αἴ κεν μοι πολύβουλος Ἀθήνη] ἐξέκοψε διὰ τῆς θεοῦ τὸ ἀλαζονικόν.

261. σὺ δὲ τούσ⟨δε⟩ μὲν ὠκέας ἵππους] νηφαλίως ἅπαντα προορᾷ οὐκ ἐκκρουόμενος ὑπὸ τοῦ προσδοκωμένου κινδύνου, εἶγε ὁ μὲν θεᾶς υἱός, ὁ δὲ τοξότης ἄριστος, ὃς ἤδη καὶ ἔβαλεν αὐτόν· πολεμικοῦ δὲ ἀνδρὸς ἀντιποιεῖσθαι τῶν πρὸς τὸν πόλεμον χρησίμων· καὶ ὁ Ἕκτωρ γοῦν τὸν Διομήδους θώρακα σπεύδει λαβεῖν καὶ "ἀσπίδα Νεστορέην" (Il. 8. 192).

262. ἐξ ἄντυγος ἡνία τείνας] ἵνα δοκῶσιν ὑπό τινος ἄρχεσθαι.

265. τῆς γάρ τοι γενεῆς] ὁ μὲν Αἰνείας τὸ φορτικὸν ἐκκλίνων ἐπετέμετο τὸν ἔπαινον, ὁ δὲ ἐπιμελέστερον ἐπαινεῖ παραγγέλλων τῷ Σθενέλῳ· πόθεν δὲ οἶδεν; ἐξ αἰχμαλώτων δηλονότι, ὅθεν καὶ Ἰδομενεὺς ἔμαθε τὰ περὶ Ὀθρυονέως (Il. 13. 374)· δύναται δὲ καὶ ὡς Ἀργεῖος εἰδέναι ταῦτα, εἶγε Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Τροίαν.

266. υἷος ποινήν] προπερισπαστέον τὸ "υἷος·" ἀπὸ γὰρ τοῦ ὗιος ἦν A+ καὶ κατὰ κρᾶσιν υἷος.

268. τῆς γενεῆς ἔκλεψεν] ἀντὶ τοῦ ταύτης· καὶ λείπει τὸ ἄρθρον, ἵν' ᾖ ταύτης τῆς γενεᾶς.

269. λάθρῃ Λαομέδοντος] περισπούδαστοι γὰρ ἦσαν αὐτῷ· πῶς παρὰ τῷ Πριάμῳ τὸ γένος οὐ σῴζεται; ὅτι τοὺς Λαομέδοντος Ἡρακλῆς ἀπήγαγε πορθήσας τὴν Ἴλιον.

*ὑποσχών] ἀντὶ τοῦ ὑποστήσας· καὶ "ὑπέστημεν" (715) ὑπεσχόμεθα.

θήλεας ἵππους] προπαροξυτόνως ἀπὸ τοῦ ἡ θῆλυς, ὡς "θῆλυς ἐέρση" A+ (Od. 5. 467)· καὶ "γυνὴ δὲ θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν" (Soph. Tr. 1062). οἶδε δὲ καὶ τὸ θήλεια· "ἄμφω θηλείας" (Il. 2. 767).

271. τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων—τὼ δὲ δύ' Αἰνείᾳ δῶκεν] οὐχ ὡς ἀποθανόντος Ἀγχίσου· φησὶ ⟨γὰρ⟩ "τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα" (Il. 20. 210)· ἔστιν οὖν ὅτε ἦν ἔφηβος· νῦν γὰρ διὰ γῆρας ἐν Δαρδανίᾳ διάγει· διὸ οὐδὲ μετὰ τῶν δημογερόντων ἐστίν· διδάσκει δὲ πῶς δεῖ μερίζεσθαι ζῶντι πατρί.

277. καρτερόθυμε δαΐφρον] εἰρωνικός ἐστιν ὁ ἔπαινος.

278. ἦ μάλα σ' οὐ βέλος] ὁ "ἦ" ἀντὶ τοῦ εἴ. §. κατὰ τὸ "ὀιστός" A= ὑποστιχθήσεται· εἰ γὰρ περισπάσομεν τὸν ῆ, ἀνηθοποίητον ἔσται. A+

9. ἄγχεσθαι ‖ schol. 263. *μεμνημένος μου omisi ‖ 12. τὸν Σθένελον : corr. W ‖ 14. ἐπίνοιαν ‖ 17. ἔκκλεψε ‖ 26. δὲ scripsi : καὶ ‖ 33. κατὰ A: καὶ

βέλος ὠκὺ—πικρὸς ὀιστός] "βέλος" κοινόν, "ὀιστός" εἰδικόν.

279. νῦν αὖτ' ἐγχείῃ πειρήσομαι] εἰκὸς κατὰ τὸ σιωπώμενον ἐντεθωρακίσθαι αὐτόν.

αἴ κε τύχωμι] ἐν πλεονασμῷ ἐστι τὸ μι.

A+ 283. τῷ δ' ἐπὶ μακρὸν ἄυσε] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ "ἤυσε" φέρεται· ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον ἐφέρετο ἀνεστρέφετο ⟨ἄν⟩· ἐὰν γὰρ μεταξὺ πέσῃ μέρος λόγου, οὐκ ἀναστρέφεται εἰ μὴ ἐν τέλει, ὡς τὸ "ἔπτυσε πο⟨υ⟩λὺ κάτα" (?Call. p. 752 Schn.).

284. βέβληαι κενεῶνα] ἄκρως ἀλαζὼν ὁ Πάνδαρος, ὃς ἐστῶτος τοῦ πολεμίου καὶ περὶ τοῦ τόπου τῆς πληγῆς ὁρίζεται.

287. οὐδ' ἔτυχες] οὐ γὰρ ἔτυχες· οἷον οὐκ ἐπέτυχες.

A+ 289. ταλαύρινον] ἰσχυρόχρωτα· Ἀρίσταρχος ψιλοῖ τὸ ρ̄· οὐ γὰρ σύνθετον αὐτὸ ἐκδέχεται ἀλλὰ καθ' ἁπλῆν ἔννοιαν τὸν εὔτολμον, καὶ πέπεισται αὐτῷ ἡ παράδοσις· Τρύφων δὲ σύνθετον αὐτὸ ἐκδέχεται παρὰ τὸ ταλαόν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναόποδα ταναύποδα.

292. πρυμνὴν τάμε] τὸ ἔσχατον. §. "παρὰ νείατον" δὲ "ἀνθερεῶνα"

A+ παρὰ τὸ ἔσχατον μέρος. §. πρυμνὴ τὸ ἐπίθετον ὀξύνεται, ἐπὶ δὲ τοῦ πλοίου βαρύνεται. §. "πρυμνὴν" δὲ "τάμε" τὴν πρὸς τῇ ῥίζῃ.

293. ἐξέσυτο] "ἐξελύθη" τῆς ὁρμῆς ἐπαύσατο. §. "ἐξελύθη"

A− Ἀρίσταρχος· Ζηνόδοτος δὲ "ἐξεσύθη."

297. ἀπόρουσε] χρησίμως, ἵνα ὑπεκστῶσιν οἱ ἵπποι, καὶ μὴ δύνηται ἐπιβεβηκὼς αὐτοῖς ὑπερμαχεῖν.

Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι δουρί τε] ἦν γὰρ τόπος τῶν ὅπλων τοῦ ἡνιόχου· φησὶ περὶ Αὐτομέδοντος "ὡς εἰπὼν εἰς δίφρον ἑλὼν ἔναρα βροτόεντα" (Il. 17. 540).

A+ Ἡλιόδωρος ἔστιξεν εἰς τὸ "ἀπόρουσε·" παρεδεδώκει γάρ φησιν ὁ Αἰνείας τὰ ἴδια ὅπλα τῷ Πανδάρῳ, ὡς μέλλων ἡνιοχεῖν, εἶθ' οὕτω κατελθὼν ἐκδιδύσκει τὸν νεκρὸν καὶ τούτοις ὁπλίζεται· ὅπερ ἄτοπον .... τὸ ἐπιτηρεῖν Διομήδεα, ἄχρις οὗ ⟨ἂν⟩ ὁπλισθῇ Αἰνείας· ἀλλὰ μᾶλλον, ὡς καὶ Ἡρωδιανῷ δοκεῖ, κατὰ τὸ σιωπώμενον Πάνδαρος ὁπλίζεται· παράκειται γὰρ τὰ ὅπλα τῷ Αἰνείᾳ παρὰ τὸν δίφρον, ὡς καὶ Νέστορι· δῆλον γὰρ ἐξ ὧν φησιν Ἕκτωρ "αἴ κε λάβωμεν ἀσπίδα Νεστορέην"

3. ἐντεθωρακεῦσθαι: corr. Bekker ‖ 15. τρανάοποδα τανύποδα ‖ 19. lemma ἐξέσυτο ut textus ‖ 21. lemma ἤριπε δ' ἐξ ὀχέων falso adscriptum: corr. W ‖ 23, 24. τοῖς ὅπλοις coni. W ‖ 24. παρὰ ‖ 25. schol. cum sequenti coniunctum ‖ 28. lacunam indicavit W, cf. A ‖ 30. μὲν post κατὰ omisi

(Il. Β. 191). καὶ Ἀντιμάχου ποιοῦσι Ἀλεξανδρεῖς τὰς ἴσας αὐτὰς παλεμεῖ· ἢ διὰ τοῦτο τὸν ἀετὸν τὸν ἐπὶ τοῦ σκήπτρου τὸ ἄρσεν ἔφη εἶναι ὁ χρυσὸς γένεσι μαχόμενον.

Ἀριστ. Γ' ἐπέφανεν τὸν ἀετὸν ἀντὶ τοῦ ἐπέστη ἢ μᾶλλον] ἀντὶ τοῦ ἐπέστη ἀντὶ τοῦ ἐπέφανεν Α—5 ⟨τὸν⟩ στίχον, ὡς Νικάνωρ.

299. ἀμφὶ Γ' ἐπ' αὐτῷ ἔπιπτε λεὼν ὡς ἀλκὶ πεποιθώς] "ἀλκὶ" ὡς Α—συρεί· καὶ ἔστι κατὰ μετοικισμὸν ἀπὸ τοῦ ἀλκή· τινὲς δὲ ἀπὸ τοῦ ἀλκὶς Ἀλκιμος καὶ φασι· τοὺς γὰρ εὖ ἢ πεποιηκότας ἢ εὖ ἂν ἐρεῖν ἢ ἐρεῖς καὶ ἐρεῖς καὶ τὸ ὑποκείμενον ἔρεις. ἄφελε δὲ ἐκτεῖνεν τὸ ..

10 302. τρηχαλέον ἰάχων] διὰ τῆς ᾱου ἀκατέργαστον τοὺς ἐσωτερικοὺς ἢ πρὸς συμμαχίαν καλοῦσι.

ἦ δὲ χερμαδίου λάβε χειρὶ Τυδείδης] φάσκουσι γὰρ τὸ δεξιὸν προῦπτον.

304. ὃν ῥα βροτοὶ εἶπον] πολλῷ κατατείνει τὸν ἡμιόλιον ἐπὶ τοῦ·

15 δὺ δὲ θεοστήμασι τοῦ χρόνου πεπτῶτα τὰς ὑπεροχὰς τῶν ἡμισείων.

ῥέα πάλλε] καὶ διὰ τοῦ "ῥέα" καὶ διὰ τοῦ "πάλλε" τὸ εὐμετεχείριστον ἐδήλωσεν.

305. ἰσχίον] τὸ πρὸ ὀστέου· κατὰ τὸ σιαλὸν τοῦ ὀστέου, ἔνθα Α+ ἡ κεφαλὴ τοῦ μηροῦ ἐστρέφεται.

20 307. βλάσ⟨σ⟩ε] ἐδήλωσε τί ἐστι κατὰλη.

ἄμφω ῥῆξε τένοντε] εἴτε τὰ τεταμένα νεῦρα, ὡς διὰ τοῦτο πλατέων νεύρων συνεχόντων τὴν κατύλην.

309. ἔστη γνύξ] πιθανῶς ὡς ἀκατρέπεται ἀλλ' εἴτε σχηματίζεται πρὸς τὸ εὐμετακίνητον τῆς ἀπραγούσης ζωῆς. ϕ. τὸ δὲ "ἔστη" ἀντὶ Α—25 τοῦ ἔμεινε, καὶ τὸ "ἐρικτύπου" ἀντὶ τοῦ κατεσχεθείς.

311. καὶ νύ κεν ἔνθ' ἀπόλοιτο] εὐχ ὡς καιρίας οὔσης τῆς πληγῆς πρὸς θάνατον, ἀλλ' ἴσως δεύτερον τραῦμα ὑπὸ τῶν πολεμίων πληγείς· καὶ ἡ Ἀφροδίτη τοῦτο δέδοικε "μή τις Δαναῶν ταχυπώλων χαλκὸν ἐνὶ στήθεσ⟨σ⟩ι βαλὼν ἐκ θυμὸν ἕλοιτο." ϕ. τὸ δὲ "ἀπόλοιτο" Α—30 ἀντὶ τοῦ ἀπώλετο.

314. ἀμφὶ δ' ἑὸν φίλον υἱόν] οὐχ ἵνα μὴ τρωθῇ—πῶς γὰρ ⟨ἂν⟩ ἐνό- Α—μισεν ἄτρωτον τὸν ἑαυτῆς πέπλον εἶναι τιτρωσκομένων καὶ τῶν θεῶν; —ἀλλ' ὑπ' οὐδενὸς αὐτὸν τῶν πολεμίων ὁραθῆναι θέλουσα· ὡς γὰρ αὐτοὶ οἱ θεοὶ τοῖς ἀνθρώποις εἰσὶν ἀφανεῖς, οὕτω καὶ ἡ ἐσθὴς αὐτῶν

2. τοῖς ὅπλοις coni. W ‖ 3. μαχέσονται ‖ 6. ἀλκὶ ὡς scripsi : ἄλκιμος ‖ 8. ἢ εἰς ῑ ‖ 14. πολλῶν : corr. Bekker ‖ 25. καὶ scripsi : ἢ ‖ 33. θέλει

ἀόρατος· πῶς οὖν ἐπιφέρει "μή τις Δαναῶν ταχυπώλων χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕληται;" ἀπὸ τοῦ ἡγουμένου ἐδήλωσε τὸ ἑπόμενον· εἰ γὰρ ὤφθη, ἴσως ἂν ἐτρώθη, καὶ τρωθεὶς ἀπέθανεν· Διομήδης δὲ μόνος ἐπιδιώκει· τὴν ἀχλὺν γὰρ ἦν ἀφῃρημένος.

ἐχεύατο πήχεε λευκώ] τὸ τρυφερὸν τῆς θεοῦ διὰ τοῦ "ἐχεύατο" παρέστησεν.

316. ἔρκος ἔμεν βελέων] "ἔρκος" ὡς ἀφανείας ποιητικόν.

319. οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων] τὸ σπουδαῖον Διομήδους τὸ περὶ τοὺς ἵππους ἐνέφηνε, σπουδάζοντα ποιῶν τὸν ἡνίοχον.

322. ἐξ ἄντυγος ἡνία τείνας] ἐξ οὐδενὸς γὰρ ἦν ἐᾶσαι αὐτοὺς ἐν τῷ πεδίῳ, ἵνα τε δοκῶσιν ὑπό τινος ἄρχεσθαι.

326. ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη] ὁ μὲν Σθένελος ὡς Ἕλλην τὰ ψυχικὰ προτιμᾷ, οἱ δὲ βάρβαροι τὸν Δημοκόωντα "ὁμῶς Πριάμοιο τέκεσ⟨σ⟩ι τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι" (Π. 5. 535)· καὶ "ἐπεί οἱ ἑταῖρος ἦεν φίλος εἰλαπιναστής" (Π. 17. 577).

327. νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαύνειν] ὅπως ἡθάδες αὐτῶν γένωνται· ἀπειρόκαλον γὰρ τὸ εὐθέως ἐναβρύνεσθαι τοῖς ἀλλοτρίοις ὡς Ἕκτωρ.

A= 329. αἶψα δὲ Τυδεΐδην μέθεπεν ⟨—ἵππους ἐμμεμαώς⟩] ἐπὶ Τυδεΐδην ὅς πρόεστιν ἤλαυνεν. ἢ ἀντὶ τοῦ μετεδίωκεν.

A= 330. ὃ δὲ Κύπριν] οἱ μὲν τὴν ἐπιθυμίαν, οἱ δὲ τὴν βαρβαρικὴν ἀφροσύνην αὐτὴν εἶναι λέγουσιν.

331. γινώσκων ὅτ' ἄναλκις ἔην θεός] οὐ διὰ τοῦτο ἐδίωκεν ἀλλὰ διὰ τὴν τῆς Ἀθηνᾶς ἐντολήν· ἐγίγνωσκε δέ, ὅτι τούτου χάριν ἐκείνη ἐπέτρεπεν αὐτὴν τρωθῆναι.

A+ 332. * πόλεμον κάτα κοιρανέουσιν] ἔμφασιν σημαίνει ἡ "κατά," εἰ συνάπτοις τῷ "κοιρανέουσιν."

333. Ἐννώ] ἀνθρωποπαθῶς πέπλασται ὡς Δεῖμος καὶ Ἔρις· εἰ δὲ ἦν

A= θεός, ποῦ ἦν ἐν τῇ θεομαχίᾳ; §. Ἐννὼ δὲ παρὰ τὸ ἐναύειν, ὃ σημαίνει τὸ ἐμφωνεῖν· τινὲς δὲ παρὰ τὸ ἔνω, ὅ ἐστι φονεύω· ἔνθεν καὶ αὐτοέντης· παρ' αὐτὸ δὲ καὶ ὁ Ἐνυάλιος.

334. ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων] μέμνηται ἑαυτοῦ ὁ ποιητής· εἶπε γὰρ "ὑπεξέφερεν πολέμοιο" (318). προκόψασαν οὖν, μεταθέων αὐτήν, κατέλαβεν.

335. ἔνθ' ἐπορεξάμενος] τοῦτο πρὸς τὸ μέγεθος τῆς θεοῦ· καὶ

11. ἄγχεσθαι ‖ 19. T. εἰ πρ. ‖ 26. σ. τὸν τῷ ‖ 29. ἐνῶ ‖ 30. αὐτῆς: corr. W

ἐπάλμενος γὰρ μάγης τὴν ἄκρην χεῖρα ἔτρωσεν, ὅτι μετέωρος ἦν ἡ θεός· νῦν δὲ οὐκ ἐνεργεῖ ἡ Ἀθηνᾶ· εὐτελὴς γὰρ ἡ Ἀφροδίτη. ℌ. ἔοικε δὲ Διομήδης ἐπιθυμίας ἅμα καὶ θυμοῦ κρατεῖν, Ἄρεος καὶ Ἀφροδίτης.

337. ἀβληχρήν] ἀβληχρὸν τὸ ἰσχυρόν· εἰ δὲ τὴν εὐάντμεν.

εἶδαρ] τινὲς κατ' ἰδύ, ἢ ἀντὶ τοῦ ταχύ. ℌ. "ἀντετόρησε" δὲ "χροός" ἀντὶ τοῦ τὸν χρόα διέτρησεν.

338. ἀμβροσίου διὰ πέπλου] καὶ πῶς αὐτὸν προβάλλεται; οὐχ ὡς ἄτρωτον ἀλλ' ὡς ἀφανείας ποιητικόν· Διομήδης δὲ ὁρᾷ αὐτήν, ὑπὸ Ἀθηνᾶς ἐνεργούμενος.

339. πρυμνὸν ὑπὲρ θέναρος] ὑπὲρ τὸ ἔσχατον τοῦ θέναρος εἰς τὴν πρὸς τὸν καρπὸν συνάφειαν· θέναρ δὲ τὸ κοῖλον.

ῥέε δ' ἄμβροτον αἷμα θεοῖο] ἔρ⟨ρ⟩εε δὲ τῆς θεοῦ ὁ ἰχὼρ ὡς αἷμα· λείπει γὰρ τὸ ὡς, ὡς "Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον" (Od. 21. 216).

340. ἰχώρ] οὐχ' οἷον ἡμεῖς οἴδαμεν, ἀλλ' ἄλλης τινὸς οὐσίας παρὰ τὸ αἷμα· διὸ καὶ ἐπήγαγεν "οἷός περ τε ῥέει μακάρεσσι θεοῖσιν."

341. οὐ γὰρ σῖτον ἔδουσι] καὶ μὴν πολλὰ τῶν ζῴων οὐ σῖτον ἔδουσιν, οὐ πίνουσιν οἶνον, καὶ οὔτε ἔναιμα οὔτε ἀθάνατά εἰσιν. δεῖ τοίνυν προσυπακούειν τῷ "οὐ σῖτον" 'ἀλλ' ἀμβροσίαν,' "οὐ πίνουσι—οἶνον" 'ἀλλὰ νέκταρ.'

342. τοὔνεκ' ἀναίμονές ⟨εἰσι⟩ καὶ ἀθάνατοι καλέονται] "ἀναίμονες" μέν, ἐπεὶ οὐ τρέφονται, "ἀθάνατοι" δέ, ὅτι ἀναίμονες· ὁ γὰρ θάνατος ψύξει τοῦ θερμοῦ γίνεται.

343. ἣ δὲ μέγα ἰάχουσα] Τυραννίων προπερισπᾷ τὸ "ἰάχουσα," κακῶς.

344. καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσ⟨σ⟩ατο Φοῖβος Ἀπόλλων κυανέῃ νεφέλῃ] ἢ τῇ μετὰ χερσὶ νεφέλῃ, ἢ πρῶτον χερσί, ἔπειτα νεφέλῃ.

348. εἶκε, Διὸς θύγατερ] προπαρασκευάζει ⟨τὸ⟩ μηκέτι φανῆναι αὐτὴν ἐν τῇ θεομαχίᾳ.

349. ἦ οὐχ ἅλις ὅτ⟨τ⟩ι γυναῖκας ἀνάλκιδας] τινὲς ἀναφέρουσιν ἐπὶ τὴν Ἑλένην.

9. αὐτὸν: corr. W ‖ 12. θέναρος ‖ 20. ἰδοῦσιν ‖ 21. τὸ οὐ σ. ‖ 31. θυγάτηρ

350. εἰ δὲ σύ γ' ἐς πόλεμον] ἔν τισι γράφε⟨ται⟩ι "εἰ δὲ καὶ ἐς πόλεμον."

352. ἀλύουσα] ψιλωτέον τὸ "ἀλύουσα·" παρὰ γὰρ τὴν ἄλην γέγονεν· οἱ γὰρ λυπούμενοι ἐν πλάνῃ ἔχουσι τὴν ψυχήν, ὁμοίως καὶ οἱ λίαν χαίροντες· ὁ δὲ Ἀσκαλωνίτης δασύνει "ἁλύεις" (Od. 5 18. 333) τὸ ἐπιχαίρεις. §. τὸ δὲ "ἀλύουσα" ἀντὶ τοῦ λύσιν οὐχ εὑρίσκουσα τῶν δεινῶν· διὸ οὐδὲ φθέγγεται.

353. τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα] ὡς κοινῶς ἅπασι τοῖς θεοῖς ὑπηρετοῦσα, ἢ ὡς ἐρωτική· οὐκ ἀπέστη δὲ ἀφ' οὗ Τρωσὶν ἄγγελος ἦλθεν.

355. εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα] καὶ ἐπὶ Ἕκτορος "ἐπεί ῥα μάχης ἐπ' ἀριστερά" τοῦ ναυστάθμου (Il. 11. 498). 10

356. ἠέρι δ' ἔγχος ἐκέκλιτο] ἀπὸ μέρους τὸ πᾶν. §. τὸ δὲ
B= "ἐκέκλιτο" ἀπὸ τοῦ κλίνω· καὶ "σάκε' ὤμοισι κλίναντες" (Il. 11. 593) καὶ "στήλῃ κεκλιμένος ἀνδροκμήτῳ" (ib. 371).

B= 357. ἦ δὲ γνὺξ ἐριποῦσα] διαστολὴ εἰς τὸ "ἐριποῦσα," καὶ τὸ 15
B= ἑξῆς "κασιγνήτοιο—ἵππους." §. οἰκεῖον δὲ τὸ "γνύξ" τῇ ἀνάλκιδι, ὡς τὸ "ἦ δ' ἐν γούνασι πῖπτε Διώνης" (370).

B= 358. πολλὰ λισσομένη χρυσάμπυκας ἤτεεν ἵππους] οὐκ εὖ, φασὶν ἔνιοι, πρόσκειται τὸ "πολλά." καὶ γὰρ ἐραστὴς καὶ ἀδελφός, καὶ τοῖς αὐτοῖς βοηθεῖ. ῥητέον ὅτι τὸ γυναικεῖον καὶ ἀσθενὲς ἐμ- 20 φαίνει ἡ πολλὴ δέησις καὶ τὸ γουνπετεῖν. §. ἄμπυξ δέ, ᾧ τὰς τρίχας περιλαμβάνουσιν.

B= 370. ἦ δ' ἐν γούνασι πῖπτε Διώνης] βιωτικὰ ταῦτα, τὸ καὶ τοὺς προβεβηκότας τῶν παίδων ὡς μικροὺς ὑπὸ τῶν γονέων θωπεύεσθαι· διὰ δὲ τὸ τρυφερὸν τῆς δαίμονος "πῖπτεν" εἶπεν, ἅμα δὲ 25 καὶ τὴν ἐκ τοῦ τραύματος παρειμένην ἐμφῆναι θέλων.

373. ⟨τίς νυ σε—⟩ φίλον τέκος οὐρανιώνων] φίλον—οὐρανιώνων, ἢ τίς—οὐρανιώνων.

B= 374. μαψιδίως] ἴδιον γονέων ἀδικοῦσι παισὶν ὑπερασπίζειν.

B= ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ] οἷον ἐν ὄψει ἀδικοῦσαν. 30

B= 376. ὑπέρθυμος Διομήδης] ἀλόγιστος καὶ μεστὸς θυμοῦ.

B= 377. οὕνεκ' ἐγὼ φίλον υἱόν] ηὔξησε τὸ θράσος Διομήδους, εὔλογον ἔχουσα τὴν αἰτίαν.

B= 380. ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται] ὡς Τρωσὶ βοηθοῦσα κοινοποιεῖται τὸ πταῖσμα, καὶ ἵνα μὴ δοκῇ μόνη ἀδικεῖσθαι. 35

5. δασ. τὸ ἀλύεις ‖ 12. ἔγχος ante ἀπὸ omisi ‖ 17. ὡς B: καὶ ‖ 28. τ. τῶν οὐρ.

384. ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες] τινὲς συνάπτουσιν, ἵν' ᾖ δι' ἀνδρῶν ἀλλήλους κακοποιοῦντες. B=

385. τλῆ μὲν Ἄρης] ἐπίτηδες μύθους συλλέξας Διώνῃ περιτίθησιν ὁ ποιητής, δι' ὧν ⟨Διομήδης⟩ τῆς οἰκείας ἀπολύεται βλασφημίας ὡς οὐ καιναῖς ἀλλὰ παλαιαῖς παραδόσεσι πεισθείς· οὐδὲν δὲ ἄτοπον τοὺς Ποσειδῶνος δῆσαι Ἄρεα. B=

τλῆ μὲν Ἄρης] Ἀδώνιδος τοῦ Κινύρου ἐρασθεῖσα Ἀφροδίτη καὶ τὸν φθόνον ὑφορωμένη παρέθετο τοῖς περὶ Ὦτον καὶ Ἐφιάλτην, οἳ θέσει μὲν ἦσαν Ἀλωέως, φύσει δὲ Ποσειδῶνος καὶ Ἰφιμεδείας. τοῦτον θηρολετοῦντα ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας ἀναιρεῖ Ἄρης. οἳ δὲ ὀργισθέντες ἐπὶ ιγ' μῆνας ἀποκλείσαντες τὸν Ἄρεα εἶχον ἐν εἱρκτῇ. ἡ δὲ τούτων μητρυιὰ Ἠερίβοια, ἡ Εὐρυμάχου τοῦ Ἑρμοῦ, ἀπήγγελλεν Ἑρμῇ. ὃ δὲ καὶ ταύτῃ χαριζόμενος καὶ τῇ Ἥρᾳ κλέπτει τὸν Ἄρεα· ὃ δὲ φυγὼν ἦκεν εἰς Νάξον καὶ κάτεκρυψεν ἑαυτὸν εἰς τὴν σιδηροβρῶτιν καλουμένην πέτραν. ἐκεῖνοι δὲ ἐρασθέντες τῶν Ἥρας καὶ Ἀρτέμιδος γάμων ἀλλήλους ἐν κυνηγεσίοις ἀπέκτειναν· κατὰ πρόνοιαν γὰρ Ἀρτέμιδος ἔλαφος διὰ μέσου αὐτῶν διῆλθε, καθ' ἧς ῥίψαντες ἄμφω ἀλλήλους διεχρήσαντο. B=

388. ⟨ἀπόλοιτο⟩] ἢ ὑπερβολικῶς εἶπεν, ἢ ἀντὶ τοῦ ἀφανὴς ἐγένετο, ὥσπερ φαμὲν 'ἀπόλωλεν ὁ παῖς.' B=

* ἀπόλοιτο] ἀντὶ τοῦ ἀπώλετο.

* ἄατος] ἀκόρεστος.

392. τλῆ δ' Ἥρη] φιλόσοφος Ἡρακλῆς καὶ σοφίας οὐρανίου μύστης, ὃς ὥσπερ κατὰ βάθη εἰσδεδυκνῖαν ἀχλύος τὴν φιλοσοφίαν ἐφώτισεν· τὸν θολερὸν τοίνυν ἀέρα καὶ τὴν ἑκάστου διάνοιαν ἐπαχλύοντα πρῶτος Ἡρακλῆς θείῳ διήρθρωσε λόγῳ, τὴν ἑκάστου τῶν ἀνθρώπων ἄνοιαν κατατρώσας. ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ βέλη· πᾶς γὰρ φιλόσοφος ἐν ἐπιγείῳ σώματι πτηνὸν ὥσπερ τι βέλος τὸν νοῦν εἰς τὰ μετέωρα διαπέμπεται. διὰ δὲ τοῦ τριγώνου βέλους ἡ τριμερὴς ἡμῖν φιλοσοφία δεδήλωται. μετὰ δὲ Ἥραν τοξεύει Ἅιδην· οὐδεὶς γὰρ ἄβατος φιλοσοφίᾳ χῶρος, ἀλλὰ μετὰ τὸν οὐρανὸν ἐζήτηκε τὴν κατωτάτω φύσιν. διὸ καὶ ἀνεληλυθέναι τὸν Ἅιδην φησί, μόνιν οὐχὶ συνάπτων ἄμφω τὰς γνώσεις· καὶ τὸν B=

4. supplevi ex B ‖ 5. οὐ καιναῖς ἀλλὰ B: οὐκ ἀνιάσας ‖ 15. σιδηροβρώτην ‖ 24. εἰς τὰ βάθη εἰσδεδ. B, κατὰ βαθείας δεδ.: corr. W ‖ 25. πρὸς ante τὴν omisi, πρὸ τῆς ἑ. διανοίας B^2 ‖ 27. διάνοιαν καταστρώσας, cf. B^2 ‖ 31. φιλοσοφίας

ἀλαμπῆ πᾶσιν ἀνθρώποις τόπον ὁ τῆς φιλοσοφίας οἰστὸς εὐστόχως βληθεὶς διευκρίνησεν.

B= τλῆ δ' Ἥρη] οἱ μὲν ἐν τῇ πρὸς Πυλίους μάχῃ, οἱ δὲ διὰ τὸ μὴ ἐᾶσαι αὐτὸν νήπιον ὄντα σπάσαι τὸν ἴδιον μαζόν· διὰ μειζόνων δὲ προσώπων παρεμυθήσατο τὴν Ἀφροδίτην.

394. * τότε καί μιν] ἐν τῇ ἑτέρᾳ "τότε κέν μιν."

B= 395. τλῆ δ' Ἀίδης] φασὶν Ἡρακλέα, ἐπιταχθέντα ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι τὸν Κέρβερον, τῇ μὲν δορᾷ χρήσασθαι ἀντὶ ἀσπίδος, τοῖς δὲ βέλεσι λιθίνας ἀκίδας κατασκευάσαι· μετὰ δὲ τὴν νίκην πάλιν ἐναντιουμένου τοῦ θεοῦ τὸν Ἡρακλέα ὀργισθέντα τοξεῦσαι αὐτόν.

397. ἐν Πύλῳ ἐν νεκύεσσι] Ἀρίσταρχος "πύλῳ" ὡς χόλῳ καὶ ἐσπέρῳ. ἀλλὰ πληθυντικῶς ἀεὶ λέγει· "ὠίγνυντο πύλαι" (Il. 2. 809)· "πύλας Ἄϊδαο" (Π. 5. 646)· ἐν τῇ Πύλῳ οὖν φησιν.

399. * κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος] κατὰ μέτρον ἡ ἀνάπαυσις.

B= 400. ὦμῳ ἐνὶ στιβαρῷ ἠλήλατο] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· τῷ γὰρ ἑξῆς συντέτακται.

B= 401. τῷ δ' ἐπὶ Παιήων] ἤυξησε τὴν ἰατρικήν, εἶγε καὶ θεοὶ δέονται αὐτῆς. παραμυθεῖται δὲ τὴν παῖδα ὡς οὐδὲν ἐκ τῆς πληγῆς

B= πεισομένην. §. διάφορος δὲ παρ' Ἀπόλλωνα ὁ Παιήων.

402. * καταθνητός] περισσὴ ἡ "κατά."

403. ὀβριμοεργός] Ἀρίσταρχος "αἰσυλοεργός."

* ὃς οὐκ ὄθετο] διὰ τοῦ τ "ὅτ' οὐκ ὄθετ'."

B= 404. ὃς τόξοισιν ἔκηδε θεούς] οὐκ οἶδεν αὐτὸν ῥοπάλῳ χρώμενον. §. τὸ δὲ "ἔκηδε" ἀντὶ τοῦ ἐκάκου.

B= 405. σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ "ἀνῆκε" συντέτακται. §. οὐχ ὑπὸ θνητοῦ δὲ τέτρωται,

B= ἀλλ' ὑπὸ θεοῦ ἰσοτίμου· καὶ ὁ ὑπηρετήσας δὲ οὐκ ἀβλαβὴς ἐκφέρεται.

B= 407. ὅττι μάλ' οὐ δηναιός] οὐ μάλα δηναιός. §. εἰς εὐσέβειαν δὲ

B= ἡμᾶς διὰ τούτων παρακαλεῖ.

B= * δηναιός] πολυχρόνιος.

B= 408. οὐδέ τι μιν παῖδες ποτὶ γούνασι παππάζουσιν] λανθάνει τὸ ταπεινὸν τῆς λέξεως καὶ διὰ τὸ λέγον πρόσωπον καὶ διὰ τὸ ἀκοῦον·

4. αὐτὸν B: αὐτὴν ‖ 6. κεν textus ‖ 27. συντέτακται :— ‖ 33. παπτάζουσι ‖ λανθάνει B: λαμβάνει

οὐ γὰρ ἐξ ἄρσενος λέγεται, οὐχ ἥρωος, οὐ θεοῦ, ἀλλ' ὑπὸ θεᾶς ⟨καὶ⟩ μητρὸς καὶ ἐναγκαλισαμένης τὴν παῖδα.

οὐδέ τι μιν παῖδες] διχῶς, καὶ "οὐδέ τε μιν." §. σεμνύνει δὲ τὴν παιδοποιίαν, τοὺς ἀσεβοῦντας κολάζεσθαι λέγων ἀτεκνίᾳ· εἰ δὲ Β= λέγοις, καὶ μὴν "τέτρατον ἦμαρ ἔην, ὅτ' ἐν Ἄργει" (Od. 3. 180), ἴσθι ὡς οἱ ἑταῖροι ὑπέστρεψαν, οὐ Διομήδης.

* παππάζουσιν] πατέρα καλοῦσιν.

411. μή τις οἱ ἀμείνων σεῖο μάχηται] περὶ Ἄρεος προλέγει.

412. μὴ δὴν Αἰγιάλεια] ἄμεινον τὸ "δήν" χρονικὸν ἐπίρρημα ἐκδέ- Β= χεσθαι, ἵν' ᾖ τὸ ἑξῆς οὕτως· μὴ ἀμείνων σεῖό τις ἀντιμάχηται καὶ μὴ δήν, ὅ ἐστιν ἐπὶ πολύ, μείνῃ αὐτῷ ἡ γυνὴ θρηνοῦσα.

μὴ δὴν Αἰγιάλεια] φασὶν Αἰγιάλειαν τὴν νεωτέραν τῶν Β= Ἀδρηστίδων γυναῖκα Διομήδους οὖσαν, σφόδρα αὐτὸν ἐπιποθοῦσαν, ἀπολοφύρεσθαι αὐτὸν καὶ τὰς νύκτας. ἔσχατον δὲ κατὰ μῆνιν Ἀφροδίτης πάσῃ νεολαίᾳ τῇ Ἀργείων αὐτὴν συγκωμάσαι, ὕστερον δὲ καὶ Κομήτῃ τῷ Σθενέλου, ὃς ἦν ὑπὸ Διομήδους πιστευθεὶς τὰ κατ' οἶκον. ἥκοντα δὲ αὐτὸν μέλλων ἀνελεῖν ἐφείσατο διὰ τὸ καταφυγεῖν εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν· ὅθεν αὐτὸν φυγόντα φασὶν ἥκειν εἰς Ἰβηρίαν, κἀκεῖ, ὡς μέν τινες, δολοφονηθῆναι ὑπὸ Δαύνου τοῦ βασιλέως, ὡς δὲ ἔνιοι, ἀπολέσθαι ὑπὸ Ἰουνίου τοῦ Δαύνου παιδὸς ἐν κυνηγεσίοις· ὅθεν αὐτὸν μὲν ἀπεθέωσεν Ἀθηνᾶ, τοὺς δὲ ἑταίρους εἰς ἐρωδιοὺς μετέβαλεν. §. τὸν Κομήτου πόθον Αἰγιαλείας οὐκ οἶδεν ὁ ποιητής.

413. οἰκῆας] τοὺς ἐν οἴκῳ τρεφομένους· μὴ δὴν ἀπολομένου Β= αὐτοῦ, φησί, τοὺς οἰκείους ἀνεγείρῃ θρηνοῦσα αὐτὸν ἡ γαμετή· τὸν γὰρ Κομήτου πόθον οὐκ οἶδεν.

414. τὸν ἄριστον Ἀχαιῶν] ἐν εἰρωνείᾳ, τὸν φρόνημα ἔχοντα ὅτι Β= ἄριστός ἐστιν· ἢ ὡς αὐτὴ λέξει θρηνοῦσα· ἢ καὶ πρὸς παραμυθίαν τῆς Ἀφροδίτης λέγεται, ὅτι ὁ τρώσας αὐτὴν ἄριστός ἐστιν.

416. ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἰχῶ χειρὸς ὀμόργνυ] ἡ Ἀρι- στάρχου ἐνικῶς, ἡ Ζηνοδότου "χερσίν." §. Ἀττικῶς δὲ τὸ "ἰχῶ" τὸ Β+ δὲ "ὀμόργνυ" ἀντὶ τοῦ ἀπέψησεν.

417. ἄλθετο χείρ] ἔδειξεν ἐπὶ ποίῳ τραύματι ἤσχαλ⟨λ⟩εν Ἀφρο- Β=

14. ἔσχατον B: ὕστερον || 15. πᾶσι ν. τῶν Ἀ. || 16. σθενέλῳ τῷ κομήτου: corr. Schneidewin ex Eust. || 19. ἰβηρίαν fere erasum pr.: καλαυρίαν sec. || 22. καὶ Αἰγ. || 24. δὴν scripsi: δὲ ἐὰν || ἀπολλομένου || 25. ἀνεγείρειν

B= δίτη, ὅπου οὐκ ἐδέησεν ἰατροῦ. §. "ἄλθετο" παρὰ τὸ ἄλθω· τὰ γὰρ
B= ὑγιῆ αὔξε⟨τα⟩ι. §. τὸ δὲ "ἄλθετο" ἀντὶ τοῦ ὑγιάζετο.

B= 419. κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον] ἐπεὶ ἐκερτόμησεν αὐτὰς ὁ Ζεὺς "δοιαὶ μὲν Μενελάου" (Il. 4. 7), τρωθείσης Ἀφροδίτης ἀντικερτομοῦσι τὸν Δία. τοῦτο καὶ ὁ Ζεὺς συνεὶς ἐμειδίασεν. ἅμα δὲ τὴν κατὰ Διομήδους ὀργὴν μαλάσσουσιν, ἃ μέλλουσι κατηγορεῖσθαι ταῦτα προδιασύρουσαι.

B= 420. τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη] εὖ τὸ τῇ Ἀθηνᾷ τὴν εἰρωνείαν περιθεῖναι· ἡ γὰρ Ἥρα μείζονος ἀξιώματός ἐστιν.

B= 422. ἦ μάλα δή τινα Κύπρις] ὡς προκαταρχούσης τῆς εἰς
B= Ἑλένην ὕβρεως. §. διὰ δὲ τοῦ "κατεμύξατο" λελῃθότως ἀπολογεῖται.

B= 425. καταμύξατο χεῖρα ἀραιήν] διὰ τοῦ ᾱ Ἀρίσταρχος "κατα-
B= μύξατο." §. τὸ δὲ "χεῖρα ἀραιήν" πρὸς τὸ ἀσθενὲς τῆς πληγῆς.
B= §. Ἀρίσταρχος δὲ τὸ "ἀραιήν" ἐπὶ μὲν τοῦ ἀσθενῆ δασύνει, ἐπὶ δὲ τοῦ ἐπιβλαβῆ ψιλοῖ.

B= 428. οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ἔργα] τὸ γνῶθι σαυτόν φησιν. οὐδὲν δέ φησιν· οἶδε γὰρ ⟨αὐ⟩τὴν αἰτίαν ἔχουσαν διὰ τὴν ἁρπαγὴν Ἀλεξάνδρου· διὸ οὐδὲ αὐτὴ φθέγγεται ὡς ἡμαρτηκυῖα· πᾶς γὰρ ἁμαρτὼν ἀντιλέγειν οὐ δύναται.

B– 429. ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο] "ἔργα γάμοιο" ⟨τὰ περὶ τὸν⟩ ἔρωτα ⟨καὶ⟩ τοὺς ἐργαζομένους ⟨τὸν⟩ γάμον, ἐπεί τοι Ἥρα ζυγία ἐστίν.

430. ταῦτα δ' Ἄρηι θοῷ] καὶ πῶς ὕστερον ὑβρίζει αὐτόν; ὅτι τὸ δίκαιον ὑπερέβαινεν, οὐ βοηθῶν ἀλλὰ καὶ αὐτουργῶν κατὰ τῶν Ἀχαιῶν· Περίφαντα γοῦν ἀπέκτεινεν.

B= 434. ἀλλ' ὅ γ' ἄρ' οὐδὲ θεὸν μέγαν ἄζετο] οὐδὲν πράσσει, δεικνὺς ὡς οὐδὲ τὸ κατὰ Ἀφροδίτην αὐτοῦ ἦν.

437. * ἐστυφέλιξε] ἔρριψεν.

441. οὔποτε φῦλον ὁμοῖον—ἀθανάτων ⟨τε⟩ θεῶν χαμαὶ ἐρχομένων ⟨τ'⟩ ἀνθρώπων] πρὸς τὰ πτηνὰ ἡ σύγκρισις, τὰ διὰ τοῦ ἀέρος πορευόμενα.

B= 443. ἀνεχάζετο τυτθὸν ὀπίσσω] ἐμφαίνει τὴν ἀρετὴν Διομήδους διὰ τοῦ "τυτθόν·" ἐπὶ δὲ Πατρόκλου "πολλὸν ὀπίσσω" φησίν (Il. 16. 710)· ὑπ' οὐδενὸς γὰρ θεοῦ βοηθεῖται καὶ τὸν Ἀπόλλωνα δέδοικεν.

2. supplevi ex B ‖ 12, 13. χεῖρ' ‖ 14. ἀσθενοῦς ‖ 19. ἀντιλέγειν scripsi : ἀνταιρεῖν ‖ 21. supplevi ex B ‖ ἐρωτᾷ ‖ 26. ὁ γὰρ ‖ 29. φίλον

ἀνεχάζετο τυτθὸν ὀπίσσω] Ἀρίσταρχος "τυτθόν," οὐ "πολλόν."

446. Περγάμῳ ε⟨ἰ⟩ν ἱερῇ] καὶ Ἀθηνᾶς γὰρ ἦν αὐτόθι ναός· B=
"νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ" (Il. 6. 88).

447. ἦ τοι τὸν Λητώ τε καὶ Ἄρτεμις] θεοὺς γὰρ εἰς ἀνθρώπους B=
πάντα πράσσειν πέφυκεν.

448. κύδαινόν τε] λόγῳ παρεμυθοῦντο. §. ἀκολούθως δὲ τοῖς ἰατρι- B=
κοῖς παραγγέλμασι τοὺς τραυματίας λόγῳ θεραπεύει· ἄλλως τε B=
καὶ Ἀφροδίτης υἱὸς καὶ τῶν Τρώων ἄριστος μεθ' Ἕκτορα.

449. αὐτὰρ ὃ εἴδωλον] εἴδωλον μὲν ἄκουε πᾶν τὸ δημιούργημα B=
τοῦ κόσμου, ὅπερ τύπος ὂν τοῦ ὄντως ὄντος ὑπὸ πάντων μὲν τῶν
ἐγκοσμίων θεῶν κοσμεῖται, προηγουμένως δὲ ὑπὸ τοῦ ἡλίου, ὅς ἐστιν
ἡγεμὼν τοῦ παντὸς γεννητοῦ τε καὶ ὁρατοῦ. οὐδὲν δὲ ἧττον Αἰνείου
ἐστὶ τὸ εἴδωλον, υἱοῦ Ἀφροδίτης ⟨καὶ⟩ Τρωός, ⟨ὅ ἐστι⟩ τὸ ἐγχώριον
κάλλος. πᾶν γὰρ ἐξ Ἀφροδίτης κάλλος ἐστί, περὶ ὃ αἱ ὑλικώτεραι
τῶν ψυχῶν οὐκ ἀπαλλάσσονται προστριβόμεναι.

αὐτὰρ ὃ εἴδωλον τεῦξε] ἵνα φιλοτιμοτέρως μάχωνται Τρῶες, τὸ B=
πτῶμα σῶσαι θέλοντες.

451. ἀμφὶ δ' ἄρ' εἰδώλῳ—δῄουν ἀλλήλων] καὶ πῶς Διομήδης B=
οὐ μηνύει τοῖς Ἀχαιοῖς ὅτι εἴδωλον ἦν; ἀφῄρηται γὰρ τὴν ἀχλύν·
"ὄφρ' εὖ γινώσκῃς—θεὸν—καὶ ἄνδρα" (Il. 5. 128); ῥητέον ὅτι
τὸ εἴδωλον ἀμφοῖν ἐστέρηται.

453. λαισήια] οἱ μὲν τοὺς ἐπιμήκεις θυρεούς· οἱ δὲ ἐκ τριχωδῶν B=
δερμάτων γεγονότα, οἱ δὲ παρὰ τὸ λάσια αὐτὰ εἶναι. §. ἢ "λαισήια"
τὰ τῇ λαιᾷ φερόμενα.

454. θοῦρον Ἄρηα προσηύδα Φοῖβος] φυλάσσεται μὲν αὐτὸς τὴν B=
πρὸς Ἀθηνᾶν ἔχθραν, πείθει δὲ τὸν ἀλ⟨λ⟩οπρόσαλλον.

456. μάχης ἐρύσαιο] λείπει ἡ ἔξ.

458. Κύπριδα μὲν πρῶτα] τὴν ἐρωμένην σοι.

461. Τρῳὰς στίχας] ἀντὶ τοῦ Τρωϊκάς· καὶ δεῖ ὑποστίζειν εἰς B–
τὸ "στίχας." εἰ δὲ γράφε⟨τα⟩ι "Τρῶας," ⟨οὐχ⟩ ὑποστικτέον,
ἵν' ᾖ Τρῶας ἀντὶ τοῦ Τρώων, ὡς "ἐρινεὸν—τάμ⟨ν⟩ε νέους ὄρ-
πηκας" (Il. 21. 37), ἢ εἰς τὸ "δέ" ὑποστικτέον, ἵν' ᾖ τὸ ἑξῆς,
Τρῶας ὤτρυνε τὰς στίχας μετελθών.

2. αὐτόθι B : αὐτόσε ‖ 4. ἤτοι ‖ 7. θεραπεύει B : θεραπεύειν ‖ 12. καὶ ἀοράτου ‖ 13. supplevi ex B ‖ ἐγχωρίδιον ‖ 15. καὶ ἀίδιαι ante τῶν W ut B ‖ προστριβόμεναι B : συντριβόμεναι ‖ 16. schol. cum praecedenti coniunctum ‖ 18. ἀλλήλους ‖ 29. τρῷας στ. ‖ 30. τρωὰς

Τρῳὰς δὲ στίχας] ἐν τῇ Σινωπικῇ καὶ Κυπρίᾳ καὶ Ἀντιμάχου "Τρῳάς" ἦν σὺν τῷ ῑ, ὡς "ἵππους δὲ Τρῳούς" (Il. 23. 291)· ἡ μέντοι κοινή, ᾗ συντίθεται καὶ ὁ Ἀσκαλωνίτης, "Τρῶας" ὡς Κᾶρας· καὶ τὸ ἑξῆς οὕτω, Τρῶας δὲ Ἄρης ὦτρυνε στίχας μετελθών, ἀντὶ τοῦ περιβὰς ⟨τὰς⟩ τάξεις· ἢ οὕτω, τοὺς Τρῶας μετελθὼν ὁ Ἄρης τὰς στίχας ὦτρυνεν.

462. εἰδόμενος—ἠγήτορι Θρῃκῶν] τιμᾶται γὰρ ὁ θεὸς παρὰ Θρᾳξίν.

B– 465. ἐς τί] τὸ "ἐς" ἀντὶ τοῦ ἕως, τὸ δὲ "τί" ἀντὶ τοῦ τίνος· διὸ καὶ εἰς τὸ "τί" ἡ ὀξεῖα. καὶ ἔστι πρόθεσις ἀντὶ ἐπιρρήματος. τὸ πᾶν οὖν ἕως τίνος.

B= 466. εἰσόκεν ἀμφὶ πύλῃς] ὅμοιόν ἐστι τῷ "ἢ μένετε Τρῶας" (Il. 4. 247). §. "ποιητοῖσι" δὲ Ἀρίσταρχος, Ζηνόδοτος δὲ "ποιητῇσι."

467. * κεῖται ἀνήρ] οὐκ ἀγνοῶν, ἀλλὰ παρορμῶν ⟨φησιν⟩.

B= 468. υἱὸς—Ἀγχίσαο] εὖ τὸ μὴ Ἀφροδίτης νῦν φάναι ἀλλ'
B= Ἀγχίσου, ἵνα ἐμφανῇ ὅτι συγγενής ἐστιν αὐτῶν ὁ ἀνῃρημένος.

472. Ἕκτορ, πῇ δή τοι μένος] ἀνεδύετο γὰρ τὴν μάχην, οὐ διὰ
B= δειλίαν ἀλλὰ τὴν τῶν ὅρκων σύγχυσιν, οὓς αὐτὸς ἐ⟨πε⟩πρυτανεύκει.

473. φῆς που] ὑπέλαβες· οὐ γὰρ ἂν Ἕκτωρ ἐφθέγξατό τι τοι-
B= οῦτον εἰς τοὺς συμμάχους.

ἄτερ λαῶν] τῶν τῆς πόλεως.

B= 475. οὔ τιν' ἐγὼ ἰδέειν δύναμαι] εἰς τὸν Πάριν ⟨ἀποβλέπει⟩, ὃς ἥρπασται.

476. κύνες ὣς ἀμφὶ λέοντα] περιττὴ ἡ "ἀμφί."

B= 477. οἵ περ ⟨τ'⟩ ἐπίκουροι ἔνειμεν] οὕτως αἱ Ἀριστάρχου. §. τὸ
B= ἁπλοῦν ἐστιν εἰμέν· πᾶν δὲ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀναβι-
βάζει τὸν τόνον.

B= 478. μάλα τηλόθεν ἦκω] ὅμοια τοῖς Ἀχιλλέως "ἐπεὶ μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα" (Il. 1. 156).

479. τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἐπὶ δινήεντι] ὅλον τὸν στίχον συναπτέον.

B= 480. ἔνθ' ἄλοχόν τε φίλην—καὶ νήπιον υἱόν] ὅτι τῶν φιλτάτων προὔκρινα τὴν σὴν φιλίαν, οὐκ ἀστυγείτονας δεδιὼς οὐδὲ πόθῳ χρημάτων ἁλούς.

B= 481. καὐδὲ κτήματα πολλά, τά τ' ἔλδεται ὅς κ' ἐπιδευής] ἔχω, φησί, τὰ πρὸς ζωήν, ὥστε μὴ μάτην ὑπὲρ ἀλλοτρίων κινδυνεύειν.

1. schol. cum praecedenti coniunctum || 2. τρωίας εἶχε σ. || τρωίους || 5. περιβὰς Bekker: ὑπερβὰς || 21. suppl. W || 32. δεδηὼς

482. καὶ μέμον᾽ αὐτὸς ἀνδρὶ μαχέσ⟨σ⟩ασθαι] ἀντιπαραβαλὼν B=
ἑκατέρους τοὺς λαλοῦντας ὄψει πόσον πρὸς αἰσχύνην ὁρῶσιν οἱ
λόγοι.

485. τύνη δ᾽ ἔστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις] πῶς γὰρ B=
⟨ἂν⟩ ἀμελῶν αὐτὸς τοὺς ἄλλους πείσειε κινδυνεύειν;

τύνη δ᾽ ἔστηκας] ἀπὸ τοῦ τύ ἐν παραγωγῇ "τύνη," ὡς ἐγώνη καὶ B–
ἐμίνη.

486. καὶ ἀμυνέμεν⟨αι⟩ ὤρεσσι] ταῖς ὑμῶν. ὅμοιον δέ ἐστι τῷ B=
"ἄλοχοι δ᾽ ἄλλοισι δαμεῖεν" (Il. 3. 301). αὔξει δὲ τὸν γάμον.

ὤρεσσι] ἀπὸ τοῦ ὀαρίζειν· καὶ "ὀάρων ἕνεκα σφετεράων" (Il. 9. B=
327).

487. μή πως, ὡς ἀψῖσι] ψιλωτέον τὸ "ἀψῖσι" εἰς ἰδιότητα· ὅτε
δὲ βαρύνεται, συμ⟨μετα⟩βάλλεται καὶ τὸ πνεῦμα καὶ ὁ χρόνος.

ἁλόντε] ὑμεῖς καὶ αἱ γυναῖκες. ἀλλοτριοῖ δὲ τῶν κινδύνων ἑαυτόν, B=
ὡς περὶ τῶν ἐκείνοις συμφερόντων λαλῶν. ἡ δὲ τοῦ λίνου ὁμοίωσις
οἰκεία, πολλῶν καὶ διαφόρων ἀνθρώπων ὡς ἰχθύων περιληφθέντων.

489. εὖ ναιομένην] ἢ ἀπὸ τοῦ ὁμονοεῖν.

491. ἀρχοὺς λισσομένῳ] ὀνειδιστικῶς· ὃν ἐχρῆν τοὺς ἄλλους B=
ὀτρύνειν, ὑπὸ τῶν συμμάχων προτρέπεται.

492. νωλεμέως ἐχέμεν] ἀντὶ τοῦ φυλάσσειν, "ἔχε⟨ς⟩ δ᾽ ἀλόχους"
(Il. 24. 730).

ἐνιπήν] πληγήν.

493. δάκε] ἠνίασεν· καὶ "θυμοδακὴς γὰρ μῦθος" (Od. 8. 185). B=

δάκε δὲ φρένας Ἕκτορι] τοιοῦτος γὰρ Ἕκτωρ· "οὐ γὰρ ἐγὼ B=
πληθὺν διζήμενος—ἐνθάδ᾽ ἀφ᾽ ὑμετέρων πολίων ἤγειρα ἕκαστον"
(Il. 17. 221)· ἀπὸ κοινοῦ δὲ τὸ "χρή." §. ⟨"ἀποθέσθαι" (492)⟩
ἀντὶ τοῦ ἀποτίθεσθαι.

494. αὐτίκα δ᾽ ἐξ ὀχέων] ἔδει γὰρ ἔργοις, οὐ λόγοις ἀπολογεῖσθαι. B=
§. ὡς τὸ τάριχος δέ, οὕτω καὶ τὸ ὄχος.

499. ἱερὰς κατ᾽ ἀλφάς] "ἀλφάς" ὡς ἀγαθάς. ἀπὸ γὰρ τοῦ ἀλφή, ὃ B=
σὺν τῷ ῑ γράφεται· παρὰ γὰρ τὸ ἀλοιῶ ἐστιν.

ὡς δ᾽ ἄνεμος ἄχνας—ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ] Πτολεμαῖος τοὺς δύο συλλαμβάνων στίχους ἐκτιθείς φησι καὶ τοῦτον οὕτω γράφεσθαι "εὖτ᾽ ἂν ξανθὴ Δημήτηρ."

8. τῷ B: τὸ ‖ 9. ἀλλήλοισι ‖ 10. ἀορίζειν ‖ 17. ὁμοῦ ναίειν: corr. W ex schol. Il. 15. 28 ‖ imperfecta ‖ 20. νωμελέως ‖ 25. πολήων ‖ 28, 29. ἀπολογεῖσθαι:—ὡς ‖ 29. ἄχος ‖ 33. δύο W: δώδεκα

B= 502. αἳ δ' ὑπολευκαίνονται] καλῶς ἡ "ὑπό·" οὐ γὰρ ἀθρόα ἡ τῶν ἀχύρων πτῶσις ἐπὶ τὴν ἄλω, κατ' ὀλίγον δὲ ἑτεροιοῦται τὸ χρῶμα τοῦ ἐπιδεχομένου αὐτὰ χωρίου· ὁμοίως δὲ καὶ τοῖς μαχομένοις κατ' ὀλίγον προσεκάθιζεν ὁ κονιορτός.

B= ἀχυρμιαί] κατ' ὀξεῖαν τὸ "ἀχυρμιαί·" Ἰωνικώτερον γάρ ἐστιν ὡς τὸ ἀγυιαί θαμειαί ταρφειαί. εἰσὶ δὲ οἱ τόποι ἔνθα ἐκτινάσσεται τὰ ἄχυρα.

B= 505. ἂψ ἐπιμισγομένων] ἐκ δευτέρου τῶν Τρώων προσμιγνύντων τοῖς Ἀχαιοῖς.

B= ὑπὸ δ' ἔστρεφον] οἱ μὲν ἡνίοχοι ὑποστρέφουσι τοὺς ἵππους, οἱ δὲ ἐπιβάται τὸ μένος φέρουσιν. §. ὁ δὲ "δέ" ἀντὶ τοῦ γάρ.

B= 506. ἀμφὶ δὲ νύκτα θοῦρος Ἄρης] σκέπει αὐτούς, ὡς εἰ καὶ θέλοιεν μὴ δύναιντο φυγεῖν, ὡς "πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν" (Il. 21. 7). ἢ ἑαυτὸν ἐσκέπασεν, ὡς μὴ ὁρῷτο κακῶν τοὺς Ἕλληνας. ἢ ἵνα οἱ μὲν λευκανθέντες ὁρῷντο, οἱ δὲ σκέποιντο.

B− 507. μάχῃ Τρώεσσιν ἀρήγων] τινὲς ἀντὶ 'μάχῃ Τρώων' οἱ δὲ εἰς τὸ "μάχῃ" στίζουσιν.

509. Ἀπόλλωνος χρυσαόρου] τινές, τιμίως λαλοῦντος διὰ τὴν λύραν.

511. ἦ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών] Ἀρίσταρχος ὀξυτόνως· καὶ δῆλον ἐκ τῆς πλαγίου "δοιαὶ μὲν Μενελάου ἀρηγόνες" (Il. 4. 7).

B= ⟨οἰχομένην⟩· ἦ γάρ ῥα πέλεν Δαναοῖσιν] πιθανῶς τοῦτο, ἵνα μὴ προλάβῃ ἡ θεομαχία.

B+ 512. πίονος ἐξ ἀδύτοιο] κεκνισωμένου.

515. ἀρτεμέα] πρὸς τὸ ἄρτιον.

B= 516. μετάλλησάν γε μὲν οὖτι] πιθανῶς τὸ ψυχρὸν τῆς διασολοικίας περιεῖλε, τὴν διάθεσιν ἤδη ἐμφήνας. §. τὸ δὲ "μετάλλησαν" ἀντὶ τοῦ ἠρώτησαν.

518. ἄμοτον μεμανῖα] ἄπληστον ἢ σφοδρόν.

B= 519. τοὺς δ' Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης] ἱκανὸν πρὸς αὔξησιν. ἄλλως τε καὶ τὴν παρὰ τῶν ἀκουόντων εὔνοιαν κτῶνται ἔρημοι θεῶν ὄντες Ἕλληνες· δικαίως ⟨οὖν⟩ ἐπάξει τῷ Ἄρει τὴν Ἀθηνᾶν.

B= 523. νηνεμίης ἔστησεν] ποικίλως ἄνω μὲν ἀπὸ ταραχῆς ἀνέμου ἔλαβε τὴν εἰκόνα, ὧδε ⟨δὲ⟩ ἀπὸ νηνεμίας.

2. ἄλω ‖ 10. ἐπιστρέφουσι ut B ‖ 12, 13. κ' ἐθέλοιεν ‖ 14. μὴ B: οὐχ ‖ 15. ὁρῷντο B: ὁρῶνται ‖ 16. ἀντὶ μάχην ‖ 23. κεκνισσαμένου ‖ 31, 33. supplevi ex B

524. ἀτρέμας, ὄφρ᾽ εὖδῃσι] τὸ "ἀτρέμας" καὶ τοῖς ἄνω δύναται Β=
καὶ τοῖς κάτω συνάπτεσθαι.

ὄφρ᾽ εὖδῃσι] ἐν ὅσῳ. "εὕδῃσι" ὡς "παμφαίνῃσι" (6). Β=

526. διασκιδνᾶσιν ἀέντες] ὡς τιθέντες· ἀπὸ γὰρ τοῦ ἄημι· τὸ δὲ Β–
παρ᾽ Ἡσιόδῳ (Theog. 875) "ἄλλοτε δ᾽ ἄλλοι ἄεισι" Αἰολικόν.

528. Ἀτρείδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων] ἄνω παρα- Β=
λιπὼν αὐτὸν ἰάσατο διὰ τοῦ "πολλά." §. ⟨"πολλά"⟩ ὅ ἐστι ταῦτα.

529. ἀνέρες ἔστε] οὐκ εἶπεν 'ἀνδρεῖοι' ἀλλὰ 'μὴ προδῶτε τὴν Β=
φύσιν.'

530. ἀλλήλους τ᾽ αἰδεῖσθε] εἰκότως· κατὰ φῦλα γάρ εἰσιν· δογ- Β=
ματίζει δέ, ὅτι χρήσιμον αἰδὼς οὐ μόνον ἐν εἰρήνῃ ἀλλὰ καὶ ἐν πολέμῳ. μετρίως δὲ οὐ λέγει αἰσχύνθητε 'ἐμέ,' ἀλλ᾽ "ἀλλήλους."

* ἀνὰ κρατερὰς ὑσμίνας] τελεία εἰς τὸ "ὑσμίνας." Β=

531. αἰδομένων δ᾽ ἀνδρῶν πλέονες σόοι] οὐ γὰρ τὸ περὶ αὐτοῦ Β=
μόνον σκοπεῖ, ⟨ἀλλ᾽⟩ αὐτός τε χωρίζεται συμμαχίας καὶ τοὺς ἄλλους χωρίζει.

533. δουρὶ θοῷς] καλῶς τοῖς κελεύσμασι πρῶτος ὑπακούει, τύπον Β=
ἑαυτὸν τοῖς ἄλλοις παρεχόμενος.

535. ὁμῶς Πριάμοιο τέκεσσι] προκατάρχει τοῦ "ὁμῶς" τὸ ὁμός
καὶ ὁμή καὶ ὁμόν· διὸ περισπᾶται ὡς καλῶς.

538. * ἔρυτο] ἀντὶ τοῦ ἐφύλαξεν.

539. νειαίρῃ δ᾽ ἐν γαστρί] τῷ παχεῖ ἐντέρῳ ἢ τῇ κύστει. Β=

541. Αἰνείας Δαναῶν ἕλεν] δικαίως, ἐπεὶ καὶ ἀριστεύς, καὶ παρ- Β=
οξύνεται διὰ τὸν ἑταῖρον καὶ προθυμίαν ἔχει παρὰ τοῦ Ἀπόλλωνος.

542. υἱὲ Διοκλῆος] Ἑλληνικὸν καὶ φιλάδελφον τὸ συναποθνήσκειν Β=
τοὺς ἀδελφούς, οὐχ οἷον τὸ Ἰδαίου ἦθος (11) τοῦ ἀδελφοῦ τοῦ Φηγέως.

Κρήθωνά τε Ὀρσίλοχόν τε] ὁ πρόγονος διὰ τοῦ τ̄, ὁ παῖς διὰ τοῦ σ̄· καὶ ἐν Ὀδυσσείᾳ οὖν διὰ τοῦ τ̄ (3. 489, 15. 187, 21. 16).

543. Φηρῆ] Μεσ⟨σ⟩ήνης. καὶ Φηρὰς αὐτὴν καλεῖ. Φεραὶ Θεσ-
σαλίας.

* ἐνὶ Φηρῇ] γράφεται "Ἐφήρῃ."

544. ἀφνειὸς βιότοιο] προσυνίστησιν αὐτοὺς αὔξων τὴν περὶ αὐτῶν Β–
μάχην· οὐ μέμνηται δὲ αὐτῶν ἐν τῷ καταλόγῳ, ἐπεὶ Με⟨σ⟩σήνιοί εἰσιν, οἵτινες ὑπὸ Μενελάῳ ἐτέλουν δῶρα, "τά οἱ ξεῖνος Λακεδαί-

7. suppl. W ‖ 15. supplevi ex B ‖ 31. ? ‖ dubium an pr. ‖ 32. πρὸς συνίστησιν

μονι δῶκε τυχήσας" (Od. 21. 13). "τὼ δ' ἐν Μεσ⟨σ⟩ήνῃ ξυμβλήτην—οἴκῳ ἐν Ὀρτιλόχοιο" (ib. 15). διὰ τοῦτο καὶ πεσόντας αὐτοὺς οὐδεὶς ἄλλος ἢ ὁ Μενέλαος ἐλεεῖ.

B− 550. τὼ μὲν ἄρ' ἡβήσαντε] ἡμᾶς ὤτρυνε διὰ τοῦ παθητικοῦ, τῆς ἥβης, τῆς τιμῆς, ὅτι δίδυμοι.

B= 554. οἵω τώ γε λέοντε] "λέοντε" μὲν διὰ τὸ εὐγενὲς ἄνωθεν καὶ εἰς ἀλκὴν προκόπτον, ἀτελεῖς δὲ διὰ τὸ μήπω θαρρεῖν τῇ δυνάμει. ἄλλως τε ἡ λέαινα δύο τίκτει δύο μαζοὺς ἔχουσα, οἱ ἀμύξαντες τὴν μήτραν τοῦ λοιποῦ ποιοῦσι τὴν μητέρα στεῖραν· ἡ δὲ πόρδαλις ⟨δ'⟩ τίκτει.

555. τάρφεσιν ὕλης] ὡς βέλεσιν ἀπὸ τοῦ τάρφος· ὅτε δὲ ἀπὸ τοῦ ταρφοῦς, ὡς ὀξέσιν.

B= 556. τὼ μὲν ἄρ' ἁρπάζοντε] ἁρπάζειν λέγεται ἐπὶ τῶν κωλυομένων λαβεῖν· διὰ μιᾶς οὖν λέξεως ἐδήλωσε καὶ τῶν πασχόντων τὴν ἄμυναν καὶ τῶν ἁρπαζόντων τὴν βίαν.

B= 557. σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ ἀνδρῶν ἐν παλάμῃσιν] πιθανῶς ἐπὶ μὲν τῶν βλαπτομένων τὸ τῶν ἀνθρώπων ἔθηκεν ὄνομα, ἐπὶ δὲ τῶν κτεινόντων τὰ θηρία τὸ τῶν ἀνδρῶν.

560. *ἐοικότες] δυϊκῶς "ἐοικότε" Ἀρίσταρχος.

561. τὼ δὲ πεσόντ' ἐλέησεν ἀρηίφιλος Μενέλαος] ὡς Λάκων, καὶ Ἀντίλοχος ὡς τῆς Τριφυλίας ὤν· ἡμερούσιός τε ἡ ἀπουσία οἴκου Ὀρτιλόχου καὶ Μενελάου (Od. 15. 187), ὃ πόρρω δηλῶν ὁ ποιητὴς γυμνάζει τὸν ἀκροατήν.

B= 563. τοῦ δ' ὤτρυνεν μένος Ἄρης] ἀνθρωποπαθεῖς εἰσάγων τοὺς θεοὺς πλέον πάντων τὸν ἀλλοπρόσα⟨λ⟩λον Ἄρεα ⟨ἐμφανίζει⟩.

B+ 565. τὸν δ' ἴδεν Ἀντίλοχος] ἐν τοῖς καιροῖς ἀεὶ ὀξὺς ὁ Ἀντίλοχος· καὶ ὁ μὲν Ἀλέξανδρος ὡς ἠδικηκὼς τοῖς Τρωσὶν "ἶσον ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3. 454), ὁ δὲ Μενέλαος εὐνοεῖται ὑπὸ τῶν Ἑλλήνων ὡς ἠδικημένος.

567. μέγα δέ σφας] συσταλτέον διὰ τὸ μέτρον.

B= 571. Αἰνείας δ' οὐ μεῖνε—ὡς εἶδεν δύο φῶτε] ⟨δείκνυσιν⟩ ὅσον φιλαλληλία, ἣν συνεβούλευσεν Ἀγαμέμνων.

B= 574. τὼ μὲν ἄρα δειλώ] προεῖπε γὰρ τὸ ἐμπαθὲς τῆς ἡλικίας, τῆς ὁμογενείας, τοῦ θανάτου, τῆς περὶ τοὺς φίλους σπουδῆς· μηδέπω γὰρ καλοῦντος τοῦ καιροῦ ἦκον ἐπίκουροι.

2. ὀρτιλόχου ‖ 9. supplevi ex B ‖ 12. ἐπὶ τῶν B: ἀπὸ τοῦ ‖ 18. δ. τὸ ἐ. ‖ 27. εὐνοιεῖται ‖ 30. supplevi ex B ‖ 31. φιλλαλία pr. φιλλαληλία *sec.* ‖ 33. ὁμογενείας B: ὁμογειτονίας

576. ἔνθα Πυλαιμένεα ἑλέτην] σκόπει τὴν φράσιν, ἕλετο ἑλέτην ἐπόρθησαν, διὰ τὸν ἡνίοχον καὶ τοὺς ἵππους· ἢ συλληπτικῶς ὡς "τώ τε Θρήκηθεν ἄητον" (Il. 9. 5). §. πῶς οὖν τῷ υἱῷ ἕπεται δάκρυα λείβων ἐν τῇ ἐπὶ ταῖς ναυσὶ μάχῃ "ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος" (Il. 13. 643); ἔστιν οὖν ὁμωνυμία. καὶ ὁ μὲν ἀρχηγός, ὡς "Ἴασος αὖτ' ἀρχὸς μέν" (Il. 15. 337), ὁ δὲ βασιλεύς· διὸ πολλὴ γίνεται περὶ αὐτὸν σπουδὴ τῶν Παφλαγόνων καὶ τοῦ Ἀλεξάνδρου· πῶς δὲ ὁ Ἀρπαλίων ἐνταῦθα οὐκ ἐπήμυνε τῷ πατρί, εἰ τούτου ἦν υἱὸς τοῦ Πυλαιμένεος; §. Πυλαιμένεα δὲ ὡς Διομήδεα. B–

581. ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους] τοῦτο διὰ μέσου.

582. χερμαδίῳ ἀγκῶνα] ἐπώδυνος ἡ πληγή· διὸ καὶ τὰς ἡνίας ἀπέβαλε καὶ φεύγειν οὐκ ἔχων εὐάλωτος γέγονεν. B=

583. ἡνία λευκ' ἐλέφαντι] λείπει τὸ ὡς, ἵν' ᾖ λευκὰ ὡς ἐλέφας. οἱ δὲ ἐξ ἐλεφαντίνων λελευκασμένα ⟨ὀστῶν⟩· ἔχουσι γὰρ αἱ ἡνίαι ἐλεφαντίνους ἀστραγάλους ἑκατέρωθεν, δι' ὧν ἕλκουσιν οἱ ἡνίοχοι. B=

584. ξίφει ἤλασε] πῶς ἐπὶ τοῦ ἅρματος ἑστηκὼς τὴν κεφαλὴν ξίφει πλήττεται; τάχα οὖν τὰς ἡνίας ἀναλαβεῖν ἐθέλων ἢ ναρκήσας ὑπὸ τῆς πληγῆς κατέκυψεν. B=

586. * κύμβαχος] τῆς κυνῆς ὁ λόφος· ἔνιοι τὸ ἐπὶ κεφαλῇ.

βρεχμόν] ⟨βρεχμός ἡ τοῦ αὐχένος σπονδυλώδης ἀρχή,⟩ βρέχμα ἀπόπτυγμα ἀπὸ θώρακος. B+

587. δηθὰ μάλ' εἰστήκει] οὐκ ἀπίθανον τοῦτο· ἠνέχθη γὰρ μεταξὺ τῶν ἵππων καὶ τοῦ ἅρματος, καὶ ἦν ἡ μὲν κεφαλὴ βυθισθεῖσα, οἱ δὲ ὦμοι ἑδραῖοι τοῦ σώματος, τὸ δὲ ὅλον ἐπὶ τῷ αἰφνιδίῳ θανάτῳ· ⟨ψυχορραγῶν γὰρ⟩ ἔτι ἔπνει καὶ ἐνήλατο. τὸ δὲ "κύμβαχος" ἐπεξηγήσατο. B+

ἀμάθοιο βαθείης] διάφορος ἡ σημασία ἐπὶ τῆς ἀμάθου καὶ ψαμάθου.

593. ἣ μὲν ἔχουσα κυδοιμόν] ἡ δύναμιν ἐν αὐτῇ θορυβώδη ἔχουσα, ἢ ὡς βέλη τῆς χειρὸς κατέχουσα, ἢ ὡς "πολέμοιο τέρας ⟨μετὰ χερσὶν ἔχουσαν⟩" (Il. 11. 4). B=

596. * ῥίγησε] ἐπεὶ ἀπείρητο αὐτῷ μὴ συνάπτειν τινὶ τῶν ἄλλων θεῶν πόλεμον. B=

597. * ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος] ἄπειρος· καὶ Διομήδης γὰρ ἄπειρος τῆς πρὸς Ἄρεα ἀντιπαρατάξεως. B=

6. *ναύταρχος* ‖ 14. supplevi ex B ‖ 17. *κατέκυψεν* ante ἢ omisi ut B ‖ 20, 25. supplevi ex B ‖ 24. *ὄντες* post *ἑδρ.* omisi ‖ 25. *ἔτι* B: *ὡσεὶ* ‖ *ἐνήλλατο* ‖ *κύμβαχον* ‖ 29. *τέρας* πολ.

598. στήῃ ἐπ᾽ ὠκυρόῳ] αἰφνιδίως ἐπιστὰς τῷ ποταμῷ πλημμυροῦντί τε καὶ ὑπὸ τῆς θαλάσσης ἀνακρουομένῳ.

B= 601. ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον] ἄμφω ποιεῖ, τῷ θεῷ εἴκειν παραινεῖ καὶ τὸν πόλεμον μὴ δεδιέναι προτρέπεται.

B= 605. ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω εἴκετε] κατ᾽ ὀλίγον ἀναχωρεῖτε ὑποποδίζοντες. διδάσκει δὲ πῶς δεῖ τὰς τροπὰς ποιεῖσθαι.

609. Μενέσθην Ἀγχίαλόν τε] Ἀρίσταρχος "Μενεσθῆν" ὡς Ἀπελ⟨λ⟩ῆν· τινὲς δὲ διὰ τοῦ τ "Μενέστην" ὡς Ὀρέστην. §. τινὲς δὲ Ἑλωρέα τὸν Ἡφαίστου κατ᾽ ἐπίκλησιν οὕτω φασὶ κεκλῆσθαι. §. τὸ δὲ "Ἀγχίαλον" ψιλωτέον· κύριον γάρ.

B= Μενέσθην] ὡς ὄρος Ὀρέστης, οὕτω μένος Μενέστης, καὶ μεταβολῇ Μενέσθης.

612. ὅς ῥ᾽ ἐνὶ Παισῷ] Ἀπαισός ἐστιν, ἣν διὰ τὸ μέτρον Παισὸν εἶπεν, ὡς Σπληδόνα.

B= 613. πολυκτήμων πολυλήιος] διδάσκει τοὺς πλουσίους θνητὰ φρονεῖν καὶ τὸν θάνατον νομίζειν μηδὲν ἧττον παρεῖναι.

B= 619. σάκος δ᾽ ἀνεδέξατο πολλά] τὸ πλῆθος τῶν βληθέντων δοράτων καὶ τὴν ἀνδρ⟨ε⟩ίαν τοῦ βληθέντος δηλοῖ.

621. οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο] τινὲς ὡς τὰ ὅλα, κακῶς.

B+ 629. ὦρσεν ἐπ᾽ ἀντιθέῳ Σαρπηδόνι] φασὶν Εὐρώπῃ τῇ Φοίνικος ἀνθολογούσῃ φανῆναι τὸν Δία ἐν σχήματι ταύρου κρόκον ἐκ τῶν ῥινῶν βλαστάνοντος· ἐπικαθεσθείσης δὲ τοῖς νώτοις τῆς κόρης πρὸς ἀπανθισμόν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν ⟨αὐτήν⟩.

630. ἐπ᾽ ἀλλήλοισιν ἰόντες] [ἐν] τῇ ἑτέρᾳ "ἰόντε" κεῖται.

B= 631. υἱός θ᾽ υἱωνός τε] ταχέως ἄμφω ἐδήλωσεν· τὸν μὲν γὰρ ἴσμεν διὰ τοῦ καταλόγου (Il. 2. 653), τὸν δὲ γνωσόμεθα. πῶς δὲ συγγενεῖς ὄντες μάχονται; οὐκ ἐδόκει μιαρὸς εἶναι ὁ ἐν πολέμῳ θάνατος, ἄλλως τε καὶ ἀρνοῦνται τὴν συγγένειαν· "ψευδόμενοι δέ σε φασὶ ⟨Διὸς γόνον⟩" (635).

634. πτώσσειν ἐνθάδε] πτήσσειν.

B= 635. ψευδόμενοι δέ σε φασί] ἀλλοτριοῖ αὐτὸν ἐκείνου ἐφ᾽ ᾧ αὐτὸς αὐχεῖ. ἄλογος δὲ ὁ μηδὲν αὑτοῦ διεξιὼν ἀλλὰ τοῦ πατρός. ἠρέμα οὖν ἐλέγχει ὁ ποιητὴς τοὺς ἐπὶ πατράσιν αὐχοῦντας καὶ τούτου χάριν ἐθέλοντας πρωτεύειν· δι᾽ ὃ καὶ ἀποκτείνει Τληπόλεμον.

11, 20. ? ‖ 21. σαρπηδών ‖ 22, 23. τοῦ ἰνίου coni. W, an τῶν νώτων? 33. αὐτοῦ ‖ 35. ὃ καὶ B: ὃν

638. ἀλλ' οἷόν τινα] "ἀλ⌈λ⌋οῖ⌈ο⌋ν," οὐχ οἷος σύ· οὕτω Πῖος· τί γὰρ βούλεται ὁ "ἀλλά"; §. δασυντέον δὲ τὸ "οἷον"· θαυμαστικὸν γάρ· τινὲς δὲ ψιλοῦσι καὶ ἐκδέχονται ἀντὶ τοῦ μόνον· οἱ δὲ ὑφ' ἓν "ἀλλοῖον," ἵν' ᾖ οὕτω, πάντες μὲν ἀγαθοὶ οἱ ἀπὸ Διός· ἄλλοι δέ φασι καὶ ὑπὲρ πάντας εἶναι τὸν Ἡρακλέα. A+ B= B= B=

639. θρασυμέμνονα] τοὺς θρασεῖς ὑπομένοντα. φασὶ δὲ ἀεὶ Λυκίους Ῥοδίοις ἐχθρεύειν. A− B= B=

640. ὅς ποτε δεῦρ' ἐλθών] εὖ τὸ παράδειγμα τῆς Ἡρακλέους ἀρετῆς, ⟨ὅτι αὐτὸ⟩ οὐκ ἄλλοθεν φέρει ἢ ἐκ τῆς πολεμουμένης πόλεως. Μεγακλῆς δέ φησιν ἐψε⌈ῦ⌋σ⌈θ⌋αι τὴν ἐπὶ Ἴλιον στρατείαν. B= B=

642. χήρωσε δ' ἀγυιάς] αὕτη ἡ μεταφορὰ τὴν μετὰ λύπης ἐδήλωσεν ἐρημίαν. B= B=

646. ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα] ἄξιοι θανάτου οἱ λόγοι.

648. ἀπώλεσεν Ἴλιον—ἁρπαδίῃσιν ⟨ἀγανοῦ⟩ Λαομέδοντος] εὐτέλισε τὴν δύναμιν Ἡρακλέους, τὴν ἀδικίαν ἐκείνου αἰτίαν εἶναι λέγων τῆς ἁλώσεως. ἔδει δὲ ἐπαγαγεῖν, σὺ δὲ ἀδίκως πολεμῶν ἁλώσῃ, οὐχ αἱρήσεις ἡμᾶς δικαίως πολεμοῦντας· ὃ δὲ θυμῷ φερόμενος ἐκομμάτισε τὸν λόγον· ἢ ἠθικὸς ὁ λόγος, ἐκεῖνος μὲν τὴν Ἴλιον εἶλεν, ἐγὼ δὲ σέ· τὰ δὲ ἐν μέσῳ πρὸς μείωσιν Ἡρακλέους. §. "ἀγανοῦ" δὲ "Λαομέδοντος" τῷ σώματι. B= B= B=

651. οὐδ' ἀπέδωχ' ἵππους] ἐξ ἀμφοῖν δηλοῦται ἡ ἱστορία· ὃ μὲν γάρ φησιν ὅτι δι' ἵππους, ὃ δὲ διὰ ποίους ἵππους. τελειοῦται ⟨δὲ⟩ ἐν τῷ "τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος" (Il. 20. 145). B= B= B=

654. κλυτοπώλῳ] ἁρμόδιον τὸ ἐπίθετον τῷ ἅμα νοήματι τὰ παραχοῦ ζῷα καταλαμβάνοντι. A B+

656. ἁμαρτῇ] Ἀρίσταρχος τὸ "ἁμαρτῇ" χωρὶς τοῦ ῑ γράφει καὶ ὀξύνει· ἀποκοπὴ⟨ν⟩ γὰρ ἐκδέχεται ἀπὸ τοῦ ἁμαρτήδην· ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ πλείους περισπῶσι παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ περισπώμενον ἐκδεχόμενοι, ὃ καὶ ἐπεκράτησεν. §. τὸ δὲ "ἁμαρτῇ" ὁμοῦ, ἢ κατ' ἐπακολούθησιν. A= B+ B= B=

657. βάλεν αὐχένα μέσσον] τοῦ βρόγχου διαιρεθέντος καὶ τῆς ἀναπνοῆς εἰργομένης ταχὺς ὁ θάνατος ἐπεγένετο.

αὐχένα μέσσον] ὅτι ἐπὶ τοῦ ἐμπροσθίου αὐχένος φησίν.

658. αἰχμὴ δὲ διαμπερές] ὑπὸ συγγενοῦς ἀναιρεῖται, ἐπεὶ καὶ B=

1. novavit pr. ‖ 9. supplevi ex B ‖ 10. Μενεκλῆς ut B: corr. C. Mueller ‖ τὴν στρατείαν B: τῇ στρατείᾳ ‖ 16. π. ἁλώσειν ‖ 27. ὀξύνει B: ἀποξύνει

συγγενῆ εἶλε τὸν Λικύμνιον· "φίλον" γὰρ "μήτρωα κατέκτα" (Il. 2. 662).

A+ 661. μαιμώωσα] πλεονάζει τὸ μ̄· ἔστι γὰρ αἱμώωσα.

B= 662. πατὴρ δ' ἔτι λοιγὸν ἄμυνεν] προαναφωνεῖ μὲν τὸν θάνατον τοῦ Σαρπηδόνος διὰ τοῦ "ἔτι," παραμυθεῖται δὲ τὴν ἧτταν τοῦ πολεμίου ἀργὸν ποιήσας Σαρπηδόνα.

664. βάρυνε δέ μιν δόρυ μακρόν] πολὺ τὸ ἐναργὲς φερομένου μὲν τοῦ Σαρπηδόνος, συρομένου δὲ τοῦ δόρατος· γραφικῶς οὖν καὶ ταῦτα.

A– B= 665. τὸ μὲν οὕτις ⟨ἐπ⟩εφράσατο] ἐπ' αὐτῷ ταρασσομένων, ἢ οἷον σπευδόντων αὐτῷ ἐπιβῆναι. §. ὁ μὲν Τληπόλεμος πρότερον καυχησάμενος ἀναιρεῖται, ὁ δὲ Σαρπηδὼν μόνον τιτρώσκεται, ἐπεὶ ἀνταλαζονεύεται.

A= τὸ μὲν οὕτις ἐπεφράσατο] ἔν τισι "τό οἱ οὕτις." §. τελεία δὲ εἰς

A+ τὸ "ἐπεφράσατο·" δύναται δὲ καὶ ὅλον ἓν ⟨εἶναι⟩ ἕως τέλους.

B= 667. σπευδόντων· τοῖον γὰρ ἔχον πόνον] ἄκρως μιμητὴς ἀληθείας ὁ ποιητής· πολλὰ γὰρ παρορῶμεν σπεύδοντες.

B= 670. * μαίμησε δέ οἱ] συνεπάθησεν ἐπὶ τῷ νεκρῷ.

B= 671. μερμήριξε δ' ἔπειτα] διδάσκει διὰ τοῦ Ὀδυσσέως κἂν τοῖς κινδύνοις φρονήσει δεῖ⟨ν⟩ χρῆσθαι, μὴ θυμῷ καὶ πάθει.

B= 672. ἢ πρότερω Διὸς υἱὸν ⟨—διώκοι⟩] προσσοτέρω διώκοι.

A+ B= 677. Χρομίον Ὀδίον καὶ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων παροξύνεσθαί φησι πλὴν τοῦ Ἄνιος, Ξένιος, Κρόνιος, Ἅλιος.

B= 683. ἔπος ⟨δ'⟩ ὀλοφυδνόν] οἰκτρὸν καὶ ταπεινὸν διὰ τὸ ἐπιθυμεῖν ἐν τῇ σφετέρᾳ ἀποθανεῖν. ἐπιρραπίζει δὲ διὰ τούτων ὁ ποιητὴς τοὺς οἰομένους τὸ μὴ ἐν τῇ οἰκείᾳ ἀποθανεῖν τὸ μηδὲν εἶναι.

684. ἀντιπαράβαλε τὰ Μενελάου, καὶ εὑρήσεις τὸ διάφορον.

B= 686. ἐπεὶ οὐκ ἄρ' ἔμελλον—νοστήσας] ἐντέχνως ὑπομιμνήσκει τῆς συμμαχικῆς χάριτος τὸν Ἕκτορα.

B= 689. τὸν δ' οὔτι προσέφη] πέπονθε γὰρ τῇ ὄψει καὶ τῷ λόγῳ· καὶ οὐκ ἦν ἀδολεσχίας ὁ καιρός.

B+ 690. * λελιημένος] λιαρὸν τὸ θερμόν.

B= 693. εἶσαν ὑπ' αἰγιόχοιο—περικαλλέι φηγῷ] ἀπαγαγὼν ἡμῶν τὸν νοῦν τῆς μάχης ὑπὸ ἀνθηρὰν καθίζει δρῦν τὸν τραυματίαν. καλῶς

1. συγγενῆ B: συγγένεια ‖ 10. αὐτὸν ‖ 13. τό οἱ A: τόσον ‖ 14. ἐπεφράσσατο ‖ 15. ἄκρως B: ἄκρος ‖ 17. συνεπάθησεν B: συνέπαθεν ‖ 18. καὶ ‖ 21. ὀδίῳ τὰ τ.

δὲ αὕτη ἱερὰ τοῦ Διός, ἐπεὶ βαλάνοις πρώην ἐχρῶντο, καὶ ἵνα ὑπὸ τοῦ πατρὸς ἰαθῇ· πλησιάζον γὰρ ⟨ἦν⟩ καὶ ἱερόν, εἰς ὃ παρεγένετο, εἰ καὶ ἐπὶ δρῦν φησιν.

695. ἴφθιμος Πελάγων] Πτολεμαῖος διὰ τοῦ σ γράφει "Σελάγων." A+

696. τὸν δ' ἔλιπε ψυχή] "ψυχὴ" τὸ πνεῦμα. ⟨"ἔλιπε"⟩ διὰ τὴν αἱμορραγίαν. B=

697. αὖτις δ' ἀμπνύ⟨ν⟩θη] ἀνέλαβε τὸ πνεῦμα. §. ἔν τισι δὲ διὰ τοῦ ε γράφεται "ἐμπνύνθη." B= A=

περὶ δὲ πνο⟨ι⟩ὴ Βορέαο ζώγρει] ὃ ἐνέλιπε τῷ πνεύματι, προσεπορίζετο ὁ ἄνεμος. §. κάπος (698) δὲ λέγεται τὸ πνεῦμα. B= A+ B=

698. * κεκαφηότα] ἐκπεπνευκότα. A=

700. οὔτε ποτὲ προτρέποντο] τὸ προτροπάδην φεύγειν ὄνειδος ἡγεῖται, ἐπεξηγεῖται δὲ αὐτὸ διὰ τοῦ "αἰὲν ὀπίσσω χάζοντο" (701). τοῦτο ἐδήλωσε τὸ "προτρέποντο." §. διασταλτικὸν δὲ τὸ "ἀντεφέροντο·" οὐ γάρ ἐστιν 'ἀλλ' ἀντεφέροντο.' B– B=

703. ἐξενάριξεν Ἕκτωρ—καὶ—Ἄρης] διὰ τοῦ ᾱ τὸ "ἐξενάριξεν." §. οὐκ ἀτόπως οὖν τρωθήσεται φονεύων δι' ἑαυτοῦ ὁ Ἄρης· αὔξων δὲ τὴν τοῦ Ἕκτορος ἀρετὴν συνέζευξεν αὐτὸν τῷ Ἄρει. A+ B= B=

708. ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε] ⟨τὸ Ὕλη ἐνταῦθα μὲν συστέλλει,⟩ ἐν δὲ τῷ καταλόγῳ ἐκτείνει "ἠδ' Ὕλην καὶ Πετεῶνα" (Il. 2. 500). μέγα πλούτοιο μεμηλώς] διὰ γεωργίας ἐπιμελούμενος, ὅπως πλουτῇ. AB+ B=

709. λίμνῃ κεκλιμένος] ὡς "αἵ θ' ἁλὶ κεκλίαται" (Od. 4. 608). §. "Κηφισίδι" δὲ ἢ τῇ λίμνῃ ἢ τῷ ποταμῷ. B+

717. εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα] πρὸ πολλοῦ θεραπεύει τὴν Ἄρεος ἁμαρτίαν ὁ ποιητής.

720. ἔντυεν ἵππους] ἀπὸ τῶν εἰς πόλεμον εὐτρεπιζομένων.

722. Ἥβη δ' ἀμφ' ὀχέ⟨ε⟩σφι] ὑπηρετικήν τινα τὴν Ἥβην παρεισάγει ὁ ποιητής· καὶ ἀνωτέρω μὲν (Il. 4. 2) εὐωχουμένοις τοῖς θεοῖς διηκόνει, ἐν δὲ τοῖς ἑξῆς (905) λούει τὸν Ἄρεα· παρθενικὸν γὰρ τὸ τοιοῦτον, ὡς "Τηλέμαχον—Πολυκάστη" (Od. 3. 464). B=

τὸν δίφρον τῆς Ἥρας οὕτως ἡ Δημὼ φυσιολογεῖ. Ἥραν γάρ φησιν εἶναι τὸν ἀέρα· τὴν δὲ φύσιν ἐκτιθέμενον τοῦ στοιχείου φησὶ B=

1. αὕτη ἡ ἱ. ‖ 2. πλησιάζον B: πλησιάζει ‖ supplevi ex B ‖ παρ. εἰ καὶ B: παραγενέσθαι ‖ 7. ἀμπνύσθη textus ‖ 13, 14. coniunxi omisso ante τοῦτο lemmate οὔτε ποτ' ἀντεφέροντο μάχῃ ‖ 14. τὸ πρώην διασταλτέον: corr. W ‖ 19. supplevi ex B ‖ 21. ἐπιμελώμενος ‖ 25. κατὰ ante Ἄ. del. W, cf. p. 195, 33

τὸν ποιητὴν τὰ μὲν περίγεια αὐτοῦ μέρη, ἅπερ ἐστὶ ζοφωδέστερα καὶ πολὺ τὸ γεῶδες ἔχοντα, ταῖς παχυτέραις ὕλαις εἰκάζει⟨ν⟩, χαλκῷ τε καὶ σιδήρῳ· "καὶ χρυσὸν μερικῶς ἐγκατέμιξεν, ἴσως διὰ τὸ ποσῶς ὑπὸ ἡλίου φωτίζεσθαι· τὰ μέντοι μετεωρότερα—τὸν ῥυμὸν δέ φημι —ἀργύρεα λέγει, τὸ δὲ πάντων ἀνωτέρω καὶ συναφὲς τῷ αἰθέρι χρύσεον ζυγόν—συνέζευκται γὰρ τῷ αἰθέρι—ἱμάντας δὲ χρυσέους καὶ ἀργυρέους τοὺς ἐξ ἡλίου καὶ σελήνης φωτισμούς, δύο δὲ ἄντυγας τὸ ὑπόγειόν τε καὶ ὑπέργειον ἡμισφαίριον."

B= 723. χάλκεα ὀκτάκνημα σιδηρέῳ ἄξονι] τὰ γὰρ ἐνεργῆ μέρη τοῦ ἅρματος ταῖς στερεαῖς ὕλαις κοσμεῖ, τὰ δὲ ἄλλα ταῖς πολυτελέσιν.

A + B− 724. χρυσέη ἴτυς] παντὸς περιφεροῦς τὸ τελευταῖον ἡ ἀψίς, εἰς ἣν αἱ κνῆμαι αἱ ἀπὸ τῆς χοινικίδος ἐμπήγνυνται.

B= 726. πλῆμναι δ' ἀργύρου εἰσί] καλῶς τὸ "εἰσί" πρὸς ἀληθείας

A − B= ὑπόληψιν. §. "πλῆμναι" δὲ αἱ χοινικίδες· πλῆμναι δὲ εἴρηνται διὰ τὸ πλήσσεσθαι ὑπὸ τοῦ ἄξονος· ταύτας δὲ ἔνιοι χνόας ὀνομάζουσιν.

728. ἄντυγες] τὰ ἐπὶ τοῦ δίφρου ἡμικύκλια, ὅθεν καὶ τὰ ἡνία ἐξάπ-

AB= τονται. §. κνῆμαι (723) δὲ αἱ ἀπὸ τῆς χοινικίδος ἕως τοῦ τροχοῦ ῥάβδοι.

A + B= §. "δίφρος" παρὰ τὸ δύο ἄγειν, "ζυγός" παρὰ τὸ δύο εἰς ⟨ἓν⟩ ἄγειν

A ~ B= αὐτόν. §. "ἄξων" τὸ εἰς τὰς χοινικίδας ἐμβαλλόμενον ἑκατέρου τροχοῦ.

A B= 729. ῥυμός] τὸ ἀπὸ τοῦ δίφρου μέχρι τοῦ ζυγοῦ ξύλον, ἀπὸ τοῦ ἐρύειν.

A= 730. ** λέπαδνα] ὡς κόπτω κόπανον λέπω λέπαδνον. §. εἰσὶ δὲ

AB= τὰ ⟨λέπαδνα⟩ περιτραχήλια τῶν ἵππων.

B= 734. πέπλον μὲν κατέχευεν] τὰς περόνας λύσασα καταφέρεσθαι ἀφῆκεν· γυμνὴν δὲ ἡμῖν τὴν Ἀθηνᾶν διὰ τῆς λέξεως ἐνέφηνεν.

AB= §. πρέπω δὲ πρέπαλος πέπαλος πέπλος.

AB= 736. ἣ δὲ χιτῶν' ἐνδῦσα] δασυντέον τὸ η̄· ἄρθρον γάρ ἐστιν ἀντωνυμικόν. τινὲς δὲ ψιλοῦσι, σύνδεσμον ἐκδεχόμενοι τὸ "ἠ⟨δέ"⟩, κακῶς.

B= χιτῶν' ἐνδῦσα] οὗτος γὰρ μᾶλλον ἐπιτήδειος ἐν πολέμῳ, καὶ ὅτι ἴση περιβολὴ Διὸς καὶ Ἀθηνᾶς ὡς Ἀχιλλέως καὶ Αἴαντος (Π. 18. 192).

A+ ἣ δὲ χιτῶν' ἐνδῦσα] τὸ "Διὸς νεφεληγερέταο" τινὲς τῷ πρώτῳ, οἱ δὲ τῷ ἑξῆς ⟨συνάπτουσιν⟩, ἵν' ᾖ, ὅλα τὰ ὅπλα τοῦ Διός· κοινὸν δὲ καὶ

B= εἰ τῷ πρώτῳ. §. "τεύχεα" δὲ τὴν αἰγίδα καὶ τὴν περικεφαλαίαν λέγει.

2. supplevi ex B ‖ 5. ἀργύρεον ut B ‖ 7. ἀργυροῦς ‖ 15. χνόας B Eust.: χνείσας ‖ 18. supplevi ex A B ‖ 27. η̄ B: ε̄ ‖ 28. τὸν ‖ supplevi ex B ‖ 30. παραβολή ‖ 32. τὸ ἑξῆς ‖ 33. εἰ τῷ πρώτῳ scripsi: ἐπὶ τοῦ πρώτου

737. τεύχεσιν ἐς πόλεμον] τῇ αἰγίδι, διὰ τὸ δυνάμεις ἀρεϊκὰς B=
ἐντετυπῶσθαι ἐν αὐτῇ.

739. ἦν πέρι μὲν πάντῃ φόβος] ὅσος ἦν, κύκλῳ εἶχετο. §. ἀνα- B=
στρεπτέον δὲ τὴν "περί." AB=

740. ἐν δ' Ἔρις, ἐν δ' ἀλκή] ἄδηλον πότερον εἴδωλα ταῦτά εἰσιν B=
ἢ διαθέσεις, ὡς τὸ "ἔνθ' ἔνι μὲν φιλότης" (Il. 14. 216).

κρυόεσσα ἰωκή] πολέμου ἐπιφορά.

741. ἐν δέ τε Γοργείη κεφαλή] οἷον κατάστημά τι γοργότητος B=
δεινὸν καὶ βλοσυρόν. Ἡσίοδος γὰρ διέπλασε τὸν μῦθον τῶν Γορ-
γόνων (Th. 274).

742. σμερδνή] ὡς ἀλαπάζω ἀλαπαδνός, οὕτω μερίζω μεριδνός AB—
μερδνός σμερδνός· καὶ "ὣς ἐδαΐζετο θυμός" (Il. 15. 629).

744. ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν] εἶχεν ἐν ἑαυτῇ ὁπλίτας B=
τετυπωμένους πόλεων ἑκατόν· ὑποτυποῖ δὲ ἡμῖν τὸ μέγεθος τῆς
φορούσης· καὶ αὐτὴν τὴν κόρυθα ἑκατὸν πόλεων ὁπλίτας δύνασθαι
κατακαλύπτειν φησίν. εἰ δὲ ἡ κόρυς τοσαύτη, πόσον τὸ μέγεθος τῆς
περικειμένης τὸ κράνος; καὶ ἐπὶ Ποσειδῶνος, "ὅσ⟨σ⟩ον τ' ἐν⟨ν⟩εάχιλοι" (Il. 14. 148)· οὐ γὰρ εἶπε τὸ μέγεθος αὐτοῦ, ὥσπερ οὐδὲ
τὸ τῆς Ἀθηνᾶς, κατ' ἔμφασιν δὲ ἔδωκε συλλογίζεσθαι πηλίκος ἦν
ὁ τὴν τοιαύτην φωνὴν ἔχων. §. "πρυλέες" δὲ ὁπλῖται ἢ πρόμαχοι A—
ἢ ἀθρόοι.

745. ἐς δ' ὄχεα φλόγεα] ὀξέα κατὰ τὴν κίνησιν ὡς πῦρ. B+

746. τῷ δάμνησι] οὐκ ἄνδρας εἶπεν, ἀλλ' ὑπερφυῶς "στίχας B=
ἀνδρῶν."

747. * τοῖσίν τε] αἱ Ἀριστάρχου ἄνευ τοῦ τ̄ "οἷσίν τε."

748. ἐπεμαίετ' ἄρ' ἵππους] ἀντὶ τοῦ ἐπέψαυσεν.

749. πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι] ἐπεὶ τὴν τῶν οὐρανίων B=
τάξιν καὶ τοὺς καιροὺς διοικοῦσιν· ἐμφαίνεται δὲ καὶ τὸ ἀξίωμα τῶν
θεῶν, εἴγε ἑκοῦσαι αἱ πύλαι εἴκουσιν αὐταῖς. §. οὐρανὸν δὲ τὸν ὑπὲρ AB=
τὰ νέφη τόπον.

752. κεντρηνεκέας] οὕτω φέροντας ὡς ὑπὸ κέντρου ⟨μαστιζομέ- B+
νους⟩· παρὰ τὸ ⟨κέντρον καὶ τὸ⟩ ἐνεγκεῖν.

757. οὐ νεμεσίζῃ Ἄρῃ] χαριέντως τὸν υἱὸν ἁμαρτάνοντα παρὰ B=
γνώμην τοῦ κυρίου κολάζειν οὐκ ἐπιχειρεῖ. πῶς οὖν Ἀθηνᾶ τοῦτο

3. ἦν εἰ κ. coni. W ‖ περιείχετο B ‖ 12. σμερδνός σμιρδνός ‖ 13. πολίτας: corr. G. Hermann ‖ 31, 32. supplevi ex B

οὐκ ἀναμένει; ὅτι οὐκ ἴδιον Ἀφροδίτης πόλεμος· καὶ Ζεὺς "οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ⟨ἔργα⟩" (428).

A+ B= 759. οἱ δὲ ἔκηλοι] δασυντέον· τὸ γὰρ ε̄ πρὸ τοῦ κ̄ δασύνεται, εἰ μὴ ἐκ κλίσεως εἴη, σεσημειωμένου τοῦ ἐκεχειρία.

B= 760. τέρπονται Κύπρις τε] πιθανῶς, ἵνα μὴ δοκῇ μάτην τετρῶσθαι.

B= 765. ἔπορσον Ἀθηναίην] ἄνωθεν ⟨κατα⟩σκευάζει τὴν τρῶσιν Ἄρεως. καλῶς τε τὸν ταραχώδη ἡ τῆς συνέσεως προεστηκυῖα καταλύει.

ἄγρει] λαβέ φέρε ἄγε.

A– B= 770. ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν] διὰ τοῦ ὀξυτάτου τοῦ ἐν ἡμῖν ἐδήλωσε τὸ τάχος τῶν ἵππων· ὅσον γάρ τις ἐκτείνει τὴν ὄψιν εἰς τὸν παρὰ θάλασσαν ἀτενίζων ἀέρα, μηδενὸς ἀντικόπτοντος, ἀλλὰ τοῦ ὁρωμένου παντὸς ἀέρος ὄντος, τοσοῦτόν ἐστι τὸ βῆμα τῶν θείων ἵππων ὁρμώντων.

A–B= ἠεροειδές] τὸ τοῦ ἀέρος εἶδος ⟨ἔχον⟩.

B= 772. ὑψηχέες ἵπποι] ὑψαύχενες, ἤτοι εἰς ὕψος ἀειρόμενοι μετὰ ἤχου. ἄριστοι γὰρ οἱ κυμβαλίζοντες ἵπποι.

AB+ 774. ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος] προεπίζευξις τὸ σχῆμα· προθεὶς γὰρ ἓν ὄνομα δυϊκὸν ἐπάγει πληθυντικόν, καὶ λοιπὸν ἀναπληροῖ τῇ ἐπαγωγῇ.

A– B= 776. περὶ δ' ἠέρα πο⟨υ⟩λὺν ἔχευεν] ἀντὶ τοῦ πολλήν. ἀεὶ γὰρ θηλυκῶς φησι, καὶ τὸ σκότος δηλοῖ. τὸ δὲ ἐπὶ τοῦ συνήθους ἅπαξ εἶπε "δι' ἠέρος αἰθέρ' ἵκανεν" (Il. 14. 288).

B= 777. τοῖσι⟨ν⟩ δ' ἀμβροσίην Σιμόεις] ποιητικοῦ κάλλους ἴδια ταῦτα, ὡς καὶ ἐπὶ τοῦ λέχους τοῦ Διός (Il. 14. 347). καλῶς δὲ οὐχ ὁ Σκάμανδρος ἀνέτειλεν· Τρωσὶ γὰρ βοηθὸς οὗτος.

B= 778. τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι] τὴν ὁρμὴν καὶ τὴν πτῆσιν· ἄτοπον γὰρ τρυφερῶς βαδίζειν τὰς εἰς πόλεμον ἐσκευασμένας. §.

B= ἄλλως: καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν· ἀφανῆ γὰρ τὰ τῶν περιστερῶν ἴχνη καὶ Ἀριστοτέλης λέγει (fr. 149).

B– §. ἄλλως: πρὸς τὸ καθαρὸν καὶ ταχύ. ὅτι γὰρ καὶ ταχύ, δῆλον ἀφ' οὗ τὴν κομιδὴν τῆς ἀμβροσίας πεπίστευται (Od. 12. 63).

AB– 785. Στέντορι εἰσαμένη] τινὲς αὐτὸν Θρῃκά φασιν, Ἑρμῇ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι· αὐτὸν δὲ εὑρεῖν καὶ τὴν

1. οὐχ ‖ 2. πολεμήια ‖ 4. ἐκκεχειρία ‖ 7. supplevi ex B ‖ 8. καλῶς scripsi: ἄλλως ‖ 30. ἀχανῆ: corr. Bekker

διὰ κόχλου μηχανὴν εἰς τὰς μάχας. ἀλλ' ἔθος Ὁμήρῳ τοῖς παροῦσιν εἰκάζειν τοὺς θεούς. τινὲς δὲ Ἀρκάδα φασὶν εἶναι τὸν Στέντορα, καὶ ἐν τῷ καταλόγῳ πλάττουσι περὶ αὐτοῦ στίχους.

786. ὃς τόσον αὐδήσασχ' ὅσον ἄλλοι πεντήκοντα] ἓν τισιν οὐκ ἦν A B= ὁ στίχος διὰ τὴν ὑπερβολήν.

787. κάκ' ἐλέγχεα] ὡς καὶ Ἀλέξανδρον "λώβην" (Il. 3. 42).

788. πωλέσκετο δῖος Ἀχιλλεύς] οὐκ ἐᾷ λήθῃ δίδοσθαι τὸ ὄνομα B= τοῦτο ὁ ποιητής.

789. πυλάων Δαρδανιάων] τῶν Σκαιῶν. B+

790. * οἴχνεσκον] ἐπορεύοντο.

795. ἕλκος ἀναψύχοντα] γυμνοῦντα πρὸς τὸ ἀποψῆν τὸν λύθρον. B=

ἕλκος—τό μιν βάλε Πάνδαρος ἰῷ] οὐ τὸ ἕλκος ἔβαλεν, εἰργά- A– B= σατο δὲ ἕλκος βαλών, ὡς τὸ "νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς" (Il. 24. 151), ὅ ἐστι κτανὼν νεκρὸν εἰργάσατο. ἀνδρείου δὲ καὶ καρτερικοῦ τὸ μὴ ἀναχωρῆσαι εἰς τὰς ναῦς μετὰ τὸ τραῦμα.

797. τῷ τρίβετο] Ἀρίσταρχος "τείρετο," αἱ δὲ κοιναὶ "τρί- A – B= βετο."

798. * "ἴσχων" ὡς ἔχων. A+

799. ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο] ἄκρως τὸ ἀνθρώπινον ἦθος B= μεμίμηται· τοῦτο γὰρ γίνεται καὶ νῦν.

801. Τυδεύς τοι] τῇ ἐπαναλήψει τοῦ ὀνόματος ηὔξησε τὸν Τυδέα. B=

802. ὅτε πέρ μιν—πολεμίζειν οὐκ εἴασκον] καὶ ὅτε ἐγὼ αὐτὸν B= ἀπετρεπόμην, ἐκεῖνος ὅμως μαχητὴς ἦν, ἡνίκα ἦλθεν ἄγγελος εἰς Θήβας· τὸ δὲ ἑξῆς ἀσύνδετον.

803. οὐδ' ἐκπαιφάσσειν] ⟨οὐ⟩ φανεροῦν ἑαυτόν, ἀλλ' ἐν ἀγγέλου B= σχήματι μένειν. §. δύναται δὲ εἰς τὸ "ἐκπαιφάσσειν" εἶναι στιγμή, B= εἶτα ἀπὸ ἄλλης ἀρχῆς· "ὅτε τ' ἦλυθεν—ἐς Θήβας," ἐκέλευον μὲν ἐγὼ δαίνυσθαι, ὁ δὲ ἐπολέμει. §. τὸ δὲ "ἐκπαιφάσσειν" γίνεται παρὰ B= τὸ φῶ τὸ φαίνω φάσσω, ἀναδιπλασιασμὸς παφάσσω, πλεονασμὸς παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πτῶ πταίνω παπταίνω.

806. αὐτὰρ ὁ θυμὸν ἔχων κρατερόν] ὑπερβολή, εἴγε καὶ ὑπὸ τῆς B= πολεμικωτάτης θεοῦ κελεύεται ἡσυχάζειν, ὁ δὲ οὐκ εἴκει ἀλλὰ πολεμεῖ, ὡσὰν ἄμετρον ἔχων ὁρμήν.

6. ἀλέξανδρος ‖ 7. πολέσκετο ut textus ‖ 20. ζυγοῦ θεὰ ut textus

B= 807. πάντα δ' ἐνίκα] πάντα κοῦρον, ἢ τὰ ἀγωνίσματα. §. οὐ
A+B= καθόλου δὲ εὑρέθη ἐν ταῖς Ἀριστάρχου τὸ "ῥηιδίως· τοίη τοι ἐγὼν ἐπιτάρ⟨ρ⟩οθος ἦα·" ἐναντίον γάρ ἐστι τοῖς προκειμένοις.

809. σοὶ δ' ἦ τοι μὲν ἐγὼ παρά θ' ἵσταμαι] ἐκ τῆς ἀντιπαραθέσεως ἤλεγξεν αὐτόν. φησὶ γὰρ "καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι" (810).

B= 811. κάματος πολυᾶιξ] ἐκ γὰρ πολλῆς κινήσεως ὁ κάματος. §. τὸ δὲ "δέδυκεν" ἀντὶ τοῦ ἐκάκωσεν.

B– 812. ἀκήριον] ἄψυχον ἀσθενές· σημαίνει δὲ καὶ ὑγιὲς καὶ ἄνοσον καὶ ἀθάνατον, νῦν δὲ εἰς ἀψυχίαν ἄγον.

818. ἀλλ' ἔτι σῶν μέμνημαι] Ἀρίσταρχος "σέων" γράφει.

A+ 824. μάχην ἀνὰ κοιρανέοντα] αἱ προθέσεις ἀντιπαραλαμβανόμεναι ἀλλήλων τοὺς οἰκείους τόνους τηροῦσιν.

B= 827. μήτε σύ γ' Ἄρηα τό γε δείδιθι μήτε τιν' ἄλλον] οὐ καθολική, ἀλλὰ πρὸς τὸ παρὸν προτρεπτικὴ ἡ παραίνεσις.

B= 831. τυκτὸν κακόν] οὐ φυσικόν, ἀλλὰ κατ' ἐπιτήδευσιν.

836. ἐμμαπέως] συντόμως παρὰ τὸ μάρψαι, ἢ ἐρρωμένως.

B= 838. μέγα δ' ἔβραχε—ἄξων] ἐμψύχως, ὡς καὶ ἐπὶ τοῦ "ἔκλαγξαν δ' ἄρ' ὀιστοί" (Il. 1. 46).

B= 843. Ὀχησίου] Ὀχήσιος υἱὸς Οἰνέως, ὡς Νίκανδρος ἐν τοῖς Αἰτωλικοῖς (p. 130 Schn.). κατὰ Διομήδους οὖν ἡ τοῦ Ἄρεως πρᾶξις.

B= 845. δῦν' Ἄιδος κυνέην] ἐπὶ τῷ πρὸ τῆς πληγῆς λαθεῖν· ἀμέλει μετὰ τὴν πληγὴν ὁρᾶται, ὡς καὶ τὸν Ἄρεα λέγειν κατ' αὐτῆς πρὸς τὸν Δία.

849. ἰθὺς Διομήδεος] ὡς "εὐθὺ τῆς σωτηρίας."

B= 850. οἱ δ' ὅτε δὴ σχεδόν] δύναται μὲν Ἄρει μονομαχεῖν Ἀθηνᾶ, φυλάσσει δὲ τὸν πόλεμον εἰς ἄλλον καιρὸν ὁ ποιητής.

B= 851. ὠρέξαθ' ὑπὲρ ζυγόν] τινὲς ἀντὶ τῆς ὑπό, ἵνα λαθὼν αὐτὸν τρώσῃ.

B= 856. ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη] μόνον ὄνομα τρώσεως ἔχει ὁ Διομήδης· δύο οὖν παρίστησι, καὶ τοὺς ἀσθενεῖς τῶν κρειττόνων ποιῶν κρατεῖν κατὰ προστασίαν θεῶν καὶ τοὺς ἀτακτοῦντας κολάζων.

B+ 857. νείατον ἐς κενεῶνα] εἰ ἐπταπέλεθρος ὁ Ἄρης, πῶς φθάνει τὸ δόρυ Διομήδους τρία πλέθρα; ὅτι νῦν ἀνδρὶ εἴκασται· "καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ἐοικώς" (604).

1, 2. καθόλου δὲ οὐχ coni. W ‖ 2. ταῖς A : τοῖς ‖ 14. τόν γε ut textus ‖ 24. ubi ? ‖ 25. δύναται μὲν B : δυναμένη ‖ 30. παρίστησι B : ποιεῖ ‖ 32. φθάνει

ὅθι ζων⟨ν⟩ύσκετο μίτρην] κατὰ δοτικὴν τὸ "μίτρῃ" ἔν τισι δὲ AB+
τῶν ὑπομνημάτων "ὅθι τελεέσκετο μίτρη."

863. ἔβραχε] ἐψόφησεν, ἐφώνησεν. §. "ἄτος" δὲ ὁ βλαπτικός.

864. οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀήρ] ὅταν γὰρ καυματώ- B=
δους οὔσης τῆς ἡμέρας πρὸς ἀνατολὴν ἢ δύσιν ⟨ὁ⟩ ἀὴρ μέλας δοκῇ,
προσδοκῶσιν ἄνεμον. §. τὸ δὲ ἐξῆς οὕτως· ἐκ καύματος ἀνέμου ὁρμή- A+ B=
σαντος δυσαέος, ὅ ἐστι σφοδροῦ.

865. καύματος ἐξ ἀνέμοιο] γίνονται γὰρ καὶ καυσωνικαὶ πνοαὶ B+
κατὰ τὰς ἐαρινὰς ⟨καὶ θερινὰς⟩ ὥρας, ὅτε νότοι πνέουσιν.

866. τοῖος Τυδείδης] γραφικῶς ἔχει Διομήδης τὴν ἄνοδον θεώμε-
νος Ἄρεος.

867. ὁμοῦ νεφέεσσιν] εἰς τὸ "νεφέεσσιν" διαστολή, ἵν' ᾖ ἐγγὺς A+B=
τῶν νεφῶν. Δημοσθένης "Ἀθηναῖοι δέ εἰσιν ὁμοῦ δισμύριοι" (in
Aristogit. 1 § 51 p. 744 S.). οἳ δὲ συνάπτουσιν ὅλον, ἀντὶ ⟨τοῦ⟩
ὑπὸ νεφῶν ⟨κε⟩καλυμμένος καὶ ἀνιὼν εἰς οὐρανόν.

870. δεῖξεν δ' ἄμβροτον αἷμα] οὐκέτι προσέθηκε τὸ ἰχώρ· προεδί- B=
δαξε γὰρ ἡμᾶς τί ἐστιν ἰχώρ.

871. καί ⟨ῥ'⟩ ὀλοφυρόμενος] κυρίως ὁ μετὰ τίλσεως τριχῶν B=
θρῆνος παρὰ τὸ ὀλόψαι.

872. τάδε καρτερὰ ἔργα] γράφεται "ἔργ' ἀΐδηλα," ὅ ἐστι φθοροποιά.

873. ῥίγιστα] κακά, ἄνομα.

874. χάριν ἄνδρεσσι φέροντες] χαριζόμενοι ἀνθρώποις ἀλλήλους B=
διατίθεμεν κακῶς, οὐχ ὑπ' ἀνθρώπων ⟨δὲ⟩ πάσχομεν· ἀσθενεῖς γὰρ
οὗτοι. §. Ἀρίσταρχος δὲ σὺν τῷ "δέ" γράφει. A=

875. σοὶ πάντες μαχόμεσθα] ἢ διὰ σέ, ἢ σὺ πᾶσι πολέμιος εἶ, B=
ταύτην ἐπιτρέπων ἀδεῶς καθ' ἡμῶν.

σὺ γὰρ τέκες] ἁπλοϊκῶς. καὶ ἐπὶ Ἡφαίστου "ἀλλὰ τοκῆε δύω" B=
(Od. 8. 312).

876. ἀήσυλα] ἤδω ἤσω ἤσυλον καὶ "ἀήσυλα," τὰ μὴ εὐφραίνοντα. B=

877. ἄλλοι μὲν γὰρ πάντες—σοί τ' ἐπιπείθονται] τῇ ἀντιπαραθέσει B=
χαλεπωτέραν ἐποιήσατο τὴν κατηγορίαν. διὰ δὲ τοῦ πειθηνίου καὶ
τοὺς ἄλλους θεοὺς ἐπάγεται.

878. καὶ δεδμήμε⟨σ⟩θα ἕκαστος] περὶ πρόσωπον τὸ σχῆμα, ὡς A– B+
παρὰ Εὐριπίδῃ (Or. 1483) "διαπρεπεῖς ἐγένοντο Φρύγες ⟨, ὅσον
Ἄρεος ἀλκὰν ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς⟩."

2. στελλέσκετο μίτρῃ A ‖ 3. οἵτος δὲ ‖ 5. supplevi ex B ‖ 6. ὁρμήσοντος ‖
9. supplevi ex B ‖ 20. κρατερὰ ἔργα ut textus ‖ 23. supplevi ex B ‖ 27. δύο

B= 879. οὔτ' ἔπειτ προτιβάλλεαι] ὑπερβάλλεις, νικᾷς, ὅπως ὑπακούῃ σοι.

B– 880. ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀίδηλον] τοῦτο δέδωκεν ἀφορμὴν Ἡσιόδῳ εἰπεῖν "αὐτὸς δ' ἐκ κεφαλῆς" (Th. 924). νῦν γὰρ τὸ "αὐτός" ἀντὶ τοῦ μόνος φησιν, ὅπερ οὐκ οἶδεν ὁ ποιητής, ἀλλὰ λέγει 'ἀνιεῖς αὐτήν, ἐπεὶ ἀίδηλον σὺ αὐτὴν ἐγέννησας,' ὅ ἐστι φθοροποιόν.

A+ 881. * ὑπέρθυμον] Ἀρίσταρχος "ὑπερφίαλον."

A~ 882. * μαργαίνειν] ἐνθουσιᾶν, μαίνεσθαι.

AB= 883. Κύπριδα μέν] ῥητορικὸν τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν ἀλλ' ἐξ ἑτέρων ὡμολογημένων.

B– 884. ἐπέσσυτο δαίμονι ἶσος] ἐπιφθόνως καὶ κινητικῶς τοῦτό φησιν· ἢ ἀλαζονικῶς, ἵνα μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος τετρῶσθαι, ὡς καὶ ἐξῆς "ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες" (885).

B= 885. ἤ τε κε δηρόν] καὶ πῶς ἂν ὁ Ἄρης ἔπασχε δεινὰ ἐν τοῖς νεκροῖς κείμενος; εἰ μὲν γὰρ ζῶν, πῶς ἐπιφέρει διαστέλλων "ἤ κεν ζὼς ἀμενηνὸς ἔα" (887); εἰ δὲ καὶ τεθνηκώς, πῶς θεὸς ἀποθανεῖν ἠδύνατο ὡς καὶ ἀποθανὼν ἔπασχε δεινά; λύσις γὰρ τῶν δεινῶν ὁ θάνατος. ῥητέον οὖν ὅτι ὁ δεύτερος "ἤ" ἀντὶ τοῦ εἴ συναπτικοῦ κεῖται, ὡς τὸ "ὄφρα καὶ Ἕκτωρ εἴσεται, ἢ καὶ ἐμὸν δόρυ μαίνεται" (Π. 16. 243)· καὶ ὁ λόγος γίνεται, δεινὰ ἂν ἔπασχον ἐν τοῖς νεκροῖς κείμενος, εἰ ζῶν ἀσθενὴς διὰ τὸ τραῦμα ἦν.

886. * αὐτοῦ πήματ' ἔπασχον] αὐτόθι δεινὰ ἂν ἔπασχον.

A+B= 887. ζώς] ἡ γενικὴ ζωοῦ· ἀπὸ γὰρ τοῦ ζωός ἐστι συναίρεσις.

A+ * ὀξυντέον τὸ "ζώς."

* ἀμενηνός] ἀσθενής.

B– 890. ἔχθιστος δέ μοι ἐσσὶ—αἰεὶ γάρ τοι ἔρις ⟨τε⟩ φίλη] ἀπαλλάσσει ἡμᾶς τῶν τοιούτων ὁ ποιητής, καὶ πατρὶ ὄντι μεμισῆσθαι διὰ ταῦτα λέγων τῷ Διὶ τὸν Ἄρεα. ἄχθεται δὲ αὐτῷ οὐχ ὅτι ἔριδι χαίρει—ἐπεὶ αὐτὸς γελᾷ, "ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας" (Π. 21. 390)—ἀλλ' ὅτι ἀεὶ καὶ πάνυ. καὶ οἰνόφλυξ λέγεται ὁ οἴνῳ χαίρων καὶ σφόδρα καὶ ἀεί. τινὲς δέ, ἐπεὶ ὑποκατιὼν ὁ Ἄρης ἐπισκοτεῖ τῷ ἀστέρι τοῦ Διός.

B= 892. μητρός τοι μένος—ἀάσχετον] τῆς Ἥρας μέγας ὁ θυμὸς κατὰ σοῦ. ἢ ἀνίκητός σου ἐστὶν ἡ μήτηρ, πρὸς ἣν ἀντιτάσσῃ.

B= 895. * ἦθος πατέρων ἔδειξεν.

1. ὑπακούοι ‖ 12. μοι ὑ. ‖ 13. ἤ τε ‖ 22. ἐ. ἡ σ. ut B: corr. W ‖ 26. πάτριόν τι ‖ 30. σφ. καλεῖ: corr. W

898. ἐνέρτερος οὐρανιώνων] τῶν Τιτάνων· εἰ μὴ ὅτι ὡς πατὴρ σὸς B+
ἐπέχω αὐτὴν τῆς κατὰ σοῦ ὁρμῆς.

* ⟨ἐ⟩νέρτερος] οὕτως Ἀρίσταρχος, ὁ δὲ Ζηνόδοτος "ἐνέρτατος." A+

900. * φάρμακ' ἔπασσεν] Ἰακῶς "φάρμακα πάσσεν."

902. ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενον συνέπηξεν] οὕτω B=
καὶ τὸ φάρμακον ἔπηξε τὸ αἷμα καὶ ἐσάρκωσε τὴν πληγήν. ταχέως
δὲ παρῆλθε τὸν τῆς ἰάσεως τρόπον· ὃ μὲν γάρ ἐστι θεὸς καὶ τὴν
τέχνην ἔχων, ὃ δὲ θεὸς καὶ τὴν ἴασιν φθάνων. §. "λευκόν" δὲ γάλα
τὸ μὴ ποιοῦν σκιάν. §. τὸ δὲ "κυκόωντι" ἀντὶ 'ὑπὸ κυκόωντος.' B=

905. τὸν Ἥβη λοῦσεν] ὡς ὑπηρέτις οὖσα παρθένος· καὶ Ὀδυσ-
σέα γὰρ ἡ ἀμφίπολος λούει· "τόφρα δὲ Τηλέμαχον λοῦσεν—Πολυ-
κάστη" (Od. 3. 464) ἀντὶ τοῦ λουτροῦ ἐπεμελήθη· "ἄλλ' ὅτε
δή μιν ἐγὼν ἐλόευν" (Od. 4. 252)· "καὶ λοῦσ' ἐν ποταμῷ καί μοι
τάδε εἵματ' ἔδωκεν" (Od. 7. 296).

906. καθέζετο κύδεϊ γαίων] ὡς ἀλλοπρόσαλλος ἤδη ἐπιλέλησται B=
ὧν πέπονθεν. §. Ἀρίσταρχος δὲ ἀθετεῖ.

907. αἳ δ' αὖτις πρὸς δῶμα Διὸς—νέοντο] καλῶς οὐ πάρεισιν B=
ὅτε ἐνετύγχανεν Ἄρης, ἵνα μήτε ἀδολεσχοῖεν μήτε κατὰ δειλίαν
δοκοῖεν σιωπᾶν. οὐ διὰ τῶν ἵππων δὲ ὑποστρέφουσιν· προετερα-
τολόγησε γὰρ αὐτοὺς ὁ ποιητής.

909. παύσασθαι βροτολοιγόν] "παύσασθαι" συλληπτικῶς.

ΕΙΣ ΤΗΝ Ζ.

1. Τρώων δ' οἰώθη] τινὲς ὠμοιώθη, ἰσώθη· ἢ ἀντὶ τοῦ ἐμονώθ[η] B−
τῆς τῶν θεῶν συμμαχίας.

φύλοπις αἰνή] ἡ μετὰ βοῆς συνάπτουσα τὰ φῦλα. B+

2. πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα] ἢ ἐν τῷ διώκειν καὶ φεύγειν, ἢ A ~ B=
ἐπὶ τὰ δεξιὰ καὶ ἀριστερά. ἐξηγεῖται δὲ τὸ "πολυάικος πολέμοιο"
(Il. 1. 165).

* ἴθυσε] ἰθὺς ὥρμησε. B=

3. * ἀλλήλων] λείπει ἡ κατά, ἵν' ᾖ κατ' ἀλλήλων.

4. ἶδε Ξάνθοιο ῥοάων] διὰ τὸ τραχὺ τοῦ Σκαμάνδρου εὗρεν ὄνομα B=
τῷ μέτρῳ ἐμπῖπτον, ἵνα μὴ δόξῃ ἄτιμος εἶναι· καὶ ἐφ' ὧν τὸ

2. ὁρμῆς B : ὀργῆς ‖ 4. πᾶσσεν ‖ 10. ὑπηρέτης ‖ 11. τῶι δὲ ἐπὶ πολυκάστη λοῦσεν ‖ 12. ἄλλοτε ‖ 13. λοῦσεν π. ‖ 16. Ζηνόδοτος δ. ἀ. B ‖ 22. addidi : ζῆτα ὁμήρου ῥαψῳδία textui inscriptum ‖ 32. ἄτιμον B, αἴτημα ‖ ἐφ' ὧν τὸ μέτρον οὐ κωλύεται B : ἐφ' ὃ οὐκ ἐπὶ μέτρου ἀπαιτεῖται

μέτρον οὐ κωλύεται, διττὰ ὀνόματα τάττει· "χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν" (Il. 14. 291)· "ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίωνα" (Il. 1. 403)· "ἄνδρες Βατίειαν κικλήσκουσιν, ἀθάνατοι δέ ⟨τε⟩ σῆμα" (Il. 2. 813)· διὰ ταύτην τὴν αἰτίαν καὶ τῷ Ἕκτορος υἱῷ Σκαμανδρίῳ ἕτερον ὄνομα ἔθετο ⟨τὸ⟩ Ἀστυάναξ. εἰ δέ τις ἐπιζητεῖ, πῶς ἐν τοῖς ἑξῆς οὐ μόνον Ξάνθον ἀλλὰ καὶ Σκάμανδρον τὸν ποταμὸν καλεῖ, ἴστω ὅτι ψεύδους ⟨ἂν⟩ παρεῖχεν ὑποψίαν τὸ μὴ παραλαβεῖν ποτε τὸ κύριον ὄνομα. §. Ξάνθος δὲ ὠνόμασται διὰ τὸ ξανθίζειν τὰς τρίχας. §. ἡ Τροία τὰ μὲν θαλάσσια πρὸς Ἑλλήσποντον ἔχει, τὰ δὲ βόρεια πρὸς Ζέλειαν, τὰ δὲ ὑποκείμενα ⟨πρὸς⟩ Φρυγίαν, τὰ δὲ πρὸς μεσημβρίαν πρὸς Λυδίαν· ὡς φιλέλλην δὲ ἀπάγει τοὺς θεούς, καὶ ἐξέτασιν ἀμφοτέρων ποιεῖ. ἐμονώθη δὲ ἡ μάχη τῆς τῶν θεῶν συμμαχίας· Ἥρα μὲν γὰρ καὶ Ἀθηνᾶ εἰς τὸν Ὄλυμπον ἀπίασιν, Ἀπόλλων δὲ εἰς Πέργαμον· ὁ δὲ Ἄρης καὶ Ἀφροδίτη τέτρωνται ὑπὸ Διομήδους.

A B = τον ἔχει, τὰ δὲ βόρεια πρὸς Ζέλειαν, τὰ δὲ ὑποκείμενα ⟨πρὸς⟩ Φρυγίαν, τὰ δὲ πρὸς μεσημβρίαν πρὸς Λυδίαν· ὡς φιλέλλην δὲ ἀπάγει τοὺς θεούς, καὶ ἐξέτασιν ἀμφοτέρων ποιεῖ. ἐμονώθη δὲ ἡ μάχη τῆς τῶν θεῶν συμμαχίας· Ἥρα μὲν γὰρ καὶ Ἀθηνᾶ εἰς τὸν Ὄλυμπον ἀπίασιν, Ἀπόλλων δὲ εἰς Πέργαμον· ὁ δὲ Ἄρης καὶ Ἀφροδίτη τέτρωνται ὑπὸ Διομήδους.

A + B = μεσσηγὺς Σιμόεντος] πρότερον ἐγέγραπτο "μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης·" ὕστερον δὲ Ἀρίσταρχος ταύτην εὑρὼν ἐνέκρινεν. Χάρης δὲ γράφει "μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ Σιμόεντος."

5. Αἴας—πρῶτος] πρώην ἰσοπαλοῦς οὔσης τῆς μάχης, ἢ μετὰ τὴν ἀναχώρησιν τῶν θεῶν πρῶτος ἔτρωσεν.

A B = ἔρκος Ἀχαιῶν, Τρώων ῥῆξε φάλαγγα] τρισὶ μεταφοραῖς κέχρηται ἐπιφαίνων τὴν ὁμοιότητα. ὃ γὰρ δύναται πρὸς ἀσφάλειαν πόλεως τεῖχος, τοῦτο πρὸς σωτηρίαν στρατοῦ γενναῖος ἀνήρ· καὶ πάλιν ὃ δύναται ῥῆξις ἐσθῆτος τὴν σκέπην ἀναιροῦσα, τοῦτο ἐδυνήθη ὁ τὴν φάλαγγα ῥήξας· καὶ πάλιν ὡς ὀνίνησι φῶς τοὺς σκότῳ κατεχομένους, οὕτω τοῖς θλιβομένοις ὑπὸ τῆς Ἄρεος ἀχλύος ἐπέλαμψεν ἡ Αἴαντος βοήθεια.

6. * φάλαγγα] ἀπὸ τῶν φάλων.

7. * ὃς ἄριστος] ἄριστον ἢ ἀνδρεῖον, ἢ διὰ τὸ εἰκάσθαι αὐτῷ Ἄρεα ἐν τῇ συμβολῇ (Il. 5. 462).

B = 9. * κόρυθος φάλον] τὸ λαμπρὸν τῆς περικεφαλαίας ⟨τὸ⟩ κατὰ τὸ μέτωπον.

3. βιτίειαν ‖ 7. ψεύδους B : ψευδῆ ‖ 8. τὸ κύριον B : κυρίως ‖ 10. φρυγίαν B : φρυγίας ‖ 11. πρὸς Λυδίαν B : Λυδίας ‖ 17. σκαμάνδροιο ‖ 18. ἐπέκρινεν ‖ Χαῖρις coni. La Roche ‖ σκαμάνδροιο ‖ 20. ἰσοπαλοῦς Bekker : ἰσοτελοῦς ‖ 27. τοῖς θλιβομένοις scripsi : τοὺς νικωμένους ut A, τοὺς θλιβομένους B

10. * μετώπῳ] τινὲς δυϊκῶς· "οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι B=
μέτωπα" (Il. 16. 70).

12. *Ἄξυλον] οἰκεῖον φιλοξένῳ τὸ ὄνομα· Ἄξυλος γὰρ παρὰ τὸ B+
ἄγειν, ὡς καὶ Καλήσιος (18). τινὲς δὲ τὸν ξύλα δαπανῶντα.

13. * Τευθρανίδην, ὅς] ἢ λείπει τὸ τ̄, ἢ Τευθράνου παῖδα.
*Ἀρίσβῃ] Τροίας· ἔστι δὲ καὶ Λέσβου.

14. * ἀφνειὸς βιότοιο] ὡς καὶ "προτέρων ἐτέων" (Il. 11. 691).

15. * πάντας] πάντας τοὺς παρατυγχάνοντας. B=
* ὁδῷ ἔπι] ἀντὶ τῆς παρά, ὡς καὶ "ἐπὶ τῷ λιμένι οἰκῶν." B=

16. ἀλλά οἱ οὔτις τῶν γε] δοκεῖ ἡ προσθήκη κάλλιστον τοῦτο καὶ B=
βιωφελὲς ὑπάρχον ἐξευτελίζειν ὡς οὐκ ὂν καλόν· καίτοι ἐχρῆν μᾶλλον καὶ βοηθόν τινα ἐκ θεῶν τούτῳ ἀναπλάσαι, ἵν' ἡμεῖς προτρεπώμεθα ἐπὶ τὸ φιλόξενον. ἢ οὖν ἁπλῶς ἀναπεφώνηται, ὡς τὸ "οὐδὲ ἐκηβολίαι" (Il. 5. 54), ἢ ἀποδοκιμάζει τὴν ἄκριτον φιλοξενίαν καὶ τὸ μὴ ἐπικρίνειν ποῖός τις ἐστὶν ᾧ μέλλει δεξιὰν συνάπτειν. ἐναρέτων γὰρ ἴδιον οὐχὶ τὸ πάντας φιλεῖν, ἀλλά τινας· διὸ οὐδένα φίλον ἔσχεν. εἶτα καὶ ἐπίορκος μετὰ τῶν ἄλλων ὑπόκειται· τὰ δὲ καλὰ καθαρεύειν ἀπὸ τῶν ἐναντίων ὀφείλει.

17. ὑπαντιάσας] ἢ ὑπερασπίσας, ἢ ἐναντιωθεὶς Διομήδει, ἢ ἀντὶ B=
τοῦ πρὸ τούτου, ἵν' ᾖ ὑπερβατόν, 'ἀλλὰ πρόσθεν ὑπαντιάσας— ἄμφω θυμὸν ἀπηύρα.'

* ἄμφω—ἀπηύρα] ἀμφοτέρους ἀφείλετο. AB+

19. ἔσκεν ὑφηνίοχος] πλεονάζει ἡ ὑπό, ὡς τὸ "ὑποδμώς" (Od. AB−
4. 386) καὶ "ἐπαινὴ Περσεφόνεια" (Il. 9. 457). ἢ ὅτι καὶ ὁ παραιβάτης ἡνίοχος· "θρασὺν ἡνίοχον φορέοντες Ἕκτορα" (Il. 8. 89).

* γαῖαν ἐδύτην] ἐνεδύσαντο τὴν γῆν ταφέντες. B=

21. βῆ δὲ μετ' Αἴσηπον] Αἴσηπος ἐκ τοῦ ποταμοῦ, Πήδασος B+
⟨δὲ⟩ παρὰ τὸ πηδᾶν. οἱ δὲ ἄλλοι ἱστορικοὶ τὸν Πήδασον Τήρεχον καλοῦσιν.

22. νηΐς] παρὰ τὰ νήματα, ἢ παρὰ τὰ νήια ξύλα, ὅ ἐστιν ἁμαδρυάς. B+
*Ἀβαρβαρέη] τὸ πολὺ ἀβέρβηλον. B+

23. ἀγαυοῦ Λαομέδοντος] "ἀγαυοῦ" τῷ γένει ἢ τῷ κάλλει· οὐ B=

9. τῷ om. B, an τὸ "ἐπὶ λίμνῃ οἰκῶ" (Il. 20. 390)? cf. B² ‖ 11. οὐκ ὂν B: οὐ κακὸν ‖ 13. ἢ οὐχ ἁ. coni. W ‖ 15. ἀρετῶν ‖ 20. τὸ post ᾖ omisi ut B ‖ 24. περσεφόνη ‖ 25. φέροντες ‖ 28. πηδᾶν B: πηδύειν ‖ οἱ δὲ περὶ Ἀρίσταρχον Πήρεχον B ‖ 31. ἀβέρβηλον Dindorf ex Hesychio: ἀβέρβελλον B, ἀβερβερέ

γὰρ δὴ τοῦ Λαομέδοντος τὸν τρόπον ἐπαινεῖ, ὃς τοὺς περὶ Ἀπόλλωνα ⟨καὶ Ποσειδῶνα⟩ ἠδίκησε, καὶ αὖθις τὸν Ἡρακλέα.

A-B= 24. σκότιον] τὸν ἐξ ἀδαδουχήτων γάμων, τὸν νόθον. §. "σκό-
A-B= τιον" δὲ ὡς λόγιον· τὸ γὰρ κύριον παροξύνεται παρὰ Πινδάρῳ (fr. 282).

A+B= 25. * ἐπ' ὄεσσι] Ἀττικῶς ἀπὸ τῶν ὄντων τὸν τόπον ⟨δηλοῖ⟩· "δήεις τόν γε σύεσσι παρήμενον" (Od. 13. 407).

B= 27. * καὶ μὲν τῶν] οὗ μὲν τὰ γένη προλέγει τῶν θανάτων, οὗ δὲ ἐπιλέγει.

30. ἐξενάριξεν ἔγχει χαλκείῳ] τὸ "ἔγχει" δύναται καὶ τοῖς ἄνω τοῦ "ἐξενάριξεν" ⟨συνάπτεσθαι. §. "ἐξενάριξεν"⟩ συνεκδοχικῶς ἀντὶ
A- τοῦ ἐφόνευσεν· σῴζει μὲν οὖν καὶ πρὸς τὰ ἑξῆς.

A= 31. * Ἀρετάονα] διχῶς καὶ "ἄρ' Ἐτάονα."

32. Ἄβληρον] βλῶ βλήσω βληρός καὶ ἄβληρος.

A+B= 35. Πήδασον αἰπεινήν] ταύτην τὴν Πήδασον πρότερον μὲν Μονηνίαν φασὶ καλεῖσθαι· Ἀχιλλέως δὲ ἐπὶ πολὺ πολιορκοῦντος, εἶτα μέλλοντος ἀναχωρεῖν, Πεισιδίκη παρθένος τις ἐρασθεῖσα αὐτοῦ ἐν μήλῳ ἔγραψεν· "μὴ σπεῦδ', Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἕλῃς· ὕδωρ γὰρ οὐκ ἔνεστι· διψῶσιν κακῶς." ὁ δὲ περιμείνας ὑπέταξε τὴν πόλιν.

Πήδασον] τὴν πρὸς Καρίᾳ καὶ Ἀλικαρνα⟨σ⟩σῷ, ἣν ἀπὸ Πηγάσου καλοῦσιν· ὑπέσχοντο γὰρ δώσειν αὐτῷ χώραν, ἣν ὁ ἵππος νυχθημέρῳ περιτροχάσει· διὸ καὶ χάραγμα ἵππου ἔχουσιν. ἔστι δὲ καὶ ἄλλη Τρῳάς, ἣν ἅμα Λυρνησ⟨σ⟩ῷ καταλέγει.

B= 37. Ἄδρηστον δ' ἄρ' ἔπειτα] καλὸν ἐπεισόδιον πρὸς ἐξαλλαγὴν ταυτότητος.

AB= 38. ἀτυζομένω] ἄτω, ἄττω, ἀτύσ⟨σ⟩ω, ἀτύζω Αἰολικῶς. §. "ἀτυζομένω" δὲ ἀντὶ τοῦ ταρασσομένω.

B= 39. ὄζῳ—μυρικίνῳ] ἐπεὶ μεταξὺ ποταμῶν ἡ μάχη, εἰκότως μυρῖκαι πολλαί· καὶ ἐν τῇ Δολ⟨ων⟩οφονίᾳ "θῆκεν ἀνὰ μυρίκην" (Π. 10. 466).

B= * ἀγκύλον] διὰ τοὺς τροχούς.

B+ 40. * ἄξαντε] παρὰ τὸν ἄξονα, ἐπεὶ καὶ "παρὰ τροχὸν ἐξεκυλίσθη" (42).

2, 6. supplevi ex B ‖ 7. γ' ἐφύεσι ‖ 8. οὐ μήν ‖ οὐδὲ ‖ 9. προλέγει ‖ 11. supplevi ex A ‖ 13. ἄρ' ἑτάονα textus ‖ 15. μονηνίαν etiam A Eust., μενήνειαν et infra μεηνίαν B ‖ 18. ἕλεις ‖ 19. ἔνεστι etiam A Eust., ἔχουσι B ‖ 22. nummi aliunde ignoti videntur ‖ τοῦ ῖ. ‖ 26. ἀτῶ ἄττω // *suppl. W* ‖ 29. Δολωνείᾳ coni. W

αὐτὼ μὲν ἐβήτην πρὸς πόλιν] γραφικῶς οἱ μὲν ἵπποι φεύγουσιν B=
ἐπικειμένου τοῦ ζυγοῦ, τὸ δὲ ἅρμα ἐμπέπλεκται μυρίκης κλάδῳ, ὁ
δὲ Ἄδραστος κυλισθεὶς ἐκ τοῦ ἅρματος κεῖται παρὰ τὸν τροχὸν ἐπὶ
πρόσωπον, ὁ δὲ Μενέλαος ἀνατετακὼς τὸ δόρυ ἐφέστηκεν αὐτῷ.

41. *ἀτυζόμενοι φοβέοντο] ἐκπλησσόμενοι ἔφευγον καὶ φοβού- A–
μενοι καὶ ταρασσόμενοι.

43. *"στόμα" τὸ πρόσωπον· οὕτω Λάκωνες. A=

45. ἐλίσσετο γούνων] οὐδεὶς Ἑλλήνων τοῦτο ποιεῖ. §. "γούνων"
δὲ ὡς ἀσθενούσης κατ' ἐκεῖνο τὸ μέρος τῆς ψυχῆς. A=

*λείπει 'ταῦτα λέγων·' ἢ ἀπὸ ⟨τοῦ⟩ διηγηματικοῦ ἐπὶ τὸ μιμη- B–
τικὸν ⟨μέτεισιν⟩.

46. ἄξια δέξαι ἄποινα] οὐχ ὥρισε ποσότητα, ἐπ' αὐτῷ καταλιπὼν B=
τὸν ἀριθμόν.

48. *χρυσός τε] ἵνα μὴ ὡς πτωχῷ ἀπιστῇ. B=

πολύκμητος] ὁ [ἢ]δ[η] εἰργασμένος, ἢ ὁ πολλοὺς κάμνειν τουτ- B=
έστιν ἀποθνήσκειν ποιῶν, ἢ ὁ εἰς πολλοὺς καμάτους ἐπιτήδειος, ἢ ὁ
δυσκατέργαστος.

49. *χαρίσαιτο] μετὰ χαρᾶς δοίη. ἢ τὴν πρᾶσιν ἑτέρῳ ὀνόματι B=
ἐσκέπασεν.

51. *τῷ δ' ἄρα θυμόν] διὸ καὶ "μαλθακὸς αἰχμητής" (Π. 17. 588). B=

54. *ἦλθε θέων] πρὶν συνθέσθαι Μενέλαον. B=

55. *ὦ πέπον, ὦ Μενέλαε] πλεονάζει τὸ ἄρθρον· τὸ δὲ σχῆμα
πολὺ παρὰ Ἀττικοῖς ἐστιν.

τίη δὲ σὺ κήδεαι] εὐχὴν δαιμονίαν τὸν ἔλεον εἶπεν. §. "τίη" μία
λέξις ἀδιαίρετος.

56. ἦ σοὶ ἄριστα] περισπαστέον τὸν "ἦ·" διαπορητικὸς γάρ AB=
ἐστιν. §. πολὺ δὲ τὸ ἦθος ἐμφαίνει λέγων 'ἆρα καλά ἐστιν ἃ πέπον- B=
θας πρὸς αὐτῶν.'

58. *στικτέον εἰς τὸ "ἡμετέρας." A+ B=

μηδ' ὄντινα] μισητὰ καὶ οὐχ' ἁρμόζοντα βασιλικῷ ἤθει τὰ ῥή- B=
ματα· τρόπου γὰρ ἐνδείκνυσι θηριότητα, ὁ δὲ ἀκροατὴς ἄνθρωπος
⟨ὢν⟩ μισεῖ τὸ ἄγαν πικρὸν καὶ ἀπάνθρωπον. ὅθεν καὶ ταῖς τραγῳ-
δίαις κρύπτουσι τοὺς δρῶντας τὰ τοιαῦτα ἐν ταῖς σκηναῖς, καὶ ἢ
φωναῖς τισιν ἐξακουομέναις ἢ δι' ἀγγέλων ὕστερον σημαίνουσι τὰ

10. schol. supra v. 46 scriptum: transpos. W ‖ 11. supplevi ex B ‖ 12. ἐν ἑαυτῷ: corr. W ‖ 15. ἴδε novavit sec. ‖ 22. πλεονάζει scripsi: πολὺ ‖ 32. supplevi ex B

πραχθέντα, οὐδὲν ἄλλο ⟨ἢ φοβούμενοι⟩ μὴ αὐτοὶ συμμισηθῶσι τοῖς δρωμένοις. λεκτέον δέ, ὅτι, εἰ μὲν ἐλέγετο ταῦτα πρὸ τῆς ἐπιορκίας, ἔγκλημα ἂν ἦν· ἐπεὶ δὲ μετὰ τοὺς ὅρκους καὶ τὴν παράβασιν, οὐκ ἐπαχθὴς Ἀγαμέμνων· σχεδὸν γὰρ καὶ ὁ ἀκροατὴς τοῦτο βούλεται, τὸ μηδὲ γένος ἐπιλιμπάνεσθαι τῶν ἐπιόρκων· σχεδὸν οὖν ὑπὲρ τῶν θεῶν ὀργίζεται. ἄλλως τε πρᾶος μέν ἐστι πρὸς τοὺς ἀρχομένους, βαρὺς δὲ τοῖς ἀντιπάλοις· καὶ αὐτίκα ἂν ἐξείποι "Ἀγαμέμνων— βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής" (Il. 3. 178).

B= 60. ἀκήδεστοι] μὴ ἔχοντες τὸν κηδεύοντα.

B= ἄφαντοι] ὡς μηδὲ μνημεῖον αὐτῶν παραλείπεσθαι.

B= 62. αἴσιμα παρειπών] εἰμαρμένα· ἢ τὰ πρέποντα τοῖς ἀδικουμένοις. ἐμαρτύρησε δὲ ὁ ποιητὴς αὐτῷ ὡς καλῶς διαθεμένῳ τοὺς λόγους.

B= ὃ δ' ἀπὸ ἕθεν ὥσατο χειρί] μέτριον καὶ ἀόργητον χαρακτηρίζει τοῦ Μενελάου τὸ ἦθος· ὃ⟨ς⟩ πρότερον μὲν ἀδικηθείς, νῦν δὲ ἐπὶ σπουδαῖς τρωθεὶς φείδεται τῆς τοῦ πολεμίου πληγῆς καὶ ὡς ἱκέτην οὐ φονεύει. §. τὸ δὲ "ἦρω Ἄδρηστον" κατὰ συναλ⟨ο⟩ιφήν.

B= 66. Νέστωρ δ' Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀύσας] μακρόν, ὡς πρὸς ἑαυτόν· ἢ ῥώννυται ὑπὸ τῆς χαρᾶς.

68. * ἐπιβαλλόμενος] ἀντὶ τοῦ ἐπιθυμῶν.

B– 70. ἀλλ' ἄνδρας κτείνωμεν] τῷ πόνῳ συζεύγνυσιν ἑαυτὸν δυσωπῶν τοὺς νέους. διὰ δὲ τὸ νεμεσητὸν οὐ πρὸ τῆς συμβολῆς τοῦτο παραινεῖ. καὶ Ἕκτωρ "ἐὰν δ' ἔναρα" (Il. 15. 347)· καὶ Λακεδαιμόνιοι τοῦτο ἐθέσπισαν, τριακοσίους ἄνδρας ἐπὶ τὸ πράσσειν τοῦτο τεταχότες· τακτικὸς οὖν καὶ νῦν ὁ Νέστωρ φαίνεται.

AB+ 71. νεκροὺς ἅμ πεδίον] Ζηνόδοτος "Τρώων ἅμ πεδίον συλήσομεν ἔντεα νεκρούς," ἵνα μὴ μόνον εἰς τὴν πρᾶξιν ἀλλὰ καὶ εἰς τὸ κέρδος συμπεριλαμβάνοι ἑαυτὸν ὁ Νέστωρ. ἀγνοεῖ δὲ ὅτι ἔθος ἐστὶν Ὁμηρικὸν τὸ τοιοῦτον, ὡς ἐν τῷ "ἄλλοι μὲν γὰρ ὅσοι θεοὶ εἰσ' ἐν Ὀλύμπῳ σοί τ' ἐπιπείθονται καὶ δεδμήμε⟨σ⟩θα ἕκαστος" (Il. 5. 878)· ἔδει γὰρ δέδμηνται· καὶ πάλιν "ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες· νῦν μὲν δόρπον ἕλεσθε" (Il. 18. 297). §. τὸ δὲ "νεκροὺς—τεθνηῶτας" ὡς "τάφρον ὀρυκτήν" (Il. 9. 67).

B= 73. ἔνθα κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν] οἵδε τὸ τῆς

1. supplevi ex B ‖ 7. Ἀγαμέμνονι ‖ 8. τ' scripsi: γὰρ ‖ 15. suppl. W ‖ 22. συμβουλῆς ‖ 24. τριακοσίους Eust.: τοὺς ‖ 32. ἕλεσθαι

εἰμαρμένης ὁ ποιητής, ὡς καὶ ἐπ' Ἀχιλλέως. καὶ νῦν ἀπώλοντο ἄν, εἰ μὴ ἱκέτευσαν· ἐπεὶ δὲ ἱκέτευσαν, μόνον ἐδυστύχησαν.

76. Πριαμίδης Ἕλενος] λέγεται τὸν Ἕλενον δίδυμον εἶναι Κασάνδρας· τεχθέντας δὲ καταλειφθῆναι μόνους ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ, καὶ δράκοντας ἀποψῆσαι τὴν ἀκοήν, καὶ τὴν μαντείαν ἐντεῦθεν λαβεῖν.

* οἰωνοπόλων ὄχ' ἄριστος] Ἀρίσταρχος "μάντις τ' οἰωνοπόλος τε." A+

77. Αἰνεία τε καὶ Ἕκτορ] διὰ τὸ ἀλαζονικὸν συμπεριλαμβάνει καὶ τὸν Αἰνείαν· ταχὺς γὰρ πρὸς τοὺς συμβούλους ὁ Ἕκτωρ. B=

78. Τρώων καὶ Λυκίων] "Λυκίων" κατ' ἐξοχὴν τῶν συμμάχων. §. "ἐγκέκλιται" δὲ ἐρήρεισται οἷον κατ' ἀστραβῆ κίονα, καὶ "κίονι κεκλιμένη" (Od. 6. 307) καὶ "Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται" (Od. 11. 346). §. οἷον, ἐὰν ἀπόλησθε ὑμεῖς, στραφήσεται ὁ πόλεμος καὶ ἡ βουλή. B= B=

79. μάχεσθαι—φρονέειν τε] ἀρετὴ τῶν ἡγουμένων βουλεύεσθαι μὲν ἄριστα τὸ συμφέρον, πράττειν δὲ κάλλιστα τὸ βεβουλευμένον. θεραπεύει δὲ αὐτούς, ἵνα ὡς φρόνιμοι δέξωνται τὴν συμβουλήν· Ἕκτορα δὲ πέμπει ὡς πείσοντα τὴν θεὸν διὰ τῆς ἀξιοπιστίας. B=

80. στῆτ' αὐτοῦ—πάντη ἐποιχόμενοι] ὁ τρόπος σύλληψις· τῷ μὲν ἑνὶ στῆναι πρὸ τῶν πυλῶν μὴ συγχωροῦντι φυγεῖν, ⟨τῷ⟩ ἑτέρῳ δὲ περιιέναι ὀτρύνοντι. ἢ τὸ "στῆτε" τῆς φυγῆς παύεσθε. οἱ δὲ ἀντιστρέφουσιν, ὡς τὸ "εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα" (Od. 5. 264). B=

81. ἐν χερσὶ γυναικῶν] καλῶς οὐκ εἶπε πύλῃσιν ἢ οἴκοισιν· εὐσχημονέστερον δὲ τοῦ ἱστορουμένου περὶ τὰς Περσικὰς γυναῖκας. B–

84. * ἡμεῖς] ἐγὼ καὶ Αἰνείας. πιθανῶς δὲ τοῖς κινδυνεύουσιν ἑαυτὸν καταλέγει. B=

86. * μετέρχεο] πλεονάζει ἡ "μετά."

87. γεραιάς] τινὲς "γερα⟨ι⟩ράς," τὰς ἱερείας τὰς ἐκ τῶν ἱερῶν γέρας δεχομένας. §. τὸ δὲ "ξυνάγουσα" ἀντὶ τοῦ συναγαγοῦσα. B= A=

88. νηὸν—οἴξασα κληῖδι θύρας] περισσοὶ οἱ δύο· διὸ οὐδὲ ὑπὸ τοῦ Ἕκτορος λέγονται· τί γὰρ αὐτῇ προσῆκε τὸ οἴξαι; B=

Ἀθηναίης γλαυκώπιδος] εἰς τὸ "γλαυκώπιδος" στικτέον, καὶ λείπει A+B=

4. κασάνδρᾳ ‖ κ. μὲν : corr. W ‖ 7. οἰωνοπώλος ‖ 11. ἐ. ὅθεν καὶ ἀ.: corr. W ‖ 13. ἀπόλεισθε ‖ 16. δέξωνται B: δέξαιντο ‖ 17. πείσοντα B: πείθοντα ‖ 20. ὀτρύνοντι B: ὁρύνοντι ‖ 23. οἴκοισιν B: οἴκησιν ‖ 24. "cf. Justin. i. 6. 14" Bekker ‖ 25. κινδύνοις ‖ 28. supplevi ex B ‖ 29. συναγαγοῦσα A: συνάξασα

ἡ εἷς· συναγαγοῦσα εἰς τὸν ναὸν τὰς γεραιὰς καὶ ἀνοίξασα τὰς θύρας αὐτοῦ ἐν τῇ ἀκροπόλει.

A= ἐν πόλει ἄκρῃ] διάλυσις ἢ μετατύπωσις ὁ τρόπος. §. φασὶν Ἥφαιστον ἐκ τῶν ὀστῶν Πέλοπος πεποιηκέναι τὸ Παλλάδιον.

B= 90. * διδάσκει ἐκ τῶν καλλιστευόντων τιμᾶν τοὺς θεούς.

A+B= 92. Ἀθηναίης ἐπὶ γούνασιν] ἡ "ἐπί" ἀντὶ τῆς παρά, ὁμοίως τῷ "ἢ μὲν ἐπ' ἐσχάρῃ ἧστο" (Od. 6. 52). Στράβων γάρ φησι καθῆσθαι πρώην τὰ ἀγάλματα τῆς Ἀθηνᾶς (13 p. 601). ἢ ἐξαρτῆσαι αὐτῆς ⟨κελεύει⟩.

AB= θεῖναι Ἀθηναίης] φασὶ τὸ διοπετὲς ἀρνὸς δορὰν ἠμφιέσθαι, ἔχειν δὲ στέμματα καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον κἀν τῇ δεξιᾷ δόρυ.

93. δυοκαίδεκα βοῦς] δώδεκα θυσία ἐστὶ καὶ παρὰ τοῖς Ἀττικοῖς· εὐεπίφορος δὲ ὁ ποιητὴς εἰς τὸ ιβ'.

94. ἤνις ἠκέστας] νέας ἀδαμάστους ἀκεντήτους.

* ἠκέστας] "βοῦν ἀγελαίην" (Il. 11. 729).

96. * αἴ κεν] Ἀρίσταρχος "ὥς κεν."

A= ἀπόσχῃ Ἰλίου ἱρῆς] τινὲς οὕτω διεῖλον, "ἀπόσχῃ Ἰλίου ἱρῆς ἄγριον

A+ αἰχμητὴν κρατερόν," Ἀπολλόδωρος δὲ "κρατερὸν μήστωρα φόβοιο," ὅ ἐστιν ἰσχυρὸν εἰς τὸ μήσασθαι φυγήν.

97. αἰχμητήν] ἐν τῷ αἰχμάζειν κράτιστον, ἵνα μὴ ὑπὲρ εὐτελοῦς δοκοῖεν καταφεύγειν εἰς θεούς.

98. φημὶ γενέσθαι] καλῶς οὐκ εἶπεν εἶναι, ἀλλὰ "γενέσθαι," νῦν ὑπὸ Ἀθηνᾶς δηλονότι.

99. οὐδ' Ἀχιλῆά ποτε] ἐπεὶ τὰ παρόντα μᾶλλον λυπεῖ· ἀμφότερα δὲ ἐξῆρε τὰ πρόσωπα, τὸ μὲν ὡς προῦχον, τὸ δὲ ὡς τὸν ἄριστον ὑπερβαλλόμενον.

* ὄρχαμον] ἡγεμόνα.

B+ 102. οὔτι κασιγνήτῳ ἀπίθησεν] καὶ τὸ μονομάχιον αὐτῷ πεισθεὶς ποιεῖ.

104. * ᾤχετο πάντῃ] διὰ τὸ "πάντῃ ἐποιχόμενοι" (81).

B= 108. * φὰν δέ] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

109. ὣς ἐλέλιχθεν] ⟨οὕτ⟩ως συνεστράφησαν.

B= 110. ἐκέκλετο] ἀπὸ τοῦ κικλῶ ἔδει ἐκίκλετο· ἢ μᾶλλον ἀπὸ τοῦ ἐκέλετο.

1. συνάγουσα A B: συνάξασα ‖ 9. supplevi ex B ‖ 10. ἀνδρὸς ut A B Eust.: corr. W ‖ 11. ἠλεκάτην ‖ πῖλον Eust., πόλον coni. W: πόλιν ut A B ‖ 12. δ. καὶ θ.: transpos. W

111. Τρῶες ὑπέρθυμοι] ἐπιπληχθεὶς ὑπὸ Σαρπηδόνος μετριώτερος γέγονε, καὶ τὴν προσφώνησιν ποιεῖται φιλάνθρωπον. B=

113. ὄφρ' ἂν ἐγὼ βείω] ἵνα μὴ δοκῇ φεύγειν. B=

114. εἴπω βουλευτῇσι] προβούλοις· πιθανῶς δέ, ἵνα μὴ γυναῖκας μόνας ἐπὶ τοῦ στρατεύματος ὀνομάζῃ. A+ B=

εἴπω βουλευτῇσι] ὁ μὲν Ἕλενος ἔλεγεν "εἰπὲ δ' ἔπειτα μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιάς" (86), ὁ δὲ Ἕκτωρ τοῦ εὐπρεποῦς ἕνεκα προστίθησι μὲν τοὺς γέροντας, ἐκκλέπτει δὲ τὴν ὑπὲρ Διομήδους εὐχήν. B=

115. δαίμοσιν ἀρήσασθαι] ἐπέρρωσεν αὐτοὺς χρηστῇ ἐλπίδι· δεδίασι γὰρ ὡς παρασπονδήσαντες. B=

116. ὣς ἄρα φωνήσας ἀπέβη] καὶ πῶς ἔδει τοσαύτῃ περιστάσει συνεχομένων τῶν Τρώων ἀναχωρεῖν καὶ μὴ μᾶλλον ἐπικηρυκεύσασθαι τὴν θυσίαν; ἀλλ' ἤδει τοὺς Τρῶας ἐθελοκακοῦντας τῇ ἀπουσίᾳ Ἀλεξάνδρου, ἐφ' ὃν μάλιστα ὥρμητο· ἢ δεισιδαίμων ὢν οὐ θέλει παέργως τὴν θυσίαν γενέσθαι, ἄλλως τε παροξύνει αὐτοὺς καὶ καταλείπει Αἰνείαν, ἢ πρὸς ἀνάπαυσιν τῶν στρατευμάτων—διὸ καὶ τὸ μονομάχιον παράγεται—ἤ, ἐπεὶ ὠνείδισται ὑπὸ Σαρπηδόνος (Il. 5. 471), Ἀλέξανδρον θέλει παρεγεῖραι. B=

ἀπέβη—Ἕκτωρ] οὐκ ἐπὶ ἵππων ἀναχωρεῖ διὰ τὸ μὴ δοκεῖν φεύγειν, ἢ ἐπεὶ πρὸς ἱκετείαν ἄπεισιν, ἢ ὅπως καὶ οἱ πολέμιοι θεώμενοι τὸ ἅρμα μὴ δοκῶσιν αὐτὸν ἀπηλ⟨λ⟩άχθαι. B=

117. σφυρὰ τύπτε] ἐναργῶς ἐδήλωσε θέοντα καὶ ὑπὸ τῆς ἀμφιβρότης ἀσπίδος τυπτόμενον. καταλλήλως δὲ εἶπε, ⟨κατὰ⟩ τὰ σφυρὰ αὐτὸν ἔτυπτεν ἡ ἄντυξ. B=

119. Γλαῦκος δέ] διαναπαύει τὸν ἀκροατὴν γενεαλογίας καὶ μύθους παρεμβαλών, οὐκ ἐᾷ τε κενὴν τὴν ἔξοδον Ἕκτορος, ὅ τε στρατὸς διαναπαύεται ἀφορῶν τὸ τέλος. τῶν ἀριστέων ⟨καὶ Τρώων⟩ καὶ Ἑλλήνων ὑποχωρησάντων, κενοῦ ὄντος τοῦ μεταιχμίου, προπηδᾷ Γλαῦκος. καὶ ἐν τάχει μὲν πέφρασται, πρὸς ὠφέλειαν δὲ ἐπεξε⟨ί⟩ργασται ταῦτα ὁ ποιητής. B=

120. * ἐς μέσον ἀμφοτέρων] ὡς διεστώτων καὶ ἀναπαυομένων. B=

121. * ἰόντες] Ἀρίσταρχος δυϊκῶς. A+

3. δοκῇ φεύγειν B: δοκοίη φυγεῖν ‖ 10. ἀρήσασθε ‖ 11. παρασπονδήσαντες B: παρασπονδίσαντες ‖ 14. ἤδη: corr. rec. ‖ 22. δοκεῖεν ut B ‖ 24. supplevi ex B ‖ 27. παρεμβαλὼν B: παρεμβάλλων ‖ 28. suppl. W ‖ 30. ἢ ante καὶ omisi ut B

A+B= 123. τίς δὲ σὺ ἐσσὶ, φέριστε] μέχρι γὰρ τοῦ τρῶσαι τοὺς θεοὺς ἀφῄρηται τὴν ἀχλύν.

B= 124. *οὐ μὲν γάρ ποτ' ὄπωπα] δευτέραν γὰρ ἔχων τάξιν οὐ προεμάχει. ἢ ἐν τῇ πρὸς ἐμὲ μάχῃ.

B= 125. προβέβηκας] ὡς δὴ ἀναπαυομένων τῶν φαλάγγων.

B+ 127. δυστήνων] κακὴν στάσιν ἐχόντων.

*δυστήνων δέ τε παῖδες] ὡς "υἷες Ἀχαιῶν."

B= 128. εἰ δέ τις ἀθανάτων] ἐπεὶ εἶπε "φὰν δέ τιν' ἀθανάτων" (108), διὰ τοῦτο ταῦτά φησιν.

B+ κατ' οὐρανοῦ εἰλήλουθεν]οὕτως Ἀρίσταρχος, ὡς τὸ "ὣς φαμένη κατέβαιν' ὑπερώια" (Od. 18. 206)· "βῆ δὲ κατ' Ἰδαίων ὀρέων" (Il. 8. 410).

B= *τὸ παράδοξον τῆς τόλμης ἐκπληττόμενος λέγει ταῦτα.

130. οὐ⟨δὲ⟩ Δρύαντος υἱός] Ἠδωνῶν τῶν πρὸς Παγγαίῳ βασιλεύς, μὴ προσδεξάμενος τὴν ἔφοδον Διονύσου.

132. μαινομένοιο Διωνύσου] ὡς "χλωρὸν δέος." §. Διόνυσος δὲ παρὰ τὸν Δία καὶ τὴν Νῦσαν.

A+B= 133. Νυσήιον] ἐν διαφόροις τόποις ἱστοροῦσι τὰ περὶ Νῦσαν· ἄμεινον δὲ τὰ περὶ Θρᾴκην ἀκούειν καὶ κατὰ Σαμοθρᾴκην δύνειν τὸν Διόνυσον, ἔνθα καὶ Θέτις διῆγε "μεσσηγὺς—Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης" (Il. 24. 78).

AB+ 134. θύσθλα] οἱ μὲν τοὺς κλάδους, οἱ δὲ ⟨τὰς⟩ ἀμπέλους, οἱ δὲ τοὺς θύρσους.

135. βουπλῆγι] μάστιγι ἢ πελέκει.

B= Διώνυσος δὲ φοβηθείς] μικρὸς γὰρ ἦν ἀπὸ τοῦ καὶ τὰς τιθήνας αὐτῷ συγκαταλέγεσθαι καὶ εἰς τὸν κόλπον αὐτὸν δεδυκέναι καὶ μὴ τιμωρήσασθαι τὸν Λυκοῦργον.

136. Θέτις δ' ὑπεδέξατο] Θέτις, ἵν' εὐλόγως τὸν ἀμφορέα λάβῃ (Od. 24. 74). ἢ ὅτι χρησμὸς ἐδόθη Ἁλαιεῦσιν "ἐν δὲ πότῳ Διόνυσον Ἁλαιέα βαπτίζοιτε," ὡς Φιλόχορος.

138. *ὀδύσαντο] ὠργίσθησαν.

B= θεοὶ ῥεῖα ζώοντες] ὁ γὰρ ἡμῶν βίος παρὰ τὴν βίαν.

B= 139. τυφλὸν ἔθηκε] ἐπεὶ ἐθεώρει τὰς τελετάς, οἰκείως κολάζεται τὰς ὄψεις.

11. βὰν ‖ 13. ἠδονῶν ‖ Παγγαίῳ W: Πάγγαιον ‖ 14. ἔφοβον ‖ 16. περὶ ‖ νύσσαν ‖ 17. νυσίαν ‖ 21. supplevi ex B ‖ 27. ἵν' W: ἦν ‖ 28. Ἁλαιεῦσιν W, ἁλιεῦσιν Lobeck: ἁλιεύειν ‖ ἐν δὲ πότῳ Διόνυσον ἁλιβδύοιτε θαλάσσῃ Lobeck Ai.[3] p. 358, Διόνυσον ἁλιβδύοιτε, τουτέστι βαπτίζοιτε, θαλάσσῃ Aglaoph. 1088, Δ. Ἁλαιέα β. W: ἐν τόπῳ Διόνυσον ἁλιέα βαπτίζοι τὲ

146. οἵη περ φύλ⟨λ⟩ων γενεή] οὐκ ἀντικρὺς ὀνειδίζει τὸ γένος ἀλλὰ τὰ φύλλα, οἷς εἴκασεν· καὶ ἀλλαχοῦ (Il. 21. 464) "δειλῶν, οἳ φύλλοισιν ⟨ἐοικότες⟩."

148. *τηλεθόωσα] εἰς ὕψος θάλλουσα. §. Ἀριστοφάνης δὲ "τηλε- B=
θόωντα" γράφει. A+

149. ἠμὲν φύει ἠ⟨δ'⟩ ἀπολήγει] δύναται μὲν καὶ ἄρθρα εἶναι, A–B=
ἄμεινον δὲ συνδέσμους ἐκδέχεσθαι αὐτούς. Ἀλεξίων δὲ εὐθύνει τὰ ἄρθρα σολοικισμὸν κατὰ τὴν φράσιν νομίζων καί φησι, πῶς ἐνικὸν ὂν τὸ "γενεή" ἐπιμερίζεσθαι δύναται; κακῶς· δύναται γὰρ καὶ ἐξ ἐνικοῦ ἐπιμερισμὸς γενέσθαι.

150. εἰ δὲ θέλεις καὶ ταῦτα δαήμεναι] ὑποστικτέον εἰς τὸ "θέλεις" A B–
καὶ τὸ "δαήμεναι" ἀντὶ τοῦ δάηθι. τινὲς δέ φασι τὸ "ἔστι" ὡς τὸ "ξεῖνε φίλ', ἦ καί μοι νεμεσήσεαι" (Od. 1. 158)· ἢ διὰ μέσου τὸ "πολλοὶ δέ μιν ἄνδρες ἴσασιν."

152. πόλις Ἐφύρη Κόρινθος· ἔστι δὲ καὶ ἐν Θεσπρωτίᾳ καὶ ἐν A– B=
Θεσσαλίᾳ καὶ Οἰνόη καὶ νῆσος περὶ Μῆλον.

153. κέρδιστος] μέσον ἐστὶ τοῦτο· ὡς συγγενὴς δὲ οὐ βλασφημεῖ· B=
ἡ δὲ ἐπανάληψις τὸ⟨ν⟩ ἔνδοξον παρίστησιν.

155. Βελλεροφόντην] Λεωφόντης πρότερον ἐκαλεῖτο· Βέλλερον δὲ B=
ἱππικῇ φονεύσας οὕτως ὠνόμασται.

156. κάλλος τε καὶ ἠνορέην] οὐδὲν γὰρ κάλλος ἄνευ ἀνδρ⟨ε⟩ίας, B–
ὡς δῆλον ἐκ Νιρέως· δυεῖν δὲ ὄντων πλεονεκτημάτων τὴν ἀνδρ⟨ε⟩ίαν ἐρατεινὴν εἶπεν.

157. ἐμήσατο] Ἰακῶς τὸ "μήσατο." A+

158. ἐπεὶ πολὺ φέρτερος ἦεν] ὁ Προῖτος τῶν Ἀργείων διὰ τὴν ἀρχήν. A ~ B=

159. Ζεὺς γάρ ⟨οἱ⟩ ὑπὸ σκήπτρῳ ἐδάμασ⟨σ⟩εν] τοὺς Ἀργείους A ~ B=
Προίτῳ ὑπέταξεν.

160. ἐπεμήνατο] πρὸς ἀποτροπὴν μανίαν ὀνομάζει τὸ πάθος, ἣ καὶ B=
δῖα οὖσα ἐπεμήνατο. τινὲς δὲ ὑφ' ἓν "Διάντεια," κακῶς· ἀγνοοῦσι γάρ, ὅτι τὸ "δῖα" πολλαχῶς νοεῖται παρ' Ὁμήρῳ. §. ἢ "δῖ' Ἄντεια" A+
ὡς "δῖα Κλυταιμνήστρη" (Od. 3. 266).

162. *πεῖθε] ὁ παρατατικὸς τὴν πολλάκις ταῦτα λέγουσαν ἐσήμανεν. B=
ἀγαθὰ φρονέοντα] τοῦτο ἐκπεφώνηκεν ἀφ' ἑαυτοῦ, ὡς κἀκεῖ κατὰ B=

2, 3. δειλὼ οἷον φύλλοισι ‖ 3. omisi *φύλ⟨λ⟩ων] φύλλα ‖ 12. ὥς τοι ‖ 13. μὴ νεμεσήσαιεν ‖ 16. Οἰνόη St. B. s. v. Ἐφύρα: ἐν Οἰνόῃ ut B ‖ 19. post Λεωφόντης add. sec. ἢ Ἱππόνους ‖ 24. μήσατο A: ἐμήσατο ‖ 28. ἢ B: ὁ ‖ 30. δῖα Α. ‖ 31. Κλυταιμνήστρα

μοιχῶν νομοθετῶν φησιν "ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι" (Od. 1. 47) καὶ "οὐκ ἀρετᾷ κακὰ ἔργα" (Od. 8. 329).

B= δαίφρονα Βελλεροφόντην] δῆλον μὲν ἦν καὶ μὴ προστεθέντος τοῦ ὀνόματος, ὅτι Βελλεροφόντης λέγεται. περὶ γὰρ τούτου ὁ λόγος ἦν. ἀλλ' ὅμως ἐπήνεγκε τοὔνομα τοῦτο νῦν σχηματίζων· τοῦτο δὲ ἐπὶ τῇ σωφροσύνῃ τοῦ ἀνδρὸς ἡδόμενος διὰ στόματος ἔχει· οἷς γὰρ ἡδόμεθα, τούτους ἀνὰ στόμα ἔχομεν.

B= 163. ἣ δὲ ψευσαμένη] δείκνυσιν, ὅτι τέλος ἔρωτος ἀποτυχόντος μῖσός ἐστιν.

B= 164. τεθναίης, ὦ Προῖτε] καλόν σοι τὸ ἀποθανεῖν, εἰ μὴ τοῦ καθυβρίσαντός σε κατισχύσεις· ἀλλ' εἰ βούλει ζῆν, ἐκεῖνον ἄνελε· εἰ γὰρ ἐμὲ ἠθέλησε βιάσασθαι, οὐδὲ σοῦ φείσεται.

165. * μ'] ἀντὶ τοῦ μοι, ὡς "οὐδέ σ' οἴω" (Il. 1. 170)· "ἤ μ' οἴῳ ἔρροντι" (Od. 4. 367).

B= μιγήμεναι οὐκ ἐθελούσῃ] τρεῖς τρόποι μίξεων· ἢ βούλεταί τις μὴ βουλομένῃ, ὡς νῦν· ἢ μὴ βουλόμενος βουλομένῃ, ὡς Ὀδυσσεὺς "παρ' οὐκ ἐθέλων ἐθελούσῃ" τῇ Καλυψοῖ (Od. 5. 155)· ἢ ὡς Αἴγισθος τὴν Κλυταιμνήστραν "ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε" (Od. 3. 272)· τέταρτος δὲ τρόπος οὐκ ἔστιν· οὐδεὶς γὰρ ἄκων ἀκούσῃ μίγνυται.

B= 166. χόλος λάβεν, οἷον ἄκουσεν] ἀντὶ τοῦ παράδοξον. πῶς ⟨δὲ⟩ οὐκ ἤλεγξεν; ἢ διασύρει τὸ γυναικοπαθὲς τῶν ἀνθρώπων.

167. * ἀλέεινε] ὡς ξένον.

B= 168. σήματα λυγρά] γράμματα· "οἱ δὲ κλῆρον ἐσημήνα⟨ν⟩το —ὅς μιν ἐπιγράψας" (Il. 7. 175, 187). ἄτοπον γὰρ τοὺς πᾶσαν τέχνην εὑρόντας οὐκ εἰδέναι γράμματα. τινὲς δὲ ὡς παρ' Αἰγυπτίοις ἱερὰ ζῴδια, δι' ὧν δηλοῦται τὰ πράγματα.

B= 169. * πίνακι πτυκτῷ] πινακιδίῳ.

170. ᾧ πενθερῷ] Ἰοβάτῃ ἢ Ἀμισωδάρῳ.

171. * θεῶν ὑπ' ἀμύμονι πομπῇ] αἰσίοις οἰωνοῖς.

B= 172. Ξάνθον τε ῥέοντα] ποῖος γάρ φασι ποταμὸς οὐ ῥεῖ; ῥητέον ὅτι ⟨προσέθηκε τὸ "ῥέοντα"⟩, ἐπεὶ καὶ πόλις Λυκίας ἐστὶ Ξάνθος· ἢ εὐρὺ ῥέοντα, ἢ ἐπεὶ ἀέναός ἐστιν.

173. * προφρονέως] ἀπὸ τοῦ προφρόνως.

1. ὅστις ‖ 5. ἐπήνειγκε ‖ τοῦτον ἐν σχήματι κινῶν ‖ 8. ὅτε ‖ ἀποτυχόντος B: ἀποτεχθέντος ‖ 13, 14. οὐδέ σοι ὦ ἦμαι ᾧ ἔρροντι ‖ 16. βουλομένη B: βουλομένης bis ‖ 21. supplevi ex B ‖ 31. φησὶ ‖ 34. τ. προφρόνως

174. ἐννῆμαρ ξείνι⟨σ⟩σε] ἢ ὡς παρὰ κηδεστοῦ ἥκοντα φιλοφρονεῖται, ἢ ὅτι ἐν θυσίαις αὐτὸν εὗρεν· ἢ ὀκνῶν οὐκ ἀπεδίδου μὴ θέλων ἐπιδημεῖν τάχιστα διὰ τὴν γυναῖκα. B=

176. σῆμα ἰδέσθαι] "σῆμα" τὸ ἐπίταγμα, "σημαίνων ἐπέτελλεν" (Il. 21. 445)· ἢ τὸ π⟨τ⟩υκτὸν τὸ ἔχον τὰ σήματα, ὅ ἐστι τὰ γράμματα.

179. * ἀμαιμακέτην] τὴν ἄγαν μαιμῶσαν, ἢ τὴν ἀκαταμάχητον.

180. θεῖον γένος] τὰ τερατώδη εἰς θεοὺς ἀναφέρει. ἤτοι οὖν διὰ τὸ παρηλ⟨λ⟩αγμένῃ κεχρῆσθαι φύσει, ἢ διὰ τὸ Τυφῶνος καὶ Ἐχίδνης εἶναι. B=

181. πρόσθε λέων] εἰ τὸ πλέον καὶ ἐμπρόσθιον μέρος εἶχε λέοντος, ἔδει αὐτὴν λέοντα καλεῖσθαι. ἦν οὖν τὸ πᾶν χίμαιρα, ἀφ' οὗ καὶ ὠνομάζετο, κεφαλὴν δὲ εἶχε λεαίνης, οὐρὰν δὲ δράκοντος. τοίνυν πῦρ εἰσάγεται ἀναπνέουσα διὰ τοῦ στόματος τοῦ λέοντος. Ἡσίοδος δὲ ἠπατήθη τρικέφαλον αὐτὴν εἰπών (Th. 321). οἱ δὲ πανδοκεῖς εἶναι λέγουσι ⟨Λέοντα⟩ καὶ Δράκοντα καλουμένους, μέσην δὲ αὐτῶν πανδοκεύτριαν Χίμαιραν, ἣ τοὺς παριόντας ἦψε μεληδὸν καὶ τοῖς ἄλλοις παρεῖχε παρατιθέναι· ἔνιοι δὲ ὄρος εἶναι κατὰ Λυκίαν, ὃ καλεῖται Χίμαιρα· τοῦτο δὲ κατὰ μέσον ἔχειν ἀναφυσήματα πυρός, κατὰ δὲ τὰ ἄκρα πολύθηρον ⟨εἶναι⟩. B–

182. * πυρὸς μένος] λείπει τὸ ὡς, ὡς πυρός.

183. καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας] ἀπίστου ὄντος πῶς τὸ τοιοῦτον θηρίον κατηγωνίσατο, ἰάσατο τὸ ἄπιστον θείαν δύναμιν ἐπαγαγών. B=

184. δεύτερον αὖ Σολύμοισι] καὶ "ἐκ Σολύμων ὀρέων" (Od. 5. 283)· ἀπὸ γὰρ τῶν ἀνατολικῶν Αἰθιόπων ἐπανιὼν ἀπὸ Πισιδίας καὶ Κιλικίας ὁρᾷ Ὀδυσσέα ὁ Ποσειδῶν.

185. * φάτο] εὖ τὸ μὴ εἰπεῖν 'ἔφασαν ἄλλοι,' ἀλλ' 'αὐτὸς ὁ πεπειραμένος.' B=

186. * Ἀμαζόνας] κατέτρεχον γὰρ τὴν Ἀσίαν· ἀμέλει ἐξ αὐτῶν Ἔφεσος καὶ Σμύρνα καλεῖται· "καὶ Φρυγίην ε⟨ἰ⟩σήλυθον" (Il. 3. 186). B–

187. τῷ δ' ἄρ' ἀνερχομένῳ] Ἀρίσταρχος "ἀπερχόμενῳ" γράφει διὰ τοῦ ᾱ. γράφεται δὲ καὶ "τῷ δ' ⟨ἄρ'⟩ ἀνερχομένῳ." A+

188. κρίνας ἐκ Λυκίης] ἀπὸ οἰκείας ἀρχῆς ὁ στίχος. AB=

* φῶτας ἀρίστους] διδάσκει τοὺς ἀλκιμωτάτους μόνους λοχᾶν, "ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν" (Il. 13. 277). B=

1. ἐ. μὲν ξ. ‖ 3. ἀποδημεῖν ut B: corr. Bekker ‖ 10. πλεῖον ‖ 15. suppl. Bekker, cf. Eust. ‖ δράκοντας sec. ‖ 19. suppl. W ‖ 31. Ἀ. ἀνερχομένῳ A.

B= 189. εἶσε λόχον] δῆλον οὖν ὡς καὶ αὐτὸς διὰ τὴν καλοκἀγαθίαν τοῦ ἀνδρὸς οὐκ ἠθέλησεν ἐκ τοῦ προφανοῦς αὐτὸν φονεῦσαι.

B= 191. *ἐκ τῶν πράξεων τὰς εὐγενείας ἀξιοῖ κρίνεσθαι ὁ ποιητής. §. Ποσειδῶνος δὲ ἦν καὶ Μήστρας τῆς Ἐρυσίχθονος.

192. δίδου δ' ὅ γε θυγατέρα ἦν] Ἀλκιμέδουσαν ἢ Κασάνδραν.

A~ ὅτι οὐκ οἶδεν Ὅμηρος τὸν Πήγασον (cf. 183).

B+ 194. καὶ μέν οἱ Λύκιοι τέμενος τάμον] ὡς ἀπηλ⟨λ⟩αγμένοι τῶν δεινῶν.

196. ἣ δ' ἔτεκε τρία τέκνα] πρὸς τὸ "θυγατέρα ἦν" (192).

B– 198. Λαοδαμείῃ μὲν παρελέξετο μητίετα Ζεύς, ἣ δ' ἔτεκε — Σαρπηδόνα]...καὶ πῶς Εὐρώπη⟨ς⟩ ὢν οὐ ⟨συ⟩στρατεύει Ἰδομενεῖ; ἢ ὅτι παρὰ Διὸς τὴν ἦβην ἐπὶ ἓξ ἔσχεν γενεάς. τινὲς δὲ εὐρώπην τὴν Λαοδάμειαν, ἐπεὶ εὐόφθαλμος ἦν.

B= 200. ἀλλ' ὅτε δὴ κἀκεῖνος, ἤτοι ὁ κὰπ πεδίον, Ἴσανδρον δέ οἱ υἱὸν Ἄρης ἔκτανε, τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα] ἵνα ἡ ἀπώλεια τῶν παίδων αἰτία αὐτῷ ᾖ μονασμοῦ, ὡς καὶ τῷ Λαέρτῃ· καὶ "ἀλήιον" πεδίον, ὅπερ ᾤκει ἀλεείνων τοὺς ἀνθρώπους. τὰ δὲ ἐκ τῆς τύχης εἰς θεοὺς ἀναφέρομεν. ὥσπερ δὲ ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα τὸ φρύαγμα Διομήδους καθαιρῶν, καὶ νῦν οὐκ ἀπώκνησε τὴν περὶ τὸν πρόγονον μεταβολὴν τῆς τύχης ὁμολογῆσαι· ἢ τάχα πιστοῦται τὰ ἀγαθὰ διὰ τῆς ὁμολογίας τῶν ἀτυχιῶν. εἰ δὲ χωλὸς ἦν, πῶς ἠλᾶτο;

ἀλλ' ὅτε δὴ κἀκεῖνος ἀπήχθετο] ὥσπερ καὶ οἱ πρόγονοι αὐτοῦ, ἢ ὡς τὸ γένος τῶν ἀνθρώπων.

B= 201. κὰπ πεδίον τὸ ἀλήιον] τινὲς ἐδάσυναν διὰ τὸ ἄλας ἐκεῖ πήγνυσθαι· ἄμεινον δὲ ψιλοῦν ἀπὸ τῆς ἄλης.

B= 202. ὃν θυμὸν κατέδων] οὐχ, ὡς οἱ νεώτεροί φασι, μελαγχολήσας ἀλλ' ὀδυνώμενος ἐπὶ τῇ τῶν παίδων ἀπωλείᾳ ἐμόναζεν.

B+ *διδάσκει πόσην ψυχαγωγίαν ἔχει ἡ συντυχία.

B= 204. μαρνάμενον Σολύμοισι] ἴσως ὡς γηράσαντος τοῦ Βελλεροφόντου ἀπέστησαν, ὁ δὲ ὡς πατρῴας ἀρχῆς ἀντιποιούμενος ἐπολέμει.

205. *χολωσαμένη] ἴσως διὰ τὰς Ἀμαζόνας.

206. *ἔτικτε] ἐκ Δημωνάσ⟨σ⟩ης.

B= 207. καί μοι μάλα πόλλ' ἐπέτελλεν αἰὲν ἀριστεύειν] τοῦτο ἀνα-

4. Μήστρας W : μητρὸς ‖ 5. ὅτε ‖ πασάνδραν :— ‖ 11. lacunam indicavit W ‖ καὶ B: ἐπεὶ ‖ ἦν οὐ ‖ 12. ἐπεὶ ἓξ ἔσχον ‖ 14. Ἰ. γάρ οἱ ‖ 22. πωλησάτω ‖ 24. ante ἡ del. W Ἴσανδρός τε καὶ Λαοδάμειαν ‖ 27. μελαγχολάνας

φέρει πρὸς τὸ ὑπὸ Διομήδους εἰρημένον "ἀτὰρ ⟨μὲν⟩ νῦν γε πολὺ προβέβηκας ἁπάντων" (125).

211. ταύτης τοι γενεῆς καὶ αἵματος] σπέρματος· τὸ γὰρ αἷμα εἰς θορὸν μεταβάλλεται. οἱ γοῦν συνεχῶς ἀφροδισιάζοντες τὸ τελευταῖον αἷμα ἀφιᾶσιν· τὸ γὰρ μεταβαλλόμενον ἀναλώσαντες τὸ ἀμετάβλητον ἐξέλκουσιν. AB=

212. γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης] ἔοικε διὰ τὸ ὄνομα Βελλεροφόντου καὶ τοὺς πολλοὺς ἀνασχέσθαι λόγους τοῦ Γλαύκου. B=

213. ἔγχος μὲν κατέπηξεν] γραφικῶς ἔχει καὶ τοῦτο. ἵνα δὲ μηκέτι πόλεμος εἶναι δοκῇ, καταπήγνυσι τὸ ἔγχος ὁ Διομήδης. AB=

214. * μειλιχίοισι] ἐπὶ φιλοξενίαν προτρέπεται δεικνὺς ὡς καὶ ἐκ κινδύνων ῥύεται. B=

217. * εἰκοσιν] οὕτως Ἀττικοί· ὅθεν καὶ "εἰκοσινήριτα" (Il. 22. 349).

219. Οἰνεὺς μὲν ζωστῆρα] οὐκ ἐκαπήλευε γὰρ τὰς δόσεις· ἦ καὶ ὁ ζωστὴρ πολυτιμότερος ἦν.

Οἰνεὺς μὲν ζωστῆρα—Βελλεροφόντης δὲ χρύσεον δέπας] ὁ μὲν ὡς μένοντι, ὁ δὲ ὡς ἐκδημοῦντι· "μνῆμα ξείνοιο φίλοιο" (Od. 21. 40).

221. καί μιν ἐγὼ κατέλειπον] ἄπαιδος γὰρ τελευτῶντος Οἰνέως Διομήδης κληρονομεῖ. B=

222. Τυδέα ⟨δ'⟩ οὐ μέμνημαι] ἄτοποι οἱ δύο στίχοι. §. τὸ δὲ "Τυδέα δ' οὐ μέμνημαι" ὡς "μέμνημαι τόδε ἔργον" (Il. 9. 527).

224. Ἄργεϊ μέσσῳ] τὸ Ἄργος μέσον Πελοποννήσου.

226. ἔγχεα δ' ἀλλήλων] ἀλλήλων ⟨τὰ ἔγχη⟩ ἐκκλίνωμεν. ⟨γράφεται δὲ καὶ "ἔγχεσιν," ἵν' ᾖ,⟩ ἀποτύχωμεν ἀλλήλων καίτοι ἐν πλήθει ὄντες. Ζηνόδοτος δὲ γράφει "ἀλλήλους ἀλεσώμεθα." A – B+

ἔγχεα δ' ἀλλήλων ἀλεσώμεθα καὶ δι' ὁμίλου] ἐπὶ παντὸς τοῦ πλήθους, ὅπως γνῶσιν ὅτι ξεῖνοί εἰσιν· ἢ διὰ πάσης τῆς μάχης, ὡς "ταν⟨σ⟩σάμενος διὰ μήλων" (Od. 9. 298). ἢ καὶ ἡμεῖς καὶ αἱ ἡμέτεραι στρατιαὶ παραφυλάξωνται τὴν πρὸς ἀλλήλας στάσιν. B=

230. ἁπλοϊκῶς τοῦτο, οὐ δι' αἰσχροκέρδειαν. B=

ὄφρα καὶ οἵδε γνῶσιν] δῆλον οὖν ὡς ἐν ἡσυχίᾳ εἰσὶ τὰ πλήθη, καραδοκοῦντες τὸ τέλος. B=

5. ἀφιᾶσιν W: φέρουσιν ut AB ‖ 17. schol. praecedenti adhaeret ‖ χρύσειον ‖ 18. μ. ξ. φ. lemmate καί μιν ἐγώ praefixo post 20 leguntur ‖ 28. εἰσὶν B: εἶεν ‖ 30. παραφυλάξωνται B: -ονται ‖ post στάσιν add. sec. μειοῦνται γὰρ αἱ τῆς φιλίας συνθῆκαι, εἰ μόνοι οἱ βασιλῆς ἀλλήλων ἀφέξονται, οὐ μὴν δὲ καὶ πλήθη τὰ ὑπ' αὐτούς

B= 234. ἔνθ' αὖτε Γλαύκῳ] εἰκότως ὁ Γλαῦκος τοῦ προγόνου τὸ φιλότιμον ἀκούσας Βελλεροφόντου χρυσὸν δωρεῖται πρὸς τὸ παρόν, ἄλλως τε ὑπερήδεται τῇ συντυχίᾳ, γενόμενος ἰδιόξενος τοῦ πανα-
B= ρίστου Διομήδους. §. τὸ δὲ "ἐξέλετο" ἀντὶ τοῦ ὑπερηύξησε τῇ φιλοτιμίᾳ, ὡς τὸ "γέρας ἔξελον" (Il. 16. 56).

B– ἔνθ' αὖτε Γλαύκῳ φρένας ἐξέλετο] ὅτι κατὰ τῶν συμμάχων ἐκόσμει λαμπροτέροις αὐτὸν ὅπλοις· ἢ ὡς ἡφαιστότευκτα· ἤ, ὡς Πῖος, ἵνα κἂν τούτῳ αὐξήσῃ τὸν Ἕλληνα μὴ ἐξ ἴσου ἀπηλ⟨λ⟩αγμένον, ὅπερ ἡδὺ τοῖς ἀκούουσιν.

B= 235. ὃς πρὸς Τυδείδην Διομήδη] καὶ πῶς οὐ δέδιε Διομήδης γυμνούμενος, πρὸ μικροῦ ⟨τῶν⟩ Τρώων παρασπονδησάντων; τάχα οὖν τὸν ζωστῆρα μόνον καὶ τὸ ξίφος ὡς οἱ περὶ Ἕκτορα (Il. 7. 303) ἤμειψαν· ⟨ἡ⟩ χάρις γὰρ οὐ θέλει τὴν ἀσπίδα· ἦ γὰρ ἂν προὔκρινεν αὐτὴν Ἕκτωρ τοῦ ζωστῆρος.

236. ἑκατόμβοια] ἐκ τοῦ παρ' Ἀθηναίοις νομίσματος. §. οὐ γὰρ
A= B– νομίσμασιν ἐχρῶντο· ὅθεν καὶ "ἀλφεσίβοιαι" (Il. 18. 593)· οἱ δὲ παρ'
A= Ἀθηναίοις νόμοι εἶχον βοῦν. §. κεκώλυται δὲ ὑπὸ μέτρου εἰπεῖν δεκαβοίων.

B= 237. *Ἕκτωρ δ' ὡς] εὐκαίρως μεταβαίνει, τὸ διάκενον τῆς πορείας Ἕκτορος ἀναπληρώσας τοῖς διὰ Γλαύκου καὶ Διομήδους.

B= 238. ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι] ἤδη ἐπὶ τὸ περιπαθὲς ἔρχεται· διὸ οὐδὲ τῶν γερόντων ἐμνήσθη, ἀλλὰ τῶν γυναικῶν. οἰκεῖον δὲ ἐπ' αὐτῶν τὸ θεῖν.

A+ B= 239. *παῖδας] ἀντὶ τοῦ ὑπὲρ παίδων.

A+ B= ἔτας τε] ψιλωτέον τὸ "ἔτας·" ἔται δὲ λέγονται καὶ οἱ πολῖται καὶ οἱ συγγενεῖς.

B= 240. θεοῖς εὔχεσθαι ἀνώγει] ὡς πάντων περιόντων χρηστὰς ὑπέδειξεν ἐλπίδας· οὐδεὶς γὰρ ὑπὲρ τεθνεώτων εὔχεται.

A– B= 241. *πάσας ἐξείης] πρὸς πάσας ἐφεξῆς τὴν αὐτὴν ἀπόκρισιν ἐποιεῖτο.

AB= 242. ἄλλ' ὅτε δὴ Πριάμοιο] τὸ ἐξῆς, ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον, ἔνθα οἱ ἠπιόδωρος· τὰ δὲ ἐξῆς διὰ μέσου.

B= 243. *αἰθούσῃσι] τειχίοις τῆς αὐλῆς.

3. γενόμενος B: γινόμενος ‖ 8. κἂν τοῦτο ‖ 13. χάρις scripsi, πρὸς χάριν B: χάρης ‖ 14. ζωστῆρος Schrader: νέστορος ‖ 17. ἔχον ut A ‖ 23. θέειν B, θεῖον

244. πεντήκοντα ἔσαν θάλαμοι] ἴσως οἱ περὶ Ἕκτορα ἀνδρωθέντες καὶ βασιλικοὶ γεγονότες ἀπέστησαν τοῦ πατρός. B=

248. τέγεοι] ὑπερῷοι ἐπὶ τοῦ τέγους ᾠκοδομημένοι· τοιοῦτοι γὰρ κατεσκευάζοντο ταῖς γυναιξὶ πρὸ⟨ς τὸ μὴ⟩ ὁρᾶσθαι συν⟨εχῶς ἀν⟩δράσιν. A~

249. ἔνθα δὲ γαμβροὶ κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃς ἀλόχοισιν] εἰς τὸ φιλότεκνον Πριάμοιο· φησὶ γὰρ "πλησίοι ἀλλήλων δεδμημένοι" (245).

251. ἠπιόδωρος] δῶρον παρὰ τῆς φύσεως ἔχουσα τὸ εἶναι ἠπία, ὅτι κλαυθμυριζομένοις τοῖς παισὶν τὸν μαστὸν προτείνουσι τὸν "λαθ⟨ι⟩κηδέα" (Π. 22. 83). A– B=

252. Λαοδίκην ἐσάγουσα] εἰσιοῦσα, ὡς φαμεν ποῖ εἰσάγεις ἀντὶ τοῦ εἰσέρχῃ. τινὲς δὲ τὴν ἐς ἀντὶ τῆς πρός, πρὸς Λαοδίκην. εἴσεισι δὲ πρὸς Λαοδίκην πευσομένη τὴν αἰτίαν, δι' ἣν ἐξήγαγεν Ἑλένην· αὐτῇ γὰρ ἡ Ἶρις εἰκασθεῖσα ἐξήγαγεν εἰς τὸ τεῖχος τὴν Ἑλένην. A+ B=

255. δυσώνυμοι υἷες Ἀχαιῶν] οὐδὲ γὰρ ὄνομα αὐτῶν ὀνομάζειν ἐθέλει· καὶ ἡ Πηνελόπη "Κακοίλιον οὐκόνομαστήν" φησιν (Od. 19. 260). AB=

256. σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν—Διὶ χεῖρας ἀνασχεῖν] εἰκότως διὰ τὴν ἀρ⟨ετὴν τούτου οὐχ⟩ ὑπάπτ⟨ευσ⟩ε φυγήν.

260. μητρὸς ἦθος ἀναφαίνεται· καὶ γὰρ ἀεὶ φαγεῖν καὶ πιεῖν ἀξιοῦσι τὰ τέκνα. πιθανὸν δὲ α⟨ὐτὸν νοεῖν διψῆν ἀπὸ⟩ τῆς κινήσεως τοῦ πολέμου. ὑφαιρουμένη δὲ αὐτοῦ τὴν αἰδῶ ⟨καὶ⟩ τὸ "σπείσῃς" εἶπεν. ὀνίνησι δὲ οἶνος μέτριος ποθεὶς δύναμίν τε ἐμποιεῖ, ὡς καὶ τὸ "⟨τὸ γὰρ μένος ἐσ⟩τὶ καὶ ἀλκή" (Π. 9. 706). καὶ Ὀδυσσεὺς "ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσ⟨σ⟩άμενος καὶ ἐδωδῆς ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ, θαρσαλέον νύ οἱ ἦτ⟨ορ ἐνὶ φρ⟩εσίν, οὐδέ τι γυῖα πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο" (Π. 19. 167). ὁ δέ, ἐπεὶ πραΰνει ὁ οἶνος, βούλεται δὲ ἄγριος πρὸς τοὺς πολεμίους εἶναι, παρ⟨αιτεῖται. ἢ ὅτι δίχα τροφῆς βλ⟩άπτει τῶν νεύρων καθαπτόμενος, ὥ⟨ς φη⟩σι Λύκος, ἢ ὅτι μέτεωρον ἔχει τὸ πνεῦμα ὡς δρομαῖος ἐλθών, σπεύδει δὲ καὶ ἀπελθεῖν ⟨δρομαῖος⟩. ἄλλως ⟨τε στρατιώταις μὲν θ⟩ράσος πορίζεται, στρατηγοὺς δὲ τῆς φρονήσεως ὑπεκλύει· ἢ τοῖς ἀποκαμοῦσιν ⟨μόνον ὠφέλιμος⟩, ὁ δὲ ἔτι ἰσχύει. B=

ἔπειτα δὲ καὶ τὸ ⟨ὀνήσεαι⟩ καί πως φησὶ "⟨μή μ' ἀπογυιώ⟩σῃς·" ἀλλ' B=

9, 19, 26, 29, 31, 34. novavit rec. ‖ 9. ἰὸν μ. ‖ 14. iteratur *εἰσάγουσα] εἰσιοῦσα ‖ 19. ἀεὶ φαγεῖν B: ἐμφαγεῖν ‖ 23. κεν ‖ 24. οἴνου ‖ 25. πολεμίζει ‖ 29. δρομαίως pr. ‖ 32. supplevi ex B

ἔστιν ἐν ὑπερβατῷ, "χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν αἶζομαι, μή μ' ἀπογυιώσῃς." ἄλλως τε ὁ μὲν μετὰ πόνον [οἶνος] ὠφέλιμος, ὁ δὲ πρὸ πόνου ἐπιβλαβής.

A+ ἔπειτα δέ κ' αὐτός] διχῶς· οἱ μὲν γὰρ τὸν κέ συνειλῆφθαι, οἱ δὲ τὸν καί, ἵν' ᾖ κατὰ ἔλλειψιν καὶ κρᾶσιν.

261. * ὡς γραῦς ἀποδέχεται τὴν πόσιν.

B= 262. ἔτῃσιν] [πολίταις· εὖ δὲ τὸ] μὴ φάναι ἑαυτῷ μηδὲ τοῖς οἰκείοις, ἀλλὰ τῇ πόλει· [ἡγεμόνι] γὰρ τοῦτο πρέπον.

B= 266. χερσὶ δ' ἀνίπτοισιν] ἄμφω τὰς προτάσεις αὐτῆς παραιτεῖται ὁ Ἕκτωρ.

B= χερσὶ δ' ἀνίπτοισιν] ἐδύνατο ὑπὸ τῆς Ἑκάβης ῥᾳδίως λυθῆναι ἡ πρόφασις Ἕκτορος ὕδωρ αὐτῷ κομισθῆναι κελευούσης, ἵνα πρότερον νίψηται· ἢ οὐ τοῦτο ἦν ἀρχαῖον ἔθος τὸ τὰς χεῖρας ἀποπλύνασθαι μόνας, ἀλλὰ τὸ ὅλον σῶμα ἀπολούεσθαι, ὅπερ οὐκ εὐκαιρόν ἐστιν Ἕκτορι ἐπειγομένῳ. ἀλλὰ πῶς ἐν τοῖς ἑξῆς (476) ἀνίπτοις χερσὶν εὔχεται "Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ;" ἢ οὐδὲ τοῦτο ἐναντίον. οὐ γὰρ ταὐτόν ἐστιν ἐπισπένδειν καὶ ἁπλῶς διὰ λόγων εὔχεσθαι· τὸ μὲν γὰρ διὰ σώματος, τὸ

B= δὲ διὰ ψιλῶν λόγων γίνεται. §. "μελίφρονα" δὲ οἶνον τὸν ἀναγκάζοντα ἡδέα διανοεῖσθαι· ἱλαρωτέρους γὰρ ποιεῖ ὡς τὰ πολλὰ τοὺς πίνοντας· ὁ δὲ βούλεται εἶναι ἄγριος πρὸς τοὺς πολεμίους.

B= 268. * αἵματι] τῷ ἐκ πολέμου. §. φεύγων δὲ τὴν καταφρόνησιν τῶν θεῶν ἐπέτεινε τὴν εὐσέβειαν.

A+ B= εὐχετάασθαι] τὸ δεύτερον ᾱ συσταλτέον· τὰ γὰρ εἰς ϐαι ἀπαρέμφατα προπαροξυνόμενα βραχυπαράληκτά εἰσι, τὰ δὲ παροξυνόμενα μακροπαράληκτα.

B+ 270. ἔρχεο σὺν θυέεσσιν] ἡμεῖς θυμιάματα, Ἀττικοὶ θυλήματα· τὸ δὲ ἔμψυχον ἱερεῦσαι σφάξαι ῥέξαι.

* θυέεσσιν] τοῖς θυλήμασιν, ὅ ἐστι θυμιάμασιν.

B= 272. * καί τοι πολὺ φίλτατος αὐτῇ] ἵνα ἐκ προθυμίας ᾖ τὸ δῶρον.

A=B+ 280. Πάριν μετελεύσομαι] ἵνα μὴ δι' Ἀνδρομάχην δοκῇ τῆς μητρὸς ⟨ὑπ⟩εξίστασθαι. καλῶς δὲ τὰ ἀναγκαῖα προκρίνει τῶν ἡδέων.

B+ 281. * ἀκουέμεν] εἰς τὸ ἀπειθὲς Ἀλεξάνδρου.

B+ 282. * Ὀλύμπιος] ἵνα μὴ εἴπῃ σύ.

2. πόνον rec.: πόνους pr. ‖ 2, 7, 8. novavit rec. ‖ 14. τὸ ὅλον σῶμα B: τῷ ὅλῳ ὀνόματι ‖ 25. βραχυκατάληκτα ‖ 27. θηλύματα et 29. θηλύμασιν: corr. W ‖ 32. supplevi ex B

283. * τοῖό τε παισίν] οὐκ εἶπε σοί. B+

285. φαίην κε φρέν' ἀτέρπου] Ζηνόδοτος "φαίην κεν φίλον A−
ἦτορ·" ἔστι δὲ καὶ ἄλλη γραφὴ "φαίνῃ περ."

ἄτερ που ὀιζύος] ⟨εἰ ἐκεῖνον εἶδον⟩ ἀπολόμενον ⟨ὑπέλαβον ἂν κατὰ A B+
φρένα χωρὶς ταλαιπωρίας ἐπιλαθέσθαι αὐτοῦ,⟩ καίπερ μὴ ἐπιλαθόμενος
διὰ τὸ φιλάδελφον. ἀλλ' εἶπεν "ἴδοιμι·" οἱ δὲ τὸ γενομένην ἀκούουσιν.

286. ὣς ἔφαθ', ἡ δὲ μολοῦσα] εὔκαιρος ἡ ἀποσιώπησις· οὔτε γὰρ B=
συναινεῖν τῇ Ἀλεξάνδρου ἀρᾷ δύναται ὡς μήτηρ, οὔτε ἀπολογεῖσθαι,
ἵνα μὴ παροξύνῃ Ἕκτορα.

289. ἔσάν οἱ] δύο παράλληλοι ὀξεῖαι ὑπὲρ τοῦ συνεμπίπτειν τὴν A+
"οἱ" ἄρθρῳ πληθυντικῷ.

291. ἤγαγε Σιδονίηθεν] δεδιὼς γὰρ τὸν διωγμὸν διὰ Φοινίκης καὶ A B=
Αἰγύπτου ἦλθεν, ὡς καὶ οἱ Ἀργοναῦται διὰ τοῦ Ἴστρου· τῆς περιερ-
γίας δὲ Ἀλεξάνδρου τὸ μὴ ⟨μόνον⟩ ὠνήσασθαι πέπλους, ἀλλὰ καὶ
πρίασθαι τὰς ἐργαζομένας.

ἐπιπλώς] ἀποκοπή, οὐ συγκοπή.

ἐπιπλὼς εὐρέα πόντον τὴν ὁδόν, ἣν Ἑλένην περ ἀνήγαγεν] βορειο- B+
τέρα γὰρ τῆς Ἑλλάδος ἐστὶν ἡ Ἰλιάς.

293. τῶν ἓν' ἀειραμένη] οὐ πρεπόντως, φασίν, ἐκ τῆς Ἀλεξάνδρου
ἀδικίας δίδοται τῇ θεῷ τὸ δῶρον· ἀλλ' οὔτε Ἑλένης ὁ πέπλος ἐστὶν
οὔτε ἐκ Λακεδαίμονος αἱ γυναῖκες.

τῶν ἓν' ἀειραμένη] τὰ σπουδαῖα δι' ἑαυτῶν αἱ ἐλεύθεραι οἰκονο- B=
μοῦσι παρ' Ὁμήρῳ. καὶ νῦν μὲν ἡ Ἑκάβη τὸν πέπλον ἐκφέρει,
ἐτέρωθι δὲ ἡ Ἑλένη Τηλεμάχῳ τὸν πέπλον, (Od. 15. 123), καὶ ἡ
Πηνελόπη τοῖς μνηστῆρσι τὸ τόξον (Od. 21. 59).

295. ἔκειτο δὲ νείατος ἄλλων] ὧν γὰρ ἡ χρῆσις συνεχής, ταῦτα B+
πρόχειρα.

300. τὴν γὰρ Τρῶες ἔθηκαν] οὔτε κληρωτοὺς οὔτε ἐκ γένους βού- B+
λεται τοὺς ἱερεῖς εἶναι, οὔτε ἑνὸς ψήφῳ, ἀλλ' ὃν πλῆθος ἕλοιτο.

304. εὐχομένη δ' ἠρᾶτο] ὅτι τὸν ἱερέα περὶ τῶν κοινῶν εὔχεσθαι δεῖ, B=
οὐκ ἰδίᾳ ἕκαστον. ἑκάστου δὲ τὸ ἀξίωμα οἶδεν ὁ ποιητής· τὴν Θεανὼ
γοῦν Ἑκάβης παρισταμένης ποιεῖ εὐχομένην, καὶ τὸν Χρύσην τῷ Ἀπόλ-
λωνι ὑπὲρ τῶν Ἑλλήνων παρόντος τοῦ Ὀδυσσέως (Il. 1. 451).

305. ἐρυσίπτολι] πλεονασμὸς τοῦ ε̄· παρὰ Καλλιμάχῳ "οἱ δὲ— A= B−

4. ἀτέρ ποῦ ὀιζύες ἀτέρ ποῦ ‖ 4, 5. supplevi ex B ‖ 5. κ. μ. ἐ. B: ἵνα μὴ ἐπὶ ἐμοῦ ‖ 10. ὀξεῖαι W, cf. A: οἰκεῖαι ‖ 11. ἄρθρον πληθυντικῶς ‖ 13, 14. περιεργείας ‖ 14. supplevi ex A ‖ 17. ἐκείνην ante τὴν omisi ‖ 34. οἱ δὲ παρὰ Καλλιμάχῳ τὸν οὐκ ἀγαθὸν ἐρ. A

τῶν οὐκ ἀγαθῶν ἐρυσίπτολιν" (fr. 462 Schn.). παρά τισι δὲ ἡ ποιοῦσα ἐριπεῖν τὰς πόλεις· ἄμεινον δὲ "ῥυσίπτολιν·" καὶ οἰκεῖον ταῖς περὶ σωτηρίας εὐχομέναις τῆς πόλεως, ὡς καὶ ἐκεῖ "'Αθηναίῃ λητίδι" (Il. 10. 460).

307. πρηνέα δὸς πεσέειν] ἕτερα παρὰ τὴν πρόσταξιν εὔχεται· διὸ ἀνανεύει ἡ 'Αθηνᾶ.

B= Σκαιῶν προπάροιθε πυλάων] ὡς μέχρι τούτων ἐλάσαντος αὐτοῦ τοὺς Τρῶας. ἔμφασιν δὲ ἔχει βιαζομένου ἐμπεσεῖν εἰς τὴν πόλιν.

B= 311. ἀνένευε δέ] τῇ γνώμῃ ἀνένευεν ἐπὶ τῇ ἀναιρέσει, ἐπεί τοι παύει Διομήδεα διὰ τῆς Αἴαντος πρὸς "Εκτορα μονομαχίας.

B= 313. πρὸς δώματ' 'Αλεξάνδροιο βεβήκει] ὡς περὶ ἁβροδιαίτου καὶ τοῦτό φησιν· οὐκ ἐβουλήθη γὰρ σὺν τοῖς ἀδελφοῖς καὶ κηδεσταῖς κατοικεῖν, ἀλλ' ἑαυτῷ ἐδείματο οἴκησιν κατ' ἰδίαν.

B+ 315. τέκτονες] "τέκτονες" οἱ λαοξόοι, ὅθεν καὶ ἀρχιτέκτων. τὸ δὲ "ἔτευξε" ἐπεστάτησε — καλλωπιστὴς γάρ — καὶ ἴσως πρὸς ζῆλον τῆς Μενελάου οἰκίας, ὥστε εἰ δυνατὸν ἦν ἥρπασεν ἂν καὶ αὐτήν.

B+ 316. οἵ οἱ ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλήν] "δῶμα" ἐποίησαν, ἐν ᾧ ἦν θάλαμος καὶ αὐλή· ἢ "δῶμα" τὸν ἀνδρῶνά φησιν.

317. ἐν πόλει ἄκρῃ] [μ]έχρι νῦν ἴχνη αὐτῶν ἐστιν· τὰ δὲ "Εκτορος πρυτανεῖά ἐστι νῦν τῇ πόλει.

B= 319. ἔγχος ἔχε] πρὸς ὑπογραμμὸν καὶ προτροπὴν 'Αλεξάνδρου θρασὺς φαίνεται "Εκτωρ διὰ τοῦ δόρατος, προμηνύων τὴν ἄφιξιν. §. "ἑνδε-
B= κάπηχυ" δὲ ἕνδεκα πηχῶν, ἐπεὶ τὸ κολλητὸν δύο καὶ εἰκοσίπηχυ (Il. 15. 678).

B= 320. πόρκης] ὁ τῆς ἐπιδορατίδος δακτύλιος. §. "πόρκης" δὲ διὰ
A+ τὸ πείρειν τὸ δόρυ δι' αὐτοῦ.

B— 321. τὸν δ' εὗρ' ἐν μεγάροις περικαλλέα τεύχε' ἕποντα] τὸν καλλωπιστὴν δηλοῖ καὶ ἐναβρυνόμενον τῇ γυναικὶ καὶ μόνον οὐχὶ πομπῆς χάριν κεκτημένον τὴν σκευήν. ἄλλως τε οὐδὲ ἐν τῇ αὐλῇ ἐστιν ἀλλ' ἐν μέσαις ταῖς ἐρίθοις.

A+ B= 322. ἀσπίδα καὶ θώρηκα] βραχὺ διασταλτέον εἰς τὸ "θώρηκα." §. τὸ δὲ "φόωντα" τινὲς λαμπρύνοντα παρὰ τὸ φῶς· ἢ "ἀφόωντα" ἀντὶ τοῦ ἐρευνῶντα ψηλαφῶντα.

B= 324. καὶ ἀμφιπόλοισι — κέλευε] ἐμπρακτοτέρα αὕτη 'Αλεξάνδρου.

B= §. "περικλυτὰ" δὲ "ἔργα κέλευεν" ἀντὶ τοῦ περὶ τῶν ἔργων.

5. supra προστάξιν sec. add. τῆς ἁλώσεως ‖ 8. ἐμπεσεῖσθαι ut B ‖ 9. ἐπὶ W : ἐν ‖ 11. βέβηκεν ‖ 20. ἐστὶν ἐν : corr. W ‖ 27. τεύχεα

325. αἰσχροῖς] λοιδόροις. παρ' ἑαυτοῦ δὲ ἐξήνεγκεν ὁ ποιητὴς Β=
τὸν στίχον.

326. οὐ μὲν καλὰ χόλον] ἀφορμὴν αὐτῷ δίδωσι τῆς ἀργίας—οὐ Β+
γὰρ ὡς ἀσθενοῦς, ἀλλ' ὡς ῥᾳθύμου κατηγορεῖ—⟨καὶ⟩ οὐχ ὑγιῶς φησιν
ἐν νῷ ἔχεις τὴν μῆνιν, ἣν σοι οἱ Τρῶες μηνίουσιν, ὡς θελήσαντες
αὐτὸν ἐκδοῦναι Μενελάῳ· ἄλλως τε οὐκ ἔδει ἐπὶ Ἑλένης αὐτὸν
λοιδορεῖσθαι.

327. λαοὶ μὲν φθινύθουσι] περικέκοπται ὁ λόγος· ἐφυλάξατο Β=
γὰρ εἰπεῖν, σὺ δὲ καθέζῃ ἀκίνδυνος.

περὶ π⟨τ⟩όλιν] περὶ πόλιν εἶπε διαφθείρεσθαι τὸν λαόν, ὡς
ἐγγὺς ὄντος τοῦ δεινοῦ.

328. σέο δ' εἵνεκ' ἀυτή]...Μενέλαος δὲ πολεμεῖ πρὸς Ἀλέξανδρον
ἀδίκως, πρὸς Ἕκτορα ὑπὲρ ἑαυτόν· νυκτὶ γὰρ ἔτι ὑπερασπίζει
Πατρόκλου (Il. 17. 509).

330. εἴ τινά που μεθιέντα] "ὄντινά που" οὕτως αἱ Ἀριστάρχου. Α–

331. ἀλλ' ἄνα] ἐφυλάξατο ἐπαγαγεῖν τῷ "λαοὶ μέν" 'σὺ δὲ καθέζῃ.'
* θέρηται] καυθῇ.

335. οὔτε νεμέ⟨σ⟩σι] διὰ τοῦ ῑ μακροῦ τὸ "νεμέσ⟨σ⟩ι," ὡς Θέτι.

336. ἤμην ἐν θαλάμῳ] δασυντέον τὸ "ἤμην," ἀντὶ τοῦ ἐκαθήμην· Α+Β=
τινὲς δὲ ψιλοῦσιν ἀντὶ τοῦ ὑπῆρχον, κακῶς.

ἄχεϊ προτραπέσθαι] εἴξαι τῇ συμφορᾷ καὶ ἀφησυχάσαι. δέον δὲ Α–Β=
ἔργοις ἀνανεοῦσθαι τὸ πταῖσμα διὰ ἡσυχίας φησὶν ἀνακτᾶσθαι ἑαυτόν.

337. νῦν δέ με παρειποῦσ' ἄλοχος] ὡς ἐρῶν κηδεμόνα τῆς πόλεως
αὐτὴν θέλει δεῖξαι· ἅμα δὲ μειοῖ τὴν παραίνεσιν τοῦ ἀδελφοῦ.

339. νίκη δ' ἐπαμείβεται ἄνδρας] ὡς τὸ "κεῖνον δ' αὖθις ἐγώ" Β=
(Il. 3. 440). τῇ δὲ τύχῃ, οὐ τῷ πολεμίῳ περιάπτει τὸ κατόρθωμα.
§. ὁ δὲ "δέ" ἀντὶ τοῦ γάρ.

342. τὸν δ' οὔτι προσέφη] καλῶς οὐδὲ ἀποκρίσεως αὐτὸν ἠξίωσεν Β=
εἰπόντα "νῦν δέ με παρειποῦσ' ἄλοχος," ἀλλὰ τῇ Ἑλένῃ αὐτὸν
παρορμᾶν παραινεῖ "ἀλλὰ σὺ ὄρνυθι τοῦτον" (363).

343. προσηύδα μειλιχίοισι] προσάγεται αὐτόν· ξυνίησι γὰρ ὡς Β=
διὰ τὴν πρὸς αὐτὴν αἰδῶ τὰς ἐπιπλήξεις παρῆκεν.

344. δᾶερ] τῷ συγγενικῷ ὀνόματι προσάγεται τὸν Ἕκτορα· ἐπεὶ Β=
δὲ δι' αὐτὴν ἀτυχοῦσι Τρῶες, προαναστέλλει τὴν κατηγορίαν καὶ
τὴν εὔνοιαν αὐτῶν ἐπισπᾶται.

4. supplevi ex B ‖ 12. lacunam indicavi ‖ 13. an ἱκανῶς pro ἀδίκως? ‖ 16. τῷ scripsi : τὸ

B= 345. ὅτε με πρῶτον τέκε μήτηρ] ὡς παρ' αὐτὸ ⟨τὸ⟩ τῆς γενέσεως εἱμαρμένων τούτων, ἅπερ αὐτῆς ἐδόκει εἶναι πλημμελήματα.

AB= 348. πάρος τάδε ἔργα γενέσθαι] πιθανῶς παρέδραμε τὴν αἰσχύνην τῶν εἰργασμένων.

A+B– ἀπόερσε] ψιλωτέον τὸ "ἔρσε." πᾶν γὰρ φωνῆεν λῆγον εἰς ρ̄ ἐπιφερομένου τοῦ σ̄ ψιλοῦσθαι θέλει. γίνεται δὲ ἀπὸ τοῦ ἔρρω· "ἔναυλος ἀποέρση" (Il. 21. 283).

B= 349. * τεκμήραντο] εἰς τέλος ἤγαγον, διὰ τὸ τέκμωρ.

B= 350. ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος] διδάσκει ὁ ποιητὴς τὰς ἐπιγαμίας πρὸς συνετοὺς ποιεῖσθαι· ἡ γοῦν Ἑλένη πλούσιον ἄνδρα ἔχουσα τὸν Ἀλέξανδρον καὶ υἱὸν βασιλέως εὔχεται συνετοῦ γεγενῆσθαι γυνή.

B– 351. ἤδη νέμεσίν τε] ἤδει πρὸς τὸ φυλάσσεσθαι μὴ ἐμπίπτειν εἰς αὐτά· "οἶδεν τό γ' αἰσχρὸν κανόνι τοῦ καλοῦ μαθών" (Eur. Hec. 602).

352. οὔτ' ἄρ ⟨νῦν⟩ φρένες—οὔτ' ἄρ' ὀπίσ⟨σ⟩ω] οὐδὲ ἐλπίδα ὑποδείκνυσι σωτηρίας.

B= 354. ἀλλ' ἄγε νῦν εἴσελθε—δᾶερ] τὸ συνεχὲς τοῦ "δᾶερ" ἐκεῖνο ἦν, "δᾶερ ἐμεῖο κυνός," "εἴσελθε καὶ ἕζεο." μέσα δὲ παρενθεῖσα πλείονα ἀπ' ἄλλης ἀρχῆς ἤρξατο, "ἀλλ' ἄγε, νῦν εἴσελθε καὶ ἕζεο." τὸ δὲ "δᾶερ" ἕνεκα φιλοφροσύνης ἐπαναλαμβάνει.

B= ἀλλ' ἄγε νῦν εἴσελθε] μέχρι τῆς αὐλῆς προεληλύθει· φιλοφρονητικὸν δὲ τοῦτο.

A+B= 355. ἐπεί σε μάλιστα] ἔστι μὲν νῦν ἀντιδιασταλτικὴ ἡ "⟨σ⟩έ" ἀντωνυμία, καὶ ἐχρῆν αὐτὴν ὀρθοτονεῖσθαι· ἡ δὲ συνήθεια ἐγκλιτικῶς ἀνέγνω.

B= 356. εἵνεκ' ἐμεῖο κυνός] Ἕκτωρ μὲν οὐ συμπαραλαμβάνει αὐτὴν Ἀλεξάνδρῳ· "σέο ⟨δ' εἵνεκα⟩" γάρ φησιν "αὐτή τε πόλεμός τε" (328). ἡ δὲ τὴν αἰτίαν τοῦ πολέμου καὶ εἰς ἑαυτὴν φέρει, προκαταλαμβάνουσα τὴν αἰτίαν Ἕκτορος. §. τὸ δὲ "ἕζεο" τὸ μὲν παθητικὸν διὰ τοῦ ε̄, τὸ δὲ ἐνεργητικὸν διὰ τοῦ ῑ.

A+B= 357. * ἐπί] Πτολεμαῖος ἀναστρέφει τὴν "ἐπί" πρόθεσιν, Ἡρακλέων δὲ οὔ.

B= * Ζεύς] ἰᾶται τὰ πταίσματα, εἰς τὸν Δία ἀνάγουσα τὴν αἰτίαν.

1. suppl. W ‖ 7. ἀποέρσει ‖ 13. εἰ ante ᾔδει omisi ‖ 16. οὐ γὰρ ‖ 28. σεῖο

358. πελώμεθ' ἀοίδιμοι] λεληθότως αὔξει τὴν ποίησιν. B=

360. φιλέουσά περ] πιθανῶς προσέθηκε τὸ "φιλέουσα," ἵνα μὴ B= ὑπ' ἀπεχθείας δοκῇ μὴ καθέζεσθαι.

362. οἳ μέγ' ἐμεῖο ποθὴν—ἔχουσιν] στρατιωτικὸν τὸ τῆς ἀλαζονείας B= καὶ κατὰ τὸν Ἕκτορα.

363. ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον] οὐκ ἠξίωσεν αὐτῷ διαλέξασθαι τὸ B= πᾶν ἐπιτρέποντι τῇ γυναικί.

364. ὥς κεν ἔμ' ἔντοσθε⟨ν⟩ πόλιος] ὡς τάχιστα διαλεξόμενος τῇ B= γυναικί.

365. ὄφρα ἴδωμαι οἰκῆας] τοὺς ἐν τῷ οἴκῳ· ἀσυμπαθοῦς γὰρ B= ἐλθόντα μὴ ἰδεῖν· προὔκρινε δὲ τῶν ἡδέων τὰ ἀναγκαῖα.

367. οὐ γάρ τ' οἶδ', εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι] τὸ τέλειον οὐ AB= γάρ τε. §. πολεμικὸς ὢν οἶδε τὸ τῶν πολεμικῶν κινδύνων ἄδηλον. B=

370. δόμους εὖ ναιετάοντας] διὰ τὴν τῶν δεσποτῶν πρόνοιαν· ἐπὶ B= δὲ Ἀλεξάνδρου (314) "καλά."

371. οὐδ' εὗρ' Ἀνδρομάχην] ἐκκλίνων τὸ ὁμοειδὲς πιθανῶς ἐποίησε AB= τὴν Ἀνδρομάχην μὴ εὑρισκομένην ἔνδον, ἅμα δὲ καὶ κρίνειν τὸν ἀκροατὴν ⟨ἀξιοῖ⟩, εἴγε Ἑκάβην μὲν εὗρε καὶ Ἑλένην· ἀπῄει δὲ κατηφής, τῶν φιλτάτων οὐ θεαθέντων· ἐν δὲ τῷ τείχει παραδόξως συντυγχάνει αὐτοῖς.

373. πύργῳ ἐφεστήκει] τὴν αἰτίαν τῆς ἐξόδου φησί, παραμυθού- B= μενος ἡμᾶς συναχθομένους τῷ Ἕκτορι. βούλεται δὲ ὥσπερ ἱκετήριον τῷ πατρὶ τῷ Διὶ προτεῖναι τὸν παῖδα διὰ τὸ ῥιψοκίνδυνον.

377. πῇ ἔβη Ἀνδρομάχη λευκώλενος] τοῦ ποιητοῦ τὸ ἐπίθετον, B= οὐ τοῦ προσώπου.

378. ἠέ πῃ ἐς γαλόων] τὰς αἰτίας φησί, δι' ἃς προιέναι τὰς B= σώφρονας δεῖ.

* εἰνατέρες αἱ τῶν ἀδελφῶν γυναῖκες.

383. οὔτε πῃ ἐς γαλόων] ὀργιζομένῳ τῷ Ἕκτορι ἀπολογεῖται B= ὑπὲρ αὐτῆς ἡ θεράπαινα, ὡς οὐ χαιρούσης προόδοις, ἠναγκασμένης δὲ νῦν διὰ φιλανδρίαν, ἵνα οἰκτίσῃ μᾶλλον αὐτὴν ὁ Ἕκτωρ.

389. μαινομένῃ εἰκυῖα] ἵνα ἀπροαιρέτως δοκῇ ἐκβεβα⟨κ⟩χεῦσθαι B= τῇ προόδῳ.

8. πόληος ‖ 13. οἶδεν W: ὁ μὲν ‖ 18. supplevi ex B ‖ 19. θεαθέντων A B, κατειλημμένων coni. W: ἀπολλυμένων ‖ 28. post γυναῖκες add. sec. ὡς Ἑλένη πρὸς Ἀνδρομάχην

B= φέρει δ' ἅμα παῖδα τιθήνη] ἢ ὅτι ὑποτίτθιος ἦν, ἢ ἐπεὶ ἐν τοῖς δεινοῖς οὐκ ἐῶσι μόνους τοὺς παῖδας.

B= 390. ὃ δ' ἀπέσσυτο δώματος Ἕκτωρ] οὐκ ἀποκρίνεται ὑπὸ θυμοῦ. εὖ δὲ τὸ μὴ περιμεῖναι τὴν γυναῖκα· καὶ ἔστιν ἰδεῖν ἀντικείμενα τὰ πρόσωπα, Ἕκτορος μὲν προτιμήσαντος τῶν ἡδέων τὴν βοήθειαν τῶν πολιτῶν, Ἀλεξάνδρου δὲ τῇ Ἑλένῃ παρακαθημένου.

B= 392. * διερχόμενος μέγα ἄστυ] μετὰ τὸ διελθεῖν τὰς λεωφόρους πρὸς τέλει ἐλθών, ἵνα ἀγωνιώτερος ὁ ἀκροατὴς γένηται.

393. τῇ ἄρ' ἔμελλε διεξίμεναι] ἐῴκει ἑαυτῷ καὶ ἐδόκει ἡ γυνὴ προεληλυθέναι.

B– 394. ἔνθ' ἄλοχος πολύδωρος] ἀναβέβηκεν ἐπὶ τὸ τεῖχος ὡς ἐκεῖθεν ὀψομένη τὸν ⟨Ἕκτορα⟩, ὡς δῆλον ἐκ τοῦ "πύργῳ ἐφεστήκει·" οὐδαμοῦ δὲ ὁρωμένου οἴκαδε ἐπανέρχεται, καὶ ἰδοῦσα ἐξιέναι μέλλοντα προστρέχει, ἵνα αὐτὴν μὴ φθάσῃ παραλλάξαι.

B– ἦλθε θέουσα] μὴ προεξελθεῖν φθάσῃ Ἕκτωρ· δείκνυσι δὲ τὸ φίλανδρον τῆς Ἀνδρομάχης.

395. μεγαλήτορος Ἠετίωνος, Ἠετίων] "οἵη περ φύλλων γενεή, φύλλα" (146).

A~ 396. Ἠετίων] ἐνήλλακται ἡ πτῶσις· τινὲς δὲ "Ἠετίων" τὸ τέλειόν φασιν ἀντὶ γενικῆς, ὡς τὸ "ἆσσον ἰόνθ', ὅτε κέν τοι" (Il. 1. 567).

A+B= 397. Θήβῃ Ὑποπλακίῃ] Ἀδράμυς τις Πελασγὸς ἀφικόμενος εἰς τὴν Ἴδην τὴν ἐν Κιλικίᾳ κτίζει πόλιν Ἀδραμύττιον καλουμένην· ἔχων δὲ θυγατέρα Θήβην ἔπαθλον δρόμου αὐτὴν ὥρισε τῷ βουλομένῳ. Ἡρακλῆς δὲ ταύτην λαβὼν ὑπὸ τὸ Πλάκιον τῆς Κιλικίας πόλιν κτίσας Θήβην αὐτὴν ὠνόμασεν.

B– ἄλλως: Ἐριθήλας καὶ Λέβης οἱ Ἀστάκου ἀπαρχὰς εἰς Φοινίκην ἀπὸ Θήβης φέροντες ἐξώσθησαν καὶ οἰκήσαντες ἐκάλεσαν αὐτὴν καθ' ὁμωνυμίαν· ὑπέρκειται δὲ αὐτῆς πλακῶδες ὄρος συνεχεῖς ἔχον πέτρας προσπιπτούσας ἀλλήλαις· ἄλλοι δὲ οὗτοι παρὰ τοὺς Σύρους Κίλικας, ὑπὸ τὴν Ἴδην καὶ Πήδασον ὄντες.

398. τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι] ἐπὶ ἀνδρὸς "θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην" (Il. 11. 740), ὡς ἐγάμει καὶ ἐγαμεῖτο.

AB= 400. * ἀταλάφρονα] μὴ δυνάμενον τλῆναι κακοπάθειαν.

9. διεξιέμεναι ‖ 12. suppl. sec. ut B ‖ 21, 22. Ἀτράμους et Ἀτραμύτειον A D, Ἀνδράμυς et Ἀνδραμυστίαν ‖ 26. schol. praecedenti adhaeret ‖ ἀλλ' ἐριθήλας ‖ 27. ἔκτισαν cf. D ‖ κατ' ‖ 31. θυγατέρα

401. Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ] προπαραδίδωσιν ἡμῖν τὸ χαρίεν τοῦ παιδός, ἵνα προσανέχωμεν αὐτῷ τὸν νοῦν, ὅταν εἴπῃ τὸ "οὖ παιδὸς ὀρέξατο" (466). πρέπον δὲ παιδίῳ τὸ μὴ ἡλίῳ ἢ σελήνῃ ἀλλ' ἀστέρι αὐτὸν εἰκάσαι. B=

402. τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον ⟨—Ἀστυάνακτα⟩] ἄμφω πρέποντα· ὃ μὲν οὐ βουλόμενος ὀνειδίζειν τοῖς ὑποτεταγμένοις ἣν παρεῖχεν αὐτοῖς σωτηρίαν ἀπὸ τοῦ ἐγχωρίου Σκαμάνδρου καλεῖ τὸν υἱόν, οἱ δὲ Τρῶες, ἀνθ' ὧν ἐφύλαττεν αὐτοὺς ὁμολογοῦντες χάριν, Ἀστυάνακτα καλοῦσιν αὐτὸν οἰκείαν θέμενοι τὴν προσηγορίαν· καὶ γὰρ ὁ Ἕκτωρ οὕτως ἐκαλεῖτο διὰ τὸ ἔχειν "ἀλόχους κεδνὰς καὶ νήπια τέκνα" (Il. 24. 730). B=

αὐτὰρ οἱ ἄλλοι Ἀστυάνακτα] προτρέπει ἡμᾶς ἐπ' ἀρετὴν δι' ὧν καὶ παισὶ αἴτιοι εὐκλείας οἱ ἀγαθοί. B=

404. ἤτοι ὃ μὲν μείδησεν] πατρικὸν ἦθος δείκνυσιν ὁ ποιητής· προσαγορεύομεν γὰρ μειδιασμῷ τοὺς παῖδας τοὺς μηδέπω μὲν συνιέντας λόγους, γνωρίζοντας δὲ ἤδη τὴν ὄψιν. B=

ἤτοι ὃ μὲν μείδησεν—ἐς παῖδα σιωπῇ] ἡρωικὸν καὶ μεγαλοφυὲς τὸ μὴ ἀθρόως γελᾶν. χαρίζεσθαι δὲ ταῖς γυναιξὶ δοκοῦσι τοὺς παῖδας φιλοφρονοῦντες· σύνδεσμος γὰρ ἀνδρῶν καὶ γυναικῶν ⟨ἡ⟩ παιδοποιία. B=

405. δακρυχέουσα] ἤδη προεδίδαξε τί μέλλει λεχθῆναι. πιθανὸν δὲ ἀπὸ τῆς ἀπροσδοκήτου χαρᾶς κλαίειν τὴν γυναῖκα. γραφικῶς δὲ ὃ μὲν μειδιᾷ ἀφορῶν εἰς τὸ παιδίον, ἡ δὲ δακρύουσα παρέστηκεν αὐτῷ. B=

406. * φῦ χειρί] τὸ δυσαποσπάστως ἔχεσθαι τοῦ ἀνδρὸς δηλοῖ τὸ "φῦ χειρί." B=

407. φθίσει σε τὸ σὸν μένος] διὰ τὴν φιλοστοργίαν πέπεισται αὐτὸν ὑπερέχειν Ἑλλήνων καὶ οὐ τοσοῦτον τοῖς πολεμίοις εὐχείρωτον εἶναι ὅσον ἑαυτῷ διὰ τὸ ῥιψοκίνδυνον. B=

φθίσει σε τὸ σὸν μένος] θαυμάζει τὴν ἰσχύν, οὐκ ἐπαινεῖ δὲ τὸ θράσος. οὔτε δὲ Ἕκτορ οὔτε ἄνερ φησίν, ἀλλὰ "δαιμόνιε," ᾧ παρεμφαίνει θυμόν τε καὶ εὔνοιαν. B=

οὐδ' ἐλεαίρεις παῖδά τε νηπίαχον] τοιαύτη τίς ἐστιν, οἵα ἂν μήτηρ, ἐκ πολλῶν παίδων ἐφ' ἑνὶ σαλεύουσα.

409. * σεῦ] οὐ τῇ κοινῇ χρηείᾳ ἄχθεται, ἀλλὰ τῇ Ἕκτορος. B=

410. * πάντες ἐφορμηθέντες] ἕνα ἕκαστον ἤττω αὐτοῦ ἡγεῖται. B=

19. supplevi ex B

B= 411. *σεῦ ἀφαμαρτούσῃ] φίλανδρον τὸ ἦθος· ἡ δὲ ἀντωνυμία ἦθος κινεῖ παραληφθεῖσα πυλλάκις.

B= οὐ γὰρ ἔτ' ἄλλη ἔσται θαλπωρή] περιπαθῶς συναπολεῖσθαί φησι τῷ Ἕκτορι πάντα αὐτῆς τὰ καλά, καὶ τὸ κοινότατον ἀνθρώπων ἁπάντων ἀφαιρεθήσεσθαι, τὴν ἐλπίδα.

B= 412. *πότμον ἐπίσπῃς] ὑπὸ τοῦ πότμου καταληφθήσῃ.

B= 413. *οὐδέ μοι ἔστι πατήρ] οἶκτον ἐπάγεται ἀντὶ πάντων αὐτὸν λέγουσα ἔχειν. ἐλεοῦμεν γὰρ μᾶλλον τοὺς ἡμῶν μόνον ἠρτημένους.

A~B= 414. ἤτοι γὰρ πατέρ' ἀμόν] οὐκ ἀγνοοῦντι διηγεῖται, ἀλλ' ἐκ πάντων τῶν οἰκείων αὔξουσα Ἕκτορα· οἱ γὰρ ἀτυχοῦντες φιλοῦσι

A~B– καὶ πρὸς εἰδότας λέγειν τὸ μῆκος τοῦ λόγου. §. τὸ δὲ "ἀμόν" ἐν μὲν τῇ Ἰλιακῇ προσῳδίᾳ φησὶν ὁ Ἡρῳδιανὸς Δωρικώτερον εἶναι ἀπὸ τοῦ ἀμέτερον, ἐν δὲ ἐπιμερισμῷ φησιν· ἀπὸ τοῦ ἐμόν ἐκτέταται τὸ ε̄ εἰς ᾱ μακρόν, ὡς τὸ αἴ κα· "αἴ κα τῆνος ἕλῃ" (Theocr. i. 4).

A+ 415. *ναιετάωσαν] "ναιετόωσαν" διὰ τοῦ ο̄.

B= 417. *οὐδέ μιν ἐξενάριξε] ὡς τίμιον καὶ βασιλικόν. οὐ περιττὰ δὲ ταῦτα· ἀξίωμα γὰρ τοῦ πατρὸς ἐμφαίνει, ὃν ᾐδέσθη καὶ πολέμιος ⟨ὢν⟩ καὶ κτείνας.

A+ 422. ἰῷ κίον ἤματι] τὰς μὲν εὐθείας τούτων βαρέως ἀναγινώσκει ὁ Ἀρίσταρχος, τὰς δὲ δοτικὰς περισπωμένως ἴα ἰῇ, μία μιᾷ, ἴον ἰῷ.

B= 423. *κατέπεφνε—Ἀχιλλεύς] λελῃθότως ὑποβάλλει αὐτῷ κἀκ τούτου φοβεῖσθαι τὸν Ἀχιλλέα.

B= 428. πατρὸς δ' ἐν μεγάροισι] μητροπάτορος· ἐτεθνήκει γὰρ Ἠετίων.

B= 429. Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατήρ] τὸ σχῆμα καλεῖται σχέσις· ἐμφαίνει δὲ εὔνοιαν καὶ πάθος ψυχῆς.

B= 430. θαλερὸς παρακοίτης] ἀγαπητός· "τοιόνδε θάλος" (Od. 6. 157) ἀγάπημα.

B= 431. ἀλλ' ἄγε, νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ] ἡ μὲν Ἑλένη ὡς αἴτιον τοῦ πολέμου ἐκπέμπει τὸν Πάριν, ἡ δὲ ὡς ῥιψοκίνδυνον κατέχει. καλῶς δὲ οὐ μένειν αὐτὸν οἵκοι ἀξιοῖ—οἶδε γάρ, ὅτι οὐ πείσει—ἀλλ' ἐπὶ τοῦ τείχους μένειν, ὅθεν καὶ ἀμυνεῖται τοὺς πολεμίους καὶ σωθήσεται.

A+ 432. μὴ παῖδ' ὀρφανικὸν θήῃς] οὕτω διὰ τοῦ η̄ τὸ "θήῃς."

9. διηγεῖται A: διαλέγεται ut B ‖ 11. ἀμόν ‖ 13. post ἀμ. omisi καὶ ἀμᾶν ‖ 14. κε σ' οἶνος: corr. W ‖ 33. ὅθεν ante καὶ ut B: omisi

433. λαὸν δὲ στῆσον παρ' ἐρινεόν] οὐ πρέποντα τὰ τῆς ὑποθήκης γυναικί· ἀλλ' εἰ καὶ γυναικὶ μὴ πρέπει, τῇ γε Ἀνδρομάχῃ πρέπει, ἐπεὶ καὶ οὐχ' ἱπποκομεῖν γυναικός, ἡ δὲ Ἀνδρομάχη τοῖς Ἕκτορος καὶ πυρὸν παρατίθησι καὶ κεράσασα οἶνον (Il. 8. 185), ὡς φίλανδρος ἐπιμελομένη καὶ τῶν φερόντων αὐτῆς τὸν ἄνδρα· μείνασα δὲ χρόνον ἐπὶ τοῦ τείχους εἶδεν. A~B=

434. * ἄμβατος] οὕτως Ἀρίσταρχος, Καλλίστρατος δὲ "ἀμβάτη." A=

ἄμβατός ἐστι πόλις] πέπλασται πρὸς τὸ ἀποστῆσαι τὸν ἄνδρα τοῦ πεδίου· διὸ οὐδὲ ἀποκρίνεται περὶ αὐτῶν ὁ Ἕκτωρ. B=

435. τρὶς γὰρ τῇδ' ἐλθόντες] διὰ τί, φασί, τοῦτο οὐ συνεῖδεν ὁ Ἕκτωρ; ἀλλὰ συνεῖδεν. φησὶ γὰρ "ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι" (441). B=

436. ἀμφ' Αἴαντε δύω] περιειργάσατο τὰ ὀνόματα παρά τινος. ἅμα δὲ θέλει ὁ ποιητὴς καὶ δηλῶσαί τι τῶν μετὰ τὴν Γλαύκου καὶ Διομήδους μάχην γεγονότων. B=

437. * Ἀτρεΐδας] Ἰξίων δυϊκῶς "Ἀτρεΐδα." A+

438. ἦ πού τι⟨ς⟩ σφιν ἔνισπε θεοπροπιῶν εὖ εἰδώς] ὑποβάλλει, ὡς κατὰ τοῦτο τὸ μέρος εἵμαρτο ἁλῶναι τὴν πόλιν. B=

439. ἦ νυ καὶ αὐτῶν θυμός] διὰ τὸ "ἦ που" (438) καὶ τὸ "νύ" ὀξυντέον τὸν η̄, ὃς δύναται διαζευκτικὸς ἢ παραδιαζευκτικὸς εἶναι. §. γράφε⟨τα⟩ι δὲ καὶ "αὐτούς." A=

441. * τάδε πάντα] ἡ ὀρφανία τοῦ παιδὸς καὶ ἡ χηρεία. B=

442. αἰδέομαι Τρῶας] νόμος ἄρχουσιν αἰδεῖσθαι τοὺς ὑποτεταγμένους· χεῖρον δὲ παρὰ γυναιξὶν ἀκούειν δειλόν. §. "ἑλκεσιπέπλους" δὲ τὰς ἐν τῷ βαδίζειν ἑλκούσας τὸν πέπλον. B=

444. * θυμός] ἐξ ἐπιλογισμοῦ. B=

ἐπεὶ μάθον ἔμμεναι ἐσθλός] διδακταὶ γὰρ αἱ ἀρεταί. ἄμεινον δὲ τὸ "μάθον" ἀντὶ τοῦ εἴωθα. AB=

445. αἰεὶ καὶ πρώτοισι] ὁ Νικάνωρ φησίν, ὅτι δεῖ στίζειν εἰς τὸ "α⟨ἰ⟩εί," ὅπως μὴ τοῦ συνδέσμου ὑπερβατὸν γένηται. §. κοινὸν δὲ τὸ "αἰεί·" μάθον ⟨ἔμμεναι ἐσθλὸς αἰεί⟩, καὶ αἰεὶ μάθον ⟨μάχεσθαι⟩. B=A=

446. * ἀρνύμενος πατρός τε] οὐ μόνον ἑαυτῷ δόξαν ἀλλὰ καὶ τῷ πατρὶ θέλει διασῴζειν. B=

8. ἀμβάτη A: ἀμβατεῖν ‖ 12. μέλλει ‖ 17. Ἀτρεΐδα scripsi: Ἀτρεΐδαι ‖ 25. δειλόν B: δειλῶν

B= 448. *ἐλπίζει τὰ δεινὰ διὰ τὴν παράβασιν καὶ τὴν ἀριστείαν Διομήδους.

A—B= ἔσσεται ἦμαρ] οὐκ ἐκφοβεῖ, ἀλλὰ πρὸς τὸ μέλλον εὐπαράμυθον ποιεῖ, καὶ οὐ τῆς ἁλώσεως ⟨αὐτῆς⟩ μέμνηται, ἀλλὰ τὴν ἑαυτοῦ φιλοστοργίαν ἐμφαίνει πρὸς τὴν γυναῖκα· διὸ οὐδὲ τὸν τῆς ἁλώσεως ὁρίζει ⟨χρόνον⟩· ὧν δὲ δεινῶν ὁ χρόνος οὐχ ὁρίζεται, τούτων ἧττον ἐλύπησεν ἡ προσδοκία, ὥσπερ ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ θανάτου. προειδότες γὰρ ὅτι τεθνηξόμεθα διὰ τὸ μὴ εἰδέναι τὸ πότε ἧττον ἀχθόμεθα.

B= 450. ἀλλ' οὔ μοι Τρώων—οὔτ' αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο] ἐπεὶ ἐκεῖνοι ἑκόντες ἐδυστύχουν, ἐπιτρέποντες Ἀλεξάνδρῳ ἀδικεῖν· ἡ δὲ Ἀνδρομάχη διὰ τὰς ἐκείνων ἁμαρτίας καὶ προηυτυχήκει, τοσούτων οἰκείων στερηθεῖσα ἐν ἡμέρᾳ μιᾷ.

B= ἀλλ' οὔ μοι Τρώων τόσ⟨σ⟩ον μέλει] ὑπερεβάλετο τὴν τῆς γυναικὸς φιλοστοργίαν· ἡ μὲν γὰρ ἀντὶ τῶν οὐκέτι ὄντων οἰκείων ἔθετο αὐτόν, ὁ δὲ καὶ τῶν περιόντων αὐτὴν προτιμᾷ· ἅμα δὲ ἐλεεινὴ καὶ ἡ ἡλικία καὶ ἡ δουλεία. μιμεῖται δὲ καὶ βαρβάρων φιλογύναιον ἦθος, οἳ περὶ πλείστου ποιοῦνται τὰς γυναῖκας.

451. *οὔτ' αὐτῆς Ἑκάβης] ηὔξηται διὰ τῆς ἀντωνυμίας ἡ φιλοστοργία.

B– 454. ὅσσον σεῖ, ὅτε κέν τις Ἀχαιῶν] δεινὸν γὰρ ἡ τῶν γυναικῶν ὕβρις καὶ αὐτῶν αἰσχύνη· "πρίν τινα πὰρ Τρώων ἁλόχων κατακοιμηθῆναι" (Il. 2. 355).

455. *ἦμαρ] ἀντὶ τοῦ ἧματος.

456. πρὸς ἄλλης ἰστὸν ὑφαίνοις] ἀντὶ τοῦ ὑπὲρ ἄλλης, ὡς "πρὸς Τρώων" (Il. 6. 57) καὶ "πρὸς ἄνακτος" (Il. 24. 734), ἵνα μὴ κακοπαθῇ.

B= ἄλλως: πρὸς ἄλλης] ἀντὶ τοῦ ὑπὸ ἄλλης κελευομένη· τοῦτο γὰρ τὴν ὕβριν φέρει, οὐχὶ τὸ ἔργον σύνηθες ὂν ταῖς ἀρχαίαις.

B= 457. καί κεν ὕδωρ φορέοις] τέτακται μὲν ἡ δουλεία εἰς ὑπηρεσίαν ἢ εἰς ἱστουργίαν· ὁ δὲ ἄμφω φησὶν εἰς ἐπίτασιν. θαρρῶν δὲ τῇ σωφροσύνῃ τῆς γυναικός, ὅτι οὐκ ἂν ὑπομείνειεν οὐδὲ ἀκουσίως προδοῦναι ἑαυτῆς τὸ σῶμα, ἑτέρου ἀνδρὸς οὐ μέμνηται.

Ὑπέρεια Θεσσαλίας· Πίνδαρος "ἐγγὺς μὲν Φέρης κράναν Ὑπερῒδα λιπών" (Pyth. 4. 221).

4. καὶ B: ἢ ‖ ποιεῖ ὅπου τῆς ἁλ. μ. ἅμα τε τὴν coni. W ‖ 6. supplevi ex AB ‖ 8. ἧττονα ‖ 14. μέλλει ‖ ὑπερεβάλλετο ‖ 17. βαρβάρων B: βαρβάρου ‖ 33. κράναν Pindari codd.: κραναῆς ‖ 34. Ὑπερηίδα

460. Ἕκτορος ἥδε γυνή] παρέδραμε τὰ ἑαυτοῦ· ἔστι δὲ ἐν τῇ B=
λέξει πάντα ὑπονοεῖν.

Ἕκτορος ἥδε γυνή] ἐπιγραμματικὸν ἔχει τύπον. B=

462. σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος] βεβαιοῖ αὐτῆς τοὺς λόγους.
§. "χήτει" δὲ ἀπορίᾳ, σπάνει.

464. ἀλλά με τεθνειῶτα χυτὴ κατὰ γαῖα καλύπτοι] ὑπερβάλλει B=
τῇ φιλοστοργίᾳ τὴν γυναῖκα. ἡ μὲν γὰρ στερηθεῖσα τοῦ Ἕκτορος
θανεῖν εὔχεται λέγουσα "ἐμοὶ δέ κε κέρδιον εἴη—χθόνα δύμεναι"
(410), ὃ δὲ αἱρεῖται θανεῖν, ἵνα μηδὲ κλαίουσαν ἴδῃ.

466. οὗ παιδὸς ὀρέξατο] πρῶτος παῖδας εἰσάγει τῇ τραγῳδίᾳ. B=

467. ἂψ δ' ὁ πάις πρὸς κόλπον] δυσαποσπάστως μὲν ἔχουσι τῶν B=
τροφῶν· τοῦτον δὲ καὶ ἡ ὄψις φοβεῖ· ταῦτα δὲ τὰ ἔπη οὕτως ἐστὶν
ἐναργείας μεστά, ὥστε οὐ μόνον ἀκούεται τὰ πράγματα ἀλλὰ καὶ
ὁρᾶται· λαβὼν δὲ τοῦτο ἐκ τοῦ βίου ὁ ποιητὴς ἄκρως περιεγένετο τῇ
μιμήσει.

468. πατρὸς—ὄψιν ἀτυχθείς] ταραχθείς. ἠθικὸν δέ, ὅτι οὐκ ἄλλον B=
ἀλλὰ τὸν πατέρα φοβηθείς.

469. ταρβήσας χαλκόν τε] τὰ γὰρ ἀνόμοια φόβον κινεῖ.

χαλκόν τ' ἠδὲ λόφον] διασταλτέον εἰς τὸ τέλος· ἔστι γάρ, ἀτυ- AB=
χθεὶς ὄψιν καὶ ταρβήσας χαλκὸν καὶ λόφον δεινὸν νεύοντα νοήσας.

471. ἐκ δ' ἐγέλασ⟨σ⟩ε] ἀπὸ τῆς πολλῆς λύπης ἐκ μικρᾶς αἰτίας B=
γέλωτα κινεῖ.

472. αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο] μιμητικῶς· εὐάλωτος γὰρ B=
καὶ ὁ τραχὺς τέκνου φιλοστοργίᾳ.

474. ἐπεὶ κύσε πῆλέ τε χερσίν] τοῦτο γὰρ ποιοῦμεν πρὸς διά- B=
χυσιν αὐτῶν. ἄκρως δὲ περιεγένετο τῇ μιμήσει, οὐδέν τι λυπήσας
τὴν ἡρωικὴν σεμνότητα· ταῖς δὲ χερσὶ τὴν ἐπιθυμίαν πληροῖ, ἐπειδὴ
⟨οὐ⟩ δύναται περιπλέξασθαι αὐτόν. §. τὸ δὲ "πῆλε" ἀντὶ τοῦ ἐκίνησεν.

475. εἶπεν ἐπευξάμενος] "εἶπε δ' ἐπευξάμενος·" Ἀρίσταρχος γὰρ A=
σὺν τῷ "δέ" γράφει.

476. δότε δὴ καὶ τόνδε γενέσθαι] φιλότιμος ἡ εὐχή. διαχυθεὶς B=
δὲ ἐπιλέλησται τῶν πρώην· ἢ ὅτι δυνατὸν θεοῖς καὶ παρ' ἐλπίδα τι
ποιῆσαι. οὐ πλούσιον δὲ ὡς νῦν εὔχεται τὸν υἱὸν ἀλλ' ἀγαθὸν βίην,
θαρσύνων τὴν μητέρα, ἵν' ἔχῃ ἐπίκουρον.

5. σπάνῃ ‖ 7. στερρηθεῖσα ‖ 8. εἴη scripsi : εἰς ‖ 13. ὥστε οὐ W : ὅτι οὐ B, οὔτε ‖ 27, 28. ἐπεὶ μὴ ut B ‖ 28. ἐκίνησεν scripsi : ἐκλήρωσε ‖ 33. εὔχεται B : εὔχονται

A+ 478. * ἀγαθόν τε] οὕτως "ἀγαθόν τε."

B= 479. πατρὸς δ' ὅ γε πολλὸν ἀμείνω] φυσικῶς ἐκ τοῦ βίου τοῦτο ἔλαβεν· ἐν ἅπασι γὰρ τῶν ἄλλων ἀμείνονες εἶναι θέλοντες μόνοις
A= ἡττᾶσθαι παισὶν εὐχόμεθα. §. Ἀρίσταρχος δὲ "πατρός γ' ὅδε" γράφει.

A− 480. ἀνιόντα] ἀνιόντος, ὡς τὸ "γυναῖκά τε θήσατο μαζόν" (Il. 24. 58).

A= ἄλλως: στικτέον εἰς τὸ "ἀνιόντα," καὶ ⟨οὐ⟩ λείπει τὸ ἰδών· ἤδη γὰρ σύνηθές ἐστι τοῖς Ἀττικοῖς· "χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον" (Rhes. 390)· καὶ ἀλλαχοῦ ὁ ποιητὴς "ἦχθετο γάρ ῥα Τρωσὶν δαμναμένους" (Il. 13. 352).

B= ἄλλως: ἐκ πολέμου ἀνιόντα] οὐκ ἀεὶ εὔχεται πολεμεῖσθαι τὴν πόλιν, ἀλλ' ἐν ταῖς χρείαις ἄριστον ⟨αὐτὸν⟩ εἶναι.

482. * ἀλόχοιο φίλης] ἵνα καὶ αὐτὴ διαχυθῇ.

483. * κόλπῳ] ἐν ᾧ τὰ βρέφη κομίζεται.

AB− 484. δακρυόεν γελάσασα] δυνατῶς ῥηθὲν ἀνερμήνευτόν ἐστιν· οὐ γὰρ ἁπλοῦν τὸ πάθος ἀλλὰ σύνθετον ἐξ ἐναντίων παθῶν, ἡδονῆς καὶ λύπης· εἰς γέλωτα μὲν γὰρ αὐτὴν προήγαγε τὸ βρέφος, εἰς δάκρυον δὲ ἡ περὶ τοῦ Ἕκτορος ἀγωνία. οὐκ ἐνόησεν οὖν Καλλίμαχος τὸν στίχον εἰπὼν "ἐπεὶ θεὸς οὐδὲ γελάσσαι ἀκλαυτί" (fr. 418. Schn.)· ᾠήθη γὰρ ὑπὸ τῆς διαχύσεως τοῦ γέλωτος τὰ δάκρυα γενέσθαι.

B= 487. * ὑποθεὶς αὐτὸν τῇ εἱμαρμένῃ ἴσον ἐποίησε τό τε κινδυνεύειν καὶ τὸ ἀσφαλῶς ζῆν.

489. ἐπὴν τὰ πρῶτα γένηται] τινὲς "πρωτά" ὡς γνωστά, ἵν' ᾖ
AB= τὰ πεπρωμένα, οὐχ' ὑγιῶς. §. φαίνεται δὲ καὶ τὴν μαθηματικὴν πρῶτος εἰδὼς Ὅμηρος, ἐν οἷς τὴν ἐπὶ γενέσεως ὥραν περιέχειν τὰ ἀποτελέσματα λέγει.

B= 491. ἱστόν τ' ἠλακάτην τε] διὰ βραχέων βίον καὶ οἰκονομίαν ὑπογράφει σώφρονος γυναικός. οἰκονομικῶς δὲ ἐποίησε τὸν Ἕκτορα ἐπιτρέποντα αὐτῇ οἰκουρεῖν, ἵνα μὴ κατὰ τὴν πρὸς τὸν Ἀχιλλέα μάχην ὀφθεῖσα ἐπὶ τοῦ τείχους πείσῃ αὐτὸν μὴ πολεμεῖν Ἀχιλλεῖ.

B= 492. πόλεμος δ' ἄνδρε⟨σ⟩σι μελήσει] "ἄνδρε⟨σ⟩σι" διὰ τὰς παραινέσεις αὐτῆς. ἔστι δὲ ἤθη σκοπεῖν διάφορα Ἀλεξάνδρου καὶ Ἕκτορος· ὁ μὲν γάρ φησι "πόλεμος δ' ἄνδρεσσι μελήσει," ὁ δὲ Ἀλέξανδρος "νῦν δέ με παρειποῦσ' ἄλοχος" (337).

8. supplevi ex A ‖ 9. δ' ἐς εὐτ. καὶ προσσημαίνων ‖ 11. δυναμένους ‖ 18. προήγαγε B: προσήγαγε ‖ 20. γέλασεν ‖ 22. αὐτὸν ‖ 26. εἰδὼς A B: εἰδέναι

495. οἰκόνδε βεβήκει ἐντροπαλιζομένη] ἀπῆγε μὲν ἡ ἐπίπληξις, B=
ἐπέστρεφε δὲ ἡ εὔνοια· ποία γὰρ ἂν ἦν, τοιοῦτον ἄνδρα τοιούτῳ κινδύνῳ
προπέμπουσα; §. τὸ δὲ "ἐντροπαλιζομένη" ἀντὶ τοῦ μεταστρεφο-
μένη.

499. γόον πάσηισιν ἐνῶρσεν] ἢ διηγησαμένη, ἢ ἀπὸ τῶν ἰδίων B=
δακρύων. ηὔξησε δὲ τὸ συμπαθὲς διὰ τοῦ παρανόμου· θρηνοῦσι γὰρ
ζῶντα. ἅμα δὲ καὶ ἐνδείκνυται, ὡς δεῖ οὕτω δεσπόζειν, ἵνα καὶ
εὐνοῶνται.

500. γόον Ἕκτορα] γόαον, καὶ κατὰ συγκοπήν· ἢ ἀπὸ βαρυτόνου. A–

503. οὐδὲ Πάρις δήθυνεν] δῆλον οὖν, ὡς διὰ τοῦτον ἐνδιέτριβεν B=
ὁμιλῶν τῇ γυναικὶ ὁ Ἕκτωρ καὶ οὐ ταχέως διῆλθεν, ἵνα μετ' αὐτοῦ
προελθὼν παραθαρσύνῃ τοὺς Τρῶας ἰδόντας αὐτὸν παραδόξως σεσωσμέ-
νον, ὡς τῶν θεῶν εὐνοϊκῶς ἐχόντων πρὸς αὐτούς.

505. σεύατ' ἔπειτ' ἀνὰ ἄστυ] ἑαυτῷ πρόεισιν ἀρέσκων, τὴν ἧτταν B=
οὐδ' ὅλως ἐνθυμούμενος.

506. ὡς δ' ὅτε τις στατὸς ἵππος] ὁ τῆς ἀγέλης ἀποσπασθεὶς B=
καὶ ἐπὶ φάτνης ἑστώς· οὕτω γὰρ ποθεῖ τὴν συνήθη δίαιταν.

ἀκοστήσας ἐπὶ φάτνῃ—εἰωθὼς λούεσθαι] οὐ πονεῖν ἐθελήσας ἀλλὰ A+ B–
[ἀπο]βολὴν τῆς στάσεως εὑρών. "ἀκοστήσας" δὲ ἡσυχάσας παρὰ
τὴν ἀκήν. οἱ δὲ παρὰ Θεσσαλοῖς ἀκοστὰς τὰς κριθάς, ὡς καὶ
Νίκανδρος (Alexiph. 106)· οἱ δὲ "ἀγοστή[σας]" ⟨ὁ ῥυπανθείς⟩·
ἀγοστὸς γὰρ ὁ ῥύπος. §. εὐρρεῖος δὲ ἀπὸ τοῦ εὐρρεής.

507. * δεσμόν] δεσμὸς Ἀλεξάνδρου ἡ Ἑλένη. B=

κροαίνων] κυμβαλίζων· καὶ ἐρίγδουποι καὶ ὑψηχέες ἵπποι· Στησί- A ~ B–
χορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν (fr. 49. B.).

508. *εἰωθὼς λούεσθαι] φιλόλουτρον γὰρ τὸ ζῷον· ἐν ποταμῷ δέ, B+
ἐπεὶ τοῖς θολεροῖς ἥδεται ὁ ἵππος· τὰ δὲ στάδια διαυγῆ.

509. ἀμφὶ δὲ χαῖται] δοκεῖ ἡ κόμη μεγαλοπρεπείας αἰτία εἶναι A– B=
τοῖς ἵπποις. καὶ Πάρις δὲ εὔκομος.

510. ὃ δ' ἀγλαΐηφι πεποιθώς] πρεπόντως ἐπὶ τοῦ καλλωπιστοῦ· B+
ὡσαύτως καὶ τὸ "ἀμφὶ δὲ χαῖται ὤμοις αἴσσονται."

ὃ δ' ἀγλαΐηφι] ἀντὶ τοῦ τοῦτον, καὶ τὸ "ἔ" ἀντὶ τοῦ αὐτόν, φημὶ τὸ AB=
"ῥίμφα ἑ". §. Ποσειδώνιος δὲ ψιλῶς τὸ "ἔ" προφέρεται καί φησιν A+
αὐτὸ πλεονάζειν ὡς ἐν τῷ "ἠὲ σύ" (Π. 5. 228).

1. ἀπῆγε B: ἀπήγαγε ‖ 2. ἂν ἦν B: εἴη ‖ 19. fere erasa ‖ εὑρεῖν ‖ 21. supplevi ex A ‖ 25. πρυτάνην ‖ 27. θολεροῖς B: καθαροῖς ‖ 33. ἑ A: ἰ ‖ 34. ἠὲ σὺ A: ἴης

A + B = 513. ὣς τ' ἠλέκτωρ] διαστολὴ εἰς τὸ "ἠλέκτωρ." δύο δὲ παραβολὰς ἔμιξεν.

B = 514. καγχαλόων] ὡς ἠγαπημένος τῇ Ἀφροδίτῃ γαυριᾷ ἐν μέσαις ταῖς Τρῳάσιν. ὁ δὲ Ἀχιλλεὺς Κυνὶ εἴκασται (Il. 22. 26), ἅμα τῷ λαμπρῷ καὶ τὸ φθοροποιὸν ἔχων.

B = 515. εὖτ' ἄρ' ἔμελλε στρέψασθαι] οἰκονομικῶς· τί γὰρ ἂν ἔδρασεν ὁ γυναικώδης ἀκούσας Ἕκτορος "ἀλλ' οὔ μοι Τρώων τόσ⟨σ⟩ον μέλει"; καταλιπὼν γὰρ ἂν τὴν μάχην πάλιν οἶκοι ἐκαθέζετο παρὰ τῇ Ἑλένῃ.

516. * ὀάριζε] διελέγετο.

A + B = 518. ἠθεῖε] παρὰ τὸ θεῖος τὸ σημαντικὸν τοῦ θαυμασίου κατὰ πλεονασμὸν τοῦ η̄ "ἠθεῖε·" διὸ καὶ προπερισπαστέον. ταῦτα δέ τινες προσαγορευτικά· οὐδέποτε δὲ περί τινος αὐτά φησιν, ἀλλὰ πρός τινα· τέττα φίλου, ἄττα τροφέως, πάππα πατρός, ἠθεῖε ἀδελφοῦ.

A B = * ἦ μάλα] τὸ "ἦ" ἐνταῦθα πευστικὸν καὶ ἠθικόν.

519. * ἐναίσιμον] ἀσυντάκτως.

B = 521. δαιμόνι', οὐκ ἄν τις τοι ἀνήρ] ὁμοίως τοῖς πρό⟨σθεν⟩ ἀμελείας αὐτὸν [κ]ρίνει, οὐ βουλόμενος αὐτοῦ θραύειν τὴν ὁρμήν.

B = 523. τὸ δ' ἐμὸν κῆρ ἄχνυται ἐν θυμῷ] φιλαδέλφως ἀπολογεῖται ὑπὲρ τῶν ὕβρεων. "θυμῷ" δὲ τῷ λογισμῷ· καὶ "ἕτερος δέ με θυμὸς [ἔ]ρ[υκεν]" (Od. 9. 302). λυποῦμαι δέ φησι λογιζόμενος.

B = 524. * ὑπὲρ σέθεν] κατά σου.

B = * αἴσχε' ἀκούω] διὰ τὸν Σαρπηδόνος λόγον.

525. * Τρώων] ἀπολογεῖται ὑπὲρ αὐτῶν.

B = 526. τὰ δ' ὄπισθεν ἀρεσσόμεθα] ἁρμοσόμεθα ἢ πρὸς Τρῶας ἢ πρὸς ἀλλήλους. τοῦτο δὲ παρ' Ὁμήρου φασὶν οἱ μετὰ τὸ ἀδικῆσαι εἰς εὐμένειαν προτρεπόμενοι τὸν ἀδικηθέντα.

B = 528. κρητῆρα—ἐλεύθερον] τὸν ἐπὶ ἐλευθερίᾳ ἱστάμενον.

B = 529. ἐκ Τροίης ἐλάσαντας] μεγαλοφυῶς, ἵνα μὴ εἴπῃ φόβων ἀπηλλαγμένους.

ΕΙΣ ΤΗΝ Η.

B = 1. πυλέων ἐξέσσυτο] διὰ τῶν πυλῶν ἐξώρμησεν. δηλοῖ δὲ τὸ πρόθυμον Ἕκτορος, ὃ ἐνεδείκνυτο πρὸς προτροπὴν Ἀλεξάνδρου· διὸ καὶ ὁ ποιητὴς ἐπάγει κἀκείνου τὴν προθυμίαν.

8. μέλλει ‖ 15. πευστικὸν AB : πνευστικὸν ‖ 17. δαιμόνιε ‖ 26. Ὁμήρῳ ut B : corr. W ‖ 28. ἱστώμενον ‖ 31. addidi : Ἰλιάδος Η ὁμήρου ῥαψῳδίας textui inscriptum

2. * τῷ δ' ἅμ' Ἀλέξανδρος] διδάσκει ὅσον ἐστὶ προτροπὴ κατὰ καιρὸν γινομένη. B=

4. ὡς δὲ θεὸς ναύτῃσι] καὶ ἀλλαχοῦ ἐπὶ λήξει τῶν δεινῶν "ἀσπάσιος γῇ νηχομένοισι φανήῃ" (Od. 23. 233) φησίν. ἐνταῦθα δὲ μεσοῦντος τοῦ δεινοῦ τὸν οὖρον ἔλαβεν. ἐπανείληφε δὲ τὸ αὐτὸ πρὸς ἔμφασιν τῆς προθυμίας. B=

5. ἐπήν κε κάμωσι] οὕτως· τινὲς δὲ "κεκάμωσιν" ὡς λελάχωσιν· ἀλλ' ἐν τοῖς τοιούτοις μᾶλλον οἱ σύνδεσμοι ἐπικρατοῦσιν ἤπερ οἱ διπλασιασμοί· φιλεῖ γὰρ μετὰ τὸν ἐπεί καὶ τὸν εἰ ὁ κέ σύνδεσμος ἐπιφέρεσθαι. τινὲς "ἐπεί κε·" ὁ δὲ Σιδώνιος "ἐπήν κε," ὡς "οὔτ' ἄν κεν Ἄρης" (Π. 13. 127). A—

6. * ἐλαύνοντες] τινὲς "ἐρέσσοντες" γράφουσιν. A+

7. * τώ] Ἀρίσταρχος "τώ," Ἀμμώνιος δὲ "τοί." A+

8. ἔνθ' ἑλέτην] εἰς τὸ "ἑλέτην" βραχεῖα διαστολή. §. πρῶτος δὲ ἀριστεύει Ἀλέξανδρος ὡς προπετής· "Τρωσὶν μὲν προμάχιζεν" (Π. 3. 16)· ἢ ὡς ἐξ ἀναπαύσεως ὢν καὶ ὑπὸ τῶν Ἕκτορος λόγων ἠρεθισμένος. A+ B=

9. Ἄρηι ναιετάοντα] δοκεῖ μάχεσθαι ἑαυτῷ ὁ ποιητὴς ἀεὶ πρεσβύτατον λέγων Νέστορα τῶν ἐπὶ Ἴλιον στρατευσάντων "μετὰ δὲ τριτάτοισιν ἄνασσεν" (Π. 1. 252), ἐνταῦθα δὲ Μενέσθιον· δυσὶ γὰρ γενεαῖς παράγεται πρεσβύτερος ὢν τοῦ Νέστορος. Ἀρηιθόου γὰρ λέγει τοῦ ἐπικαλουμένου κορυνήτου παῖδα εἶναι Μενέσθιον· ὑπὸ δὲ Λυκούργου φησὶν ἀνῃρῆσθαι τὸν Ἀρηίθοον, ὃν δὴ καὶ τὰ ὅπλα αὐτοῦ λαβεῖν· γηράσαντα δὲ τοῦτον Ἐρευθαλίωνι παραδοῦναι, τὸν δὲ Ἐρευθαλίωνα ὑπὸ Νέστορος ἀναιρεθῆναι νέου ὄντος. φησὶ γὰρ "γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων" (153). ῥητέον δέ, ὅτι ἴσως ἀπέθανεν Ἀρηίθοος ἐνιαυσιαῖον ἐάσας τὸν υἱόν, ἀνεῖλε δὲ τὸν Ἀρηίθοον ὁ Λυκοῦργος ἤδη γηραιὸς ὤν· φησὶ γοῦν "πέφνε δόλῳ, οὔτι κράτεΐ γε" (142). ὀλίγον δὲ ἐπιβιοὺς δύναται Ἐρευθαλίωνι παραχωρεῖν τὴν πανοπλίαν. προκαλούμενος δὲ οὗτος τοὺς Πυλίους οὐκ ἀπεικότως ὑπὸ Νέστορος νέου ὄντος ἀναιρεῖται, ὥστε Νέστορα μὲν εἶναι Μενεσθίου πρεσβύτερον, τῶν δὲ ἄλλων τῶν ἐπὶ Ἴλιον στρατευσάντων μείζονα ⟨Μενέσθιον⟩. B=

ἄλλως: Μενέσθιος Ἀρηιθόου ἦν παῖς τοῦ Ἀρηιθόου, ⟨τοῦ⟩ καὶ κορυνήτου, ὁμωνυμούντων τοῦ πατρὸς καὶ τοῦ πάππου, ἵν' ᾖ "ὃν

4. φανείη ‖ 28. ἔπεφνε ‖ 33. supplevi ex B

κορυνήτης γείνατ' Ἀρηίθοος·" τίνα γείνατο; δηλονότι Ἀρηίθοον τὸν πατέρα Μενεσθίου.

AB– ἄλλως: πλανῶνται τῇ ὁμωνυμίᾳ· ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηίθοος Βοιωτὸς ἦν, κατοικῶν Ἄρνην—ἔστι δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν (fr. 51 M.)—ὁ δὲ ὑπὸ Λυκούργου ἀναιρεθεὶς Ἀρκάς· τινὲς δὲ Ἄρνην Ἀρήνην τὴν Ἀρκαδικὴν ὡς τὴν Μέσ⟨σ⟩ην Μεσ⟨σ⟩ήνην φασίν (Il. 2. 582).

ὃν κορυνήτης] ἐπεὶ κορύνῃ ὅπλῳ ἐχρῆτο. τὸ δὲ κύριον ὄνομα Ἀρηίθοος.

10. * βοῶπις] ὅτι καὶ νῦν ἐπὶ θνητῆς.

B+ 11. * ὀξυόεντι] ⟨ἀπὸ⟩ παραγωγῆς, ὡς ⟨φαίδιμος φαιδιμόεις⟩· "φαιδιμόεντες Ἐπειοί" (Il. 13. 686).

A+B= 12. * στεφάνη εἶδος περικεφαλαίας ἐξοχὴν ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς τῶν ὀρῶν ἐξοχῆς.

B= 13. Γλαῦκος δ' Ἱπολόχοιο] καλῶς τρίτος ἀριστεύει μὴ σβέσας τὴν εἰς Διομήδην ὁρμήν. ὁρμήσας γὰρ ἐπὶ ἀνδραγαθίαν τῷ ἀναγνωρισμῷ τῶν προγόνων ἐκεκώλυτο.

A+B= 15. * Δεξιάδην, ἵππων ἐπιάλμενον] τινὲς "δεξιάδην ἐπιάλμενον," ἀπὸ τῶν δεξιῶν μερῶν ἁλλόμενον.

B= 17. τοὺς δ' ὡς οὖν ἐνόησε θεά] ἀγωνιστικὸν τὸν πόλεμον τῇ ὁρμῇ τῶν θεῶν ποιεῖ καὶ διαναπαύει τὸ ὁμοειδές. ὡς φιλέλλην δὲ καὶ τοὺς τρεῖς τοὺς ἀπολωλότας πολλοὺς εἶναι δοκεῖ.

* τοὺς δ' ὡς οὖν ἐνόησε] τὴν ὁρμὴν ἑωρακυῖα.

B– 21. Περγάμου ἐκκατιδών] διὰ τὸ "αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ" (Il. 5. 460). παρατηρεῖ γάρ, μή τις θεῶν ἐπίθηται Τρωσίν. Πέργαμα δέ φασιν οἱ νεώτεροι.

A=B– 22. συναντέ⟨σ⟩θην παρὰ φηγῷ] ἀξιοπίστως ἔθηκε καὶ τὸν τόπον. ἔστι δὲ τὸ δένδρον τοῦτο καὶ ἰσχυρὸν καὶ πολυχρόνιον. φηγὸς δὲ παρὰ τὸ φαγῶ, ὅ ἐστι τὸ [τρώγω]· τὰ γὰρ ἔσω τῶν βαλάνων ἐσθίοντες τὰ ἔξω ἔκαιον πρὸς θέρμην· ὅθεν καὶ βαλανεῖα. καὶ οἱ ἑταῖροι Ὀδυσσέως ἐγκαθειρχθέντες εἰς συφεὸν αὐτῇ ἐκέχρηντο ⟨τῇ τροφῇ⟩ (Od. 10. 242).

B= 24. τίπτε ⟨σὺ⟩ δ' αὖ μεμαυῖα] τί πάλιν ἐθέλουσα ποιεῖν, ἐπειδὴ ἡ πρώτη αὐτῆς ὁρμὴ μέγιστα τοῖς Ἀχαιοῖς συνεβάλετο.

4. αὐτῆς Βοιωτία ‖ 6. τὴν post Ἄρνην del. W ‖ 11. supplevi ex B ‖ 13. στεφάνης ‖ 19. ἀλλομένων ‖ 24. Περγάμῳ B: Περγάμου ‖ 29. φαγῶ A: φωγῶ ‖ τρώγω B: καίω novavit rec. ‖ 31. ἐγκ. scripsi: ἐπιλειφθέντες *A*, ἐπιληφθέντες ‖ εἰς συφεὸν scripsi: ἐκ τοῦ πλεῖν ut A ‖ supplevi ex A

26. ἢ ἵνα ⟨δὴ⟩ Δαναοῖσι—δῷς] οὐ γὰρ λεκτέον 'ἵνα δώσεις' ἐπὶ πρώτου ἀορίστου καὶ μέλλοντος. §. "ἑτεραλκέα" δὲ ἐπίθετον τῆς νίκης· καὶ γὰρ ἑτεραλκὴς λέγεται νίκη, ὅταν οἱ νικηθέντες πρώην πάλιν νικήσωσιν. A B=

28. ἀλλ' εἴ μοι τι πίθοιο] ὑποστικτέον εἰς τὸ "πίθοιο" καὶ εἰς τὸ "πολυκέρδιον εἴη." τινὲς δὲ τῷ στίχῳ ⟨τελείαν⟩ νέμουσιν. A – B=

29. νῦν μὲν παύσωμεν] ὁ μὲν ἀκροατὴς δεινὰ ἐλπίζει ἐπὶ τῇ παρόδῳ τῶν θεῶν, οἷα καὶ πρώην γέγονεν, ὁ δὲ ἀνακόπτει τὸ προσδοκώμενον, θέαμα δὲ ἀντεισάγει τὴν ἀλαζονείαν Ἕκτορος, τὴν αἰδῶ Ἑλλήνων, τὴν σπουδὴν Μενελάου καὶ Ἀγαμέμνονος, τὴν Νέστορος δημηγορίαν. B=

32. ὑμῖν ἀθανάτῃσι] ἐμφαντικῶς, Ἥρᾳ καὶ Ἀθηνᾷ. Ζηνόδοτος "ἀθανάτοισι," Ἀριστοφάνης "ἀμφοτέρῃσι." A+

34. τὰ γὰρ φρονέουσα καὶ αὐτή] ἦκε γὰρ πρὸς τὸ μηδὲν βλαβῆναι τὸ Ἑλληνικόν· ἡ οὖν ἡσυχία οὐδὲν ἔβλαπτεν. B=

36. ἀλλ' ἄγε, πῶς] οὐκ ἔδει γὰρ ἀλόγως ἐν τοιαύτῃ ἀκμῇ γίνεσθαι τὴν παῦσιν. B=

38. Ἕκτορος ὄρσωμεν] ἵνα ὀλίγην ἀνακωχὴν δῷ Τρωσίν· εἶπε γὰρ "ὡς δὲ θεὸς ναύτῃσιν" (4). καὶ Ἀθηνᾶ δὲ συναινεῖ, πρὸς τὸ κεχαρισμένον ταῖς Τρῳάδων εὐχαῖς ποιοῦσα. B=

39. οἰόθεν] "οἰόθεν" ἐστὶ μὲν 'ἐξ οἴου,' ὡς οὐρανόθεν· ἰδίως δὲ ὁ ποιητὴς αὐτῷ χρῆται ἀντὶ τοῦ οἴως. B=

40. ἐν αἰνῇ δηιοτῆτι] ἄμεινον τελείαν δοῦναι εἰς τὸ "δηιοτῆτι," καὶ τὸν ἑξῆς δέ ἀντὶ τοῦ γάρ ⟨λέγειν⟩. §. δηιοτὴς δὲ παρὰ τὸ δῃοῦν, ὅθεν καὶ "δηίου ⟨ἐκ πολέμοιο⟩" (119)· πόλεμος δὲ παρὰ τὸ πελεμίζειν. B=

41. * ἀγασσάμενοι] φθονήσαντες ἢ θαυμάσαντες.

44. τῶν δ' Ἕλενος—σύνθετο βουλήν] διὰ τί γὰρ οὐχ ὁ Ἀπόλλων ὑπέθετο Ἕκτορι προκαλέσασθαι; ὅτι ἡττηθεὶς ἔμελλεν ἀπιέναι. §. φασὶ δὲ Ἕλενον καὶ Κασάνδραν διδύμους εἶναι, λαθόντας δὲ τοὺς γονεῖς ποτε νυκτὸς καταβραθεῖν τὸν μὲν εἰς τὸν τοῦ Ἀπόλλωνος τοῦ Θυμβραίου ναόν, τὴν δὲ εἰς τὸν τῆς Ἀρτέμιδος, ἔωθεν δὲ εὑρεθῆναι κεκαθαρισμένους τὰς ἀκοάς. B=

47. Ἕκτορ, υἱὲ Πριάμοιο] τινὲς οὕτω ποδίζουσιν, "Ἕκτορ Πριάμου υἱέ." A+ B=

1. ? ‖. 2. ἑτεραλγέα ‖ 6. supplevi ex B ‖ 20. praecedit οἰόθεν] ἀντὶ τοῦ οἴως· ἢ ‖ 23. supplevi ex B ‖ 24. δηίωι: corr. et suppl. W ‖ πελεμίζειν scripsi, cf. Eust. p. 505, 35, πόλεις μειῶσαι coni. W ex Et. M.: πολεμίζεσθαι ut B ‖ 31. κεκαθαρισμένους scripsi: καθαρισθέντας B, ἐκκαθαριζομένους ‖ 32, 33. Πριάμου υἱέ W: υἱὲ Πριάμοιο

B= Διὶ μῆτιν ἀτάλαντε] διδάσκει ὅτι δεῖ τὸν ἄρχοντα μὴ μόνον μιᾶς πόλεως, ἅπαντος δὲ κόσμου προνοεῖν δύνασθαι.

B= 48. κασίγνητος δέ τοι εἰμί] βραχεῖ προοιμίῳ τῆς φύσεως ὑπομιμνήσκων προτρέπεται.

B= 52. οὐ γάρ πω τοι μοῖρα θανεῖν] πάντοθεν θαρσύνει αὐτόν· ἐπ' οὐδεμιᾷ γὰρ χρείᾳ ὡς Ἀλέξανδρος μέγιστον αἱρεῖται ⟨τὸν⟩ κίνδυνον. ἄλλως τε προεμφαίνει τὴν ἀρετὴν Αἴαντος, ὡς, εἰ μὴ τὸ μοιρίδιον ἐπεῖχε, κἂν ἀπώλετο ὑπὸ Αἴαντος.

AB= *ἐπισπεῖν] ὡς πλεῖν, οὕτω καὶ ἐπισπεῖν· πᾶν δὲ ἀπαρέμφατον ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον.

B= 53. ὣς γὰρ ἐγὼν ὅπ' ἄκουσα] καὶ μὴν οὔτε τούτῳ εἰρήκασιν, οὔτε εἶπον παραστάντες αὐτῷ· ἢ οὖν "ὅπα" λέγει τὴν μαντικήν· καὶ γὰρ ὁ τυχὼν ἀκούσας δύναται λέγειν, ἵνα ᾖ τὸ "ἄκουσα" ἠσθόμην, ὡς τὸ "μάλιστα δέ τ' ἔκλυον αὐτοί" (Od. 6. 185)· ἢ τὸ ἑξῆς ἐστιν "αὐτὸς δὲ προκάλεσ⟨σ⟩αι."

B= ὣς γὰρ ἐγὼν ὅπ' ἄκουσα θεῶν] δηλονότι τὸ δεῖν προκαλέσασθαι. ἐν δὲ τῷ μεταξὺ ἔφη "οὐ γάρ πω τοι μοῖρα θανεῖν," παρ' ἑαυτοῦ τοῦτο προσθείς.

B= 54. ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτ' ἐχάρη] τὸ φιλότιμον ὑπέφηνε τῷ μὴ ἀποκρίνασθαι. οὐ διακηρυκεύεται δέ, ἀλλὰ πρὸς κατάπληξιν τῶν πολεμίων καὶ ἰδίαν δόξαν αὐτουργεῖ.

B= ἄλλως: Ἕκτωρ δ' αὖτ' ἐχάρη] ὡς ἀκινδύνως εὐδοξήσων καὶ τὴν πρώην θεραπεύσων ἀργίαν.

B= 56. μέσ⟨σ⟩ου δουρὸς ἑλών] τοῦ ἀπράκτου. ἀκμαζούσης γὰρ τῆς μάχης οὐκ ἐνῆν βοᾶν. ἐπὶ δὲ τοῦ Ἀλεξάνδρου ἀρχὴ τῆς μάχης ἦν.

B= 57. κὰδ' δ' Ἀγαμέμνων εἶσε] ᾤετο γὰρ αὐτὸν μετεγνωκέναι τὴν παράβασιν καὶ ἐν συμβουλίᾳ δημογερόντων γεγονέναι ἐν τῇ πόλει.

B= 58. κὰδ' δ' ἄρ' Ἀθηναίη—καὶ—Ἀπόλλων] ὑψῶν τὰ πραττόμενα θεατὰς αὐτῶν ὑπογράφει θεούς.

B– 59. αἰγυπιοῖσιν] σαρκοφάγον γὰρ τὸ ζῷον. παιδεύει δὲ πᾶν ζῷον ὁρῶντας ὑπονοεῖν εἶναι θεόν· ἢ ὡς ἐφίζει ὄρνεον φυτῷ, οὕτω καὶ αὐτοὶ ῥᾳδίως ἐκαθέσθησαν.

B= 60. φηγῷ—πατρὸς Διός] καλῶς τοῦ Διὸς τὰ τέκνα ἐπὶ τῇ τοῦ πατρὸς κάθηνται δρυί· καὶ τὸ ὑψηλὸν πρὸς θέαν ἐπιτήδειον.

6. supplevi ex B ‖ 7. προεμφαίνει B: προυφαίνει ‖ ὡς B: ὃς ‖ 12. εἶπον B: τε ‖ 31. ἐ. οὖν νέον φ.

61. ἀνδράσι τερπόμενοι] ἐχρῆν ἐπαγαγεῖν τοὺς λόγους· Ἕκτορος B=
δὲ τῷ φιλοτίμῳ προσλιπαρεῖ, τῇ τε διαγραφῇ καὶ εἰκόνα παραφέρει.

ἄλλως: ἀνδράσι τερπόμενοι] φιλοσόφως, ὡς ἰδίῳ κτήματι. B+

62. ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι] ἡ τοιαύτη B=
προφορὰ φαντασίαν μὲν τῇ διανοίᾳ, κόσμον δὲ τῇ ἀπαγγελίᾳ ποιεῖ.

πεφρικυῖαι] φρίσσει τις φόβῳ ἢ ψύχει ἢ ὀργῇ. ἐψύχωσεν οὖν AB=
τὰ ὅπλα, φρίσσειν αὐτὰ λέγων.

63. οἵη δὲ ζεφύροιο] καλῶς τὴν ἠρεμίαν τῶν ὅπλων κινήσει ζε- B=
φύρου παρέβαλεν· οὐ γὰρ ἀθρόως ἐμπίπτει ὁ ἄνεμος οὗτος τῇ θαλάττῃ,
μελαίνων δὲ αὐτὴν καὶ ὥσπερ ἐπιστίζων κατὰ μικρὸν ἐγείρεται. καὶ
ἀλλαχοῦ "ζεφύρου ὑποκινήσαντος" (Il. 4. 423). §. "φρίξ" δὲ ἡ ἐπα- A+ B=
νάστασις τῶν κυμάτων.

64. μελάνει δέ τε πόντος ὑπ' αὐτῇ] διὰ τοῦ ν̄ τὸ "πόντον," καὶ A+ B=
ἔστι 'μέλανα ποιεῖ τὸν πόντον ὑπὸ τῇ φρικὶ ὁ ζέφυρος·' καὶ ἔστι
Ὁμηρικὸν τὸ σχῆμα. εἰ δὲ γράφε⟨τα⟩ι "πόντος ὑπ' αὐτῇ," τὸ
"μελάνει" ἀντὶ τοῦ μελαίνεται ὑπὸ τῇ φρικὶ τοῦ ζεφύρου. ἄμεινον
δὲ τὸ πρῶτον. §. τὸ δὲ "μελάνει" ὡς οἰδάνει βαρυτονητέον· ἀπὸ γὰρ AB=
τοῦ μελαίνει γέγονεν.

69. ὅρκια μὲν Κρονίδης] εἰς θεοὺς ἀναφέρει τὴν αἰτίαν, Τρῶας B=
ἐλευθερῶν καὶ τὸ παράδοξον ⟨προφέρων⟩ τῆς προκλήσεως.

72. ἢ αὐτοὶ παρὰ νηυσὶ δαμείετε] ἔδει ἐπαγαγεῖν ἢ ἡμεῖς παρὰ B=
ταῖς ναυσὶν ἕλοιμεν ὑμᾶς. ὃ δὲ διὰ τὸ νεμεσητὸν ἐσχημάτισε τὸν λόγον.

ἄλλως: εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην—ἕλοιτε ἢ αὐτοὶ—δαμείετε]
πιθανῶς ἐξ ἴσου τὸν κίνδυνον ἀμφοτέροις κατέστησεν παρελὼν Ἑλλή- B=
νων τὴν ἐκ θεῶν ἐπικουρίαν.

73. * ὑμῖν μὲν γάρ] "ὑμῖν ⟨δ'⟩ ἐν γάρ," οὕτως αἱ Ἀριστάρχου. A=
καὶ ἔστι τὸ ἑξῆς 'ἐν ὑμῖν δέ· εἰσὶ γὰρ ἀριστῆες.'

74. * τῶν νῦν ὄντινα θυμός] γράφεται "τῶν—καί τινα θυ- A=
μός."

ὄντινα θυμὸς ἀνώγει] οὐ πρὸς διορισμόν· πρὸς ἀνάπαυσιν γὰρ τοῦ
στρατοῦ γίνεται ἡ μάχη.

75. δεῦρ' ἴτω ἐκ πάντων πρόμος] ἵνα πάντες αἰδεσθῶσι μὴ προ- B−
βαλλόμενοι, καὶ ὡς πρόμος ἐκεῖνος τοῦ στρατοῦ σαλεύει ἐπὶ τῇ
κοινῇ ὑπολήψει.

9. ἀθρόος ‖ 15. αὐτῆς ‖ 15, 20. supplevi ex B ‖ 26. supplevi ex A ‖
33, 34. σαλ. περὶ τὴν κοινὴν ὑπόληψιν cf. p. 225, 33

B+ Ἕκτορι δίῳ] κατ' ἐξοχήν· "Σαρπηδόνος ἀμφιμάχεσθαι" (Π. 16. 496) διὰ οἶκτον· "Παλλάδ' Ἀθηναίην" (Od. 13. 300) διὰ ἦθος.

B+ 76. Ζεὺς δ' ἄμμ' ἐπὶ μάρτυρος] παρατέμνει τὰ ὅρκια, ἐπεὶ ἔναγχος παρέβησαν ὅρκους.

B= 79. σῶμα δὲ οἶκαδ' ἐμόν] βαρβαρικὸν τὸ σπεύδειν περὶ τὰς ταφάς. περιπαθῶς δὲ προκατασκευάζει ὁ ποιητὴς πρὸς ὃ μάλιστα ἀπεύχεται εἰς τοῦτο δυστυχήσαντα.

B− 85. ὄφρα ἑ ταρχύσωσι] πόθεν τὸ ταρχῦσαι; τάρχεα τὰ νενομισμένα τοῖς νεκροῖς πρὸς κηδείαν, ἀπὸ τῆς ταραχῆς.

B= * ἀπὸ κοινοῦ τὸ "ὄφρα."

B= 86. σῆμά τε οἱ χεύωσιν] λεληθότως ἀποτρέπει τῆς μονομαχίας τοὺς Ἕλληνας. αὐτὸς γὰρ ἂν ἔμελλεν ἀναιρούμενος θάπτεσθαι ἐν Ἰλίῳ πόρρω τῆς θαλάττης, ὥστε μηδεμίαν γίνεσθαι μνήμην τῷ φονεύσαντι· τοῦ δὲ ἀντιπάλου ἐπὶ τοῦ Ἑλλησπόντου ταφέντος ἀείμνηστον κλέος ἔχειν ἔμελλε παρὰ τοῖς πλέουσιν. διὸ καὶ ἐγκολάπτει δυοῖν ἐποῖν ἐπιγραφὴν τῷ τάφῳ "ἀνδρὸς μὲν τόδε σῆμα."

A+ B= πλατεῖ Ἑλλησπόντῳ] καθ' ὃ μέρος ἐστὶ πλατύτατος ἑαυτοῦ περὶ τὰς ἐκροὰς τοῦ Σκαμάνδρου.

A~ 89. * ἀνδρὸς μέν] τὸ "μέν" ἀντὶ τοῦ μήν.

B= ἀνδρὸς μὲν τόδε σῆμα] ὡς ἤδη νενικηκὼς ἐπιγράφει τῷ τάφῳ τὸ ἐπινίκιον, οὐκ ἐπὶ τεθνηκότι, ἀλλ' οὐδὲ γιγνωσκομένῳ τῷ μέλλοντι μονομαχεῖν, τὸ ἐπικήδειον πρὸ τοῦ θανάτου διατιθείς.

ἀνδρὸς μὲν τόδε σῆμα] πρὸς τὴν τῶν γραμμάτων εὕρεσιν.

B− 90. ὅν ποτ' ἀριστεύοντα] πρὸς ἰδίαν ἐπίτασιν, εἰ τοῦ ἀρίστου φανεῖται κρείττων. φιλότιμος δὲ ὁ Ἕκτωρ χαρακτηρίζεται, ὡς καὶ ἐκεῖ "ἀλλὰ μέγα ῥέξας τι" (Π. 22. 305).

A= * ὅν ποτε] γράφεται καὶ "ὅντινα."

A+ 93. αἴδεσθεν μὲν ἀνήνασθαι] ἰσόκωλον τὸ ἔπος, ὅπερ ἐστὶ φράσις δύο ἢ καὶ πλειόνων κώλων ἀπηκριβωμένων ἀλλήλοις πρὸς ἀντιστρόφου ἐμφέρειαν· "χρὴ ξεῖνόν περ ἐόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν" (Od. 15. 74). ἢ ὁμοιόπτωτον καὶ ὁμότροπον "Ἄλλῳ ἐπ' ἰχθυόεντι" (Π. 20. 392).

A+ B− αἴδεσθεν μέν] δειλῶν γάρ· καλεῖ δὲ διὰ τὸν παρασπονδησμόν· ἢ περιμένοντες κέλευσιν, ὡς δῆλον ἐπὶ τῶν ἑξῆς, ἢ ὑπὸ θεοῦ ὡρμῆσθαι

8. ταρχῶα ‖ 12. ἂν W: ἐν ‖ 15, 16. ἐγκολάπτειν ‖ 16. ἐπιγράφει ‖ ἀνδρὸς δὲ ‖ 17. πλατύτερος ‖ 20. τ. τὸν ἐ. ‖ 25. ἐκηεῖ

αὐτὸν ὑπονοοῦντες πρὸ ὀλίγου ἡττώμενον· καὶ γὰρ τοῦ Διομήδους ἀκηκόασι "καὶ γάρ οἱ πάρα κεῖνος Ἄρης" (Il. 5. 604). τινὲς δὲ δείσαντες τὸν Ἀγαμέμνονα, ὡς καὶ "σιγῇ δειδιότες" (Il. 4. 431).

94. ὄψε δὲ δὴ Μενέλαος] ὡς αἰτίαν ἔχων τοῦ παντός. καὶ τῇ B=
πρὸς Ἀλέξανδρον δὲ ἐπήρτηται μονομαχίᾳ· διὰ δὲ τοῦ "ὀψέ" διδάσκει μὴ παραχρῆμα ποιεῖσθαι τὰς ἀποκρίσεις.

95. * νείκει] τῷ ἐλέγχῳ.

97. ἦ μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς] ἐκ δεινοῦ δεινά, AB=
ἢ καὶ τῶν δεινῶν δεινότερα. ἐκ τῶν δεινοτάτων ὑμῶν πράξεων δεινὴ ἔσται ἡ λώβη. §. ἔν τισι δὲ "λώβη γε τάδ' ἔσσεται."

99. ὕδωρ καὶ γαῖα γένοισθε] τῶν στοιχείων ὕδωρ καὶ γῆ κατὰ AB−
φύσιν ἀκίνητα, τὰ δὲ ἄλλα κινητὰ δι' ἑαυτῶν. ταῦτα οὖν φησι τὴν ἀκινησίαν ὀνειδίζων, ἢ, ἐξ ὧν συνεστήκασιν, εἰς ταῦτα αὐτοὺς ἀναλυθῆναι εὔχεται. καὶ Ξενοφάνης "πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμε⟨σ⟩θα· ἐκ γ⟨αί⟩ης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ." ἢ ὅτι τὸ ὕδωρ τὰς ψυχὰς διαφθείρει.

101. * αὐτὸς θωρήξομαι] ὡς ἀνάγκῃ δεχόμενος τὸ μονομάχιον. B+

102. * νίκης πείρατα] τὸ ἄνισον οἶδεν, ὡς καὶ Πρίαμος· "Ζεὺς B=
μέν που τόδε οἶδε" (Il. 3. 308).

104. ἔνθα κέ τοι, Μένελαε, φάνη βιότοιο τελευτή] εἰς κίνδυνον B=
προαγαγὼν τὴν ὑπόθεσιν καὶ λύσιν τοῦ παντὸς πιθανῶς ἀνίστησι τὸν ἀδελφόν. φιλοστόργως δὲ πρὸς αὐτὸν ποιεῖται τὸν λόγον ὁ ποιητὴς καὶ συμπαθῶς προανεφώνησεν αὐτοῦ τὸν κίνδυνον. καὶ τὸ "βασιλῆες" δὲ χαρίεν καὶ εὐνοϊκὸν διὰ τὸ προλαβεῖν τοὺς φίλους τὴν σπουδὴν Ἀγαμέμνονος.

* βιότοιο] γράφεται καὶ "θανάτοιο." A+

107. αὐτός τ' Ἀτρεΐδης] διὰ τί τὸν μὲν Ἀλέξανδρον κελεύει B=
μονομαχεῖν Ἕκτωρ, τὸν δὲ Μενέλαον κωλύει κινδυνεύειν Ἀγαμέμνων καὶ οἱ ἄλλοι τῶν Ἀχαιῶν βασιλεῖς; ὅτι τοῦ μὲν Ἀλεξάνδρου ἀδικοῦντος ἡδέως οἱ Τρῶες ἀπηλλάττοντο, τὸν δὲ ὡς ἀδικούμενον ἠλέουν.

109. ἀφραίνεις, Μενέλαε] φιλοδόξως γάρ, οὐ φρονίμως ἐσπούδακεν AB−
ἐπὶ τὴν μάχην· δεῖ οὖν τὸ κατὰ δύναμιν, οὐ ⟨τὸ⟩ κατὰ προθυμίαν σκοπεῖν. ἄλλως τε πρώην μαχεσάμενος τοῦ μὲν ἄθλου ἀφῄρηται, τὸν δὲ κίνδυνον ᾔρηται.

8. ἦ ‖ 10. ἐστὶν ut A, cf. B ‖ 33. supplevi ex B ‖ 34. ἄθλου W : ἄλλου

A– 110. * ἀνὰ δὲ σχέο] Ἀρίσταρχος καὶ Ἡρωδιανὸς "ἀνὰ δ' ἴσχεο."

B= 111. μηδ' ἔθελ' ἐξ ἔριδος] τῆς πρὸς Ἀχαιοὺς ἔριδος. ἔστι δὲ ⟨τοῦτο⟩ τὸ γνῶθι σαυτόν.

B= τεῦ ἀμείνονι φωτί] τεχνικῶς ἥττονα πολύ φησιν αὐτὸν Ἕκτορος, ὅπως μὴ τῶν ἄλλων Ἑλλήνων καταφρονῆσαι δοκῇ, τὸν μὲν τοῦ κινδύνου ῥυόμενος, τοὺς δὲ κινδυνεύειν προτρεπόμενος.

112. * στυγέουσι] καταπλήττονται.

B= 113. καὶ δ' Ἀχιλεὺς τούτῳ γε — ἔρριγ' ἀντιβολῆσαι] τοῦτον παρέλαβεν, οὗ καὶ Μενέλαος οὐκ αἰδεῖται ἥττων εἶναι ὁμολογεῖν, οὐκ ἄλλον τινὰ τῶν ὀλίγῳ τοῦ Μενελάου κρειττόνων. ἀναπολεῖ δὲ πανταχοῦ τὸ ὄνομα Ἀχιλλέως ὑπὲρ τοῦ μὴ λήθῃ δοθῆναι.

A+ 114. ὅπερ σέο πολλὸν ἀμείνων] γράφεται καὶ "ἀμείνω." ἄμεινον δέ φασιν "ὅπερ μέγα φέρτατός ἐστιν," ἵνα ψιλότερος ᾖ ὁ ὀνειδισμὸς Μενελάου.

B= 116. τούτῳ δὲ πρόμον ἄλλον] ἐντέχνως παρυπέμνησεν, ὅτι πάντως δεῖ τινα αὐτῶν ἀναστῆναι.

117. μόθου] μόθος παρὰ τὸ ⟨ὁμοῦ θεῖν τοὺς μαχομένους, ὥστε⟩ τάχιστα πληροῦσθαι τὴν ἐπιθυμίαν.

118. φημί μιν ἀσπασίως] ταῦτα εἰς προτροπὴν τῶν Ἀχαιῶν.

B– 122. γηθόσυνοι θεράποντες] παρὸν αὐτῷ καὶ ὀτρηροὶ θεράποντες εἰπεῖν καὶ καρπαλίμως θεράποντες, "γηθόσυνοι" φησί, τὴν τῶν θεραπόντων πρὸς τὸν βασιλέα ἐμφαίνων κηδεμονίαν.

B= 123. Νέστωρ δ' Ἀργείοισιν] πιθανῶς τοῦτον ἐπιπλήσσοντα παρεισάγει, ὃς διὰ τὴν ἡλικίαν οὐχ ὑποφέρει τὸ ὅμοιον ἔγκλημα. §. καὶ μετὰ Ἀγαμέμνονος δὲ ὅμως ἀσφαλεῖς πάλιν οἱ Ἕλληνες.

B= 124. ὢ πόποι] λειπόμενοι γὰρ οἱ γέροντες δυνάμει τῷ σχετλιάζειν ἐμφαίνουσι τὴν οἰκείαν προθυμίαν. μόνον οὐχὶ δὲ τὴν Ἑλλάδα πᾶσαν ἐν αὐτοῖς ἐλεεῖν φησιν. εὖ δὲ καὶ τὸ μὴ λύπην εἰπεῖν ἀλλὰ "πένθος" καὶ "μέγα."

B= 125. ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα] διδάσκει ὅτι καὶ ἀπόντας δεῖ τοὺς πρεσβυτέρους τιμᾶν, λέγων ὡς δεῖ τοὺς Ἕλληνας ἀρέσκειν Πηλεῖ, καὶ μὴ παρόντι· ἀνόητον δέ φασι τὸ μὴ τοὺς γονεῖς αὐτῶν παραλαβεῖν ἀχθομένους, ἀλλὰ τὸν Πηλέα, ὃν ἔδει χαίρειν ἀτυχούντων Ἑλλήνων διὰ τὴν Ἀχιλλέως ὕβριν. τοῦτο δέ

1. ἀνὰ δ' ἄνσχεο A, ἀναδίσχεο. ‖ 3. supplevi ex B ‖ 5. καταφρονήσειν δοκοίη ‖ 10. ἀναπαλεῖ ‖ 12. καὶ ἀμείνων ‖ 13. εἶη ‖ 17. μότος π. ‖ suppl. W ex Et. M. ‖ 20. παρ' ‖ 31. λέγειν ‖ 34. ἀτυχούντων scripsi: δυστυχούντων B, ἀξιούντων

ἐστιν ἔντεχνον· εἰ γὰρ ὁ τοῦ πολεμίου πατὴρ ἀθυμεῖ, πόσῳ μᾶλλον οἱ ἡμῶν; ἅμα δὲ καὶ ὑπομιμνήσκει Ἀγαμέμνονα Ἀχιλλέως, ὅτι ὁ νῦν προκαλούμενος πάντας, "ὄφρ' Ἀχιλεὺς μετ' Ἀχαιοῖσιν πολέμιζεν, οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ" (Il. 9. 352)· ἐπαχθὲς γὰρ ἦν τὸ σαφῶς ὀνειδίσαι. προμνηστεύει οὖν τὰς λιτάς, καὶ τοῖς βαρβάροις δὲ ἐμφαίνει, ὅτι οὐκ ἔσται ἡ Ἀχιλλέως ὀργὴ πολυχρόνιος τοῦ Πηλέως οὕτω πρὸς τοὺς Ἕλληνας διακειμένου, καὶ τὸν Ἀχιλλέα ὑποθωπεύει λεληθότως.

126. βουληφόρος] ὁ φέρων εἰς πέρας ἃ βούλεται. §. συνίστησι δὲ τὸ πρόσωπον, ὅπως ὁ τούτου σχετλιασμὸς δεινότατος ⟨ὢν⟩ ἐγείρῃ τοὺς Ἕλληνας. B= B=

127. * μ' εἰρόμενος] Ζηνόδοτος "μειρόμενος" γράφει, κακῶς. A+

128. ἐρέειν γενεήν τε τόκον τε] θαυμασίως τῆς εὐγενείας αὐτοὺς ὑπέμνησεν οὐκ ἐπαινῶν τοὺς γονεῖς, ἀλλὰ Πηλέα τὸν ἄκρον εὐγενείᾳ χαίρειν ἐπὶ τῇ γονῇ αὐτῶν λέγων. ἀλλ' οὐδέ φησιν ὅτι ἐμαρτύρησα τῷ Πηλεῖ περὶ ὑμῶν· τὸ μὲν γὰρ κολακικόν, τὸ δὲ λέγειν ὅτι μεμαρτύρηκα ὑμῖν εὐγένειαν ἐπίφθονον. A– B=

130. φίλας ἀνὰ χεῖρας ἀείραι] Ἀρίσταρχος "βαρείας χεῖρας" τὰς ὑπὸ τοῦ γήρως δυσκινήτους. A+

131. θυμὸν ἀπὸ μελέων] δηλοῖ ὅτι παρέσπαρται ἡ ψυχὴ παντὶ τῷ τοῦ σώματος μέρει. B=

ἄλλως: θυμὸν ἀπὸ μελέων δῦναι] ὅτι τοιούτοις πεπίστευκε τὸν ἴδιον υἱόν. B=

δῦναι δόμον Ἄιδος] μέτριος μὲν ὁ λόγος τῇ φαντασίᾳ, πικρὸς δὲ τῇ δυνάμει· εἰ γὰρ ἐκεῖνος ἀκούων ἀβίωτα σπεύδει, πόσῳ μᾶλλον ἐγὼ ὁρῶν ὑμᾶς ἀσχημονοῦντας; πραγματικῶς καὶ πρὸς Ἀχιλλέα ἀποτείνεται· εἰ γὰρ οὕτω βαρέως οἴσει ὁ Πηλεὺς τὴν τῶν ἀλλοτρίων ἀνανδρίαν, πῶς οὐκ ἂν μᾶλλον ἐπὶ τῷ υἱῷ ἄχθοιτο; B=

132. αἲ γάρ, Ζεῦ τε πάτερ] οὐκ ἄκαιρος ὁ λόγος· ἐπιτιμήσας γὰρ τοῖς ἀρίστοις ὤφειλεν ἀποδεῖξαι διὰ τῆς παραθέσεως τῶν πεπραγμένων αὐτῷ, ὅτι δεόντως ἄγει ταύτην τὴν παρρησίαν, ἵνα πρὸς ζῆλον αὐτοὺς τῶν ὁμοίων κινήσῃ· τοιοῦτος καὶ Φοῖνιξ καὶ Λαέρτης. B=

133. κελάδοντι] τῷ νῦν Ἀκίδωνι. §. τινὲς δὲ ἄμφω ἐπίθετα τοῦ

3. Ἀχιλλεύς ‖ 10. supplevi cf. B ‖ 15. ἐπὶ ante εὐγ. ut B : omisi ‖ αὐτῶν B: αὐτὸν ‖ 17. πολὺ ante ἐπίφθονον ipsa del. pr. ‖ 26. ὁρῶν ἢ ὑμεῖς ἀσχημονοῦντες

A= Ἰαρδάνου, καὶ τὴν φράσιν σημειοῦνται· προτάξας γὰρ δοτικὰς ἐπιφέρει γενικὴν "Ἰαρδάνου."

A+ 135. Φειᾶς πὰρ τείχεσ⟨σ⟩ιν] καὶ ἡ Φειὰ παραθαλάσσιός ἐστι, καὶ Ἰάρδανος οὐχ ὁρᾶται ποταμὸς αὐτόθι· ἄμεινον οὖν ὡς Δίδυμος "Φηρᾶς" γράφειν καὶ "Δαρδάνου ἀμφὶ ῥέεθρα·" οὕτω γὰρ καὶ Φερεκύδης ἱστορεῖ.

136. * πρόμος] ἐπαίρει τὸν πολέμιον Ἐρευθαλίωνα.

B= 138. δίου Ἀρηιθόου] εὐκαίρως ἐρευνᾷ, πρώην ἁπλῶς παρελθών. §.

B= οὗτος δὲ ὁ Ἀρηίθους Βοιωτὸς μὲν ἦν τῷ γένει, συνεμάχει δὲ Ἀρκάσιν. τοῦτον φθονέσας Λυκοῦργος ἀναιρεῖ.

B= 139. * ἔμφασις τοῦ κλέους, ὅπου καὶ γυναιξὶν ἐγνώσθη.

142. * δόλῳ, οὕτι κράτεϊ γε] εἰς σύστασιν αὐτοῦ.

B= 143. * ὅθ' ἄρ' οὐ κορύνη—χραῖσμε] οὐ διὰ τὸ στενόν, ἀλλὰ διὰ τὴν πρόληψιν.

A+ 144. * ὑποφθάς] Ἀρίσταρχος "ἀναστάς," ἐκ τοῦ λόχου δηλονότι.

A+ 146. * τεύχεα δ' ἐξενάριξε] Ἀρίσταρχος διὰ τοῦ "δέ."

B= τά οἱ πόρε χάλκεος Ἄρης] λεληθότως τὸν ἴδιον ἔπαινον αὔξει ὁ Νέστωρ, εἰ περιεγένετο ἀνδρὸς ὅπλα φοροῦντος θεῖα.

ἄλλως: τά οἱ πόρε χάλκεος Ἄρης] τινὲς 'ἃ ἦν σκυλεύσας ἐκ τοῦ πολέμου.'

147. μετὰ μῶλον Ἄρηος] τὸν ἐγχρονισμὸν καὶ μόλυνσιν τῆς μάχης.

B– 153. ⟨πολεμίζειν⟩ θάρσεϊ ᾧ] τῷ ἑαυτοῦ· "βουλὴ γὰρ ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται" (Ion apud Sext. Emp. p. 24). τινὲς δὲ ἀντὶ τοῦ τῷ ἁπλήστῳ θάρσει αὐτοῦ τοῦ Ἐρευθαλίωνος μάχεσθαι.

A+ §. γράφεται δὲ καὶ "θάρσει ἐμῷ·" ἀμείνων δὲ ἡ ἄλλη.

B= γενεῇ δὲ νεώτατος] διὸ ἐθάρσουν. ἐντέχνως δὲ τοὺς μὲν πρεσβυτέρους ἀπολύει τοῦ κινδύνου, τοὺς δὲ νεωτέρους ἀνίστησιν.

B= 154. δῶκεν δέ μοι εὖχος Ἀθήνη] ὅτι δεῖ τὰ ἴδια θεοῖς ἀναφέρειν· καὶ γὰρ συνεργοῦσι τοῖς προθύμοις.

B= 155. τὸν δὴ μήκιστον καὶ κάρτιστον—εἴθ' ὅς] οὐχ ἑαυτὸν μήκιστον εἶπε καὶ κάρτιστον, ἀλλὰ τῷ μὲν Ἐρευθαλίωνι ταῦτα ἐμαρτύρησεν, ἐκείνου δὲ περιγεγενῆσθαι λέγων λεληθότως καὶ ἀνεπιφθόνως ἑαυτὸν ηὔξησεν. ζηλωτὸν δὲ ἑαυτὸν καθιστὰς προτρέπει αὐτοὺς εἰς ἔννοιαν ἀγωνίας.

5. φηρὰς γρ'. ‖ Δαρδάνου etiam A, Ἰαρδάνου coni. Lehrs ‖ 10. τοῦτον B: τούτῳ ‖ 11. κλέους B: κάλλους ‖ 16. schol. falso supra 147 scriptum ‖ 21. μόλυνσις scripsi cf. Et. M. s.v. μολύνω, μώλυσις Apoll. Soph.: μώλυνσις ‖ 24. ἁπλείστῳ ‖ 30. εἴθ' ὥς scripsi et ad lemma traieci: καὶ ὡς

156. πολλὸς—ἔκειτο] ἀπὸ τῶν ἀριθμουμένων ἐπὶ τὰ μετρούμενα A = B –
⟨μεταβαίνει⟩ μεγέθη, ὡς τὸ "τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι
ἄνωγα" (Π. 23. 245). §. "παρήορος" δὲ εἰς μῆκος καὶ πλάτος A + B =
παρηρτημένος.

158. * ἀντήσειε] ἤντησεν ἄν.

159. * ὑμέων δ' οἵπερ ἔασιν] σχῆμα περὶ πρόσωπον. B =

160. * οὐδ' οἵ—μέματε] σχῆμα περὶ πρόσωπον.

161. οἳ δ' ἐννέα πάντες ἀνέσταν] πλεονάζει τὸ "πάντες." οὐ γάρ, A +
ὥς τινες, οἱ ἅπαντες ἐννέα· τί γὰρ ἐπὶ τοῦ "δέκα πάντα τάλαντα"
(Π. 24. 232); ἴσχυσε δὲ καὶ τοὺς ὁμογέροντας ἐγεῖραι.

162. ὦρτο πολὺ πρῶτος—Ἀγαμέμνων] ὡς βασιλεὺς προτρέπων B =
καὶ ὡς ἀχθόμενος τῇ με⟨λ⟩λήσει αὐτῶν. καὶ τὸν ἀδελφὸν ἐπισχὼν
ἐνδείκνυται, ⟨ὅτι⟩ οὐχ ὡς δεδιὼς Ἕκτορα ἀπέτρεπε τὸν Μενέλαον.

163. τῷ δ' ἔπι Τυδείδης] φιλοτιμεῖται γὰρ ἐπὶ τοῖς πεπραγμέ- B =
νοις καὶ θερμότερός ἐστι τῶν Αἰάντων.

164. τοῖσι δ' ἐπ' Αἴαντες] δευτερεύει γὰρ Αἴας Ἀχιλλέως· B =
συνανέστησε δὲ αὐτῷ καὶ τὸν Λοκρόν· "ἶσον" γὰρ "θυμὸν ἔχοντε"
(Π. 13. 704). πολεμεῖ δὲ νῦν καὶ κρατεῖ, ἵνα, ὅταν ἡττᾶται Ἕκτορι,
τὸν Δία νοῶμεν (Π. 16. 114).

165. τοῖσι δ' ἔπ' Ἰδομενεύς] ἐκείνων μὲν λείπονται, Εὐρυπύλου B =
δὲ καὶ Θόαντος ὑπερέχουσιν· συνεργεῖ δὲ ἀεὶ Μηριόνης τῷ Ἰδομενεῖ.

167. τοῖσι δ' ἔπ' Εὐρύπυλος] κρείττων καὶ οὗτος τὰ πολεμικὰ B =
Θόαντος· περὶ λόγους γὰρ μᾶλλον δεινὸς ὁ Θόας "ἀγορῇ δέ ⟨ἑ⟩ παῦροι
Ἀχαιῶν νίκων, ὁπ⟨π⟩ότε κοῦροι ἐρίσ⟨σ⟩ειαν" (Π. 15. 283).

168. δῖος Ὀδυσσεύς] οὐχ ὡς δειλὸς ἀλλ' ὡς σοφὸς εἰς πάντα B –
μέλλει. ἄλλως τε περὶ πάντων ἀπελογήσατο "πάντες ἄρ' οἵ γ'
ἔθελον" (169).

170. τοῖς δ' αὖτις μετέειπε Γερήνιος] ὁ καὶ ἀναστῆναι προ- B =
τρέψας, οὐχ ὁ βασιλεύς, ὃς πονεῖν ἐθέλει. §. ὅτι τοὺς μὲν καθίστησι,
τοὺς δὲ ἀνίστησι Νέστωρ.

171. πεπάλαχθε] αἱ πᾶσαι "πεπάλασθε" παρὰ τὸν Πάλλαντα A + B –
ἢ ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους. §. "πεπάλαχθε" δὲ μολύν- B =
θητε.

ἄλλως: κλήρῳ νῦν πεπάλαχθε] ἀνοήτως, φασίν, ἐπὶ κλῆρον ἔρχεται, B =

2. supplevi ex A B ‖ 13. supplevi ex B ‖ 17. ἔχοντες ut B ‖ 19. νοοῖμεν ut B ‖ 24. ἐνίκων ἀχαιῶν ‖ 26. ἀπελογίσατο ‖ 31. ?

δέον ἑλέσθαι τὸν ἄριστον, ὅπου κίνδυνος ἦν καὶ τὸν φαυλότατον λαχεῖν. τοῦτο δὲ ποιεῖ ὁ Νέστωρ, ἵνα μηδενὸς προκριθέντος ὑβρισθῶσιν οἱ λοιποί, πρός τε τὸν πολέμιον ἵνα ἐνδείξηται ὅτι οὐχ ἕνα μόνον ⟨οἴεται⟩ ἀξιόχρεων εἶναι πρὸς αὐτὸν μάχεσθαι, καὶ ἵνα μήτε νικήσας τὸν ἄριστον δοκῇ νενικηκέναι, ἀλλὰ τὸν ὑπὸ κλήρου δεδομένον, μήτε ληφθεὶς ὑπὸ τοῦ ἀρίστου λελῆφθαι, ἀλλ' ὑπὸ τοῦ λαχόντος· ἅμα δὲ καὶ ἀγωνιᾷ ἐπὶ τῷ κλήρῳ ὁ ἀκροατής.

A+B= διαμπερές] διηνεκῶς ἀπὸ πέρατος εἰς πέρας ἐλθόντος τοῦ κλήρου, ὅ ἐστι διὰ πάντων· εἶτα ἀπὸ ἄλλης ἀρχῆς, ὡς γὰρ ἂν λάχῃ, καὶ

A+B– Ἕλληνας καὶ ἑαυτὸν ὠφελήσει. §. τινὲς τελείαν εἰς τὸ "λάχῃσιν." λέγει δὲ κληρώθητε· λάχοι γὰρ ἄν τις· ὡς καὶ τὸ "μάρνασθ' ὀπ⟨π⟩οτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ" (Π. 5. 33)· οἱ δὲ στίζουσιν εἰς τὸ "πεπάλασθε," εἶτα, ὡς γὰρ ἂν λάχῃ, διηνεκῶς καὶ εἰς πάντα τὸν βίον ὠφελήσει τοὺς Ἀχαιούς.

172. *Ἀχαιούς] ὡς ἔχοντας ἀξιόμαχον Ἕκτορι.

B= 175. ἐσημήναντο] γράμμασιν· καὶ πῶς οὐ γιγνώσκει ὁ κῆρυξ; ἐθνικὰ γὰρ ἦν.

B= 177. λαοὶ δ' ἠρήσαντο] ἡδέα καὶ Ἑλληνικὰ ἀγωνιᾶν τοὺς Ἕλληνας

A= περὶ εὐδοξίας. §. διχῶς δὲ "θεοῖς ⟨ἰδὲ χεῖρας⟩" καὶ "θεοῖσι δὲ χεῖρας."

B= 179. ἣ Αἴαντα λαχεῖν] τάξιν ἡ εὐχὴ ἔχει, τὸν πρῶτον κατ' ἀλκὴν καὶ τὸν δεύτερον καὶ τὸν τρίτον ⟨καταλέγουσα⟩.

*λαχεῖν] λείπει τὸ δός.

B= 181. πάλλεν δὲ Γερήνιος] εἰς ⟨τὸ⟩ μὴ κακουργηθῆναί τι περὶ τὸν κλῆρον· πιστότατος γάρ. §. τὸ δὲ "πάλλεν" ἀντὶ τοῦ ἐκλήρου.

A B= 184. *βαρυντέον τὸ "ἐνδέξια·" ἐπίρ⟨ρ⟩ημα γάρ ἐστιν, ἀντὶ τοῦ ἐπιδεξίως.

B– 185. οἳ δ' οὐ γιγνώσκοντες] οὐχ οἱ αὐτοὶ γὰρ ἦσαν παρὰ πᾶσι τοῖς Ἕλλησι χαρακτῆρες· διάφορα δὲ καὶ τὰ τῶν στοιχείων ὀνόματα, ὡς τὸ σάν. Καλλίστρατος δὲ Σάμιος ἐπὶ τῶν Πελοποννησιακῶν μετήνεγκε τὴν γραμματικὴν καὶ παρέδωκεν Ἀθηναίοις ἐπὶ ἄρχοντος Εὐκλείδου, ὥς φησιν Ἔφορος. §. τινὲς δὲ τὸ "οἳ" περισπωμένως καὶ βασέως, ἵν' ᾖ αὐτοῦ τοῦ Αἴαντος αὐτὸν εἰδότες, κακῶς.

B= *ἀπηνήναντο ἕκαστος] ἐξαρτᾷ τέως ἡμῶν τὸν νοῦν, οὐκ εὐθὺς ἐπὶ ⟨τὸν Αἴαντα⟩ τὸν κλῆρον φέρων.

4. supplevi ex B ‖ 6. λειφθεὶς et λελεῖφθαι B ‖ 11. μάρνασθαι ‖ 12. ὀρέξει ‖ 16. ἀπορία et λύσις supra add. sec. ‖ 19, 21. supplevi ex B ‖ 23. εἰς scripsi: ὡς ut B ‖ 29. ἐαν ‖ 31. Εὐκλήτου ‖ 32. αἴαντες ‖ 33. ἐξαρτᾳ B: ἐναρτῷ ‖ 34. suppl. sec. ut B

187. * ὅς μιν ἐπιγράψας] διχῶς ἡ γραφή.

189. γήθησε δὲ θυμῷ] ἀλλαχοῦ τὸ σῶμα, νῦν δὲ τὴν γνώμην αὐτοῦ ἐπαινεῖ. §. καλῶς δὲ οὐκ εἶπεν ἐμειδίασε· τοῦτο γὰρ ⟨ἂν⟩ εἰρω- B+
νικὸν ἐπὶ τῶν φίλων ἦν· ἐξῆς δὲ καταπλήσσει τὸν πολέμιον.

192. δοκέω νικησέμεν] μέτριον καὶ Ἑλληνικόν· οὐχ ὡς ὁ Ἕκτωρ B−
⟨γὰρ⟩ περὶ τῶν ἀδήλων ὑπισχνεῖται "ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς" (Π. 8. 182).

193. * ἀλλ' ἄγετε] ἐπασφαλίζεται ὡς διακινδυνεύων.

194. τόφρ' ὑμεῖς εὔχεσθε] Ἑλληνικὸν τὸ πρὸ τῶν κινδύνων εὔ- B=
χεσθαι. ἅμα καὶ τὸ διάκενον πληροῖ. ἡ δὲ τῶν πολλῶν εὐχὴ εἰσακούεται. §. ὅτι καὶ τὸν κράτιστον ἐπὶ θεοὺς δεῖ καταφεύγειν. B=

195. σιγῇ ἐφ' ὑμείων] ἵνα μὴ δόξωσιν ἐπ' εὐχὰς τρέπεσθαι, τὸν B=
Ἕκτορα δεδοικότες.

196. * οὔτινα δείδιμεν] οὐ διὰ δέος αὐτὸ ποιοῦμεν.

197. οὐ γάρ τις με βίῃ—οὐδέ τ' ἀιδρείῃ] ἐκ δυοῖν γὰρ ἡ νίκη B+
προσγίνεται, ⟨ἀνδρείας καὶ⟩ πολυπειρίας, ὧν τὸ μὲν ⟨ὡς⟩ ἐγνωσμένον παρῆκε, τὸ δὲ ἑξῆς ἐπεξεργάζεται. μετρίως δέ φησιν οὐ βιάσεταί με τις· ὁ δὲ Ἕκτωρ "αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας ἀνδροκτασίας τε" (237).

* ἑκών] αἱ Ἀριστάρχου καὶ αἱ πλείους "ἑλών." A+ B=

* δίηται] πορεύηται.

198. οὐδέ τ' ἀιδρείῃ] "οὐδέ τι ἰδρείῃ·" παρὰ Ἀριστοφάνει "οὐδὲ A+
μὲν ἰδρείῃ·" ἠθέτηντο δὲ καὶ παρὰ Ἀριστοφάνει καὶ Ζηνοδότῳ.

* ἐμέ] ἡ παράδοσις ὀρθοτονεῖ τὴν "ἐμέ." A B+

* νήιδα] δειλόν.

199. ἔλπομαι ἐν Σαλαμῖνι] καλῶς τὴν ἐκ παιδείας ἀρετὴν τῇ B+
θρεψαμένῃ περιάπτει.

202. Ἴθηθεν μεδέων] καλῶς ἐκ χώρας καλεῖ τὸν θεόν, ἐν ᾗ καὶ B=
ἀγωνίζονται, ἵνα μὴ παρὰ μόνοις Τρωσὶ τιμώμενος ἐναντίος ᾖ Αἴαντι.

204. εἰ δὲ καὶ Ἕκτορά ⟨περ⟩ φιλέεις] θέλων αὐτοὺς ἐπ' ἴσης διαλ- B=
λάξαι ὁ ποιητὴς οὐδὲ διίστησιν ⟨ἐν⟩ τῇ εὐχῇ.

208. σεύατ' ἔπειθ' ⟨οἷός τε—Ἄρης⟩] ἐκτείνει τὰς συλλαβάς, B=
τὸ σχῆμα τῆς ὄψεως καὶ τῆς πορείας δηλῶν.

οἷός τε πελώριος—Ἄρης] ἤδη προεπαίρει τὸν Αἴαντα καὶ τὴν B=

1. post γραφή add. sec. καὶ ἐνιγράψας ‖ 4. καταπλήσσων ‖ 6. supplevi ex B ‖ ὑπισχνεῖται B: ὑπισχνούμενος ‖ 13. δεδοικότας ‖ 16. supplevi ex B ‖ πολυπειρίας B: περὶ ‖ 21. οὐδ' ἔτ' ‖ οὐδ' ἔτι ‖ 25. παιδιᾶς ‖ 27. ἐγχωρίως ut B: corr. W ‖ 28. εἴη ‖ 29. ἐπ' ἴσης B: ἐπίσως ‖ 30. οὐδὲ διίστησιν scripsi: οὐ συνίστησιν ‖ supplevi ex B

ἔκβασιν ὑποφαίνει. καὶ ἀπήρκει μὲν μέχρι τούτου τὸ τῆς εἰκόνος, προσφιλοτιμεῖται δὲ ὁ ποιητὴς τὰ λοιπά.

A= 210. * ἔριδος μένεϊ] περιφραστικῶς τὸ ἔριδι.

B= 212. μειδιόων βλοσυροῖσι] οἷον ἥμερόν τι καὶ γενναῖον ἔχων τὸ πρόσωπον.

B= μειδιόων] πολλὰ τεκμήρια τῆς τοῦ Αἴαντος γενναιότητος· καὶ λαχὼν ἥσθη· πλησίον ⟨δὲ⟩ ὢν τοῦ δεινοῦ μειδιᾷ, οὐ γελᾷ· τὸ μὲν γὰρ γελᾶν θρασύτητος ἄφρονος, τὸ δὲ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπίας δὲ φαιδρότερον, ἐκπλῆττον Ἕκτορα, θαρσῦνον δὲ τοὺς φίλους.

B+ * προσώπασι] ἀπὸ τοῦ πρόσωπα⟨ς⟩.

B= 213. μακρὰ βιβάς] ἡ κίνησις τοῦ σώματος ἐμφαίνει τὸ θρασὺ τῆς ψυχῆς. τῶν δὲ δειλῶν "μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει" (Π. 13. 281).

B= 214. Ἀργεῖοι μέγ' ἐγήθεον] ἣν ὁ ποιητὴς ἔχει διάθεσιν, καὶ τοῖς προσώποις περιάπτει. ἀπὸ δὲ τῆς τῶν ὁρώντων διαθέσεως τὸν ἔπαινον τοῦ ὁρωμένου ηὔξησεν.

B– 215. Τρῶας δὲ τρόμος αἰνός] οὐ μόνος ὁ κινδυνεύων ἔτρεμεν, ἀλλὰ καὶ οἱ λοιποί· ταῦτα δὲ λέγει ὁ ποιητὴς μεγαλύνων Αἴαντα.

B= 216. Ἕκτορι δ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν] τὴν κίνησιν καὶ ἀγωνίαν τῆς διανοίας ὑπέγραψε, τῶν δὲ σημείων τῆς δειλίας οὐδὲν παρέλαβεν, ὡς ἐπὶ τοῦ Ἀλεξάνδρου "ὤχρός τε μιν εἶλε παρειάς" (Π. 3. 35) καὶ ἐπὶ τοῦ Δόλωνος "ὑπὸ δ' ἔτρεμε γυῖα" (Π. 10. 390), ἀλλὰ μόνον τὴν ἀγωνίαν· περὶ γὰρ ἀξιοπίστου προσώπου ἐστὶν ὁ λόγος αὐτῷ.

B= 217. ἀλλ' οὔπως ἔτι εἶχεν ὑποτρέσαι] ὡς, εἴγε δυνατὸν ἦν, κἂν ἐφυγεν· ταῦτα δὲ ⟨καὶ⟩ περὶ τοῦ Ἴρου νόει.

218. χάρμῃ] κατ' εὐφημισμόν, ἢ παρὰ τὸ κείρω κάρμη, ἢ παρὰ τὸ χαράσσεσθαι τὰ δόρατα.

B= 219. Αἴας δ' ἐγγύθεν ἦλθε] ὅτι οὐ περιμένει τὸν προκαλεσάμενον.

B– 220. ὅ οἱ Τυχίος κάμε τεύχων] δόξαν ἡμῖν ἀληθείας ἐμποιῆσαι θέλων τὸν τρόπον τῆς κατασκευῆς τὸν τεχνίτην τὴν πόλιν φησίν·

7. supplevi ex B ‖ 9. θαρσύνων ‖ 11. suppl. Lobeck Paralip. 176 ‖ 16. προσώποις B: πρώτοις ‖ 27. supplevi ex B ‖ Ἴρου B: ἥρου ‖ 29. χαράσσεσθαι W: χαράσσασθαι

πηρωθεὶς δὲ ἐκ Κολοφῶνος μετῳκίζετο εἰς Σμύρναν· μετὰ δὲ βίου ζήτησιν εἰς Κύμην μετοικιζόμενος ἐλθεῖν ⟨λέγεται⟩ εἰς Νέον τεῖχος —ὅπερ ἦν ἀποικία Κυμαίων—ὅπου μεταλαβὼν τῆς τοῦ σκυτέως Τυχίου φιλοφροσύνης ταῦτα περὶ αὐτοῦ φησιν· ὁπότε γὰρ περὶ ἥρωος δημιουργοῦ λέγει, ἱκανὸν προσθεῖναι καὶ μόνον τὸ ὄνομα, "ἦν ποτε τέκτων ποίησ' Ἰκμάλιος" (Od. 19. 56)· πολλή τε αὐτοῦ ἀριστεία καὶ τοῦ φοροῦντος σπουδή, ὃς ἐκ Σαλαμῖνος ἦκεν εἰς Βοιωτίαν πρὸς τὸν ἄριστον ὁπλοποιόν.

222. σάκος αἰόλον] ποικίλον—διὸ "κάμε τεύχων"—ἢ εὐκίνητον· Β—
ἢ "αἰόλον" ἀντὶ τοῦ αἰόλως.

225. ἀπειλήσας δὲ προσηύδα] νωθής ἐστι, κινηθεὶς δὲ ἐνδείκνυται Β+
ὀργήν· τὴν δὲ καὶ πρὸ τῶν λόγων ἀπέδειξε τῷ σχήματι.

226. εἴσεαι οἰόθεν οἷος] οὐκ εἶπεν γνώσῃ οἷός εἰμι, κοινοποιεῖται Β=
δὲ ἅπαντα τοῖς φίλοις καὶ ἕνα ἐκ πολλῶν ἑαυτόν φησιν· οὐχ οἷος Ἕκτωρ "οἵδ' ἐπὶ δεξιά, οἵδ' ἐπ' ἀριστερά" (238).

228. καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα—ἀλλ' ὁ μὲν ἐν νήεσσι] ἐπί- Β=
τηδες καταπλήττει τὸν πολέμιον τῇ τοῦ κρείττονος προσδοκίᾳ, ὅπως μὴ εὔελπις ᾖ οἰόμενος τεθνάναι Ἀχιλλέα ἢ ἀποπεπλευκέναι.

230. * ἀπομηνίσας] Ἀρίσταρχος "ἐπιμηνίσας."

231. * τοῖοι] ἀγαθοί. Β+

232. ἀλλ' ἄρχε μάχης] βραδὺς γὰρ καὶ δεύτερος ὁ Αἴας ἀεί. Β—
ἅμα δὲ εὐτελίζει τὸ προπετές. ἢ εὐτελίζων αὐτόν φησιν, ὡς καὶ αὐτὸς "ἠύτε παιδὸς ἀφαυροῦ" (235) φησίν, ἢ ἵνα πλεονεκτῇ κἂν τούτῳ ὁ Ἕκτωρ.

235. μή τι μευ ἠύτε παιδός] συνεῖδε καὶ ὁ Ἕκτωρ ὅτι κατα- Β=
πλήττων αὐτὸν ἄρχειν ἐκέλευε τῆς μάχης.

238. οἵδ' ἐπὶ δεξιά, οἵδ' ἐπ' ἀριστερά] ὁ Κάσ⟨σ⟩ιος "δεξιά" Β—
μὲν τὸ διώκειν, "ἀριστερά" δὲ τὸ φεύγειν· καὶ Ἀχιλλεὺς γάρ, φησί, ποδώκης καὶ ποδάρκης.

νωμῆσαι βῶν] τοῦτο ἐξήγησίς ἐστι τοῦ "σακέσπαλος." §. "βῶν" δὲ ἀντὶ τοῦ ἀσπίδος. Α+

βῶν ἀζαλέην] αἱ Ἀριστάρχου "βῶν·" ἡ Ἀριστοφανεία "βοῦν·" Α—
ἡ Ῥιανοῦ "βῶ," ὡς βορέαο "βορέω ὑπ' ἰωγῇ" (Od. 14. 533)· ἐν τοῖς παλαιοῖς ἐγέγραπτο "βόν," ὅπερ οὐκ ἐνίησαν οἱ διορθωταί.

6. ὃν ποίησεν ‖ πολλῆ ‖ 7. post ἀρ. omisi μετῆλθεν ἀφικνεῖσθαι πρὸς αὐτὸν ‖ σπουδῇ: corr. W ‖ 33. ἡ ἠριανοῦ: corr. Hecker ‖ ὑπτωγῇ ‖ 34. βὼν: corr. Bekker

239. τό μοι ἐστὶ ταλαύρινον] τὸ σάκος· πρὸς γὰρ τὸ συνώνυμον ἀπήντησεν, ὡς "νεφέλη δέ μιν—τὸ μὲν οὔποτε" (Od. 12. 74).

240. * ἐπαΐξαι] γράφεται καὶ "ἐπαΐσσειν."

A– 241. δηίῳ μέλπεσθαι] αἱ Ἀριστάρχου "δηίων μέλπεσθαι."

B= ὄρχησις γὰρ καὶ παιδιὰ γενναίων ὁ πόλεμος. πολλὴν δὲ εὐχέρειαν ἐμφαίνει τῶν δεινῶν.

B= 242. ἀλλ' οὐ γάρ σε θέλω βαλέειν—λάθρῃ] καίτοι πάντα τρόπον μάχης εἰδώς· ἡ γὰρ μετὰ ἀπάτης ἀριστεία αἰσχρά.

B= * τοιοῦτον] ἠθικῶς, μέγαν τε ὁρῶν καὶ θαυμαστόν.

246. * ὃς ὄγδοος ἦεν] ἄκρον.

B+ 247. ἐξ δὲ διὰ πτύχας ἦλθε] συναριθμουμένου τοῦ χαλκοῦ τῇ ἑβδόμῃ, ἥτις ἦν ῥινός, ἢ μιᾶς παραλειπομένης.

B= 252. ἠρήρειστο] ἐτράχυνε τὰς συλλαβάς, τὴν βίαν δηλῶν.

B= 255. τὼ δ' ἐκσπασ⟨σ⟩αμένω δόλιχ' ἔγχεα] τὸ ἴδιον ἑκάτερος ἀπὸ τῆς τοῦ ἑτέρου ἀσπίδος.

B= 258. Πριαμίδης μὲν—σάκος] ἐνάρχεται πάλιν, οὐκ ἂν οἶμαι ἀμβλυ⟨ν⟩θείσης τῆς ἀκμῆς ἐν τῇ πρώτῃ βολῇ.

B= 261. στυφέλιξε δέ μιν μεμαῶτα] εἰς τοὔμπροσθεν ὁρμῶντα ἔστησε καὶ ἐπέσχεν.

B= 262. τμήδην αὐχέν' ἐπῆλθε] φυλάσσει μὲν Ἕκτορα τῇ ὑποθέσει, τὴν δὲ καιρίαν Αἴαντι δωρεῖται, ἐπὶ τὸ ἐπικίνδυνον φέρων τὴν ὑπόθεσιν.

B= 263. ἀλλ' οὐδ' ὣς ἀπέληγε] Αἴαντα ἐπιτείνει, τὸ πρόθυμον τοῦ Ἕκτορος αὔξων.

B= 264. ἀλλ' ἀναχασσάμενος] ἡττώμενος ἐν τῇ συστάδην μετάγει τὴν μάχην ὡς πρὸς ἄτρωτον ἢ βαρύοπλον πολεμῶν.

265. μέλανα, τρηχύν τε] τραχύν· τοῦτο συμβαίνει τοῖς μέλασιν.

B= 269. ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον] συνεπέδωκεν ὅλον τὸ σῶμα τῇ βολῇ, καὶ πάσῃ δυνάμει ἐχρήσατο.

B= 270. εἴσω δ' ἀσπίδ' ἔαξε] ἐπὶ μὲν Ἕκτορος τὸ ἀσθενὲς τῆς βολῆς δηλῶν "περιήχησεν" εἶπεν (267), ὡσὰν μηδὲ τοῦ ὁμφαλοῦ θλασθέντος· ἐπὶ δὲ Αἴαντος οὕτω κατέαξε τὴν ἀσπίδα ὡς καὶ πεσεῖν Ἕκτορα.

B= 271. βλάψε δέ οἱ φίλα γούναθ'] οὐκ εἶπεν ὑπὸ τοῦ λίθου ἀλλὰ καὶ τῆς βολῆς, συνωσάσης ἐπ' αὐτὸν τὴν ἀσπίδα.

3. καὶ ἐπαΐξειν A ‖ 19. ἐπέσχεν B: εἵλησεν ‖ 32. κατέαξε B: κατήγαγε

272. τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων] οὕτως Ἀρίσταρχος, οὐκ "ἄψ·" χρεία γὰρ τάχους πρὸς τὴν σωτηρίαν· παρῆν δὲ "φηγῷ ἐφ' ὑψηλῇ" (60).

273. καί νυ κε δὴ ξιφέ⟨ε⟩σσ' αὐτοσχεδόν] τοῦτο γὰρ ἔλειπεν. §. τὸ δὲ "αὐτοσχεδόν" ὀξυντέον· τὰ γὰρ εἰς δον ἐπι⟨ρ⟩ρήματα ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον. B=

274. εἰ μὴ κήρυκες—ἦλθον] οἰκονομικῶς σῶσαι θέλων τὸν Ἕκτορα τῇ ποιήσει, διαλύει τὴν μάχην. B=

276. Ταλθύβιός τε καὶ Ἰδαῖος] ὁ μὲν Ἰδαῖος εἰκότως προσέρχεται, Ἕκτορα σώσων κινδυνεύοντα, ὁ δὲ Ταλθύβιος οὐκέτι, τὴν νίκην τοῦ Αἴαντος παραιρούμενος. ἀλλ' οὐδέπω ἀκριβὴς ἦν ἡ νίκη περὶ τὸν Αἴαντα—ἐπὶ ξίφη γὰρ αὐτοὺς ὡρμῆσ⟨θ⟩αι λέγει—ἔτι τε καὶ τὸν Ἕκτορα ὁρᾷ ὑπὸ θεῶν βοηθούμενον, καὶ διὰ τὸ τῆς νυκτὸς κατάστημα, ἔνθα τύχης οὐ τέχνης κρίσις· ἀπὸ ἴσου ἄρα ὁρμῶνται. A—B=

* κατὰ τὸ σιωπώμενον οἱ ἡγεμόνες αὐτοὺς πέμπουσιν. B=

278. * Ἰδαῖος, πεπνυμένα μήδεα εἰδώς] ἠτυμολόγηται ὁ Ἰδαῖος· δεῖ δὲ συνετὸν εἶναι τὸν κήρυκα.

279. μηκέτι, παῖδε φίλω] ὃ μὲν σεμνοποιῶν τὰ καθ' ἑαυτὸν "παῖδε φίλω" φησίν, ὁ δὲ Αἴας ἐξ ὀνόματος "Ἰδαῖε." B=

281. ἄμφω δ' αἰχμητά] ἴσους ἔφησεν αὐτούς, τὴν τοῦ Ἕκτορος ἧττον ἐπικαλύπτων. B=

282. νὺξ ἤδη τελέθει] εὐπροσώπως, ἵνα διὰ τὸν καιρὸν εἴκειν δοκῇ. §. τὸ δὲ "τελέθει" ἀντὶ τοῦ γίνεται, ἀρ⟨χὴν⟩ λαμβάνει ἡ νύξ, τέλ⟨ειος⟩ ἐγένετο νύξ.

284. Ἕκτορα ταῦτα κελεύε⟨τε⟩] πράου μὲν τὸ ἦθος· οὐ γὰρ προσφιλονεικεῖ, κρατῶν τῇ μάχῃ· συνετοῦ δέ, ὅτι οὐκ εὐθέως τῷ κήρυκι συνεχώρησεν, ἵνα ⟨μὴ⟩ ἄσμενος δοκῇ τὴν διάλυσιν προσίεσθαι, ἀλλὰ τὸν προκαλεσάμενον ᾠήθη δεῖν περὶ διαλύσεως ποιεῖσθαι τοὺς λόγους. ἀξιόπιστον δὲ ἑαυτῷ ποιεῖ νίκην· τὸ μὲν γὰρ φονεύειν κοινόν, τὸ δὲ ὁμολογίαν ἧττης δέξασθαι καὶ ἀπαγορεύσαντα ἐᾶσαι ἀξιόπιστον. διό φησι "καὶ πινυτήν" (289) ⟨καὶ⟩ νῦν ἐγκωμιάζει, ὑπογυ⟨ί⟩ως τῆς ἀρετῆς αὐτοῦ πειραθεὶς καὶ πρὸς ἀπαλλαγὴν ὑποθωπεύων· ἡνίκα δὲ ὑπὸ τῆς τύχης ἐπῆρτο "Αἶαν ἁμαρτοεπές" φησίν (Π. 13. 824). §. ἀντὶ δὲ τοῦ ἐπιταφίου εἰκόνα ἀνιεροῖ τῷ Αἴαντι ὁ ποιητής.

1. οὔχ' ἅψ ‖ 12. supplevi ex B ‖ 13. ὁρᾷ B: ὁρῶν ‖ 14. ἄρα W: γὰρ ut A B ‖ 26. ὅτι μὴ ε. ‖ 27. supplevi ex B

286. * ᾗπερ ἄν] ὥσπερ ἄν.

A + B = 289. καὶ πινυτήν] ὑποστικτέον εἰς τὸ "πινυτήν" [ἢ] εἰς τὸ "φέρτατος ἐσσί."

B = 290. νῦν μὲν παυσώμεσθα—σήμερον] καλῶς προσέθηκε "σήμερον," ἐπεὶ τὸ νῦν ἀόριστόν ἐστιν.

B = 292. * δώῃ δ' ἑτέροισί γε νίκην] ἐντέχνως, ὡς νῦν μὴ νικηθείς.

B = 293. ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι] παροξυντέον· μέσου γάρ ἐστι δευτέρου ἀορίστου, ἀντὶ τοῦ πεισθῆναι.

B = 295. σούς τε μάλιστα ἕτας] καλῶς ἐπὶ Αἴαντος ἡ προσθήκη· πολλοὺς γὰρ εἶχεν ἀντιζήλους, οἳ συνέστησαν αὐτῷ κληρωσόμενοι. εὐφρανεῖς οὖν πάντας μέν φησιν, ἐπεὶ δὲ διαφθονοῦνται τοῖς ἀρίστοις ⟨οἱ ἄριστοι⟩, ἀλλά γε τοὺς σοὺς ἑταίρους· Ἕκτωρ δὲ ἀντίζηλον οὐκ ἔχει. §. ἕται δὲ λέγονται οἱ συνήθεις παρὰ τὸ ἦθος.

A B = 298. θεῖον δύσονται ἀγῶνα] τὰ ἱερά, ἔνθα οἱ θεοὶ αὐλίζονται, διὰ τὰ ἀγάλματα.

* δύσονται] ἔν τισι "δύνονται," οὐκ ὀρθῶς.

B = 299. δῶρα δ' ἄγ' ἀλλήλοισι] ἵνα δοκῇ καὶ ἐξ ἴσου ἀπηλλάχθαι, καὶ ἐπαγόμενος τὴν φιλίαν Αἴαντος.

301. * ᾗ μέν] τὸ "η̄" ἀντὶ τοῦ καί.

B = 302. ἀρθμήσαντε] ἁρμοσθέντες καὶ συμβιβασθέντες.

A B + 303. δῶκε ξίφος ἀργυρόηλον] ὃ μὲν ἀφρόνως ὅπλον ἑαυτὸν ἐκδίδωσιν, ὃ δὲ ὅμως καὶ προπαρασπονδησάντων Τρώων οὐδὲν εἰς αὐτὸν πλημμελεῖ.

B = 304. σὺν κολεῷ τε φέρων] οὐ περιττὸν τὸ ἔπος, ἐπειδὴ ἐσπασμένον ἦν τὸ ξίφος. §. ἀναφορεὺς δὲ μαχαίρας ἡ ἀσπίδος ⟨ὁ κολεός⟩.

* ἐυτμήτῳ] Ἀρίσταρχος "ἐυκμήτῳ."

A = 305. Αἴας—ζωστῆρα] οὐκ ὠφέλιμος τῷ πολεμίῳ ἡ δωρεά· ἐπάγει γὰρ "τὼ δὲ διακρινθέντες" (306).

307. ἐς Τρώων ὅμαδον] "λαόν" καὶ "ὅμαδον" καλῶς διέστειλεν·

B = πανταχοῦ δὲ τὸ θορυβῶδες ὑποσημαίνει τῶν Τρώων.

τοὶ δ' ἐχάρησαν, ὡς εἶδον ζωόν τε] οἷον ἀνέλπιστον πρᾶγμα·

A B = καλῶς δὲ ἐπὶ μὲν Ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐδήλωσεν, ἐπὶ δὲ Αἴαντος τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν.

4. ν. μὲν δὴ παυσώμεθα ‖ 10. κληρωσόμενοι B: κληρώσοντες ‖ 12. supplevi ex B ‖ ἀλλ' ἄγε ‖ 24. κουλεῷ ‖ ἀλλ' post ἔπος ut B: omisi ‖ 26. Ἀ. εὐκμήτω ‖ 29. λαὸν B: καλὸν

310. ἀελπτέοντες σόον εἶναι] μείζονα χαρὰν εἶχον, ὅτι ἐξ ἀπροσ- B=
δοκήτου τὸν στρατηγὸν ἐδέξαντο.

312. εἰς Ἀγαμέμνονα δῖον ἄγον—οἳ δ' ὅτε δὴ κλισίηνδε] ὡς
φαμεν εἰς διδασκάλου, κἂν μὴ ᾖ ἐκεῖ ὁ διδάσκαλος. §. "κεχαρηότα"
δὲ "νίκῃ·" τέτρωται γὰρ καὶ πέπτωκεν Ἕκτωρ καὶ ἀπηγόρευσε τῇ B=
μάχῃ.

314. τοῖσι δὲ βοῦν ἱέρευσε] ἡ μὲν τιμὴ εἰς Δία γίνεται, ἡ δὲ B=
χρεία τῶν κρεῶν εἰς τοὺς στρατιώτας.

321. νώτοισιν δ' Αἴαντα] εὐτελῆ γὰρ τῆς ἀνδραγαθίας τὰ ἆθλα, B=
ὡς κότινος καὶ σέλινον, τὰ δὲ τῆς πλεονεξίας χρυσὸς καὶ ἄργυρος.
ἅμα δὲ διὰ τὸ μὴ δεῖξαι τῷ πολεμίῳ τὰ νῶτα.

324. τοῖς ὁ γέρων πάμπρωτος] ὁ γέρων κατ' ἐξοχήν, ὡς ὁ ποιητής·
εἰς τοῦ⟨το⟩ γὰρ ἐστράτευσεν, ἀγωνιούμενος ⟨ἐν⟩ τῇ βουλῇ.

325. Νέστωρ, οὗ καὶ πρόσθεν] Ἀχιλλέα γὰρ ὅσον ἐφ' ἑαυτῷ B=
χαλεπαίνοντα διήλλαξεν Ἀγαμέμνονι καὶ τοὺς Ἕλληνας ὁρμῶντας
εἰς τὰς πατρίδας ἐπέσχεν· καὶ περὶ διατάξεως ὑπέθετο "ὡς φρήτρη
φρήτρηφιν" (Π. 2. 363), καὶ τοὺς ἀριστέας ὀκνοῦντας εἰς τὴν πρὸς
Ἕκτορα μάχην ἀνήγειρεν.

327. Ἀτρεΐδαί τε καὶ ἄλλοι] καλῶς τὴν ἀρχὴν τῆς συμβουλίας B=
εἰς τὸν ἄρχοντα φέρει, μηδὲ τοὺς ἄλλους παρείς.

328. πολλοὶ γὰρ τεθνᾶσι] προθυμοτέρους τοὺς ζῶντας ποιεῖ τῶν B=
τεθνεώτων μελέτην ποιεῖσθαι· αἰσχρὸν γὰρ ἐδόκει τὸ μὴ ἀξιοῦσθαι
ταφῆς. ἅμα δὲ καὶ διαναπαύειν θέλει τὸν ἀκροατὴν καὶ τειχομα-
χίαν εἰσφέρειν. δῆλον δέ, ὡς ἑκάστοτε τὰς ἀναιρέσεις ἐποιοῦντο
τῶν νεκρῶν.

πολλοὶ γὰρ τεθνᾶσι] εἴωθεν ἄρχεσθαι ἀπὸ τοῦ "γάρ·" τὴν γὰρ A+B=
αἰτίαν προτάσσει τοῦ πράγματος. ἐχρῆν δὲ τοὐναντίον ποιεῖν.

330. ἐσκέδασ' ὀξὺς Ἄρης] σκληρῶς καὶ ἐμφαντικῶς τοῦτό φησιν.

ψυχαὶ δ' Ἀϊδόσδε κατῆλθον] ὅτι κἀκεῖ δεῖ γράφειν "πολλὰς δ' A=
ἰφθίμους ψυχάς" (Π. 1. 3), οὐ "κεφαλάς."

332. * κυκλήσομεν] ἐφ' ἅμαξῶν κομιοῦμεν. B+

334. τυτθὸν ἄπο πρὸ νεῶν] ἄπωθεν μὲν αὐτῶν, ἔμπροσθεν δέ. A—B=
Ἀρίσταρχος ἀναστρέφει τὴν "ἀπό," ἵνα σημαίνῃ τὸ ἄπωθεν, καὶ
τὴν "πρό" ὡς πλεονάζουσαν κοιμίζει. ὁ δὲ Ἡρῳδιανὸς τῆς "ἀπό"

13. το suppl. rec. ‖ 14. γ. τὸ ὅ. ut B ‖ 22. μελέτην ποιεῖσθαι scripsi, 'fortasse μεταποιεῖσθαι' W: μεταποιούμενος ut B ‖ 26. τοῦ γάρ A B: ἡλίου ‖ 31. ἐπ' ἀμαξῶν κομίσομεν

φυλάσσει τὸν τόνον, καὶ συντάσσει αὐτὴν τῷ "νεῶν," τὴν δὲ "πρό" ὡς πλεονάζουσαν κοιμίζει. τινὲς δὲ τοῦ ἀπόπροθι ἀποκοπὴν αὐτὸ νομίζουσιν.

335. οἴκαδ' ἄγῃ] καὶ πῶς ἐν Ὀδυσσείᾳ φησὶν "ἀμφ' αὐτοῖσ⟨ι δ'⟩
B= ἔπειτα μέγαν" (Od. 24. 80). §. τοῦτο πρὸς παραμυθίαν τῶν ζώντων εἴρηται μέν, οὐχ οὕτω δὲ πέπρακται διὰ τὴν στάσιν τῶν Ἀτρειδῶν καὶ τὸν ἀποθύμιον πλοῦν.

336. τύμβον δ' ἀμφὶ πυρὴν ἕνα] μεγάλην περιβολὴν ποιησάμενοι. §. γράφεται δὲ καὶ "ἀμφίβολον" μέγιστον, ἐν ᾧ ἑκάστου ἀποκείσονται τὰ ὀστᾶ.

AB= ἕνα χεύομεν ἐξαγαγόντες] ὑποστικτέον εἰς τὸ "χεύομεν." §. τὸ
A+B= δὲ "ἐξαγαγόντες" ὅμοιόν ἐστι τῷ "Λαοδίκην ἐσάγουσα" (Il. 6. 252) ἀντὶ τοῦ εἰσερχομένη. οὕτω καὶ νῦν ἀντὶ τοῦ ἐξελθόντες τοῦ πεδίου.

B– §. "ἄκριτον" δὲ ἀντὶ τοῦ χύδην ἰσόπεδον, ὅπως μὴ ἐπιγινώσκηται εἰ ἔστι τάφος. οὕτω Πορφύριος.

B= 337. δείμομεν ὦκα πύργους] ὦκα, ἵνα μὴ ἀπίθανον δοκῇ τὸ ἐν μιᾷ ἡμέρᾳ τεῖχος γενέσθαι.

A= 338. * εἶλαρ] ὀχύρωμα.

AB– 339. ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν] μία μὲν ἦν ἱππήλατος ἐπὶ τὸ ἀριστερὸν τοῦ ναυστάθμου πρὸς τὸ Ῥοίτειον "νηῶν ἐπ' ἀριστερά, τῇ περ Ἀχαιοὶ—νίσ⟨σ⟩οντο σὺν ἵπποισιν" (Il. 12. 119), ἄλλας δὲ πυλίδας εἶχον πρὸς ἄλλας χρείας.

342. * ἀμφὶς ἐοῦσα] γράφεται "ἀμφὶς ἔχουσα."

B= 345. Τρώων αὖτ' ἀγορή] ἔδει γὰρ τῶν τοῦ βασιλέως υἱῶν ἡττωμένων καὶ κινδυνευσάσης τῆς πόλεως ὑπὸ Διομήδους, δυσελπίδων ὄντων διὰ τὴν παράβασιν, σκοπεῖν περὶ τῶν ἀναγκαίων. ἔστι δὲ ἐν τοῖς Ἕλλησι Νέστωρ, ἐν δὲ Τρωσὶν Ἀντήνωρ.

A+ 346. * δεινή, τετρηχυῖα] κατ' ἄμφω ὀλίγον διασταλτέον.

AB= τετρηχυῖα] τεταραγμένη, ἢ διὰ τὰ προλεχθέντα, ἢ διὰ τὸ "πολύκλητοι δ' ἔσαν" (Il. 4. 438), ἢ διὰ τὸ διχεγνωμονεῖν περὶ Ἑλένης, ὡς Ἀντήνωρ καὶ Ἀντίμαχος. δηλοῖ, ὡς οὐχ οἱ βασιλεῖς συνήγαγον αὐτούς, ἀλλ' ἀγανακτοῦντες ἦκον εἰς τὰ βασίλεια.

B= 347. τοῖσιν δ' Ἀντήνωρ] ὡς πρόξενος Ἑλλήνων καὶ δημηγορῶν

1. τῷ B: τῇ ‖ 11. ἓν ἀχεύομεν ‖ 12. τῷ B: τοῦ ‖ 26. περὶ W: τι ut B ‖ 29. supra τεταραγμένη add. sec. θορυβώδης

καὶ θεοσεβής. Ἕκτωρ δὲ σιωπᾷ αἰσχυνόμενος διαλύειν τὴν μάχην, ἵνα μὴ δοκῇ δεδοικέναι διὰ τὸ νεωστὶ ἡττῆσθαι.

351. ὅρκια—ψευσάμενοι] μετρίως καὶ ἑαυτὸν συγκαταλέγει, B=
ὅπως πικρότερον χρήσηται τῷ ἐλέγχῳ.

353. * ἔλπομαι] μετριώτερον, ὡς τὸ "οἴομαι ἄνδρα χολωσέμεν" (Il. 1. 78).

ἵνα μὴ ῥέξομεν ὧδε] "ἵν' ἄν" αἱ Ἀριστάρχου σὺν τῷ ν̄, καίτοι A– B+
ὠβελισμένου τοῦ στίχου.

357. οὐκέτ' ἐμοὶ φίλα] οὐ γὰρ τὰ κοινῇ συμφέροντα θέλει B–
ἀκούειν, ἅπαξ καταβυθισθεὶς τῷ ἔρωτι τῆς Ἑλένης.

358. οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα] καὶ τί βέλτιον τοῦ ⟨ἀπο-⟩ B=
δοῦναι τὰ ἀλλότρια καὶ τοῖς ὅρκοις ἐμμένειν; ὡς πολέμια δὲ φρονοῦντα διαβάλλει, οὐ διὰ τὸ εὐσεβές.

360. ἐξ ἄρα δή τοι ἔπειτα] αὐτὸς ἐν μεγίστῃ φρενοβλαβείᾳ ὢν B=
τοῦτο ὀνειδίζει τῷ γέροντι.

362. ἀντικρὺ δ' ἀπόφημι] κατὰ πρόσωπον καὶ ἐξ ἐναντίας πάντων. B=

γυναῖκα μὲν οὐκ ἀποδώσω] χαρακτηρίζει κιναίδου λόγον καὶ B=
τέλεον ἀπηρυθριακότος· διὰ γοῦν τοῦ "ἀποδώσω" ὁμολογεῖ ἀδίκως αὐτὴν ἔχειν.

363. κτήματα δὲ—ἐθέλω δόμεναι] οὐχ ὡς πεισομένων Ἑλλήνων, B=
ἀλλ' ὅπως ἔχῃ πρόβλημά τι.

366. Δαρδανίδης Πρίαμος—ἀγορήσατο] οὔτε γὰρ Ἀντήνορι ἀντι- B=
λέγει οὔτε τῷ παιδί, πολιτικὴν ὑφορώμενος στάσιν διὰ τοὺς συναιρομένους αὐτῷ. ἢ τάχα καὶ τοὺς Ἕλληνας ἀκούων δυσχεραίνειν τῷ μήκει τῆς μάχης ᾤετο δέξεσθαι τὴν πρεσβείαν.

374. μῦθον Ἀλεξάνδροιο] τὸ τυραννικὸν Ἀλεξάνδρου δείκνυσι πρᾳοτέρους κατὰ τῶν Τρώων τοὺς Ἕλληνας· διὰ τοῦτο γὰρ εἶπε "τοῦ δ' εἵνεκα νεῖκος ὄρωρεν."

375. καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔπος] "πυκινόν," ἐπειδὴ τοῦτο B=
ἀνακτήσεται τοὺς κάμνοντας, ἵν' ἀδεῶς ἐπιμιγνύμενοι ἀλλήλοις ἀφορμὴν τοῦ ποιήσασθαι εἰρήνην λάβωσιν. ὃ ἔσπευδον δ' Ἕλληνες, τοῦτο δοκοῦσι χαρίζεσθαι.

382. τοὺς δ' εὗρ' εἰν ἀγορῇ] οὐκ εἰς ἐκκλησίαν ἀλλ' ἔωθεν πρὸς B=
Ἀγαμέμνονα ἐλθόντας, εἴ τι δέοι πράσσειν τῶν βουλευθέντων.

2. δ. τοῦ ν. ‖ 7. ῥέξωμεν ‖ ἵναν αἱ ‖ 25. δέξεσθαι W: δέξασθαι ut B ‖ 30. ἵνα ἀδεῶς B: ἵνα δὲ ὡς

384. ἠπύτα] ὡς ἱππότα καὶ ἱππηλάτα· "ἠπύτα" δὲ ἀντὶ τοῦ μεγαλόφωνος.

B= 393. ἦ μὴν Τρῶές γε κέλονται] ψεύδεται εἰς τὸ κεχαρισμένον Τρωσί, καὶ ἵνα ἐάσωσι ταφῆναι τοὺς Τρῶας καὶ γνόντες, ὡς οὐχ οἷοί τε εἰσὶν ἀναγκάσαι Ἀλέξανδρον, ἀποπλεύσωσιν.

394. *ἠνώγεον] οἱ ἄλλοι Τρῶες.

B= 398. ἀκὴν ἐγένοντο] στρατηγικῶς τέως Ἀγαμέμνων σιωπᾷ ἐπιτρέπων τοῖς Ἀχαιοῖς τὸ πέρας, ὅπως αἰσχυνόμενοι μηδὲν ἄνανδρον εἴπωσι, καὶ ἵνα καταπλαγῶσι Τρῶες τῇ τῶν συμμάχων προθυμίᾳ.

B= 399. ὀψὲ δὲ δὴ μετέειπε—Διομήδης] ἀνέμενε γὰρ τὴν τῶν Ἀτρειδῶν γνώμην· ὡς πεποιθὼς δὲ τῇ ἀριστείᾳ ἀνέστη.

401. *Ἑλένην] ἐπιτατικῶς.

*γνωτὸν δέ] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

B= 402. Τρώεσσιν ὀλέθρου πείρατα] καὶ διὰ τὴν παράβασιν καὶ ⟨διὰ⟩ τὸ σπεύδειν ἐπὶ τὴν διάλυσιν Τρῶας.

B= 404. μῦθον ἀγασσάμενοι] σύμψηφοι γίνονται τῇ καταθέσει· διό φησιν "ἦτοι μῦθον Ἀχαιῶν ⟨αὐτὸς ἀκούεις⟩" (406).

A + B= 407. ὥς τοι ὑποκρίνονται] ἀποκρίνονται. ὅθεν καὶ ὑποκριτὴς ὁ πρὸς τὸν χορὸν ἀποκρινόμενος.

A + B= 408. ἀμφὶ δὲ νεκροῖσιν] μετὰ ὑποκρίσεως δεῖ ὑποστίζειν εἰς τὸ

B= "νεκροῖσιν." §. μεγαλοφυῶς δὲ οὐκ ἀποκρύπτει τὴν ἰδίαν γνώμην. ἠθικεύεται δὲ δοκῶν αὐτοῖς χαρίζεσθαι.

B= 409. οὐ γάρ τις φειδὼ νεκύων] οὐδὲν γὰρ κέρδος τοὺς τῶν πολεμίων νεκροὺς ἀτάφους εἶναι.

A − B= ἄλλως: οὐ γάρ τις φειδώ] Ἀττικὴ ἡ σύνταξις· οὐ γάρ τις φειδὼ γίνεται τοῖς τεθνεῶσι νέκυσι χαρίζεσθαι τοῦ πυρός· τοῦτο γὰρ δηλοῖ τὸ "μειλισσέμεν," ἐπεὶ γλυκεῖα ἡ χάρις. οὕτως ἔχει καὶ τὸ "μηδέ τι μ' αἰδόμενος μειλίσσεο" (Od. 3. 96), ἀντὶ τοῦ χαρίζεο.

B= 411. ὅρκια δὲ Ζεὺς ἴστω] ἢ τὰ νῦν περὶ τῶν νεκρῶν, ἢ τὰ πρότερα ἃ παρέβησαν, ἵνα ἐκδειματώσῃ τοὺς Τρῶας.

412. τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσι] μάρτυρας αὐτοὺς καλῶν.

B= 416. ἀγγελίην ἀπέειπε] ὅτι προσεδέξαντο τὴν πρεσβείαν οἱ Ἕλληνες.

B= 417. τοὶ δ' ὑπλίζοντο μάλ' ὦκα] οὐκ ἔδει γὰρ λόγων ἀλλ' ἀντέχεσθαι ἔργου.

3. ἦμην ‖ 14, 17. supplevi ex B ‖ 31. ἀνέχεσθε ‖ 32. ὅτι μὴ B, ὅπως μὴ

421. *νέον προσέβαλ(λ)εν ἀρούρας*] *καλῶς τῷ παρατατικῷ ἐχρήσατο· κατ' ὀλίγον γὰρ φωτίζει τὴν γῆν ὁ ἥλιος σφαιροειδῆ οὖσαν.* §. "*ἐξ ἀκαλαρρείταο*" (422) *δὲ ἐκ τοῦ πραέως ῥέοντος.* B=

424. *ἔνθα διαγωῦναι χαλεπῶς ἦν ἄνδρ(α) ἕκαστον*] *καὶ τοῦτο προσετραγῴδησεν.*

426. *δάκρυα θερμὰ χέοντες*] *βαρβάρων ἴδιον ὁ θρῆνος, ἐπὶ δὲ τῶν Ἑλλήνων μόνον "ἀχνύμενοι" φησίν· πάλιν γὰρ τὸ μὴ λυπεῖσθαι ἀπαθείας ἦν.* A– B=

427. *οἳ δὲ σιωπῇ νεκροὺς—ἐπενήνεον*] *πληθυντικῶς ἐπὶ τῶν Τρώων.*

οὐδ' εἴα κλαίειν Πρίαμος] *ἵνα μὴ κατάδηλοι τοῖς πολεμίοις εἶεν μαλακιζόμενοι.* B=

428. *πυρκαϊῆς ἐπενήνεον*] *οὕτως αἱ Ἀριστάρχου· αἱ δὲ Ζηνοδότου "πυρκαϊῇ·" καὶ ἔστι χαριέστερον, ὡς τὸ "ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν" (Il. 23. 165)· γράφεται δὲ καὶ "ἐπινήνεον," καὶ ἔστιν Ἰακόν.* A=

433. *ἀμφιλύκη νύξ*] *παρὰ τὴν λύγγην, ὅ ἐστι σκιάν· καὶ λυκόφως τὸ μεταξὺ σκότους καὶ φωτός.* AB+

434. *κριτὸς—λαός*] *εἰς αὐτὸ τοῦτο κριθεὶς τὰ περὶ τὴν πυρκαϊὰν ἐκπονῆσαι.* B=

435. *τύμβον δ' ἀμφ' αὐτὴν ἕνα ποίεον*] *τὰ ἀνάξια τῆς ἡρωικῆς μεγαλονοίας παρατρέχει. καὶ οὐδεὶς αὐτῶν χειρωνακτῶν ὁρᾶται.* B+

436. *ἄκριτον ἐκ πεδίου*] *ἐν τῇ Ἀριστοφάνους "ἐν πεδίῳ," καὶ μήποτε ἄμεινον οὕτως.* A+

443. *οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ*] *τὴν ἀγορὰν τῶν θεῶν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ αὐτὸς Ἀρίσταρχος.* A+

οἱ δὲ θεοὶ πὰρ Ζηνί] *τοῦτο εἰς ἀξιοπιστίαν τοῦ ἔργου καὶ ἀναιρῶν ὃ ἐπλάσατο.*

445. *τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων*] *ἀναιρῆσαι τὸ πλάσμα τοῦ τείχους σπουδάζων ὁ ποιητὴς ὥσπερ ἀπὸ μηχανῆς βοήθειαν πορίζεται εἰς τὸ μηδένα ἐπιζητεῖν ὕστερον τὰ τῶν τειχῶν ἴσχνη. οὐδενὶ δὲ ἥρμοττεν ἡ κατηγορία ἢ Ποσειδῶνι καὶ Ἀπόλλωνι, ἀντιτειχιζόντων τῶν Ἑλλήνων τῷ Τρωικῷ τείχει. καὶ ὁ μὲν Ἀπόλλων οὐ λαλεῖ—ἦ* B=

3. post *ῥέοντος* add. sec. *ἄκαλον γὰρ παρὰ τοῖς παλαιοῖς τὸ ἥσυχον* ‖ 18. post *φωτός* add. sec. *οἱονεὶ λυκόφως τι ὂν τὸ μὴ καθαρὸν φῶς, ἀλλ' ἔτι σκοτῶδες* ut A B^2 ‖ 22. *αὐτῶν* B : *αὐτὸν*

γὰρ ἂν εἶπεν ἡ Ἥρα "εἴη κεν καὶ τοῦτο τεὸν ἔπος" (Π. 24. 56)—Ποσειδῶν δὲ Ἑλληνικὸς ὢν θεὸς δοκεῖ ἀπαθῶς τῶν Ἑλλήνων κατηγορεῖν.

B= 447. καὶ μῆτιν ἐνίψει] λέξει, ἀνακοινώσεται διὰ θυσιῶν συνεργοὺς αὐτοὺς θέλων λαβεῖν· οἱ γὰρ θύοντες εἴσονται παρὰ θεῶν εἰ δεῖ ἐγχειρεῖν ἔργοις ἢ οὔ.

ἐνίψει] τινὲς ἀπὸ τοῦ ἐνισπήσει ἢ λοιδορήσει.

450. οὐδὲ θεοῖσι δόσαν] ἠθικὸν μὴ συγκαταλέγειν ἑαυτόν, ὡς τὸ "ὅστις ἔτ' ἀθανάτοισι" (447). παιδεύει δέ, ὅτι καὶ προσφιλὴς ὢν τοῖς Ἕλλησιν ὁ θεὸς οὐ νέμει συγγνώμην, οὐδὲ Ἀθηνᾶ, Ἀπόλλων δὲ σιωπᾷ· ἢ γὰρ ⟨ἂν⟩ εἶπεν Ἥρα "εἴη κεν καὶ τοῦτο τεὸν ἔπος (Il. 24. 56)·" Ἕλληνες δὲ πρόφασιν ἔχουσι τὸ ἐπὶ τῇ τῶν νεκρῶν ταφῇ τὸ τεῖχος ἐγεῖραι.

B= 451. τοῦ δ' ἤτοι κλέος ἔσται] ἴσως διὰ τὴν ποίησιν αὐτοῦ· διὰ γὰρ ταύτην τὸ τεῖχος ἀοίδιμόν ἐστιν, οὐ δομηθὲν τοῖς Ἕλλησιν ἀλλ'

B= Ὁμήρῳ γενόμενον ἕνεκεν τῆς ἐπ' αὐτῷ μάχης. §. διὰ δὲ τοῦ "ὅσην τ' ἐπικίδναται ἠώς" ὑπερβολικῶς καὶ τὴν ἀοίκητον περιέλαβεν.

A= ὅσον τ' ἐπικίδναται] "ὅσην" Ἀρίσταρχος· Ζηνόδοτος "ὅσον."

A= 453. ἥρῳ Λαομέδοντι] καὶ "ἥρῳ Δημοδόκῳ" (Od. 8. 483) καὶ "ἦλθεν Ἄρῃ ἐπίκουρος" (Il. 21. 431). §. τὸ δὲ "πολίσσαμεν" ἀντὶ τοῦ περὶ τὴν πόλιν ᾠκοδομήσαμεν.

455. ἐννοσίγαι' εὐρυσθενές] κατὰ γὰρ Θαλῆν ὕδατι ὀχεῖται ἡ γῆ· ὅθεν καὶ χάσματα γίνεται.

464. ὡς οἱ μὲν τοιαῦτα] παρεκτείνων τὸ ἔργον τὴν τῶν θεῶν ἀγορὰν παρέλαβεν· ἄτοπον γὰρ ἦν εἰπεῖν 'ὡς οἱ μὲν πονέοντο,' εἶτα εὐθὺς "δύσετό τ' ἠέλιος" (465).

AB= 466. βουφόνεον] βουφονεῖν ἐστιν οὐ τὸ θύειν θεοῖς—ἄτοπον γὰρ ἐπὶ θυσίας φόνον λέγειν—ἀλλὰ τὸ φονεύειν βοῦς εἰς δεῖπνου κατασκευήν.

B= 467. νῆες δ' ἐκ Λήμνοιο] ἐπιτηδείως ἐδήλωσε πόθεν αὐτοῖς ἡ χορηγία ἦν.

468. Ἰησονίδης Εὔνηος] ὅτι καὶ τὰ Ἀργοναυτικὰ οἶδεν· οἰκεία δὲ Εὐνήῳ ἡ ἐμπορία καὶ πρὸς ὁμοφύλους γινομένη.

471. μέθυ, χίλια μέτρα] ἀντὶ τοῦ μέθυος, ὅ ἐστιν οἴνου.

B= 475. ἄλλοι δ' ἀνδραποδεσσι] οὐ περισπούδαστος γὰρ ἡ τῶν

6. ἐνισπείσει ‖ 17. ὅσην A : οὕτως ‖ Z. τόσον cf. A ‖ 19. Ἄρῃ W : Ἄρει ‖ 22. γράφεται : corr. ex Et. M. p. 223, 3 W

ἀνδραπόδων κτῆσις. §. γράφεται καὶ "ἀνδραπόδοισι." §. νεωτερικὸν τὸ A−
τῶν ἀνδραπόδων ὄνομα· διὸ καὶ ἠθέτητο ὑπὸ Ἀριστάρχου. A+

* θάλειαν] ἡδεῖαν.

479. σμερδαλέα κτυπέων] προκινεῖ ⟨καὶ ἀγωνιᾶν ποιεῖ⟩ τὸν B=
ἀκροατὴν ἐπὶ τοῖς ἐσομένοις ὁ ποιητής.

480. χαμάδις χέον] καλῶς τὸ "χέον," ἐπεὶ μὴ προσίεται τὴν B=
σπονδὴν ὁ Ζεύς, ὡς καὶ ἐπὶ τοῦ μονομαχίου Ἀλεξάνδρου (Il. 3. 296).

481. πρὶν λεῖψαι] πρὶν ἤ, ὡς τὸ "μὴ πρὶν παρ' νηῶν—πρὶν πυρί" B−
(Il. 14. 46).

* ὑπερμενέι] ὡς καταιβάτῃ.

482. κοιμήσαντο] ἀνεκλίθησαν, ὡς "Εὐρυνόμῃ δ' ἄρ' ἐπὶ χλαῖναν A+ B=
βάλε κοιμηθέντι" (Od. 20. 4).

ὕπνου δῶρον ἔλοντο] δῶρον ὕπνου τὸ κοίμημα, ὅπερ ἡμῖν ὁ σωμα- AB=
τοειδὴς ὕπνος δωρεῖται.

ΕΙΣ ΤΗΝ Θ.

Τὴν ῥαψῳδίαν κόλον μάχην καλοῦσιν· συντέμνει γὰρ τὴν διήγησιν AB=
συναχθόμενος τοῖς Ἀχαιοῖς.

1. κροκόπεπλος] ὅταν πολὺ σκότους ἔχῃ, ὀλίγον δὲ φωτός. §. τὸ δὲ A=
"ῥοδοδάκτυλος" ἐναντίον· ποιητικὴ δέ ἐστι περίφρασις, ὡσεὶ εἶπεν A=
'ἡμέρα μὲν γέγονεν.'

ἐκίδνατο] ἐν παρατάσει· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' A=
ἓν φωτίζεται.

2. Ζεὺς δὲ θεῶν ἀγορήν] εἰκότως νῦν ἄρχεται συμμαχεῖν Τρωσὶν B=
ὁ Ζεύς, ὁπότε τῆς παραβάσεως δίκας ἀπέτισαν Διομήδει καὶ
Πάνδαρος ἀνῃρέθη καὶ Τρῶες ὡμολόγησαν τὴν παράβασιν δι' ὧν
πέμπουσιν Ἰδαῖον ἀπολογούμενοι τοῖς Ἕλλησιν. αὔξει δὲ τὰ
Ἑλλήνων ὁ ποιητής, εἴγε καὶ ἐκκλησίας ἐδέησε τῷ Διὶ ἔν τε τοῖς
ἑξῆς καὶ κεραυνῶν πρὸς τὴν ἧτταν αὐτῶν. καὶ ἐν ἄλλοις μὲν γὰρ
ποιεῖ ἐκκλησιάζοντας τοὺς θεούς, ἀλλ' ἁπλούστερον, ἐνταῦθα δὲ Ζεὺς
συνάγει καὶ πρωτολογεῖ, τόπος τε ἀποδείκνυται τῇ ἀγορᾷ, ὡς δὴ
περὶ μεγάλων καὶ ἀναγκαίων. δηλοῖ δὲ καὶ ἡ ἔωθεν ἀγορὰ τὸ παν-
νύχιον αὐτὸν περὶ αὐτῆς ἐσκέφθαι· ἄλλως τε καὶ προεῖπε "παννύ-

4. suppl. W ex B ‖ 10. καταιβάτην ‖ 12. βάλλε ‖ 15. addidi: θῆτα ὁμήρου ῥαψῳδία textui inscriptum ‖ 16. κῶλον ‖ 18. ὀλίγου ‖ 32. αὐτῶν π. ‖ ἐσκεῦθαι

χιος δέ σφιν κακὰ μήδετο" (Il. 7. 478). μέγα οὖν εἰ ἐν τοιούτῳ καιρῷ κἂν ἀντέσχον Ἕλληνες.

B= * τερπικέραυνος] ὁ τοῖς κεραυνοῖς τρέπων τοὺς ἐναντίους.

A+ B= 4. θεοὶ δ' ὑπὸ πάντες ἄκουον] ἡ "ὑπό" πρὸς τὸ "ἄκουον·" διὸ οὐκ ἀνα⟨σ⟩τρεπτέον τὴν πρόθεσιν, ἀλλὰ πρὸς τὸ πειθαρχικὸν ⟨χρὴ νοεῖν⟩· ὑπακούειν γάρ ἐστι τὸ τὰ λεγόμενα πράσσειν ἀκούοντας, ἑκόντας ἢ ἄκοντας.

B= 5. κέκλυτέ μευ, πάντες ⟨τε⟩ θεοί] κοινοποιεῖται, ἵνα μὴ λυπήσῃ τοὺς

B= Ἀχαιϊκοὺς ⟨διὰ⟩ τὴν ἀρετήν. §. τὸ δὲ "θέαιναι" δι' Ἥραν καὶ Ἀθηνᾶν.

B= 7. μήτε τις οὖν θήλεια θεός] καὶ νῦν ἀπ' αὐτῶν ἄρχεται, ὑπονοῶν τὰς περὶ Ἥραν· οἶδε γὰρ ταύτας ἀπειθούσας.

B= θήλεια θεός] τὸ "θεός" κοινόν, ᾧ ἀντὶ τοῦ ἄρθρου παρέπλεξε τὸ "θήλεια" καὶ "ἄρσην."

AB= 8. διακέρσαι] διακόψαι· ὅθεν καὶ κέρμα τὸ εἰς μικρὰ διακεκομ-

B= μένον. §. τὸ δὲ "ἐμὸν ἔπος" τὴν ἐμὴν ἐπαγγελίαν ἣν ὑπεσχόμην Θέτιδι. πρόθυμος δέ ἐστι δεικνὺς οἵους δεῖ περὶ τὰς ὑποσχέσεις εἶναι.

B= 9. * αἰνεῖτε] σπεύδει γὰρ ἐξαγαγεῖν Πάτροκλον καὶ τιμῆσαι Ἀχιλλέα.

B= τελευτήσω τάδε ἔργα] ποῖα ἔργα; τὸ τιμῆσαι μὲν Ἀχιλλέα, πολλοὺς δὲ τῶν Ἑλλήνων ἀπολέσαι. πιθανῶς δὲ οὐκ ἐπεξηγεῖται ποῖα ἔργα.

B= 10. ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν] τὸ ἑξῆς· ὃν ἂν ἐγὼ ἴδω τῶν θεῶν χωρὶς ἐμοῦ ἐλθόντα εἰς τὴν μάχην, θέλοντα Τρωσὶν ἢ Ἕλλησι βοηθῆσαι.

A+ * ἀπάνευθε] Ἀριστοφάνης "ἀπάτερθε" χωρὶς ἐμοῦ, δίχα ἐμῆς ἐπιτροπῆς.

11. * ἢ Τρώεσσιν—ἢ Δαναοῖσιν] τὸ κοινὸν οὐ λυπεῖ.

A~ B– 12. * ἄμεινον ὑποστίζειν εἰς τὸ "πληγείς," καὶ ἔστιν ἀντὶ ⟨τοῦ⟩ κεραυνωθείς· καὶ "οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων, πληγέντε κεραυνῷ" (455).

B= πληγεὶς οὐ κατὰ κόσμον] διδάσκει, ὡς οἱ παραβαίνοντες τὰ τῶν ἀρχόντων θεσπίσματα κολαστέοι εἰσίν.

13. * ἤ μιν] τὸ "ἤ" ἀντὶ τοῦ ἀλλά.

3. post ἐναντίους add. sec. καὶ ὁ τρεπόμενος ⟨corr. τερπόμενος⟩ τοῖς κεραυνοῖς ‖ 5. supplevi ex B ‖ 9. supplevi ex B² ‖ τὴν ἀρετὴν ante ἵνα 8. scriptum, cf. B² ‖ 28. supplevi ex B

ἐς Τάρταρον ἠερόεντα] ἐναντίος Ὀλύμπῳ ὁ Τάρταρος· ὃ μὲν γὰρ AB=
"οὔτ' ἀνέμοισι τινάσσεται οὐδέ ποτ' ὄμβρῳ" (Od. 6. 43), ὁ δὲ
Τάρταρος καὶ τετάρακται καὶ ψυχρὸς εἶναι δοκεῖ· καὶ γοῦν τὸ
σφόδρα ῥιγοῦν ταρταρίζειν φασίν· καὶ ὃ μὲν ὅλος καταλάμπεται, ὁ
δὲ ἠερόεις ἐστίν.

14. ὑπὸ χθονός ἐστι βέρεθρον] οἱ Ἀττικοὶ βάραθρόν φασιν. §. πῶς δὲ B=
μεσούσης ⟨γῆς⟩ κατενεχθήσεται εἰς Τάρταρον; ἢ ὅτι οἱ ἀπειλοῦντες B+
πάντα δυνατὰ ⟨ὑφίστανται πρὸς κατάπληξιν⟩.

15. ἔνθα σιδήρειαί τε πύλαι] κολαστήριον γάρ ἐστι φυλάσσον B=
τοὺς δεσμώτας· καὶ "πυλάρταο κρατεροῖο" (Il. 13. 415). οὐχ
ἱστορεῖ δέ, ἀλλὰ φοβερὰν δείκνυσι τὴν ἄνοδον.

16. τόσσον ἔνερθ' Ἄϊδεω] ἔδει 'τόσ⟨σ⟩ον ἔνερθ' ἀπὸ γῆς·' τάχα B=
οὖν ἀπὸ τῆς ἀρχῆς τοῦ Ἅιδου φησίν. §. ὡς ⟨τὰ⟩ οὐράνια τρία δια- A– B=
στήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων
καὶ τῆς Διὸς ἀρχῆς, οὕτω καὶ ἀπὸ γῆς εἰς Ἅιδου, ἀπὸ δὲ Ἅιδου
εἰς Τάρταρον. δῆλον δέ, ὅτι οὐ σφαιροειδὴς ἡ γῆ κατὰ τοῦτον τὸν
λόγον, ἀλλ' ἐπίπεδος.

18. εἰ δ' ἄγε πειρήσασθε] τῷ ἀποτόμως ἀπειλοῦντι καὶ τὴν AB=
ῥώμην οὐκ ἄτοπον ἐνδείκνυσθαι, 'εἰ βούλεσθε τὴν διαφορὰν γνῶναι,
πειράθητε.' μεγάλα δὲ ὄντα τὰ προστάγματα μείζοσιν ὑπερβολαῖς
ἐπιστώσατο. §. τοῦτον δὲ καὶ τὸν ἑξῆς συνάπτει Νικάνωρ· εἰς δὲ τὸ B=
"κρεμάσαντες" τελείαν τίθησιν.

ἵνα εἴδετε πάντες] ἢ συστολὰς ἢ ἐναλλαγὰς κλίσεων νομιστέον A+
τὰ τοιαῦτα, ὡς τὸ "ὄβ' ἤδεϊ λέξεται ὕπνῳ" (Il. 4. 131).

20. πάντες δ' ἐξάπτεσθε θεοί] ταῦτά φησι δεικνύς, ὡς οὐ καθ' B–
ἕνα, συλλήβδην δὲ πάντων κρείττων· καὶ Ποσειδῶν, οὗ πως ἔστι "Διὶ
Κρονίωνι μάχεσθαι ἡμέας τοὺς ἄλ[λους]" (210).

22. *Ζῆν' ὕπατον μήστωρα] δείκνυσιν οἷς δεῖ κοσμεῖσθαι τὸν B=
ἄρχοντα, ῥώμῃ καὶ συνέσει.

*κάμοιτε] γράφεται καὶ "πάθοιτε." A=

23. ἀλλ' ὅτε δὴ—πρόφρων ⟨ἐθέλοιμι⟩] ⟨"ἐθέλωμι"⟩ οὕτω διὰ A+
τοῦ ω· Πτολεμαῖος δὲ ἀντὶ τοῦ πρόφρων "πρόσ⟨σ⟩ω" [γράφει].

2. οὔποτ' ἀ. ‖ οὐδέ ποτε δὲ ‖ scholio pr. hanc add. figuram ut A ‖ 8. τὰ ἀδύνατα B ‖ suppl. W cf. B ‖ 12. ἔνερθεν ‖ 13. supplevi ex B ‖ 22. ὑποτελείαν coni. Friedl. ‖ 23. εἰδῆτε ‖ 24. ὄθεν ‖ 27. κρανίωνι ‖ 30. πάθοιτε A: πείθητε ‖ 32. supplevi ex A ‖ novavit pr.



B= 24. αὐτῇ κεν γαίῃ ἐρύσαιμι] λείπει ἡ σύν, ὡς "αὐτῇσιν ῥίζῃσι" (Π. 9. 542). πιθανῶς δὲ οὐ μόνους εἶπεν ἀνασπάσειν θεοὺς ἀλλὰ καὶ τὸν περιέχοντα αὐτοὺς τόπον, τὸν Ὄλυμπον.

B= 25. περὶ ῥίον] ἵνα αὐτὸ δεσμεύσας ἐπαίρῃ, συνερριζωμένης αὐτῷ τῆς γῆς, τῇ δὲ γῇ τῆς θαλάττης.

26. * δείκνυσιν, ὅτι βέβηκεν ὁ Ὄλυμπος καὶ οὐκ ἔστι μετέωρος.

B– 27. περί τ' εἰμὶ θεῶν περί τ' εἰμὶ ἀνθρώπων] ἔδει τὸ ἀσθενὲς προτάξαι· ἢ οὖν τὸ μέτρον αἴτιον· "ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης" (Od. 4. 45)· ἢ εὐτελίζων τοὺς θεοὺς ⟨τοῦτό φησιν⟩.

A+ 29. * ἀγασσάμενοι] γράφεται καὶ "φρασ⟨σ⟩άμενοι."

B= 30. ὀψὲ δὲ δὴ μετέειπε] πιθανῶς οὐχὶ Ἥρα λέγει· ἐξεκαύθη γὰρ ἂν μεγάλη ἔρις, εἰωθυίας ἀεὶ πρὸς τὸν Δία ἀντιλέγειν. Ἀθηνᾶ δὲ μετὰ αἰδοῦς τῷ πατρὶ διαλέγεται μετριώτερον, οὐχ ὡς ἡ Ἥρα φθεγγομένη· ἄλλως τε καὶ τοῖς προοιμίοις αὐτὸν ἐξαίρει, καὶ τὰ μὲν κελευσθέντα φησὶν ἀποπληροῦν, ὑποθήκης δὲ ἀξιοῖ μὴ φθονέσαι, καὶ ταῦτα οὐχ ἵνα αὐτῷ ἐμποδίσῃ, ἀλλ' ὅπως μὴ πάντες ἀπόλωνται.

B= 31. ὦ πάτερ ἡμέτερε] μετρίοις χρῆται λόγοις· πατέρα γὰρ αὐτὸν ἐν προοιμίοις ἀποκαλεῖ καὶ τῶν ἄλλων θεῶν μέγιστον καὶ τὴν ὑπεροχήν, ἣν ἔχειν βούλεται, μαρτυρεῖ συντόμως.

B= 33. ἀλλ' ἔμπης Δαναῶν] ὃ μὲν οὐκ ἐγύμνωσεν ἑαυτοῦ τὴν γνώμην ὅτι τοῖς Τρωσὶν ἐπικουρεῖν θέλει, ἀλλ' ἀμφοτέροις βοηθεῖν ἐκώλυσεν· ἡ δὲ ξυνιεῖσα ἤλεγξεν αὐτοῦ τὴν προαίρεσιν.

B= 34. κακὸν οἶτον] διὰ τοῦτο γὰρ ἄχθεται, οὐχ ὅτι ἀπολοῦνται· ὃ καὶ οἶκτον ἐκίνησεν.

B– 35. πολέμου μὲν ἀφεξόμεθα] τὸ μὲν γὰρ ἐπαμῦναι ἔργῳ ἐναντίωσιν ἔχει τοῦ Διός, τὸ δὲ λόγῳ πρὸς τὸ μὴ πάντας ἀπολέσθαι ἀλλὰ δεηθῆναι Ἀχιλλέως καὶ αὐτὸς θέλει· "οὐδ' ὅ γε πάμπαν ἤθελε λαὸν ὀλέσθαι—ἀλλὰ Θέτιν κύδαινε" (Il. 13. 348).

A+ * ὡς σὺ κελεύεις] ⟨γράφεται⟩ "εἰ σὺ κελεύεις."

37. ὀδυσσαμένοιο τεοῖο] τοῦ σοῦ οὐδετέρως, ὡσεὶ λέγοι 'ἐπεὶ τὰ σὰ οὕτω πρὸς αὐτοὺς ἔχει.'

τεοῖο] ἀθετοῦσιν· οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἐφέρετο· τὸ γὰρ

3. αὐτοῖς ‖ 9. supplevi ex B ‖ 15. φθονῆσαι B ut p. 242, 10 ‖ 19, 20. τῇ ὑπεροχῇ B ‖ 31, 32. ταὶ σαὶ ‖ 32, 33. ἔχειν τε οὐ σθένουσιν· οὐδὲ ἐν τῇ Ζ. δὲ ὁ φέρων· τότε γὰρ: corr. Lehrs et Friedl.

"τεοῖο" συγχεῖ τὸν λόγον. §. ὀδοὺς ὀδύσσω, παρὰ τὸ "ὀδὰξ ἐν χείλεσι φύντες" (Od. 1. 381).

39. θάρσει, Τριτογένεια] Μῆτιν τὴν Ὠκεανοῦ ἀμείβουσαν εἰς πολλὰ τὴν μορφὴν Ζεὺς βουλόμενος παρ' ἑαυτῷ ἔχειν κατέπιεν ἔγκυον οὖσαν ὑπὸ Βρόντου τοῦ Κύκλωπος· τελεσφορηθείσης δὲ τῆς παιδὸς ὁ Ζεὺς διὰ τῆς κεφαλῆς τεκὼν δίδωσι τῷ Τρίτωνι τῷ ποταμῷ τρέφειν. ὅθεν Τριτογένεια ἐκλήθη ὡς ἐκ τριῶν συναυξηθεῖσα, Βρόντου Διὸς Τρίτωνος. Δημόκριτος δὲ ἐτυμολογῶν τὸ ὄνομά φησιν ὅτι φρόνησίς ἐστιν ἀφ' ἧς γ' συμβαίνει, εὖ λογίζεσθαι, λέγειν καλῶς, πράττειν ἃ δεῖ. ἢ ὅτι τρίτῃ φθίνοντος ἐτέχθη· καὶ παροιμία "παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια." ἀρρενώδεις γὰρ αἱ τοιαῦται γυναῖκες. B=

θάρσει, Τριτογένεια] δείκνυσιν ὅσον δύναται λόγος εὐμενὴς καίτοι παιδὸς πρὸς πατέρα. B=

40. πρόφρονι μυθέομαι] ἀντὶ τοῦ ὑπέρφρονι, ὡς "πρό τε παίδων καὶ πρὸ γυναικῶν" (57). ὁ λόγος οὖν οὐ τυραννικὴν ἀπήνειαν, ἀλλὰ βασιλικὴν παρίστησι προσήνειαν. B=

41. *ὑπ' ὄχεσφι τιτύσκετο] οἰκεῖον τῷ ἀπειλοῦντι τὸ αὐτουργεῖν. B=

42. *μεγαλοπρεπὴς ἡ διάνοια. B=

43. *χρυσόν] τὴν αἰγίδα φησίν· καὶ ἀλλαχοῦ "περὶ δ' αἰγίδι πάντα κάλυπτεν χρυσείῃ" (Il. 24. 20). B=

46. *οὐρανοῦ ἀστερόεντος] οὐδέποτε δὲ Ὀλύμπου ἀστερόεντός φησιν. AB+

47. Ἴδην δ' ἵκανεν—Γάργαρον] Ἴδην Γάργαρον ἀντὶ τοῦ εἰς Γάργαρον Ἴδης, ὡς "ἣ δ' ἄρα Κύπρον ἵκανε—εἰς Πάφον" (Od. 8. 362). ἔστι δὲ καὶ πόλις Γάργαρος. A+ B=

μητέρα θηρῶν] ἁρμόδιον τὸ ἐπίθετον τῷ ὄρει· λέγεται γὰρ ὄφεις ἐνεγκεῖν, οἳ τῷ μεγέθει τοὺς ἐλάφους ἀναιροῦσιν, εἱλούμενοι περὶ τὰ σκέλη καὶ τοὺς αὐχένας καὶ τοῖς δένδροις προσαρτῶντες αὐτοὺς καὶ οὕτω διαφθείροντες. B=

53. οἳ δ' ἄρα δεῖπνον ἕλοντο—Ἀχαιοί] καλῶς μετὰ θεοὺς εἰς Ἕλληνας μέτεισιν. δυσὶ δὲ τροφαῖς ἐχρῶντο, ὧν ἡ μὲν δόρπον τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων διδόμενον, ἡ δὲ δεῖπνον καὶ ἄριστον. B=

54. *ῥίμφα] ταχέως ἢ ἐλαφρῶς. B=

55. Τρῶες δ' ⟨αὖθ'⟩ ἑτέρωθεν—παυρότεροι] καὶ πῶς φησι "πολλέων ἐκ πολίων;" καὶ νῦν τοὺς ἰθαγενεῖς φησιν· διὸ καὶ τὸ "πρό τε B=

13. καίτοι B; καὶ τότε ‖ 21. καλύπτει

A+ παίδων." ἢ ἑαυτῶν ἧττους διὰ τὸν ⟨πολλῶν⟩ θάνατον. §. τὸ δὲ "ὁπλίζοντο" διὰ τοῦ ō.

B= 56. μέμασαν δὲ καὶ ὥς] ἀναγκαίως τοῦτο ἐπιφέρει, ἵνα μὴ νομίσωμεν αὐτοὺς ἐπτηχότας ἐξιέναι διὰ τὴν προγενομένην ἧτταν.

57. *πρό τε παίδων] ἀντὶ τοῦ ὑπὲρ τῶν παίδων.

A+ 58. *πᾶσαι] ἀντὶ τοῦ ὅλαι, ὡς "πάντα νέκυν καταείνυον" (Il. 23. 135)· μία δὲ ἦν ἱππήλατος πύλη.

AB+ 62. ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι] ὅτι ἐξ ἀναλήψεως τὸ "ἀσπίδες."

B= 63. ἔπληντ' ἀλλήλῃσι] πρὸς φαντασίαν τῶν ῥηθησομένων τὸ "ἔπληντο·" ἔστι δὲ ὡς τὸ "ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε" (Il. 13. 131). πρὸ δὲ τοῦ κατὰ μέρος ἐξαίρει τὸν ἀκροατήν.

B= 66. ὄφρα μὲν ἠὼς ἦν] πρὸς πίστιν τὸν καιρὸν ⟨ἔλαβεν⟩ ὡς παρατυγχάνων· ἠῶ δὲ καὶ τὸ⟨ν⟩ ὄρθρον καὶ ⟨τὴν⟩ ἕως ἕκτης καὶ ἡμέραν τὴν σωματοειδῆ· εἰς τρία δὲ αὐτὴν διαιρεῖ "ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ" (Il. 21. 111). §. ἦρι δὲ παρὰ τὸ αἴρεσθαι.

A−B= καὶ ἀέξετο ἱερὸν ἦμαρ] τὸ μέχρι μεσημβρίας αὔξησιν ἀποκαλεῖ, ὡς σφαιροειδῶς τῷ οὐρανῷ προσαναβαίνοντος τοῦ ἡλίου.

A+B= ἱερὸν ἦμαρ] τὸ πρὸ τῆς μεσημβρίας διὰ τὸ ἐν τούτῳ τοῖς θεοῖς θύεσθαι· τὰ γὰρ μεσημβρινὸν τοῖς κατοιχομένοις νέμεται.

B= 68. ἦμος δ' ἠέλιος μέσον οὐρανόν] γινώσκει καὶ μεσουράνημα, ὃ καὶ νῦν δηλοῖ· ἔστι δὲ τὸ ἴσον ἀπόστημα ἀνατολῆς τε καὶ δύσεως.

B= μέσον οὐρανὸν ἀμφιβεβήκει] δείκνυσιν, ὡς μείζων οὐρανὸς ἡλίου· τὸ γὰρ ἀμφιβῆναι μείζονός ἐστι περὶ ἔλαττον, ὡς λέοντες μὲν σκύμνοις περιβαίνουσι, κύνες δὲ σκύλαξιν.

69. καὶ τότε δὴ χρύσεια] ποιητικῶς τὸ δισταζόμενον ἐπανάγει τῷ ζυγῷ. οἱ Στωικοὶ δέ φασιν ὡς ταὐτὸν εἱμαρμένη καὶ Ζεύς. διττὸν δὲ τὸ τῆς Μοίρας· ἀπαράβατον, ὡς τὸ δεῖ⟨ν⟩ θνητὸν ὄντα ἀποθανεῖν, οὗ οὐδὲ Ζεὺς κρατεῖ, ὡς ἐπὶ Σαρπηδόνος, τὸ δέ, ταχὺ ἢ βραδύ, ὡς ἐπὶ Ἀχιλλέως, οὗ κρατεῖ Ζεύς. ταύτην οὖν ταλαντεύει· ταῦτα δὲ λεγόμενα ἔχει φαντασίαν, δρώμενα δὲ ⟨οὐδέν⟩ ἐστιν.

B= 70. ἐν δ' ἐτίθει δύο κῆρε] πῶς δύο κῆρας ἐντίθησιν ὁ Ζεὺς ὥσπερ ἀνὰ μίαν ἑκατέρου στρατοῦ, ἐν δὲ τοῖς ἑξῆς (73) πλείους αὐτάς φησιν

1. suppl. W ‖ 8. ἀσπίδων ‖ 9. ἀλλήλοισι ‖ 12. supplevi ex B ‖ 14. δείλης ‖ 19. θύειν ut B ‖ 20, 21. μ. ἡνίκα οὖν δηλονότι κατ' ἴσον, cf. B ‖ 22. μ. πρὸς ἥλιον: corr. W ex B ‖ 23. ἔλαττον ὡς B: ἐλάττονος ‖ 27. suppl. W ‖ 30. supplevi ‖ 31. πῶς δ' ἐτ. δ.

"αἱ μὲν Ἀχαιῶν κῆρες;" ἢ ὅτι αἱ δύο καὶ πολλαὶ ἂν εἶεν· λέγομεν γοῦν διττὰ πράγματα. πλειόνων δὲ ἔμφασιν διδόντος τοῦ ὀνόματος εἰκότως ἐν τῇ μεταλήψει πλέονας εἶπε κῆρας· συνεκδοχὴ δέ ἐστιν.

ἐν δ' ἐτίθει δύο κῆρε—αἱ μὲν Ἀχαιῶν κῆρες] ὡς τὸ "δύω B+
δέ τε οἱ θύραι εἰσίν, αἳ μὲν πρὸς Βορέαο" (Od. 13. 109)· §. κήρ
δὲ παρὰ τὸ κῆαι—διὰ πυρὸς γὰρ ἔθαπτον—οἱ δὲ παρὰ τὸν κηρόν· B=
ἐντετυπῶσθαι γὰρ αὐτῇ καθάπερ ἐν κηρῷ τὰ γράμματα.

72. ῥέπε δ' αἶσιμον ἦμαρ Ἀχαιῶν] οὐκ ἄρα, φησίν, ἐχαρίσατο τῇ B=
Θέτιδι, εἰ μοιρίδιον ἦν. φαμὲν δέ, ὅτι εἰς ἐπίτασιν Μοίρας καὶ Δία ὁπλί-
ζει κατ' Ἀχαιῶν. §. ὅτι δισσὸν τὸ τῆς Μοίρας (cf. p. 262, 27–29).

73. αἱ μὲν Ἀχαιῶν κῆρες] ἀπὸ μὲν τοῦ ζυγοῦ τὸ μέγεθος τοῦ B=
ταλαντεύοντος δηλοῖ· ἐπειδὴ δὲ τὰ ἐπίγεια θνητά, ⟨τὰ⟩ δυστυχῆ
πλησιάζει τῇ γῇ· τὰ δὲ εὐτυχῆ μετεώρῳ ⟨τῇ⟩ πλάστιγγι ἕπεται.

74. ἐζέσθην] ἀντὶ τοῦ ἔζεσθεν, ὡς "κόσμηθεν" (Il. 3. 1)· ὅμοιον A – B=
δέ ἐστιν αὐτῷ καὶ τὸ "μιάνθην αἵματι μηροί" (Il. 4. 146).

75. δαιόμενον δὲ σέλας] τὸ "σέλας" δηλοῖ τὴν ἔλ⟨λ⟩αμψιν· βουλό- B+
μενος οὖν εἰπεῖν, ὡς οὐκ ἦν ἀστραπὴ τὸ γινόμενον ἀλλὰ κεραυνὸς μετὰ
τὴν βροντήν, προσέθηκε τὸ "δαιόμενον."

77. καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν] δαιμονίαν ὑποφαίνει τῶν B+
Ἀχαιῶν τὴν φυγὴν αὔξων αὐτούς, ὅπως μὴ μένοντος ἑτέρου αἰσχύ-
νηται ἄλλος τις· κατ' αὐτῶν δὲ φέρεται τὸ πῦρ· οὐ γὰρ Ἑλληνικὸς ὁ
Ζεύς.

78. ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν] ὡς φιλέλλην παρατρέχει τὰ B=
δυσχερῆ, ἐπ' ὀλίγα πρόσωπα τὴν ἧτταν φέρων. καὶ ἡ ἐκλογὴ δὲ τῶν
ὀνομάτων θεραπεύοντός ἐστι τὴν ἧτταν· οὐ γὰρ εἶπεν ἔφυγεν, ἀλλὰ
"τλῆ μίμνειν·" ἐκφαίνει γὰρ τὸν βουλόμενον καλῶς ἀγωνίζεσθαι
ἐπηρεαζόμενον ὑπὸ τοῦ Διός.

80. Νέστωρ οἷος ἔμιμνε] οὐκ εἰσάγει αὐτὸν ἀναιροῦντα διὰ τὸ ἀπί- B+
θανον, ἀλλ' οὐδὲ πάσχοντά τι διὰ τὴν ἐξαίρετον φυλακὴν περὶ αὐτόν.
οὐ ⟨τὸν⟩ τυχόντα δὲ δι' αὐτοῦ ἐκίνησεν ἡμῖν ἀγῶνα. ἐπεὶ δὲ ἄπιστον
ἦν τοσούτων νέων φευγόντων μόνον μεῖναι τὸν γέροντα, ὥσπερ ἐν ἀπο-
λογίας μέρει ἐπιφέρει τὸ "οὔτι ἑκών, ἀλλ' ἵππος ἐτείρετο." §. "οὖρος"
δὲ εὐθύντωρ ἡ φύλαξ.

4. schol. post 73 scriptum ‖ τὸ δύο ‖ 7. πράγματα : corr. W ‖ 14. διὰ τοῦ ē "ἔζεσθεν" A ‖ 20, 21. αἰσχύνοιτο ‖ 26. κακοῖς ut B : corr. W ‖ 27. ἐπ. δὲ ὑ. ‖ 30. suppl. W

A+ * 81. ἐτείρετο] γράφεται καὶ "ἐδάμνατο."

B= 82. τὸν βάλεν ἰῷ δῖος Ἀλέξανδρος] καὶ πόρρω⟨θεν⟩ πολεμεῖ καὶ οὐκ ἄνδρα τοξεύει ἀλλ' ἵππον γέροντος βάλλει· καὶ συμπλέκεται οὗτος πάντων φευγόντων.

B− 83. ὅθι τε πρῶται τρίχες] "πρῶται" ἀντὶ τοῦ ἄκραι. θανάσιμος δὲ ὁ περὶ τὴν μήνιγγα τόπος· διὸ προφύει τρίχας.

A+ 84. * καίριον] ἐπικίνδυνον.

85. * βέλος δ' εἰς ἐγκέφαλον δῦ] γραφικῶς εἶπε πάντα. §. ὁ "δέ"

A= ἀντὶ τοῦ γάρ, βέλος γάρ.

A+ B− 87. παρηορίας ἀπέτεμνεν] διὰ τοῦ "ἀπέτεμνεν" τὸ νωθρὸν τοῦ γήρως δηλοῖ· ἐπὶ δὲ Αὐτομέδοντος ῥᾳδίως ἐνεργήσαντός φησιν

B− "αἶξας ἀπέκοψε παρήορον" (Il. 16. 474). §. γέροντα δὲ εἶπεν "ὄφρ' ὁ γέρων," ἢ δι' οἶκτον, ἢ πᾶσα τῶν Ἑλλήνων ἡ εὐχή· ἐν ἀγωνίᾳ δὲ καθιστὰς τὸν ἀκροατὴν καὶ τὸν δεινὸν Ἕκτορα αὐτῷ ἐπάγει.

89. * ἰωχμόν] παρὰ τὴν συμβολήν.

B− 91. εἰ μὴ ἄρ' ὀξὺ νόησε] εἰκότως Διομήδης τὸν πρεσβύτην κινδυνεύοντα ὁρᾷ ὡς ἀναχωρῶν ἔσχατος· θελήσας γὰρ μονομαχῆσαι ἀποσφαλεὶς δὲ τῷ κλήρῳ, νῦν καὶ τοῦ καιροῦ μὴ συγχωροῦντος, πειρᾶται πολεμεῖν. βοηθεῖ δὲ τῷ Νέστορι διὰ τὸ τῶν ἠθῶν παραπλήσιον· καὶ ἐν τῇ νυκτεγερσίᾳ οὖν δυσχεραίνει κάμνοντα ὁρῶν παρ' ἡλικίαν τὸν Νέστορα καί φησι "σχέτλιος ἐσσί, γεραιέ" (Il. 10. 164)· καὶ ἐπὶ τὴν κατασκοπὴν ἐξιὼν παρὰ Θρασυμήδους ὅπλα λαμβάνει "Τυδείδῃ μὲν δῶκε" (ib. 255)· καὶ ὁ Νέστωρ φησὶ πρὸς αὐτὸν "Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ" (ib. 234).

* εἰκότως Διομήδης αὐτὸν σῴζει. ἐραστὴς γὰρ συνέσεως.

B− 92. σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων Ὀδυσῆα] ἐν σχήματι ἐδήλωσεν ὡς καὶ Ὀδυσσεὺς ἔφυγεν, ἄνω μὴ μνησθεὶς αὐτοῦ. ἀεὶ δὲ ἀσφαλὴς Διομήδης· καὶ ἐν τῇ κατασκοπῇ "σύν τε δύ' ἐρχομένω" (Il. 10. 224), Ὀδυσσέα τε καλεῖ ὡς φίλον καὶ ἑταῖρον Νέστορι· Νέστωρ γοῦν φησιν "ἔνθ' ἤτοι—μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς οὔτε ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν" (Od. 3. 126).

A+ B− 93. πολυμήχαν' Ὀδυσσεῦ] πρὸς ἐπιστροφὴν τὸ ἐπίθετον· ἔστι δὲ γεωργός, "ἐν ποίῃ, δρέπανον μέν" (Od. 18. 368)· κυβερνήτης, "α⟨ἰ⟩εὶ γὰρ πόδα νηός" (Od. 10. 32)· τέκτων ἀπὸ τῆς κλίνης καὶ

2. supplevi ex B ‖ 5. *θανάσιμος* B: *θερμὸς* ‖ 13. an ἢ παρὰ τ. Ἑ. ἔσχε ⟨τὴν ἐπίκλησιν⟩ ? ‖ 20. *νυκτιγερσίᾳ* ‖ 26. *ὀδυσσῆα* ‖ 33. *ἔνθα ποίῃ*

τοῦ δουρείου ἵππου (Od. 23. 189)· ναυπηγὸς ἀπὸ τῆς σχεδίας (Od. 5. 243)· κυνηγὸς ἀπὸ τοῦ Παρνασοῦ (Od. 19. 430)· μάντις, "φήμην τίς μοι φάσθω" (Od. 20. 100)· μάγειρος, "δαιτρεῦσαί τε καὶ ὀπτῆσαι" (Od. 15. 323)· ἰατρός, "ὄφρα ⟨οἱ⟩ εἴη ἰοὺς χρίεσθαι" (Od. 1. 262)· μουσικός, "ὡς ὅτ' ἀοιδός" (Od. 11. 368)· πύκτης, "πὺξ μὲν ἐνίκησα Κλυτομήδεα" (Il. 23. 634)· παλαιστής, "Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον" (ib. 635)· δισκευτὴς παρὰ Φαίαξιν (Od. 8. 186)· τοξότης, "εὖ μὲν τόξον οἶδα" (ib. 215)· ἀκοντιστής, "δουρὶ δ' ἀκοντίζω" (ib. 229)· ῥήτωρ, "καὶ ἔπεα νιφάδεσ⟨σ⟩ιν ἐοικότα" (Il. 3. 222)· ἀστρολόγος, "Πληιάδας θ' ὁρόωντι" (Od. 5. 272).

94. κακὸς ὣς ἐν ὁμίλῳ] οὐ δειλὸν αὐτὸν καλεῖ, ἀλλὰ δειλοῦ ἀνδρὸς ἔργα ποιοῦντα. §. ὀλίγον δὲ διασταλτέον εἰς τὸ "μετὰ νῶτα βαλών," ὡς φεύγουσι δειλοὶ ἐν θορύβῳ. ἢ πῆ φεύγεις ἐν ὁμίλῳ; B= AB+

ἐν ὁμίλῳ; μήτις τοι φεύγοντι] περικέκοπται ὁ λόγος τὸν ἀγωνιῶντα ὑποφαίνων· ἀπὸ δὲ τοῦ εὐπρεποῦς καὶ συμφέροντος ἀναστέλλει τὴν φυγήν. αἰσχρότερον δὲ καὶ τοῦ ἀκοντίσαι τὸ πῆξαι. B–

96. *"ἄγριον" τὸν βάρβαρον· καὶ "ἀγριοφώνους" (Od. 8. 294) αὐτούς φησιν.

97. οὐδ' ἐσάκουσε] οὐκ ἠσθετο ὑπὸ τοῦ θορύβου ἢ οὐκ ἐπείσθη διὰ τὸν καιρόν· φεύγει γὰρ σὺν Αἴαντι καὶ θεομαχεῖν οὐκ ἐθέλει· "ἐν γὰρ δαιμονίοις φόβοις φεύγουσι καὶ παῖδες θεῶν" (Pind. Nem. 9. 27). πῶς δὲ δ[ειλ]ὸς ὁ μετὰ πάντας φεύγων; οὐ γὰρ ἂν Διομήδης τοῦτον μόνον ἐκάλει. δειλὸν δὲ αὐτόν φασι καὶ ἀπὸ τοῦ ἔσχατον ἀναστῆναι (Il. 7. 168) καὶ Δόλωνα ἰδεῖν (Il. 10. 360) καὶ Ῥῆσον μὴ φονεῦσαι (ib. 481) καὶ τὴν μάστιγα μὴ ἐλέσθαι (500). AB–

101. *ἔπεα πτερόεντα προσηύδα] τὰ μὲν πράγματα τάχιστα γέγονεν, ἡ δὲ τῶν λόγων σχολὴ ποιητική. B=

102. ⟨νέοι τείρουσι⟩] ἀλλ' οὐ νῦν καὶ ἐμέ.

103. *λέλυται] πέπηγε γὰρ ἐν τῇ νεότητι· τέλος δὲ λύσεως θάνατος. B=

104. *ἠπεδανός] ὁ μὴ δυνάμενος ἐν τῷ πεδίῳ στῆναι διὰ τὸ ἀσθενές. AB+

ἠπεδανὸς δέ ⟨νυ τοι⟩ θεράπων, βραδέες δέ τοι ἵπποι] εἰκότως ὅλα συνήγαγε τὰ κακά, ὅπως πείσῃ τῷ ἰδίῳ ἐπιβῆναι ἅρματι τὸν εἰπόντα "ὃς δέ κ' ἀνὴρ ἀπὸ ὧν ὀχέων" (Il. 4. 306). εὖ δὲ τὸ μὴ τὸν B=

13. ποιεῖν ‖ 19. φασιν ‖ 29. καὶ scripsi : δι'

Νέστορα ταῦτα προβαλέσθαι εἰς τὸ τυχεῖν βοηθείας. ἐγκώμιον δὲ Νέστορος ἔχει ὁ λόγος, ὃς οὐδὲ τῷ γήραϊ ἐπέτραπεν ἑαυτόν (Il. 10. 79).

B= 105. ἀλλ' ἄγ' ἐμῶν ὀχέων] ὑπογράφων ἄνω τὸ ἀσθενὲς τοῦ γέροντος οὐδὲν περὶ τοῦ ἰδίου σθένους ἀνθυπήγαγεν, ἀλλ' ἐλπίδα αὐτῷ ὑπογράφει σωτηρίας διὰ τοῦ τάχους.

106. * ἐπιστάμενοι] ἀντὶ τοῦ δυνάμενοι· "ἐπίστατο πῆλαι Ἀχιλλεύς" (Il. 16. 142).

107. * φέβεσθαι] τοὺς δίχα ταράχου πάντη δεόντως δυναμένους φέρειν τοὺς ἐπιβάτας.

B= 108. οὕς ποτ' ἀπ' Αἰνείαν] ἠθικῶς τὸν χθὲς ἀνάγει χρόνον· καὶ Φιλοίτιος "τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον, ὅν ποτ' ἔδωκας ἀντιθέῳ Ὀδυσῆι" (Od. 22. 290). ἅμα δὲ καὶ θαρσαλεώτερον ποιεῖ τὸν γέροντα ἡ Αἰνείου ἧττα. §. τὸ δὲ "ποτέ" ἀντὶ τοῦ χθές. §. τὸ δὲ "μήστωρε" τινὲς "μήστορα" ἐπὶ τοῦ Αἰνείου διὰ τὸ αὐξητικόν.

B= 111. ἦ καὶ ἐμὸν δόρυ μαίνεται] "καὶ ἐμόν" διὰ Ἀχιλλέα ἢ Αἴαντα τὸν μονομαχήσαν⟨τα⟩ αὐτῷ ὑπογυ⟨ί⟩ως. §. ὁ δὲ "ἦ" ἀντὶ τοῦ εἴ συναπτικοῦ, ὡς τὸ "ἤ κεν ζὼς ἀμενηνός" (Il. 5. 887), ἢ ἀντὶ τοῦ ὡς, καὶ δασύνεται, ὡς τὸ "ἣ θέμις—ἄναξ" (Il. 9. 276).

B= 112. οὐδ' ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ] οἰκονομικῶς ἐπὶ τὸ ἅρμα Διομήδους ἀναβιβάζει τὸν Νέστορα, ἵνα πεισθῇ φυγεῖν καὶ εἶξαι ταῖς ὑπὸ τοῦ Νέστορος παραινέσεσιν· Σθενέλῳ γὰρ οὐκ ἂν ἐπείσθη, ὅπου γε μηδὲ ἐν τοῖς ἀνωτέρω, ἀναβαίνειν ἐπὶ τὸ ἅρμα παραινοῦντι καὶ μὴ ἀγωνίζεσθαι πρὸς Πάνδαρον πεζόν (Il. 5. 249).

* οὐδ' ἀπίθησε] τῷ καιρῷ πειθόμενος πάντα σιωπῇ πράσσει.

113. Νεστορέας—ἵππους] πῶς ἐν τῷ ἐπιταφίῳ ἀγῶνι τοὺς ἵππους φησὶν ἄρσενας "ἀλλά τοι ἵπποι βάρδιστοι θείειν" (Il. 23. 309); καὶ πρὸς τοὺς ἵππους Ἀντίλοχος "μὴ σφῶιν ἐλεγχείην καταχεύῃ Αἴθη θῆλυς ἐοῦσα" (ib. 408). ὅτι δὲ τοῖς τοῦ πατρὸς ἵπποις Ἀντίλοχος ἐχρῆτο, μαρτυρεῖ τὸ "οὐ σφῶιν κομιδὴ παρὰ Νέστορι·" ἀδιαφόρως οὖν "ἵππους" καὶ θηλυκῶς καὶ ἀρσενικῶς φησιν. §. τὸ δὲ "κομείτην" Ἀρίσταρχος μὲν "κομείτων," Ζηνόδοτος δὲ "κομείτην."

B= 114. Σθένελός τε καὶ Εὐρυμέδων] ἐν σχήματι ἐδήλωσε τὸ δοκοῦν παραλελεῖφθαι· οὐ γὰρ εἴρηκεν ἀνωτέρω ποῖοι ἦσαν οἱ θεράποντες.

12. Ὀδυσσῆι ‖ 13. ἧττα B: νίκη ‖ 19. ἀπείθησε ‖ 21. εἶξαι B: εἴκειν Διὶ ‖ 26. φασὶν

115. τὼ δ' εἰς ἀμφοτέρω] δέον εἰπεῖν 'Διομήδης δὲ ἅμα Νέστορι εἰς τὸ ἴδιον ἔβη ἅρμα' ὡς ἑτέρου τινὸς ὄντος τοῦ Διομήδους φησίν §. τὸν δὲ Σθένελόν φασιν ἀπὸ τοῦ τείχους κατενεχθέντα πηρωθῆναι τὸ σκέλος· διὸ ἡνιοχεῖ Διομήδει. B=

117. * μάστιξεν δ' ἵππους] σημειωτέον ὅτι καὶ πολεμισταὶ καὶ ἡνίοχοι οἱ πρώην βασιλεῖς. B=

τάχα δ' Ἕκτορος ἄγχι γένοντο] εἰ τοσοῦτον ἀπῆν, διὰ τί δὴ ⟨οὐ⟩ φεύγει; τὸ ὅλον πεπραγμάτευται πρὸς τὸ μὴ ἀθρόως ἀκμητὶ νικᾶν Τρῶας, ἀλλὰ τοὺς φεύγοντας ἀνακωχὴν λαβεῖν. ἄλλως τε ἢ νικήσειν οἴεται, ἢ νικώμενος ῥᾳδίως φεύξεσθαι. B=

120. Ἡνιοπῆα] παρὰ τὰς ἡνίας τῶν ἵππων ἐστὶ τὸ ὄνομα· εἰκὸς δὲ καὶ τοῦτον εἰς τοῦτο ἀγηοχέναι τὴν Ἀνδρομάχην διὰ τὴν τῶν ἵππων ἐπιμέλειαν. §. τὸ δὲ "Θηβαίου" οὐ γένει, ἀλλὰ κύριον ὄνομα, ὡς ἐν Ὀδυσσείᾳ Αἰγύπτιος (2. 15). B=

122. ὑπερώησαν δέ οἱ ἵπποι] ὡς ὑπεχώρησαν παρὰ τὴν χώραν, οὕτως ὑπερώησαν παρὰ τὴν ἔραν. δηλοῖ δὲ καὶ τὴν ὁρμήν, "ἐρωήσει περὶ δουρί" (Il. 1. 303). ἀναγκαῖον δὲ τοῦτο εἰς τοὐπίσω φερομένου τοῦ ἡνιόχου. B=

124. * πύκασε] ἐσκέπασε "πυκάσασα ἓ αὐτήν" (Il. 17. 551). B–

126. * ἀνάλογον ἑαυτῷ "ἡνίοχον θρασύν" (89). B=

130. ἔνθα κε λοιγὸς ἔην] δῆλον, ὡς καὶ ἄλλα ⟨ἂν⟩ διαθεμένου Διομήδους. ὅρα δέ, ὡς οὐδὲ ἡ φυγὴ τῶν Ἀχαιῶν ἄπρακτός ἐστιν. B=

ἔνθα κε λοιγὸς ἔην—καί νυ κ' ἐσήκασθεν] ἔν τισι τῶν παλαιῶν φέρονται δύο στίχοι "Τρῶες ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον χαλκῷ δηιόωντα, δάμασ⟨σ⟩ε δέ μιν Διομήδης."

131. καί νυ κ' ἐσήκασθε⟨ν⟩ κατὰ Ἴλιον ἠύτ⟨ε⟩ ἄρνες] καὶ τὴν Διομήδους ἀρετὴν αὔξει καὶ τὴν βαρβάρων δειλίαν κωμῳδεῖ, εἰ δὴ τοῦ Διὸς ἐπαμύνοντος αὐτοῖς καθειρχθῆναι ἐκινδύνευσαν προβάτων τρόπον, καὶ οὐδὲ τούτων τελείων· ἀρνῶν γάρ φησιν. §. τί δ' ἐστὶν "ἠύτ⟨ε⟩ ἄρνες;" πρώην εἶπεν "αἱ μέν τ' ἀγχηστῖναι" (Il. 5. 141).

134. κἀδ δὲ πρόσθ' ἵππων Διομήδεος] πεφεισμένως· ἐκδειματοῦν γὰρ αὐτὸν βούλεται· οὐ γὰρ μισέλλην ὁ Ζεύς. B=

137. Νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία] παρατηρεῖ γὰρ τὰς διοσημίας ὁ Νέστωρ ἐν οἷς φησιν "ἀστράπτων ἐπιδέξια" (Il. 2. B=

1. ἀμφότερα ἔδει ‖ 7. δὴ scripsi: μὴ ut B ‖ 21. suppl. W ‖ 28. ἐκινδύνευσεν ‖ 31. κάδδε ‖ 34. ἐπιδεξί

353), πῶς ἀντιτάξεται αὐταῖς; ἢ οὐχ ὑπὸ δέους τὰς ἡνίας εἴασεν, ἀλλ' οἱ ἵπποι καταπτήξαντες ὑπὸ τοῖς ἅρμασι βιαιότερον αὐτὰς ἐπεσπάσαντο. διὰ τοῦτό φησι "Νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία."

A+ §. τὸ δὲ "φύγον" διὰ τοῦ ō.

138. δεῖσε δ' ὅ γ' ἐν θυμῷ] "ἐν θυμῷ" κατὰ κρίσιν, οὐκ ἔκπληξιν.

B= 139. Τυδείδη, ἄγε δ' αὖτε φόβονδ' ἔχε] ἡ εὔκαιρος φυγὴ οὐκ αἰσχύνει. τοῦτο δὲ διὰ στρατηγικοῦ προσώπου δηλοῖ· καὶ ἑτέρωθι διὰ τοῦ Ἀγαμέμνονος "βέλτερον ὃς φεύγων προφύγῃ κακόν" (Il. 14. 81). εἰ γὰρ τὰ βέλη φεύγομεν παρασχηματίζοντες τὸ σῶμα οὐδὲν αἰσχρὸν οἰόμενοι δρᾶν, πόσῳ ⟨μᾶλλον τὸν⟩ θάνατον;

B= φόβονδ' ἔχε μώνυχας ἵππους] εὐπρεπῶς οὐκ εἶπεν, ὅτι ἐναντιοῦταί σοι ὁ θεός—ὑπεκλύοντος γὰρ ⟨ἂν⟩ ἦν—ἀλλὰ 'μὴ ἀντιστῇς τῷ θεῷ.'

B= 141. νῦν μὲν γὰρ τούτῳ—κῦδος ὀπάζει σήμερον] "νῦν σήμερον," ὅτι πρὸς ὀλίγον ἔσται αὐτῷ ἡ χαρά· καὶ οὐδὲ τὸν Ἕκτορα φοβερὸν ἀλλὰ τὸν Δία φησίν.

B= 142. ὕστερον αὖτε καὶ ἡμῖν] χρηστὰς αὐτῷ ὑπογράφει ἐλπίδας, ἵνα μὴ αἰδεσθῇ φυγεῖν, ὡς ἀνακαλέσασθαι τὴν ἧτταν δυνάμενος. οὐ δεῖ δὲ τὸ ἄδηλον ὁρίζειν, ἀλλὰ μόνον ἀγαθὴν προΐσχεσθαι ἐλπίδα.

B= 143. οὔ τι Διὸς νόον εἰρύσ⟨σ⟩αιτο] λείπει ἡ μετά. §. τὸ δὲ ὅλον,

A~B= 'ἀνὴρ γὰρ ἂν τὸν τοῦ Διὸς νοῦν, παρ' ὃ θέλει αὐτὸς ὁ Ζεύς, οὐκ ἂν μεθελκύσαι οὐδὲ μεταθείη.'

B= 144. οὐδὲ μάλ' ἴφθιμος] οὐδὲν γὰρ ἀνθρωπίνη ἰσχὺς πρὸς θείαν.

B= 146. ναὶ δὴ ταῦτα—γέρον κατὰ μοῖραν ἔειπες] θεοσεβὴς γὰρ ὁ Διομήδης, εἴγε φησὶ "σὺν γὰρ θεῷ εἰλήλουθμεν" (Il. 9. 49).

B– 148. Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσ⟨σ⟩' ἀγορεύων] κἂν τούτοις τὸ φιλότιμον Διομήδους ἐμφαίνεται, ὃς μὴ μόνον παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν σπουδάζει ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις· ἄλλως τε καὶ νεωτερικὸν τὸ δόξης μᾶλλον ἢ τοῦ ἀσφαλοῦς ἔχεσθαι, ἀμηχανῶν τε καταισχῦναι τὰ πραχθέντα ταῦτά φησιν.

A~B= 150. εὐρεῖα χθών] ἀντὶ τοῦ εὐρέως, ὅτι κρείσσων θάνατος ψόγου.

B= 152. ὤ μοι Τυδέος υἱέ] διὰ τῆς οἰμωγῆς καὶ τοῦ μοι ἐκφαυλίζει

A=B– τὸν λόγον ὡς ἀνάξιον ὄντα τοῦ λέγοντος. §. εἰς τὸ "δαΐφρονος" δὲ στικτέον· καὶ ἔστιν ἀντὶ τοῦ πολεμικοῦ.

B= 153. εἴπερ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει] πρῶτον μὲν ἄδηλον εἰ ἐρεῖ, ἄλλως τε ὅτι οὐ πείσει· καθάπτεται δὲ τῶν

7. προ που ‖ 10. supplevi ex B ‖ 17. φυγεῖν B: φεύγειν ‖ 19. τις ‖ 23. καὶ δὴ

φροντιζόντων τί ἐροῦσιν αὐτοὺς οἱ ἄνθρωποι, ὁποῖόν τι ἔστιν ἀμελούντων.

157. ὣς ἄρα φωνήσας φύγαδ' ἔτραπε] φρονίμως οὔτε ἀντίρ⟨ρ⟩ησιν Διομήδους περιμένει οὔτε βιάζεται αὐτὸν φιλότιμον ὄντα φεύγειν ὁμολογεῖν, ἀλλ' αὐτὸς τρέπει τοὺς ἵππους, ἵνα μηδὲ ἐκ τούτων μειώσῃ τὸν Διομήδην ὁ ποιητής. §. τὸ δὲ "φύγαδε" ὡς οἴκαδε· ἢ τὴν φυγὴν εἶπε κατὰ μεταπλασμόν, ὡς τὸ σκέπην σκέπα· ἢ ἀπὸ τῆς φυγῆς. §. διὰ τοῦ ᾱ δὲ "ἔτραπε." B= A= A+

159. βέλεα στονόεντα χέοντο] ἔμφασιν ἐκίνησεν ἡ μεταφορά. δηλοῖ δὲ ὅτι λίαν ἀπελείποντο, ἐπεὶ πῶς αὐτὸν βλασφημεῖ ὁ Ἕκτωρ λόγοις; B= B=

163. γυναικὸς ἄρ' ἀντ' ἐτέτυξο] διὰ τοῦ ῑ εἶχον αἱ ἐκδόσεις "ἀντί·" ὁ δὲ λόγος 'γυναικὸς ἄρα ἶσος ἦσθα,' ὡς "ἀντί τοι εἶμ' ἱκέταο" (Π. 21. 75)· "οὐ διαφέρει γυναικός" τὸ δημῶδες. ὁ δὲ Ἡρωδιανὸς διὰ τοῦ ε̄ "ἄντ' ἐτετέτυξο." A+ B−

164. κακὴ γλήνη] τινὲς ὅτι μικρόφθαλμος ἦν ὁ Διομήδης. §. Ἀριστοφάνης δὲ ἀθετεῖ. B+ A+

οὐκ εἴξαντος ἐμεῖο] ἀλλὰ μείναντος, ὅπερ σὺ ποιεῖς· ἀναφέρει δὲ εἰς τὰ ἀπαγγελθέντα ὑπὸ Ἰδαίου Τρωσίν. B=

166. *"δαίμονα" λόγον κακόν. §. ἡ δὲ Ζηνοδότου "πότμον ἐφήσω." B+ A=

167. Τυδείδης δὲ διάνδιχα μερμήριξεν] πῶς δύο εἰπὼν τὸν Διομήδην μεριμνῆσαι ἓν ἐπάγει; φαμὲν δὲ ὡς δύο βουλὰς ἐμερίμνησεν εἰς ἓν νενεύσας "ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι·" ἢ ὡς ὡμολογημένον ἀφίησι τὸ ἔν· ἢ ὡς αἰσχρὸν ἐσιώπησεν. §. "κατὰ φρένα" δὲ "καὶ κατὰ θυμόν·" "φρένα" μὲν τὸ λογικόν, "θυμόν" δὲ τὸ θυμοειδές. ἐπεμερίζετο οὖν, φησίν, ὑπό τε τοῦ νοῦ κωλυόμενος καὶ τοὐναντίον ὑπὸ τοῦ θυμοῦ διεγειρόμενος. A~ B− B=

171. *σῆμα τιθείς] ἀντὶ τοῦ σημαίνων. §. καὶ εἰς τὸ "Τρώεσσι" στιγμήν. B= B=

σῆμα τιθεὶς ⟨Τρώεσσιν⟩] ὧδε στικτέον. τί δὲ ἦν τὸ σῆμα; "Τρώεσ⟨σ⟩ι μάχης ἑταραλκέα νίκη⟨ν⟩." A+ B=

175. γινώσκω δ' ὅτι μοι πρόφρων] στρατηγικῶς μὲν τὴν εὐημερίαν αὐτοῖς δηλοῖ, οἰκειοῦται δὲ αὐτὴν ὑπερόπτως· ὁμοίως καὶ τὸ B−

1. αὐτοῖς ut B ‖ 5. μηδὲ ἐκ B: μηδὲν ‖ 7. σκ. σκέπαν ‖ 19. Τρωσίν B: Τρώεσσιν ‖ 24. ἢ W: καὶ ‖ post ἐσιώπησεν add. rec. ἔστι δὲ τοῦτο καὶ σχῆμα κατὰ τὸ σιωπώμενον ‖ 25. θυμὸς δὲ

"κτείνω δὲ καὶ αὐτούς" (182)· ὁ δὲ Ἕλλην "ἀλλ' ἄνδρας κτείνωμεν" (Il. 6. 70) φησίν.

177. νήπιοι, οἳ ἄρα δὴ τάδε] Ἀρίστarχος τὸ "οἳ" ἄρθρον φησίν, ὁ Σιδώνιος δὲ "οἷα" τὸ πλῆρες, οὐχ ὑγιῶς.

178. * ἀβληχρά] δύναται καὶ ἐν ἐπιτάσει εἶναι τὸ ᾱ.

A+ B= οὐδενόσωρα] ὑφ' ἓν τὸ "οὐδενόσωρα," εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις· λέγω δὲ ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνὸς γενικῆς

B= τελείας. τινὲς δὲ οὐδενὸς φυλακτικά. §. πιθανῶς δὲ καὶ τοῦ ὑπογυ⟨ί⟩ου ἔργου μνημονεύει ἐξευτελίζων τὴν πρᾶξιν.

B= 180. * ἀλλ' ὅτε κεν] ἀλαζονεύεται, ὡς οὐ πρὸ μικροῦ σηκασθεὶς "ἠύτε ἄρνες" (131).

B= 182. ὡς πυρὶ νῆας ἐνιπρήσω] ἀλαζονείαν βαρβαρικὴν ἔχει τὸ πρὸ τῆς ⟨νίκης τὴν⟩ χρείαν διορίζεσθαι· ἅμα δὲ καὶ στρατηγικὸν τὸ προνοεῖσθαι.

AB– 185. Ξάνθε τε καὶ σύ, Πόδαργε] ἀθετεῖται ὁ στίχος πρῶτόν γε διὰ τὸ "σύ," εἶτα διὰ τὰ ὀνόματα· Λάμπος γὰρ τῆς Ἠοῦς ἐστιν ἵππος, Ξάνθος δὲ Ἀχιλλέως (Il. 19. 400), Πόδαργος Μενελάου, Αἴθη Ἀγαμέμνονος (Il. 23. 295), ἣν Αἴθονα νῦν εἶπε μεταθεὶς τὸ γένος. οὐδαμοῦ ⟨δὲ⟩ τεθρίππῳ κέχρηνται ἥρωες, εἰ μὴ ἐν Ὀδυσσείᾳ ἐπὶ παραβολῆς "ἢ δ', ὥστ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι" (Od. 13. 81). τὸ γὰρ "τέσσαρες ἀθλοφόροι ἵπποι" (Il. 11. 699) ὑπώπτευται ὡς νόθον· ἢ δύο ἅρματα δηλοῦν βούλεται· "τὸ⟨ν⟩ δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον" (Il. 11. 702) τὸν ἑκατέρας συνωρίδος. εἴποι δ' ἄν τις πρὸς τοῦτο, ὅτι εἰκὸς τῶν ἄλλων τεθρίπποις μὴ χρωμένων τὸν Ἕκτορα θαρσῆσαι τέσσαρας ἵππους ὑποζεῦξαι πρὸς κατάπληξιν τῶν πολεμίων διὰ τὸ ἀπόγονον αὐτὸν εἶναι Τρωός, ᾧ Ζεὺς ὑπὲρ Γανυμήδους ἔδωκεν ἵππους, καὶ φιλότιμός ἐστι περὶ ἱππικήν· εἴωθε γὰρ ἵππος ἀγαθὸς πρὸς ἱππικὴν ἐγείρειν, ὡς καὶ πρὸς πόλεμον διάφορα ὅπλα καὶ θηρευτικὴ κύων ἐπὶ κυνηγέσιον ἐξοιστρᾶν τὸν κτώμενον· διὰ τοῦτο τὸν Ἕκτορα θρασὺν ἡνίοχόν φησιν Ὅμηρος, καὶ οὐ μόνον τοῦτον θρασύν, ἀλλὰ καὶ τὸν ἡνιοχοῦντα αὐτῷ "Ἰφιτίδην Ἀρχεπτόλεμον θρασύν" (128). οὐ τοῦ τυχόντος γὰρ ἦν τέτρωρον ἡνιοχεῖν. ἀλλ' εἰ τέτρωρον ἦν, φασί, πῶς δυϊκὸν ἐπήγαγε "τὴν κομιδὴν ἀποτίνετον" καὶ "ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον;" ῥητέον δὲ καὶ πρὸς τοῦτο, ὅτι πρὸς τὰ συστήματα—δύο γὰρ ζύγιοι καὶ δύο παρήοροι ἦσαν—ὡς τὸ

16. διὰ τοῦ σύ ‖ 19. supplevi ex B ‖ 20. τετράωροι ‖ 21. τέσσαρας ἀθλοφόρους ἵππους ‖ 22. δὲ ἐλατῆρα ‖ 27. οἵδε γ. ut B

"τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο" (67) τείνει πρὸς ἑκατέραν στρατιάν, καὶ τὸ "ὡς ἀψῖσι λίνου ἁλόντε" (Il. 5. 487) ⟨πρὸς⟩ τὸν Ἕκτορα καὶ τοὺς Τρῶας· φησὶ γὰρ "τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις—μήπως, ὡς ἀψῖσι λίνου ἁλόντε·" καὶ τὸ "αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον" (Il. 23. 413)· τὸ δυϊκὸν τείνει πρὸς τὸν ἡνίοχον καὶ τοὺς ἵππους. τρισὶ δὲ ἵπποις ἐχρῶντο οἱ ἥρωες, ἵνα τρωθέντος ἑνὸς τῶν ζυγίων εἰς τὴν τούτου χώραν ὁ παρήορος ἄγηται. οἱ δὲ Ὁμηρικοὶ θεοὶ συνωρίσι χρῶνται, ἐπεὶ τιτρωσκόμενοι οὐχ ὁρῶνται. ὁ δὲ Ἕκτωρ ἐτόλμησε προσθεῖναι τὸν τέταρτον ἅμα μὲν διὰ τὰ προειρημένα, ἅμα δὲ καὶ τοῖν δυοῖν ἵππουν τρῶσιν ὑφορώμενος.

Ξάνθε τε] καθ' ἑκάστην κλητικὴν βραχεῖαν διαστολήν· οὐκ ἐῶσι δὲ οἱ σύνδεσμοι, ὥστε εἶναι δύο ἐπίθετα καὶ δύο κύρια. A+ B=

186. ἦν μάλα πολλὴν Ἀνδρομάχην] οἰκονομικὸν καὶ εἰς σωτηρίαν τοῦ ἀνδρὸς τεῖνον, εἴγε καὶ τὰ ὅπλα αὐτοῦ δέχεται, ὡς δηλοῖ ὁ Ζεύς, "ὅ οἱ οὔτι μάχης ἐκ νοστήσαντι δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα" (Il. 17. 207). B=

189. οἶνόν τ' ἐγκεράσασα—ἦ ἐμοί] τὸ ἑξῆς "ἦν μάλα πολλὴν ὑμῖν πὰρ προτέροισιν—ἔθηκεν." τί δὲ ἔθηκεν; μελίφρονα πυρόν· "ἦ ἐμοὶ οἶνον ἐγκεράσασα" καὶ τὰ ἑξῆς συναπτέον· ὑπερβατὸν γάρ ἐστιν, ὅτι οὐκ ἔστι σύνηθες ἵππους πίνειν οἶνον· ψυχρὸν δὲ ἐπὶ ἵππων καὶ τὸ "ὅτε θυμὸς ἀνώγοι." A− B+

191. * ἐφομαρτεῖτον] ἐπεδιώκετον.

192. ἀσπίδα Νεστορέην—αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεος] ἄτοπον νῦν φυσιολογεῖν Ἕκτορα· ἔστιν οὖν τίμια τὰ Ἐρευθαλίωνος ὅπλα. δηλοῖ δὲ ὅτι, εἰ περιέσται τοῦ συνετοῦ καὶ ἀνδρείου, τοὺς λοιποὺς ⟨εὐκόλως⟩ Ἕλληνας ἕξει. B=

193. * πᾶσαν] ἀντὶ τοῦ ὅλην, ὡς "πᾶσαι—πύλαι" (58) ὅλη πύλη. A−

195. * τὸν Ἥφαιστος κάμε] διὰ τὸ διάπυρον Διομήδους· οἱ δέ, ὅτι τὸν Γλαύκου θώρακά φησιν. A+

196. ἐελποίμην ⟨κεν⟩ Ἀχαιοὺς αὐτονυχὶ νηῶν ἐπιβησέμεν] καὶ πῶς πρὸ ὀλίγου καῦσαι ἤθελεν αὐτάς; κωμῳδεῖ τοίνυν τὴν βαρβαρικὴν μεταβολὴν ὁ ποιητής. B=

199. * σείσατο] Ζεὺς δὲ νεύματι μόνῳ σείει τὸν Ὄλυμπον.

1. τείνει scripsi : τὸ ‖ 2. γὰρ ante στρ. ut B: omisi ‖ 5. φερόμεθα ‖ 6. ἔχει πρὸς ‖ 7. ἑνὸς B : τινὸς ‖ 10. τρωσὶν ‖ 12. κλητικὴν B: χρῆται ‖ βραχεῖα διαστολή B ‖ 27. supplevi ex B

B+ σείσατο δ' εἰνὶ θρόνῳ] γυναικεῖον ἦθος ὑπογράφει ⟨διὰ⟩ τῆς Ἥρας, ἣ νικᾶται μὲν τῇ ἀπειλῇ Διὸς καὶ κατὰ χώραν μένει, οὐκ ἠρεμεῖ δὲ τὸ στόμα ὑπὸ τῆς ὀργῆς, καὶ τὸν ὁμότιμον Διὶ Ποσειδῶνα διεγείρει. καὶ νῦν μὲν μέχρι λόγων προέρχεται.

B= 201. ὦ πόποι ἐννοσίγαιε] παροξύνει αὐτὸν διὰ τῶν ἐπιθέτων, ἰσότιμον αὐτὸν ἀποφαίνουσα τῷ Διὶ καὶ ἀξιόμαχον.

B= οὐδέ νυ σοί περ ὀλλυμένων Δαναῶν] ἠθικῶς τῶν ἄλλων φησὶ θεῶν ἀμελούντων τοῦ Ἑλληνικοῦ οὐδὲ σὺ τοὺς Ἕλληνας ἐλεεῖς.

B− 203. οἳ δέ τοι—δῶρ' ἀνάγουσιν] προτρεπτικὸν τοῦτο πρὸς τὴν βοήθειαν, ἵνα μὴ προκατάρχειν ἀμείβεσθαι δὲ μᾶλλον δοκῇ, εἰ καὶ τὸ "εἴποτέ τοι χαρίεντα" (Il. 1. 39).

AB− Ἑλίκη πόλις τῆς Ἀχαΐας, ὑπὸ σεισμοῦ ἠφανισμένη, ὅθεν καὶ Ἑλικώνιος ὁ Ποσειδῶν· καὶ Αἰγαὶ νῆσος πλησίον Εὐβοίας.

*ἀνάγουσι] ἀντὶ τοῦ ⟨ἀν⟩άξουσι.

B+ 204. *σφίσι βούλεο νίκην] ἠθικῶς· οἷον, εἰ θελήσειας, δύνασαι κρατῆσαι.

B= 206. καὶ ἐρυκέμεν] ὧδε στικτέον· καὶ ἑξῆς, "εὐρύοπα Ζῆν' ⟨αὐτοῦ κεν ἀκάχοιτο⟩·" οὐ γὰρ εἰκὸς ἐπιβουλεύειν Διὶ τὴν πρώην κολασθεῖσαν· ἐμφαίνεται δὲ καὶ θρασὺς θυμὸς γυναικεῖος θρασύτερον τῶν ὑπερεχόντων καταφρονῶν.

AB+ 206, 207. *Ζῆν'· αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο] ὅτι καὶ μεταξὺ συλλαβῆς στιγμὴ καὶ μετὰ συναλ⟨ο⟩ιφὴν καὶ ἐν ἀρχῇ στίχου.

A= *ἔνθ' ἀκάχοιτο καθήμενος] Ζηνόδοτος "αὐτοῦ ἔνθα κάθοιτ' ἀκαχήμενος."

B= 208. *τὴν δὲ μέγ' ὀχθήσας προσέφη] οὐκ ἔφη κοινῶς 'τὴν δ' ἠμείβετο,' ἀλλὰ διὰ τοῦ σχετλιασμοῦ τὸ θράσος αὐτῆς ἀναστέλλει.

A+ B= 209. ἄπτοεπές] ἀπτομένη, ἢ ἀάπτους λόγους λέγουσα, ἢ ἀπτόητε·

B= διὸ καὶ "ποῖον τὸν μῦθον ἔειπες." §. ἀναπαύων δὲ ἡμᾶς τῆς διηγήσεως τῶν Ἑλληνικῶν ἀτυχημάτων παρεισάγει τὸν διάλογον τῶν θεῶν.

*ποῖον τὸν μῦθον] Ἀττικῶς τὸν ποῖον μῦθον.

B= 210. οὐκ ἂν ἔγωγ' ἐθέλοιμι Διὶ—μάχεσθαι] πῶς οὖν αὐτὸς ἐναντιοῦται τῷ Διὶ ἐν τῇ ἐπὶ ναυσὶ μάχῃ; ὁ πολὺς αὐτὸν ἀνέκλασε φόνος τῶν Ἑλλήνων.

AB+ 213. τῶν δ', ὅσον ἐκ νηῶν ἀπὸ πύργου] τινὲς οὕτω τὸ ἑξῆς, ὅσον

1. supplevi ex B ‖ 2. οὐχ ‖ 3. στόμα W : σῶμα ut B ‖ 10. δοκοίη ‖ 11. τὸ ὥς ποτε ‖ 16. κροτῆσαι ‖ 17. Ζεύς ‖ 18. supplevi ex B ‖ 29. post θεῶν sec. supra add. ἡ καθαπτομένη τοῖς λόγοις· διὸ καὶ δασεῖαν γράφει

ἀπέεργεν ἡ τάφρος ἐκ τοῦ πύργου τῶν νηῶν, τουτέστιν ἐκ τοῦ πύργου τοῦ διὰ τὰς ναῦς γενομένου.

τῶν δ', ὅσον ἐκ νηῶν] τοῦτο δήλωσίς ἐστι τοῦ συνεληλάσθαι τοὺς A B–
Ἕλληνας εἰς τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους στενόν, ὃ δὴ
καὶ στεῖνος καλεῖ (476). τὸ δὲ ἑξῆς· ὅσον εἶχε διάστημα ἀπὸ τῶν νεῶν
ἡ ἔξω τοῦ τείχους τάφρος, ἐπλήθυνεν ὁμοίως ἵππων τε καὶ ἀνδρῶν
ἀποκλειομένων καὶ μὴ δυνηθέντων εἰσδραμεῖν ⟨ἐν⟩ τῷ τείχει, ἀλλὰ
μηδὲ τολμήσαντος ἔξω τῆς τάφρου μεῖναί τινος. καὶ τὸ "ἵππων" δὲ
ἐπέτεινε δηλῶν τὴν στενοχωρίαν· ἔνιοι δὲ τὰ δύο διαστήματα πεπλη-
ρῶσθαί φασι τότε, ἀπὸ τῶν νεῶν ἕως τοῦ τείχους καὶ ἀπὸ τοῦ τείχους
ἕως τῆς τάφρου. §. τὸ δὲ ἑξῆς· ὅσον δὲ ἡ τάφρος διώριζεν ἐκ τῶν νεῶν
καὶ τοῦ τείχους τοὺς πολεμίους, τοῦτο ἐπεπλήρωτο· ἡ γὰρ "ἀπό"
πρὸς τὸ "ἔεργε" καὶ λείπει ὁ καί, ἵν' ᾖ 'καὶ πύργου.' §. Ζηνόδοτος A–
δὲ γράφει "τῶν δ' ὅσον ἐκ νηῶν καὶ πύργου," ὃ καὶ ἄμεινον.

* ἔεργε] γράφεται καὶ "ἔρυκε."

216. ὅτε οἱ Ζεὺς κῦδος ἔδωκε] τοῦτο πρὸς μείωσιν τοῦ κλέους
Ἕκτορος.

217. καί νυ κ' ἐνέπρησεν] εἰς ἄκρον τοὺς κινδύνους εἴωθεν ἐξάγειν B=
ἀεί, καὶ ἐναγώνιον ποιήσας τὸν ἀκροατὴν τῇ προσδοκίᾳ εὐθὺς τὴν
ἴασιν ἐπιφέρει.

* κηλέῳ] κᾶλον κάλειον κήλεον. σημαίνει δὲ τὸ καυστικόν. A+

218. εἰ μὴ ἐπὶ φρεσὶ θῆκε] ἐν καταπλήξει γὰρ ἦσαν ἅπαντες· B=
τοῦτο δὲ ἰάσατο ἡ Ἀγαμέμνονος προτροπή. δεῖ δὲ αὐτουργεῖν ἐν τοῖς
δεινοῖς τοὺς ἄρχοντας.

221. πορφύρεον μέγα φᾶρος] κατὰ τὸ σιωπώμενον ἔλαβε τὸ B=
φᾶρος. ἐπισείων δὲ τὸ φᾶρος τῇ χειρὶ τῷ παραδόξῳ τοῦ σχήματος
ἐπιστρέφειν πειρᾶται τοὺς ἔσω τείχους εἰσελθόντας.

222. * μεγακήτεϊ] μεγάλῃ· παρὰ τὸ κῆτος.

227. * διαπρύσιον] διαπεράσιον διαπορεύσιμον. B+

228. αἰδώς, Ἀργεῖοι—εἶδος ἀγητοί] οἱ τὰ μὲν παρὰ τῆς φύσεως B=
εὐποροῦντες, οἰκείᾳ δὲ κακίᾳ μειοῦντες· ὃ καὶ ἀλλαχοῦ "οὐκ ἄρα
σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν" (Od. 17. 454). ἢ ὅτι οὐδέν ἐστι
κάλλος δίχα δυνάμεως. §. τὸ δὲ "εἶδος ἀγητοί" θαυμαστοί· ἄγη
γὰρ ἡ ἔκπληξις.

5. εἶργε ‖ 6. ἡ ἔξω B: ἡ ante τάφρος ‖ 7. καὶ μὴ B: ἅμα μήτε ‖ supplevi ex B ‖ 8. μήτε ‖ 16. κλέους scripsi: πολέμου ‖ 29. διαπεράσιον Et. M.: διαπερύσιον ‖ 30. οἱ B: ὦι

B= 229. πῆ ἔβαν εὐχωλαί] λεληθότως ⟨ὑπομιμνήσκει τοὺς⟩ λαθομένους τῶν προγεγονότων· πιθανῶς δὲ συμπεριέλαβε καὶ ἑαυτόν, ἵνα μὴ ἄντικρυς αὐτοὺς ἀποστρέψῃ.

A–B= 230. ὁπότ' ἐν Λήμνῳ] τὸ "ὁπότε" ἀντὶ τοῦ ὅτε· οἱ δὲ εἰς τὸ "Λήμνῳ" στίζουσιν, λείποντος τοῦ ἦμεν. δείκνυσι δέ, ὡς ἀβέβαιος ἡ παρὰ κύλικι ὑπόσχεσις.

B= 231. ἔσθοντες κρέα πολλὰ—πίνοντες κρητῆρας] πρῶτος ἔγραψε στράτευμα μεθύον καὶ μεγαλορ⟨ρ⟩ημονοῦν Ὅμηρος, εἶτα σῶφρον καὶ ἀτυχοῦν.

* ὀρθοκραιράων] κ⟨ρ⟩αῖρα ἡ κεφαλή.

AB+ 233. ἄνθ' ἑκατόν τε] τὸ πλῆρες ἄντα οὐκ ἀντί, ὡς ἀρέσκει τῷ Ἡρωδιανῷ.

A+ 235. Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει] ἧττονα ⟨ἄν⟩ φησιν ὀνειδισμὸν Ἀρίσταρχος εἶναι, εἰ οὕτως ἐγέγραπτο "Ἕκτορος, ᾧ δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει," περισσῶς δέ· ὡς γὰρ ἐκεῖνοι ἀοριστωδῶς ἔλεγον, οὕτως ἔδει καὶ τοῦτον ἀοριστωδῶς.

πυρὶ κηλέῳ] καθ' ὕφεσιν τοῦ ῑ γέγονεν· τὸ γὰρ τέλειόν ἐστι κηλείῳ.

B– 236. Ζεῦ πάτερ] διὰ τῆς ἀναφωνήσεως καὶ ὀνειδίζει καὶ ψυχαγωγεῖ, τὴν αἰτίαν εἰς θεοὺς ἀνάγων. οἰκειοῦται δὲ τὴν συμφοράν, ὅπως κατᾷδῃ παρακαλῶν. ἄλλως τε "τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται—τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δῃωθέντων" (Π. 4. 415).

237. καί μιν μέγα κῦδος ἀπηύρας] "καί μιν ἀπηύρας" Ἀττικῶς, ὡς καταφρονεῖ με, ἀντὶ τοῦ 'εἰργάσω ἄλλον τινὰ τῶν βασιλέων οἷα ἐμέ;'

* μὶν—ἀπηύρας] ἀπηύρας αὐτόν.

A+ B= 239. νηὶ πολυκληῖδι—ἐνθάδε ἔρρων] φθοράν, οὐ πλοῦν ὀνομάζει τὴν ὁδόν.

B= 240. βοῶν δημὸν καὶ μηρί' ἔκηα] διὰ τούτων παιδεύει ἡμᾶς καὶ ἐπὶ

A+ ξένης θύειν. §. "δημόν" δὲ στέαρ π⟦ι⟧μελήν, παρὰ τὸ δαίω τὸ καίω.

B+ 242. τόδε ⟨πέρ⟩ μοι—κρήηνον ἐέλδωρ] ὡς Ἕλλην οὐκ ἀφίσταται τῆς εἰς θεοὺς ἐλπίδος.

1. supplevi ex B ‖ 1, 2. λανθάνομεν ‖ 2. τῶν προγεγονότων B: τὰ προγεγονότα ‖ 3. ἀποστρέψῃ W: διατρέψῃ B, διαστρέψῃ ‖ 4. ὅτε B: ποτὲ ‖ 5. ἦμεν B: ἡμῖν ‖ 6. κύλικας ut B ‖ 9. καὶ ἀτυχοῦν B: μετ' αὐτόν ‖ 13. supplevi ex A ‖ 14. ᾧ A: ἕως ‖ 15, 16. ἐκεῖνος—ἔλεγεν: corr. Lehrs ‖ 16. ἀοριστωδῶς Lehrs: ἀορίστου ἔθει ‖ 21. καταιδῇ: corr. W ‖ 29. novavit rec. ‖ 30. Ἕλλην B: Ἑλληνικὸς

243. αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν] ἐλεεινὸν ἡ παρ' ἐλπίδα B=
ἀπόδοσις. πάλαι μὲν εὐχόμεθα περὶ νίκης, νῦν δὲ περὶ σωτηρίας
αἰτοῦμεν.

245. * δακρυχέοντα] καὶ ὅτι ἐδάκρυσεν Ἀγαμέμνων, νῦν ἐσή- B=
μανεν.

246. * νεῦσε] ὑπὲρ ἀναπαύσεως τοῦ ἀκροατοῦ.
* ἀπολέσθαι] "ἀπολεῖσθαι." A+

247. αἰετὸν ἧκε] οἱ μέν φασι τικτομένου τοῦ Διὸς τεχθῆναι καὶ A B−
τὸν ἀετόν· οἱ δὲ καὶ ἐν τῇ γιγαντομαχίᾳ αἴσιον τῷ Διὶ γενέσθαι.
διὸ ἱερὸς αὐτοῦ ἐστιν· εἴρηται δὲ ἀετὸς παρὰ τὸ ἀεὶ ἐτεὸν αὐτὸν
εἶναι, ὅ ἐστιν ἀληθῆ. "τελειότατον" δὲ "πετεεινῶν" ἤτοι τὸν
ἐπιτελεστικώτατον, ἐπεὶ Διός ἐστιν, ἢ τὸν μείζονα· ὁ δὲ νεβρὸς τοὺς
κατεπτηχότας δηλοῖ Ἕλληνας, καὶ ὁ κοινὸς βωμὸς τὴν κοινὴν ἅπασιν
ἀπὸ τοῦ Διὸς σωτηρίαν· ἄδειαν γὰρ τοῖς καταφεύγουσιν ὁ βωμὸς
πορίζεται. ὅτι δὲ κοινός, καὶ τῷ "πανομφαίῳ" δηλοῖ, οἷον ἀπὸ
πάσης φωνῆς καὶ γλώττης τετιμημένῳ. ὀμφὴ γὰρ ἡ φωνή.

248. νεβρόν] τὸ⟨ν⟩ νεωστὶ βορὰν δεχόμενον εὔχυμόν φασι γενό- B−
μενον σαρκοφαγεῖσθαι ὑπ' ἀετοῦ νεβρόν. §. ⟨ἀεὶ ἐτεός⟩ αἰετός ἀετός.

249. πὰρ δὲ Διὸς βωμῷ] καλὸν τὸ ἔσω γενέσθαι τὸ σημεῖον. ἦ B=
γὰρ ἂν ἰδόντες Τρῶες πλέον ἐθάρρουν.

250. πανομφαίῳ] τινὲς τῷ ὑπὸ πάντων φωνουμένῳ, παρόσον αὐτός A B−
ἐστιν ὁ ἀήρ, ὅθεν ἡ φωνή· ὀμφὴ δὲ ἡ φωνή, ἡ τὸ ὂν φαίνουσα. ἢ ὅτι
ἐπὶ τῇ Ὀδυσσέως νηί, ὅπου ἡ ἀγορά (Il. 11. 807), διὰ τὰς γινο-
μένας ἐξ αὐτῆς φήμας, ἢ ὅτι φησὶν "ἣ ὄσσαν ἀκούσῃς ἐκ Διός"
(Od. 1. 282).

251. οἳ δ' ὡς οὖν εἶδον, ὅτ' ἄρ' ἐκ Διὸς ἦλυθεν ὄρνις] ἐπὶ ⟨γὰρ⟩ B+
τοῖς Ἀγαμέμνονος λόγοις γέγονεν· διὸ φανερὸν ἦν τοῖς Ἕλλησιν.

252. οἳ δ' ὡς οὖν εἶδον—ὄρνις, μᾶλλον ἐπὶ Τρώεσσι θόρον] ὅτι καὶ B=
πρώην ἦσαν πρόθυμοι ἐκ τῶν Ἀγαμέμνονος παρορμήσεων· μᾶλλον δὲ
ἐθάρρησαν τοῦ σημείου πεφηνότος.

253. οὔ τις πρότερος—εὔξατο Τυδεΐδαο] τελευταῖος γὰρ ὑποχω- B=
ρῶν πρῶτός ἐστιν εἰς ὑποστροφήν· ἄλλως τε καὶ παρώξυ⟨ν⟩-

1. ἐλπίδας ut B ‖ 11. ante ἀ. omisi αἴσιον καὶ ut A B ‖ 12. ἐπιτελε-
στικώτατον A: τετελεστικώτατον ‖ 17. βορᾶς: corr. W ‖ εὔθυμον ‖ 18.
σάρκα φάγεσθ' ἀετοῦ νεβρὸς ‖ supplevi ex Et. M. et D, cf. schol. 247 ‖
αἰετοῦ ἀ. ‖ 23. ἐπὶ W: ἐν ‖ 24. ἀκούσεις ‖ 26. ὄρνιν ‖ supplevi ex B
‖ 32. ὑπ. B: ἐπιστροφήν

ται ὑφ' Ἕκτορος. δείκνυσιν οὖν, ὅτι τοῖς κεραυνοῖς εἶκεν. Ὀδυσσεὺς δὲ πολέμιον ὁρῶν τὸν Δία οὐ πιστεύει ταῖς αἰφνιδίοις μεταβολαῖς.

B= 257. ὃ μὲν φύγαδ' ἔτραπεν ἵππους] ὅτι εὐθέως ἐτράπησαν Τρῶες· ἐν δὲ τῇ τηλικαύτῃ τροπῇ οὐδεὶς Ἑλλήνων πλήττεται.

B= 261. τὸν δὲ μετ' Ἀτρεΐδαι—τοῖσι δ' ἐπ' Αἴαντες] τὴν μὲν φυγὴν τῶν Ἑλλήνων ἀπήγγειλεν οὐ πολλὰ διελθὼν ὀνόματα, νῦν δὲ εἰς τὴν μάχην ἐπιστρέφων αὐτοὺς τῶν πλείστων Ἑλλήνων μέμνηται.

B= 266. Τεῦκρος δ' εἶνατος ἦλθε, παλίν⟨τονα⟩ τόξα ⟨τιταίνων⟩] διῄρηκεν ὡς μέλλων περὶ αὐτοῦ λέγειν. ἔνδον δέ ἐστιν Ὀδυσσεὺς ὀτρύνων δι' Ἀγαμέμνονα· ἀλλ' [οὐδὲ] Θόαντος μέμνηται, καὶ οὐ πάντως ἐστὶ δειλός (cf. Il. 7. 168).

B= 268. ἔνθ' Αἴας μὲν ὑπεξέφερεν] τοῦτο καὶ τὴν φιλαδελφίαν δείκνυσι τῶν Αἰάντων, καὶ τὸ μέγεθος τῆς ἀσπίδος ⟨τῆς ἄμφω⟩ περι-

B= λαμβανούσης. §. ⟨γράφεται⟩ "ὕπαιθ' ἔφερεν," ὅ ἐστιν ἔμπροσθεν.

A+B= 269. παπτήνας] βραχεῖα διαστολὴ εἰς τὸ "παπτήνας·" ἡδὺς δὲ ὁ λόγος καὶ τὸ σχῆμα.

A= 270. βεβλήκει] Ἀρίσταρχος διὰ τοῦ ō "βεβλήκοι."

B+ 274. Ὀρσίλοχον μὲν πρῶτα] ⟨τοὺς τῶν Τρώων νεκροὺς ἀεὶ ἀριθμεῖ καὶ νῦν,⟩ τοὺς δὲ τῶν Ἑλλήνων οὐ κατέλεξεν.

A+ 276. *Ἀμοπάονα] ψιλωτέον· κύριον γάρ ἐστιν.

B= 279. Τρώων ὀλέκοντα φάλαγγας] πλῆθός τι δηλοῖ τῶν ἀναιρουμένων.

B= 281. Τεῦκρε, φίλη κεφαλή] εἰς εὔνοιαν αὐτὸν διὰ τῆς φιλίας ἐπάγεται, καὶ τοῦ πατρὸς ὑπομνήσας καὶ τῆς ἡγεμονίας, ὅπως μὴ ἀνάξιος ὀφθῇ τούτων· καλὴ δὲ καὶ ἡ παράτασις τοῦ "βάλλε."

B= Τελαμώνιε, κοίρανε λαῶν] "πατρόθεν ἐκ γενεῆς—πάντας κυδαίνων" (Il. 10. 68).

B= 282. αἴ κεν τι φόως Δαναοῖσι] λεληθότως καθ' Ἕκτορος αὐτὸν ὁπλίζει· ὅθεν κἀκεῖνος συνείς φησι "τοῦτον δ' οὐ δύναμαι βαλέειν" (299).

A+B= 283. ὅ σ' ἔτρεφε] τὸ "ὅ" ἀντὶ τοῦ ὅς. §. πανταχόθεν δὲ αὐτὸν

B= προτρέπει, ὡς καὶ τὸν πατέρα καὶ τοὺς Ἕλληνας εὐεργετήσοντα.

B= 284. καί σε νόθον περ] οὐκ ὀνειδίζει ἀλλ' ἐπαινεῖ, ὅτι διὰ ⟨τὴν τοῦ⟩ τρόπου χρηστότητα καίπερ νόθος ὢν οὕτως ἐτράφη. ἄλλως τε διδάσκει, ὅτι οὐκ ἔστιν ὄνειδος τὰ ἴδια ἀκούουσιν. ἀλλ' οὐδὲ ὄνειδος

13, 18, 32. supplevi ex B ‖ 14. suppl. W ‖ ὕπαιθα ut B ‖ 18. πρῶτον ‖ 32. οὐχ

ἦν ἡ νοθ⟨ε⟩ία παρὰ τοῖς παλαιοῖς. πολεμεῖ δὲ ⟨πρὸς⟩ τοὺς ὁμοφύλους νικώμενος τῇ φιλαδελφίᾳ.

καί σε νόθον περ] παρὰ Ζηνοδότῳ οὐκ ἦν· ἠθέτει δὲ καὶ Ἀριστοφάνης. A+

289. πρώτῳ τοι μετ' ἐμέ] φιλαλήθως πρὸς πίστιν· ἐντεῦθεν νόμος, τοὺς ἀριστεῖς γέρας δέχεσθαι.

290. ἢ τρίποδα] διαζευκτικὸς ὁ "ἤ," ὡς τὸ "ἠ⟨ὲ⟩ δύω ἠὲ τρεῖς A=
ἄνδρας ἔρυσθαι" (Od. 5. 484).

291. * γυναῖκα] Ζηνόδοτος "Ἰόπη⟨ν⟩."

ὁμὸν λέχος εἰσαναβαίνοι] ἀρίστην, ἣν ἀξιώσεις καὶ γαμετὴν κτᾶσθαι. B=

293. τί με σπεύδοντα] παρ' Ὁμήρῳ κακοπαθοῦντα. B+

296. δεδεγμένος ἄνδρας ἐναίρω] αἱ Ἀριστάρχου διὰ τοῦ γ̄, Ἡρω- A+ B−
διανὸς διὰ τοῦ χ̄· καί φησιν, ὅτι εἰρωνευόμενός φησιν ἀντὶ τοῦ 'δεξιούμενος αὐτούς.' δέχεσθαι γάρ ἐστι τὸ δεξιοῦσθαι.

τόξοισι] βέλεσιν· "συναίνυτο καμπύλα τόξα πεπτεῶτα" (Il. 21. 502).

297. * τανυγλώχινας] μακρὰς καὶ ὀξείας γωνίας ἔχοντα, ὅ ἐστιν ἀκίδας.

299. κύνα] διὰ τὸ θρασὺ καὶ πολύλαλον· "ἐξ αὖ νῦν ἔφυγες A= B−
θάνατον, κύον" (Il. 11. 362)· "ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου" (338).

304. ἐξ αἰσύμνηθεν] "Αἰσύνηθεν" διὰ τοῦ ν̄· καὶ ἡ Ζηνοδότου καὶ A−
ἡ Ἀριστοφάνους "ἐξ Αἰσύμηθεν," ἴσως τῆς Νίρεως Σύμης (Il. 2. 671)· οἱ δὲ "αἰσύμνηθεν" ἀπὸ βασιλικοῦ γένους.

* ἐξ Αἰσύμηθεν] ἀπὸ Αἰσύμης πόλεως Θρᾴκης.

306. μήκων δ' ὣς ἑτέρωσε] ὅλον ὅλῳ παραβέβληται· ἔστι δὲ διά- AB=
κενος ὁ μήκων· διὸ βαρεῖται. ἔστι δὲ κοινὸν τὸ "κάρη βάλεν."

307. καρπῷ βριθομένη] λείπει τὸ ἐστίν· οὐ γὰρ ἐκδέχεται ὁ B=
Νικάνωρ τὴν μετοχὴν ἀντὶ ῥήματος.

* νοτίῃσί τε εἰαρίνῃσιν] βαρύνεται γὰρ ψεκάσιν.

νοτίῃσί τε εἰαρινῇσιν] εἰ γὰρ μὴ ἦν ὑγρά, οὐκ ἂν ἐπεκάμφθη ἀλλ' B=
ἐκέκλαστο.

1. πρὸς suppl. W ‖ ὁμοφύλους B : ἀλλοφύλους ‖ 3. νόθος ‖ 12. ἡρωδιανοῦ ‖ 17. γωνίας scripsi cf. Et. M. s.v. γλωχίν : γλωχῖνας Apoll. Soph., γωνιώσεις D, γωνιώδεις ‖ 22. ἡ A : αἱ ‖ Ἀρίσταρχος Αἰσύμνηθεν καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους A ‖ 27. ὁ A B : ἡ ‖ 28. ἐκδέχεται B : ἀναδέχεται ‖ 30. βαρύνεται scripsi : δρ legi ‖ 32. ἐκέκλαστο B : ἐκλᾶτο

308. πήληκι βαρυνθέν] Αἰτωλικὸν τὸ "πήληξ."

B+ 311. παρέσφηλεν γὰρ Ἀπόλλων] καὶ τὸν Ἕκτορα σῴζει, καὶ Τεῦκρον ἐπαινεῖ. "παρέσφηλε" γὰρ τὸ βέλος ἢ τὸν Τεῦκρον.

*Ἀπόλλων] ὡς τοξικός.

B= 312. ἀλλ' Ἀρχεπτόλεμον] ὅτι μόνους τοὺς Ἕκτορος ἡνιόχους ἐποίησεν ἐν τῷ πολέμῳ τιτρωσκομένους, ἄνω μὲν Ἡνιοπέα, νῦν δὲ Ἀρχεπτόλεμον, μετὰ δὲ ταῦτα Κεβριόνην· θρασὺς δὲ ἡνίοχός ἐστι ⟨καὶ⟩ ὁ Ἕκτωρ (89). διδάσκει οὖν, ὅτι βλάπτει ἡ πρὸς τοὺς θρασεῖς φιλία. §. τρεῖς δὲ αὐτοῦ ἡνίοχοι ἀναιροῦνται.

B+ 313. ἱέμενον πόλεμόνδε] ἔδρασεν οὖν ἄν τι χαλεπόν, εἰ μὴ ἐβλήθη.

A– 316. πύκασε φρένας ἡνιόχοιο] λείπει ἡ περί, ὡς "οἰκτροτάτην ⟨δ'⟩ ἤκουσα ὅπα Πριάμοιο θυγατρός" (Od. 11. 420)· οὐ γὰρ αὐτῆς ὅπα ἀλλὰ περὶ αὐτῆς, ἣν ἔλεγε Κλυταιμνήστρα καταβοῶσα Ἀγαμέμνονος, ὅτι ἐπαγάγοι αὐτῇ βάρβαρον γυναῖκα· ὁ οὖν ἐξ αὐτῆς ψόγος οἰκτρὸς ἦν τῷ Ἀγαμέμνονι· οὕτως οὖν καὶ ἐνταῦθα λείπει ἡ περί, "Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας" περὶ τοῦ ἡνιόχου.

321. *σμερδαλέα] καταπληκτικά.

A= ὃ δὲ χερμάδιον] "ὃ δέ" Ὁμηρικῷ ἔθει ὡς περὶ ἑτέρου λεγόμενον.

325. παρ' ὦμον] δύναται ἀμφοῖν συντάσσεσθαι.

ὅθι κληὶς ἀποέργει] οὕτω χωρὶς τοῦ ι "ἀποέργει."

B= 326. μάλιστα δὲ καίριόν ἐστιν] διὰ τὸν σύνδεσμον τῆς ὠμοπλάτης πρὸς τὸν ὠμόν· "καίριον" δὲ ὡς πρὸς τοξότην.

B= 328. ῥῆξε δέ οἱ νευρήν] προδιέλυσε τὴν ὁρμὴν τοῦ λίθου ἡ νευρὰ κοπεῖσα.

AB= νάρκησε δὲ χείρ] ποῖος ὦμος βέβληται; δηλονότι ὁ ἀριστερὸς δι' ὧν φησι "τόξον δέ οἱ ἔκπεσε χειρός." ἄλλως τε τὸν προβεβλημένον ὦμον εἰκὸς πεπλῆχθαι, οὐχὶ τὸν συνεσταλμένον ἐν τῷ τοξεύειν.

A= νάρκησε δὲ χείρ] τινὲς "χεῖρα" κατ' αἰτιατικήν.

B= 331. ἀλλὰ θέων περίβη] τὴν προθυμίαν αὐτοῦ δηλοῖ διὰ τοῦ "θέων·" οὐ γὰρ ἦν πόρρω.

B+ 335. Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν] πάλιν ἐπὶ τὸν Δία τὸ αἴτιον ἀναφέρει τῆς νίκης.

3. ἐπαινεῖ B: ἐπαίρει ‖ 11. βέβληται, cf. B ‖ 12. iteratur *ἡνιόχοιο] περί ‖ 13. οὐ γὰρ scripsi: οὐκ ἀτ' ‖ 19. Ὁμηρικὸν ἔθος ut A ‖ 23. περὶ τ. σ. B

337. Ἕκτωρ δ' ἐν πρώτοισι κίε] χωρὶς τοῦ ν̄ αἱ Ἀριστάρχου, καὶ ἔστιν ‘ὁ δὲ Ἕκτωρ ἐπὶ τοὺς πρώτους ὥρμα.’ A=

338. ὡς δ' ὅτε τίς ⟨τε⟩ κύων] οὐ δεόντως, φασί, τῷ κυνὶ ἓν ζῷον διώκοντι παραβάλλει τὸν Ἕκτορα διώκοντα πολλούς. ἄλλως τε οὐκ ἔδει εἰκάζειν τὸν διώκοντα κυνί, τοὺς δὲ διωκομένους ἀλκιμωτέρῳ ζῴῳ, καὶ τῷ λέοντι. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον, ὅτι ὁ Ἕκτωρ εἴκασται κυνὶ ἑνὶ καὶ ὁ ἀποκτεινόμενος θηρὶ ἑνί· φησὶ γὰρ “αἰὲν ἀποκτείνων τὸν ὀπίστατον” (342). πρὸς δὲ τὸ δεύτερον, ὅτι ἡ παραβολὴ οὐ πρὸς ἰσχὺν ἀλλὰ τάχος· κύνες γὰρ ἐν ταῖς θήραις ἐπιτήδειοι πρὸς δίωξιν· διὰ τοῦτο ὁ Ἕκτωρ διώκοντι εἴκασται κυνί. τὰ δὲ ἄγρια ζῷα φεύγειν εἴωθε τὰ πολλά. διὰ τοῦτο οἱ ὑποχωροῦντες Ἕλληνες τοῖς φεύγουσιν εἰκάζονται. ἔπειτα καὶ δεόντως τοῖς ἀλκιμωτέροις ζῴοις παρέβαλε τοὺς Ἕλληνας· προεῖχον γὰρ τῇ ῥώμῃ καὶ τὰ νῦν δυστυχοῦσι, καὶ ἀεὶ ὁ ποιητὴς εἴωθε κακοπραγοῦντας αὐτοὺς εἰκάζειν θηρσίν. ὁ μὲν γὰρ Αντίλοχος θηρὶ “ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ ⟨— ἐοικώς⟩” (Il. 15. 586), ὁ δὲ Αἴας καὶ τοῦ Διὸς φοβοῦντος αὐτὸν ἀναχωρῶν λέοντι παραβάλλεται (Il. 11. 546), οἱ δὲ Τρῶες νεβροῖς (Il. 22. 1). A B–

339. ἅπτηται—ἰσχία] ὡς “ἐπεμαίετ' ἄρ' ἵππους” (392)· οἳ δέ, δοκεύει ἰσχία καὶ ἑλισσόμενον. A+

ἅπτηται] εὖ τὸ “ἅπτηται·” οὐ γὰρ ἐπιλαμβάνεται, ἐπιπηδᾷ δὲ ὑλακτῶν. εὖ δὲ καὶ τὸ “ὄπισθεν·” ἐναντίος γὰρ οὐ πρόσεισι τῷ θηρίῳ, τὴν ἐμβολὴν αὐτοῦ φοβούμενος. καλῶς δὲ οὐ τῇ πλευρᾷ ἐπίκειται, ἀλλὰ τοῖς γλουτοῖς καὶ τοῖς ἰσχίοις πρὸς τὸ ῥᾳδίως ἐκκλίνειν τὴν ὑποστροφὴν τοῦ θηρίου. ἐπιφέρει γοῦν “ἑλισσόμενόν τε δοκεύει.” καὶ ἐν τῇ δυστυχίᾳ δὲ ὑψοῦται τὸ Ἑλληνικόν. B=

340. * ἑλισσόμενον] διὰ τοῦ ῡ· περὶ γὰρ τοῦ συὸς λέγει. A=

343. αὐτὰρ ἐπεὶ διά τε σκόλοπας] τῇ ταραχῇ τῶν φευγόντων καὶ μονονουχὶ ἐμπιπτόντων τῇ τάφρῳ οἰκεῖον τὸ ὑπερβατόν.

344. * πολλοὶ δέ] ὁ “δέ” ἀντὶ τοῦ γάρ· ἔστι δὲ διὰ μέσου.

345. οἳ μὲν δὴ παρὰ νηυσὶν—ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι χεῖρας] οὐχ ὥσπερ οἱ Τρῶες “πεφυζότες ἠύτε νεβροί” (Il. 22. 1)· φιλάλληλον γὰρ καὶ αἰδέσιμον τὸ Ἑλληνικόν. εὔχονται γοῦν θεοῖς καὶ ἀλλήλους παρακαλοῦσιν. B=

347. χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο] ἀπὸ μετοχῆς εἰς

6. τῷ A B: πρώην ‖ 13. φεύγουσι post ζ. del. W ‖ τῇ ῥώμῃ B: τὴν ῥώμην ‖ 15. Α. θηρίον ὁ γὰρ ἕ. θηρίον ‖ 24. ἐπιστροφὴν ut B

ῥῆμα μετέβη, ὡς τὸ "ἰοῖσίν τε τιτυσκόμενοι λάεσ⟨σ⟩ί τ' ἔβαλλον" (Il. 3. 80).

B= 348. ἀμφιπεριστρώφα] οὐ περιττὴ ἡ ἑτέρα πρόθεσις, ἀλλ' ἐναργῶς δείκνυσι τὴν ἐν ταὐτῷ γινομένην συνεχῆ τοῦ Ἕκτορος ἐπιστροφήν, ζητοῦντος κατὰ ποῖον εἰσελάσει τοὺς ἵππους μέρος.

A+B− 349. Γοργοῦς ὄμματ' ἔχων] Ζηνόδοτος "Γοργόνος," κακῶς· οὔτε γὰρ ὁ ποιητὴς οὔτε Ἡσίοδος Γοργών φασιν ἀλλὰ Γοργώ, καὶ "Γοργείη κεφαλή" (Il. 5. 741) καὶ "Γοργούς θ', αἳ ναίουσιν" (Theog. 274).

A+B= Γοργοῦς ὄμματ' ἔχων] αἱ Ἀριστάρχου "οἴματα," αἱ δὲ πλείους "ὄμματα·" φησὶ γὰρ "Γοργὼ βλοσυρῶπις" (Il. 11. 36), καὶ ἀπὸ τῶν ὀμμάτων εἴωθε χαρακτηρίζειν, ὡς "ὄμματα καὶ κεφαλήν" (Il. 2. 478), "κυνὸς ὄμματ' ἔχων" (Il. 1. 225) καὶ "φολκὸς ἔην" (Il. 2. 217).

B= 350. τοὺς δὲ ἰδοῦσ' ἐλέησε] ἀναρτᾷ πάλιν ἡμᾶς ἀπὸ τῶν παρόντων, οὐ διηγούμενος τὴν δυστυχίαν τῶν Ἑλλήνων ὡς φιλέλλην.

B= 351. αἶψα δ' Ἀθηναίην] "αἶψα" δίχα ἐπιλογισμοῦ τοῦτο ποιεῖ· διὸ καὶ μεταμεληθήσεται ὕστερον. ἀποτυχοῦσα δὲ Ποσειδῶνος ταύτην πείθει.

B= 352. * ὦ πόποι] οἰκεῖον τῇ σχετλιαζούσῃ τὸ προοίμιον.

B− οὐκέτι νῶι—Ἀργείων κεκαδησόμεθ' ὑστατίον περ] οὐκέτι ὕστερον [χατι]ούμεθα τῶν Ἑλλήνων· ἀπολοῦνται γάρ, ὡς μὴ χρείαν ἔχειν τῆς ἐξ ἡμῶν ἐπικουρίας· τινὲς δὲ κατ' ἐρώτησιν.

353. κεκαδησόμεθα] ἀντὶ τοῦ φροντιοῦμεν, παρὰ τὸ κήδεσθαι· ἔχουσιν οὖν ἀπολογίαν διὰ τὸ μὴ περιορᾶν τὴν Ἑλλήνων ἐσχάτην ἀπώλειαν· ἔστι δὲ μέσος δεύτερος μέλλων καδήσομαι, καὶ Αἰολικῷ ἀναδιπλασιασμῷ κεκαδήσομαι.

A= ὑστάτιον] ἀντὶ τοῦ ὕστατον, ὡς μάλιον τὸ μᾶλλον (Tyrt. 12,6 B.).

B= 355. ἀνδρὸς ἑνὸς ῥιπῇ, ὃ δὲ μαίνετ⟨αι⟩—Ἕκτωρ Πριαμίδης] τεχνικῶς οὐ κατὰ Διὸς αὐτὴν ὀτρύνει, μὴ ἄρα αἰδεσθῇ τῷ πατρὶ ἐναντιοῦσθαι· ἢ δὲ συνιεῖσα τὸ σιωπηθέν φησιν "ἀλλὰ πατὴρ οὐμός." ἐμφαντικὴ δὲ ἡ μεταφορά· τὸ γὰρ "ῥιπῇ" ἐπὶ ἀνέμου καὶ πυρὸς τάττεται, ἄμφω δὲ λέγει ἐπὶ Ἕκτορος· "ἐν δ' ἕπεσ' ὑσμίνῃ ὑπεραέι

1 ἰοῖσί τε ‖ 6. Ἀρίσταρχος pro Z. B ‖ 16. μὴ διηγ. ‖ 22. novavit sec. ‖ 24. schol. praecedenti adhaeret ‖ 28. μάλιον W ex Hesychio: μᾶλλιον A, μᾶλλον ‖ 33. ἔχει ut B

ἶσος ἀέλλῃ" (Il. 11. 297) καὶ "μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐ⟨γ⟩χέσπαλος ἢ ὁλοὸν πῦρ" (Il. 15. 605).

358. * καὶ λίην οὗτός γε] περὶ τούτου μὲν οὖν οὔ μοι μέλει, φησίν· ἀπολεῖται γὰρ ὅσον οὐδέπω· ὁ δὲ πατήρ ἐστιν ὁ ἐμὸς αἴτιος. B=

* λίην] ὅσον οὐδέπω· οὕτως ἔχει καὶ τὸ "ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται" (Il. 10. 251).

360. * πατὴρ οὐμός] ὁ μέγας καὶ σεμνός.

φρεσὶ μαίνεται] ἐνθουσιᾷ, ὡς τὸ "μαίνετο δ' ὡς ὅτ' Ἄρης" (Il. 15. 605). τὸ φιλότιμον δὲ τῆς κακώσεως δηλοῖ. B=

361. * ἀλιτρός] εἰς ἐμὲ ἀλιτρὸς διὰ τὰ πεπονημένα εἰς Ἡρακλέα.

* ἀπερωεύς] ἀποκωλυτής.

362. οὐδέ τι τῶν μέμνηται] πρὸς μὲν τὸν Δία εὐπρεπὴς ἡ εἰς τὸν Ἡρακλέα τῆς εὐεργεσίας ἀνάμνησις, πρὸς δὲ τὴν Ἥραν οὐκέτι· αὕτη γὰρ ἠναντίωτο αὐτῇ σῳζούσῃ τὸν Ἡρακλέα. ἢ ἐκεῖνο ῥητέον, ὅτι ἀνθρώπινόν τι ἔχει ἡ εἰκών· πολλὴν γὰρ σπουδὴν εἴς τινας εἰσενεγκάμενοι καὶ δι' αὐτῶν τοῖς ἀναγκαίοις εἰς ἀπέχθειαν ἐλθόντες, ἀχαρίστων ὄντων τῶν εὖ πεπονθότων, εἰώθαμεν σχετλιάζοντες εἰσφέρειν πρὸς οὓς ἀπηχθήμεθα τὴν τῶν εὐεργετηθέντων ἀχαριστίαν μεμφόμενοι ἑαυτοῖς ἐπὶ τῇ ἀβουλίᾳ κρίσει. B=

363. * ἀέθλων] κακοπαθειῶν.

364. * πρὸς οὐρανόν] αὔξει τὴν ἐπικουρίαν· δηλοῖ δὲ καὶ τὸ εὐσεβὲς Ἡρακλέους. B=

* ἐμὲ Ζεύς] ἀπολογεῖται τῇ μητρυιᾷ.

367. εὖτέ μιν εἰς Ἀΐδαο] ἀπὸ τοῦ μείζονος ἄθλου πάντας δηλοῖ. A+ B=

οἶδε δὲ τὸν κύνα καὶ τὴν φύσιν αὐτοῦ. Πίνδαρος δὲ ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν κεφαλάς φησιν (Th. 312).

* πυλάρταο] διὰ τὸ μηδένα ἀνιέναι.

369. αἰπὰ ῥέεθρα] προσάντη καὶ ἄνωθεν καταρρέοντα. "καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ" (Il. 15. 37). τὸν πλοῦν δὲ τοῦ Κωκυτοῦ φησιν, "ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ" (Od. 10. 514). B=

370. * στυγέει] οὐκ εἶπεν ὅτι οὐδὲν ἀντευεργετεῖ, ἀλλ' ἠθικῶς ⟨ὅτι μᾶλλον⟩ καὶ μισεῖ με. B=

Θέτιδος δ' ἐξήνυσε βουλάς] ἀπέκρυψεν αὐτῆς τὴν χάριν, τὴν δὲ ἰδίαν ὠνείδισεν. B=

1. ὅτ' ἄρ ἐ. ‖ 3. μέλλει ‖ 14. ἠναντίωτο B: ἠναντιοῦτο ‖ 15. ἀνθρώπινόν τι B: ἀνθρωπίνως ‖ τινὰς B: ἰδίας ‖ 19. ἑαυτοῖς B: ἑαυτοὺς ‖ 25. καὶ B: ἢ ‖ 26. φησὶν B: φασὶν ‖ 32. supplevi ex B

A+ 371, 2. ἦ οἱ γούνατ' ἔκυσσε] παρὰ Ζηνοδότῳ οὐκ ἦσαν οἱ δύο.

B= 373. ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα] ἠθικῶς πάνυ τῶν φιλοφρονήσεων τοῦ πατρὸς μέμνηται ταῦτα τὰ ὀνόματα εἰποῦσα, οἷς ὑπεκορίζετο αὐτὴν ὁ Ζεὺς πρὸς τὰς χρείας παρακαλῶν.

B= 374. ἐπέντυε μώνυχας ἵππους] οὐχ ὡς ἥττονι προστάσσει, ἀλλὰ καιρὸν λαμβάνουσα πρὸς τὸν ὁπλισμον.

B= 377. ἦ νῶιν Πριάμοιο πάις] ἠθικῶς πρὸς τὸ "ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς" (355).

A–B+ 378. προφανείσα] δυϊκῶς· Ἀρίσταρχος δὲ "προφανέντε" ὡς "πληγέντε κεραυνῷ" (455)· ὁ δὲ Ζηνόδοτος "γηθήσει προφανεῖσας ἰδὼν ἐς δοῦπον ἀκόντων" συστέλλων τὸ σας ὡς Δωρικώτερον, ὡς τὸ "λαγέτας—υἱούς" (Pindar. Ol. 1. 145) καὶ "τροπὰς ἠελίοιο" (Hesiod. Opp. 564).

A– 379. ἦ τις καὶ Τρώων κορέσει] περισπαστέον τὸ η· διαπορητικὸς γάρ ἐστιν· τὸ δὲ "τίς" ἢ περισσόν, ἢ 'τὶς ἐκ τῶν Τρώων·' εἰ δὲ ἐπὶ Ἕκτορος, οὗτος ὁ νοῦς 'ὡς ἄλλος τις κορέσει κύνας.'

A+ 385, 6, 7. πέπλον μὲν κατέχευεν] Ἀριστοφάνης ἠθέτει τοὺς τρεῖς, Ζηνόδοτος δὲ οὐδὲ ἔγραψεν.

* κατέχευεν] θαυμασίως οὐ γυμνοῖ τὴν παρθένον.

A+ 389. λάζετο δ' ἔγχος] Πτολεμαῖος διὰ τοῦ υ· καὶ ἔστιν οὐκ ἄκαιρος ἡ γραφὴ "λάζυτο."

B= 393. πύλαι μύκον] οὕτω λέγει ἐπὶ τῶν θυρῶν "τὸ δ' ἀνέβραχεν ἠύτε ταῦρος—τόσ' ἔβραχε καλὰ θύρετρα" (Od. 21. 48). §. τὸ δὲ "μύκον" ἀντὶ τοῦ ἀνεῴχθησαν.

396. * τῇ] ἀντὶ τοῦ ἐκεῖ.

AB– 399. βάσκ' ἴθι, Ἶρι ταχεῖα] ἀντὶ τοῦ τάχεως—"λῦσεν δ' ἀγορὴν αἰψηρήν" (Il. 19. 276) ἀντὶ τοῦ αἰψηρῶς, καὶ "ταχέες δ' ἵππῆες ἄγερθεν" (Il. 23. 287) καὶ "βράχε δ' εὐρεῖα χθών" (Il. 21. 387) —ἀελλόπους γάρ.

B= μηδ' ἔα ἄντην] μηδὲ ἔα εἰς τὸ ἐναντίον τῆς ἐμῆς κελεύσεως ἔρχεσθαι αὐτάς· οὐ γὰρ καλὸν εἰς πόλεμον σπευσόμεθα.

5. προσταίσ/// pr., προσταίσει sec. ‖ 7. εἰ νῶιν ‖ 10. Ἡρωδιανὸς pro Z. B ‖ 11. ὡς δωρικώτερον supra σας add. pr. ‖ 12. τροπὰς ἐξόδοιο ‖ 14. διαπορρητικός ‖ 16. οὕτως ‖ in marg. add. sec. ἵνα ᾖ, ἢ τὶς ἄλλος τῶν Τρώων ὁ Ἕκτωρ et ad v. 377–9 ita, ut qui respiciatur non liqueat, σπάνιον τοῦτο παρὰ τῷ ποιητῇ ‖ 29. ἀελλόπουν ‖ 31. καλῶς εἰς τὸν πόλ.: corr. W ‖ σπευσούμεθα

402. γυιώσω μὲν σφῶιν] βλάψω, ὅ ἐστι χωλανῶ, καὶ κενοὺς εἰς τὴν πορείαν ποιήσω.

405. ἀπαλθήσεσθον] ἀποθεραπευθήσεσθον· ἀλθαίνω γὰρ τὸ θεραπεύω.

406. ὄφρ' εἰδῇ γλαυκῶπις] καίπερ ὀργιζόμενος οὐ τὴν ἀρχὴν οὐδὲ A=
τὴν ἰσχύν, ἀλλὰ τὴν φύσιν προβάλλεται.

407. Ἥρῃ δ' οὔτι—νεμεσίζομαι] τὰ μὲν θεῖα ἐᾷ, σκοπεῖ δὲ τὰ B=
βιωτικά· ἐναντιοῦνται γὰρ ἀλλήλοις ἄνδρες καὶ γυναῖκες.

408. ἐνικλᾶν] ἐμποδίζειν. ἡ μεταφορὰ ἀπὸ τῶν εἰς τὰς ἀσπίδας AB=
ἀποθρανομένων δοράτων.

411. πρώτῃσιν δὲ πύλῃσι] ἄκραις, ὡς "πρώτῳ ῥυμῷ" (Π. 6. 40)· A—B=
οὐ γὰρ πολλαὶ πύλαι τοῦ Ὀλύμπου. πολὺ δὲ τάχος ὑποφαίνεται Ἴριδος.

413. πῇ μέματον] καλῶς μηδὲ προσφωνήσασα αὐτὰς τοῦ πράγμα- B=
τος ἄρχεται. οἰκεῖον δὲ τῇ ἐπιπλησσούσῃ πολλαῖς ἀρχαῖς κεχρῆσθαι.

421. Ἥρῃ δ' οὔτι τόσον] οὐκ ἔδει, φασί, ταῦτα πρὸς τῆς Ἴριδος B=
λέγεσθαι, ἀλλὰ μόνον τὰ τῆς ἀπειλῆς. ταῦτα γὰρ σχετλιάζων ἀναπεφώνηκεν, ἢ οὐ σχετλιάζων ἀλλ' ἐντέχνως τὴν ὁμόνοιαν αὐτῶν διιστάς, δι' ὧν τὴν μὲν ἀεὶ ἐναντιοῦσθαι αὐτ[ῷ] λέγει, τὴν δὲ νῦν καὶ πρῶ[τον], ἵνα αἰδεσθεῖσα μετα[βάλληται].

423. ἀλλὰ σύ γ' αἰνοτάτη, κύον] ἀθετοῦνται διὰ τὸ τραχύ· ὅσῳ B=
δὲ ⟨μᾶλλον⟩ δεινά ἐστι, τοσούτῳ τὴν κηδομένην ἐμφαίνει. θεραπεύεται δὲ καὶ διὰ τοῦ "εἰ ἐτεόν γε τολμήσεις·" οὐ γὰρ ἄντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσειε μάχεσθαι τῷ Διί. πιθανῶς δὲ οὐκ ἤρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ Διός, ἀλλὰ καὶ παρ' αὐτῆς τι προσέθηκεν. τοιαύτη δὲ ὁρᾶται καὶ ὅτε πρὸς τὸν Ποσειδῶνα πέμπεται (Il. 15. 178, 201), οὐ μόνον τὴν τοῦ ἀγγέλου, ἀλλὰ καὶ τὴν τοῦ συμβούλου ἀποπληροῦσα χώραν.

ἀλλὰ σύ] "σύ" ἄνευ τοῦ γέ· καὶ "ἀδεές" δι' ἑνὸς δ. A+

424. Διὸς ἄντα πελώριον] ῥητορικῶς ἀμφοτέρας ἐνέθηκε τὰς προση- B=
γορίας, ἐκεῖ μὲν (420) ἐντρέπουσα "σῷ πατρί," νῦν δὲ ἐκθειματοῦσα "Διὸς ἄντα" φησίν. καὶ ἡ μὲν καθ' Ἕκτορος ὁρμᾷ, ἡ δὲ ἀλλοιωτικῇ στάσει χρωμένη κατὰ Διός φησιν αὐτὴν πολεμεῖν.

14. αὐταῖς ‖ 20. αἰδεσθῇ ut B ‖ supplevi: μεταβάλλεσθαι B ‖ 21. ἀλλὰ σὺ κύον αἰνότατε ‖ 28. χώραν B: ὥραν ‖ 29. schol. praecedenti adhaeret

B= 425. ἦ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη] οὐ περιμένει τὴν ἀπόκρισιν, ἀλλ' ἐν ταῖς ἀπειλαῖς αὐτὰς καταλείπει πρὸς κατάπληξιν μείζονα.

B= 426. αὐτὰρ Ἀθηναίην Ἥρη] Ἥρη ἡ καὶ προκαταρξαμένη τῆς νουθεσίας.

A+ 428. * νῶιν ἐῶ] διχῶς τοῦ ν̄ τὸ "νῶι." 5

B– Διὸς ἄντα βροτῶν ἕνεκα] τὸν ἐναντιούμενον ηὔξησε καὶ τὴν αἰτίαν ἐμείωσεν, ἕνεκεν ἀνθρώπων λέγουσα μὴ δεῖν διαφέρεσθαι τῷ Διί, ὡς ἐκεῖ "εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον" (Il. 1. 574).

AB= 429. τῶν ἄλλος μὲν ἀποφθίσθω] ὅταν εἰς τὴν ἀξίαν ἀτενίσῃ τῶν θεῶν, τότε φησὶν αὐτοὺς μὴ κινεῖσθαι περὶ θνητῶν, ὡς οὐδὲ ἂν ἡμεῖς 10 περὶ μυρμήκων· ὅταν δὲ ἐπιλογίσηται τὴν ποιητικήν, ἕπεται τοῖς μύθοις καὶ τὴν ὑπόθεσιν ἐκτραγῳδεῖ, συμμαχίας καὶ θεομαχίας παράγων.

B= 433. τῇσιν δ' Ὧραι μὲν λῦσαν] ὅτι οὐκέτι μέλλουσιν ἐναντιοῦσθαι τῷ Διί, αἱ Ὧραι ὑπηρετοῦσιν αὐταῖς.

B– 435. ἐνώπια παμφανόωντα] τοὺς παροδίους τοίχους· οὗτοι γὰρ 15 μόνοι φαίνονται τοῖς παριοῦσιν. τινὲς δὲ τὸ ἑξῆς "ἅρματα παμφανόωντα." τί οὖν ἐστι τὸ "τόξον μὲν πρὸς σταθμὸν—ἔκλινε—πρὸς ἐνώπια παμφανόωντα" (Od. 22. 120);

A~B= 439. Οὔλυμπόνδ' ἐδίωκε] οὐκ εἶπεν ἤλαυνεν, ἀλλ' ἐδίωκεν ἐμφαντικῶς, ὡς "ῥίμφα διωκομένη" (Od. 13. 162). 20

440. ἵππους μὲν λῦσεν κλυτὸς ἐννοσίγαιος] ἐπεὶ ἱππιός ἐστιν ὁ θεός· ἱκανὸν δὲ πρὸς φιλαδελφίαν τοῦτο.

A+ 441. ἅμ βωμοῖσι] διὰ τοῦ μ̄ ἡ γραφή· ὅμοιον γάρ ἐστι τῷ "ἅμ φόνον" (Il. 10. 298)· φησὶ δὲ "εὐδμήτων ἐπὶ βωμῶν" (Od. 7. 100)· Ἀρίσταρχος "βωμοῖσι," Διογένης "ἀμβώνεσ⟨σ⟩ι" τοῖς 25 ἀναβαθμοῖς.

A+ λῖτα] ὡς θῆτα, "λιτί" δὲ (Il. 18. 352) ὡς θητί· ἔστι δὲ μεταπλασμός· διὸ βαρύνεται· ἔστι δὲ ἁπαλὸν καὶ τρυφερὸν λινοῦν ἱμάτιον.

B= 444. Διὸς ἀμφίς] χωρίς, οὐκ εἰς τὴν συνήθη ἕδραν· ἀλλαχοῦ γοῦν "πλησίαι αἵ γ' ἧσθην" (Il. 4. 21)· ὅθεν φησὶν "οὐδ' εἴ κε τά 30 νείατα" (478).

B= 446. αὐτὰρ ὃ ἔγνω] ἐκ τῆς καθέδρας ἢ τῆς σκυθρωπότητος.

447. τετίησθον] καταπέπληχθε, ὡς τὸ "φίλον τετιημέναι ἦτορ" (437). "ἴζον ⟨δ'⟩ εἰν ἀγορῇ" (Il. 9. 13).

10. τῇ post κ. omisi ut B ‖ 29. οὐχ ‖ 33. τετιημένοι φίλον

448. οὐ μέν θην κάμετον] τινὲς ἐν ἐρωτήσει, καὶ περὶ τῆς προτέρας A B=
νοοῦσι μάχης, οἷον οὐκ ἀπήρκεσεν ὑμῖν ἐκεῖνα, οἳ δὲ ἐν ἀποφάσει καὶ
περὶ τῆς νῦν κερτομικῶς.

450. πάντως, οἷον ἐμόν γε μένος] ὡς ἔχω χειρὸς καὶ δυνάμεως, A ~
οὐκ ἂν ἐπανήλθετε.

455. πληγέντε κερανῷ] ὡς "καλυψαμένω χρόα καλόν" (Hesiod. Opp. 196).

460. σκυζομένη] παρὰ τὸ ἐπισυνάγειν τὸ ἐπισκύνιον. A=

462. αἰνότατε Κρονίδη] οὐκ ἔδει λέγειν "Ζεῦ πάτερ"—οὐ γὰρ B—
φιλοφρονεῖται—οὐδ' "αἰνότατε," πρὸς τὸ μὴ ἐρεθίσαι αὐτόν. αὐτοῦ
οὖν ἄρχεται τοῦ πράγματος. καὶ ἡ Ἀθηνᾶ δὲ ταῦτα ἔλεγεν (33)
ἀλλὰ φιλοφρόνως—διὸ ἐθάμασε τὸν Δία—ἢ δὲ ἐντεταμένως· λέγω
δὴ τὸ "ἔμπης Δαναῶν ὀλοφυρόμεθα" (464). διὸ ἐπιτείνει τὴν ὀργὴν
Διός.

* ποῖον τὸν μῦθον] τὸν ποῖον μῦθον.

470. ἠοῦς] ἕωθεν, ὄρθρου, τῇ ἐπιούσῃ ἡμέρᾳ. §. κινητικὰ δὲ τῶν A=
ἀκουόντων· ἀλλ' ὁρίζων τὸ πέρας παραμυθεῖται τὴν ἀτυχίαν. B=

473. οὐ γὰρ πρὶν—παύσεται ὄβριμος Ἕκτωρ] τὸ "ὄβριμος" B=
προσέθηκε πρὸς τὸ λυπεῖν αὐτήν.

* ὄρθαι] διεγερθῆναι.

476. στείνει ἐν αἰνοτάτῳ] τὴν τῶν πραγμάτων στενοχωρίαν δηλοῖ· ἅμα δὲ καὶ στενόν ἐστι τόπος οὕτω καλούμενος.

477. ὡς γὰρ θέσφατόν ἐστι] τὸ μοιρίδιον προβάλλεται, ἵνα μὴ B=
δοκῇ τυραννεῖν.

478. πείραθ' ἵκηαι γαίης καὶ πόντοιο] δείκνυσιν ὁ ποιητής, ὅτι A B=
συναπολήγει γῇ καὶ θάλασσα, ὡς ἂν τοῦ ὕδατος περικεχυμένου τῇ
γῇ σφαιρικῶς καὶ καλύπτοντος αὐτὴν πλὴν τῶν ἀνεχουσῶν ἠπείρων
ἐν αἷς κατοικοῦμεν.

484. τὸν δ' οὔτι προσέφη λευκώλενος] ἐν καιρῷ ἡ ἀποσιώπησις· B=
οὔτε γὰρ ἐπαινεῖν ἔχει τὰ λεχθέντα οὔτε ἀντιλέγειν πρὸς ὀργὴν
τοιαύτην.

485. ἐν δ' ἔπεσ' Ὠκεανῷ] τῷ ὁρίζοντί φησιν, ὃς διατειχίζει τοῦ B=
κόσμου τὸ φανερὸν καὶ ἀφανές. οὐκ ἀληθῆ οὖν δηλοῖ ἔμπτωσιν τοῦ

2. ἀπήρκησεν ‖ 4. ἔχει ‖ 8. ἐπεισάγειν ut A: corr. W ‖ 11. ταὐτὰ ‖ 25. πείρατα γαίης ἵκηαι ‖ 33. οὐκ ἀ. οὖν οὖν δ.

ἡλίου, ἀλλὰ φαντασίαν δίδωσιν, ὡς ὑπὸ τὸν Ὠκεανὸν ἔρχεται ἐπὶ τὴν δύσιν ἐλθών.

B= 486. ἔλκον νύκτα μέλαιναν] "ἔλκον" τῇ ἀσθενείᾳ τοῦ φωτὸς τῶν ἀκτίνων. εὖ δὲ καὶ ὁ παρατατικός· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν σκιάζεται, ἀλλὰ κατὰ μικρόν.

B= 487. Τρωσὶ μέν ῥ' ἀέκουσι] βραχεῖαν ταύτην τὴν μάχην ἐποίησεν, ἐγχρονίζειν ταῖς τῶν Ἑλλήνων δυστυχίαις οὐ θέλων· ὅθεν τινὲς αὐτὴν καλοῦσι κόλον.

A– 488. * τρίλλιστος] πολυλιτάνευτος· πλεονάζει δὲ τὸ λ̄.

B= 490. νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι] συνελάσας μέχρι τῶν νεῶν αὐτοὺς ἀφίσταται παρὰ τὸν ποταμὸν ὡς προβλήματι χρησόμενος τῷ ῥείθρῳ, καὶ πρὸς τὸ μὴ ἐξακούεσθαι τοῖς πολεμίοις καὶ μὴ μακρὰν ἀπεῖναι τῆς πόλεως.

B= 493. Διὶ φίλος] οὐδαμοῦ μᾶλλον ὁ Ἕκτωρ ἐν καιρῷ ἐλέχθη "Διὶ φίλος" ἢ νῦν, εἴγε καὶ θεοῖς ἀπέχθεται δι' αὐτόν.

B= 494. ἔγχος ἔχε] ὡς ἐν πολέμῳ δημηγορῶν ἀντὶ σκήπτρου τῷ δόρατι χρῆται, τὰ σημεῖα τῆς ἀνδρ⟨ε⟩ίας προβαλλόμενος.

B= 497. κέκλυτέ μοι Τρῶες] ὑπερηφανίας μεστὸς ὁ λόγος· οὐ γὰρ εὔνους θέλει ποιήσασθαι τοὺς ἀκροωμένους, ἀλλὰ μόνον καυχᾶσθαι, οὐχ ὡς τὸ "ὦ φίλοι, ἥρωες Δαναοί" (Il. 2. 110).

B– 498. νῦν ἐφάμην νῆας ὀλέσας] πάλιν οἰκειοῦται τὸ κατόρθωμα καὶ ἐν τοῖς ἑξῆς "ἔλπομαι εὐχόμενος—ἐξελάαν ἐνθένδε κύνας κηρε⟨σ⟩σιφορήτους" (526).

500. ἀλλὰ πρὶν κνέφας ἦλθε] εὐέλπιδας καὶ ἐπιθυμητὰς ἐποίησεν αὐτοὺς τῆς ἡοῦς.

502. ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτί] τοῦτο, ἐπεὶ ἧσσον ἦν, ἐκοινοποίησε πρὸς αὐτούς.

B= 503. ἀτὰρ καλλίτριχας ἵππους] στρατηγικῶς πρὸ αὐτῶν τῶν ἵππων φροντίζει, ὃ καὶ Ἀνδρομάχῃ ποιεῖ "ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν" (188).

AB= 507. σῖτον δ' ἐκ μεγάροιο] οὐκ ἔστιν ἐπὶ τοῦ σίτου κοινὸν τὸ "ἄξεσθε·" οὐδὲν γὰρ τῶν ἀψύχων ἄγεται, φέρεται δὲ μᾶλλον. προσυπακουστέον οὖν τὸ φέρετε.

B= 509. καίωμεν πυρὰ πολλά] πρὸς ἀσφάλειαν μὲν ἑαυτῶν, κατάπληξιν δὲ τῶν πολεμίων.

1. ὡς ἐπὶ τ. ut B ‖ 4. ὁ π. B : τὸ παρατατικὸν ‖ 8. κῶλον ‖ 28. αὖ ‖ 32. ἄξεσθαι ut A

510. μή πως καὶ διὰ νύκτα—φεύγειν ὁρμήσωνται] στρατηγικῶς B= εὐέλπιδας αὐτοὺς ποιεῖ διὰ τῆς τῶν πολεμίων φυγῆς.

513. ἀλλ' ὅστις τούτων γε βέλος] βέλος νῦν τὸ βεβλημένον A— B= μέρος, τὸ τραῦμα τὸ ἐκ βολῆς· "ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος" (Il. 11. 269).

ἀλλ' ὅστις τούτων γε] Ἀρίσταρχος δὲ "κείνων γε." A+

* πέσσῃ] Ἀριστοφάνης "πέσσοι." A=

515. ἵνα τις στυγέῃσι καὶ ἄλλος] ἀλαζονείαν ἔχει ὁ λόγος βαρβαρικήν.

518. παῖδας πρωθήβας] πᾶς γὰρ ἱκανὸς ἀπὸ τείχους ἀμῦναι· καὶ οἱ μὲν παῖδες μεθ' ἡδονῆς φιλονεικῶς ἀγρυπνοῦσιν, οἱ δὲ γέροντες πρὸς ὕπνον ἀλλοτρίως ἔχουσιν.

519. λέξασθαι] παρὰ τὸ λέχος· καὶ "ξύλα—λέγεσθε" (507) B= συλλέγετε, καὶ "Σύλλογος Ἀχαιῶν·" (Trag. Soph.) "Τρῶας λέξασθαι" (Il. 2. 125) ἀριθμηθῆναι· ὅθεν λογάδες.

θεοδμήτων] ἀπαρκεῖ πρὸς φυλακὴν ἡ ἄχρηστος ἡλικία· ἀφ' ἑαυτῶν γὰρ τὸ ὀχυρὸν ἔχουσι τὰ τείχη, θεοδμητα ὑπάρχοντα.

520. θηλύτεραι] τῶν ἄλλων ζῴων, ἢ τῶν παρθένων. αἱ τετοκυῖαι B= τὴν συνήθη φησὶν οἰκουρίαν πρασσέτωσαν, ἅμα συνεργοῦσαι κατὰ δύναμιν τοῖς κακοπαθοῦσιν.

521. * καιόντων] καιέτωσαν. A=

523. ὧδ' ἔστω Τρῶες] τυραννικῶς ἀπειλεῖ· ὅθεν καὶ "χαλεπὴν B+ ἀποθέσθαι ἐνιπήν" (Il. 5. 492).

524. * ὑγιής] ἀπαράβατος ὑμῖν.

525. τὸν δ' ἠοῦς—ἀγορεύσω] τὸν δὲ ἑξῆς αὔριον ἐρῶ· πάντως δὲ περὶ διανομῆς σκύλων.

526. εὔχομαι ἐλπόμενος] ἀντὶ τοῦ καυχῶμαι.

527. ἐξελάαν ἐνθένδε κύνας κηρε⟨σ⟩σιφορήτους] ὑφ' ἓν Ἀρί- A+ σταρχος. §. ὅρα δὲ τὸ παλίμβολον Ἕκτορος· τῇ γυναικὶ ἔλεγεν "ὅταν B= ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Il. 6. 448)· ἐκεῖ μὲν γὰρ τῶν Τρώων ἡττωμένων δύσελπις ἦν, ἐνταῦθα δὲ τῇ μάχῃ κρατῶν ἐλπίζει τὰ χρηστά.

528. Ζηνόδοτος οὐδὲ γράφει τοῦτον. A+

532. αἴ κε μ' ὁ Τυδείδης—πρὸς τεῖχος ἀπώσεται, ἤ κεν ἐγὼ τὸν B= χαλκῷ δηώσας] ἐντέχνως ἐφ' ἑαυτοῦ μὲν εἶπεν ὅτι οὐκ ἀπωσθήσεται,

1. ὁρμήσεται ‖ 13. λέγετε ‖ 19. πρασσέτωσαν B: προσεχέτωσαν

ἐπὶ δὲ τοῦ Διομήδους ὅτι ἀναιρεθήσεται καὶ ὅτι σκῦλα παρέξει αὐτῷ ἀποθανών.

B= αἴ κε μ' ὁ Τυδείδης] στρατηγικῶς παραθαρσύνει αὐτούς· δεδίασι γὰρ Διομήδην διὰ τὴν ὑπόγυ⟨ι⟩ον ἀριστείαν· καὶ τὸ "Τυδείδης" προσλαβὸν τὸ ἄρθρον οὐκ ἀργὴν ἔχει τὴν ἀναφοράν.

B= 537. ⟨κείσεται οὐτηθείς,⟩ πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι] κοινὸν ληπτέον τὸ 'κείσονται.'

538. αἰ γὰρ ἐγὼν—εἴην ἀθάνατος] βαρβαρικὸν ⟨τὸ⟩ εὔχεσθαι τὰ ἀδύνατα.

AB= 542. ἐπὶ δὲ Τρῶες κελάδησαν] καλῶς ἐπὶ μὲν Ἑλλήνων φησὶν "Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον ⟨κονάβησαν⟩" (Il. 2. 333), ἐπὶ δὲ τῶν Τρώων "κελάδησαν" λέγει· θορυβῶδες γὰρ τὸ βαρβαρικόν.

553. ἐπὶ πτολέμοιο γεφύρῃ] τὸν μεταξὺ τῶν στρατιωτῶν τόπον.

A~B– 555. φαεινὴν ἀμφὶ σελήνην] οἱ μὲν ἄρτι φαίνεσθαι ἀρχομένην οἷον νέαν ἐν τῷ φάει· οἱ δὲ λεπτήν, "μάστιγα φαεινήν" (Il. 10. 500)· οἱ δὲ τὴν φύσει φαεινήν· καὶ "ζέσ⟨σ⟩εν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ" (Il. 18. 349) καὶ "ἐυμελίῳ Πριάμοιο" (Il. 4. 47) καὶ "Σκαμανδρίῳ ἀνθεμόεντι" (Il. 2. 467). προσφυῶς δὲ τῷ νυκτερινῷ φωτὶ αὐτὰ ἀπεικάζει.

A– 557. πρώονες] ἀπὸ τοῦ ὁ πρών πρῶνες, καὶ κατὰ διαίρεσιν "πρώονες·" εἰσὶ δὲ ὄρους ἐξοχαί.

A+ 557, 8, 9. πάντα δέ τ' εἴδεται ἄστρα] οὐκ ἐφέροντο τὰ γ παρὰ Ζηνοδότῳ· ἠθέτει δὲ καὶ Ἀριστοφάνης τὰ γ'.

* δέ τ'] ἄνευ τοῦ "τέ."

B= 560. τόσ⟨σ⟩α μεσηγὺ νεῶν] ἐσχημάτισε τὸν λόγον, οὐκ ἐπενεγκὼν τῷ "ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα" τὸ 'οὕτω μεταξὺ νεῶν.'

A– 562. πὰρ δὲ ἑκάστῳ] τὸ ἑξῆς 'παρὰ ἑκάστῳ σέλᾳ εἵατο ν' ἄνδρες·' ἀποκοπὴ γάρ ἐστι τοῦ σέλαϊ· τὸ φιλότιμον δὲ τῶν ἀριθμῶν καὶ ἐν Ὀδυσσείᾳ "πεντηκόσιοι δ' ἐν ἑκάστῃ" (3. 7)· καὶ "νῆες μέν μοι ἔποντο δυώδεκα" (Il. 9. 159).

A–B= 563. εἵατο ν'] ἀφορμὴν λαβὼν καὶ τὸν τῶν Τρώων ἡμῖν ἀριθμὸν

5. προσλαβὸν B: προσλαβὼν ‖ 8. supplevi ex B ‖ 10. ἐπὶ μὲν A B: μὲν ἐπὶ ‖ 19. εὐμελίοιο ‖ 27. μεσσηγύ ‖ 28. τῷ B: τὸ ‖ τῶν νεῶν ‖ 31. ἀν' ἑ.

ἐδήλωσεν, ὅτι ἀμφὶ τὰς πέντε μυριάδας ἐστὶν ὁ τῶν πολιτῶν· οἱ γὰρ ἐπίκουροι καθεύδουσι, Τρωσὶ τὴν φυλακὴν ἐπιτρέψαντες.

564. κρῖ λευκόν] εἰ ἦν ἀπὸ τοῦ κριθή, λευκὴν ἂν ἐπήγαγεν.

ΕΙΣ ΤΗΝ Ι.

"Λιτάς" τὴν ῥαψῳδίαν καλοῦσιν. §. ἐπειδὴ δὲ οἱ Τρῶες ἐκ παρα- A+B=
δόξου νικῶσι βέλεσι Διός, οὐκ οἰκείᾳ δυνάμει, παντὶ πόνῳ τὴν τύχην B+
φυλάττουσι, παρεμβολὴν ἐπὶ τῷ ναυστάθμῳ ποιούμενοι· τοῖς δὲ
Ἕλλησιν ἅπαντα δυσχερῆ· ὅταν δὲ ἄλλων πραγμάτων ἄρχεσθαι
μέλλῃ, παραγραφὰς ἐμβάλλει, ὡς οἱ νόμοι τῶν ἱστοριογράφων.

1. ⟨Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς—ἔχε φύζα⟩] ὅρα τὸ ἀντί- A B=
θετον πῶς ἐδήλωσεν ἑνὶ ῥήματι, "Τρῶες ἔχον," "Ἀχαιοὺς ἔχεν."

*2. θεσπεσίη] ἡ βουλήσει θεῶν προσγεγενημένη, ὡς καὶ ἀλλαχοῦ "εἰ B−
καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις ἢ ἀνδρῶν κακότητι" (Il. 2. 367).

φύζα] ἀεὶ μὲν ἡ μετὰ δέους φυγή, ὅθεν καὶ "φυζακινῆς ἐλά- A+B=
φοισιν" (Il. 13. 102), νῦν δὲ ἔκπληξις. ἀπολογεῖται δέ, ὅτι ἐκ
θεῶν. κρυόεις δὲ φόβος ὁ ψυχρός· τὸ θερμὸν γὰρ ἐπιλείπει τοὺς δεδιότας.

ὀκρυόεντος] φρικτοῦ, φοβεροῦ· συμβαίνει γὰρ τοὺς δεδιότας
συγκρούειν τοὺς ὀδόντας.

3. πένθεϊ ⟨δ'⟩ ἀτλήτῳ] οἱ μὲν ἄλλοι περὶ φυγήν, οἱ δὲ ἄριστοι ἐν B=
πένθει· ἀνάξιον γὰρ Ἑλληνικῶν ἀρχηγῶν ἡ φυγή. μάλιστα δὲ
αὐτῶν ἅπτονται αἱ συμφοραί, ἐπεὶ καὶ τὴν αἰτίαν τῶν κατορθωμάτων
ἐπὶ τούτους ἀνάγομεν.

* ἀτλήτῳ] ἀνυπομονήτῳ, ἀφορήτῳ.

4. ὡς δ' ἄνεμοι δύο] διττὰ γὰρ αὐτους ἐλύπει, ἔκπληξις τῶν B−
παρόντων καὶ δέος τῶν μελλόντων. καὶ "δάμνα—Ζηνός τε νόος καὶ
Τρῶες ἀγαυοί" (Il. 16. 103).

ὡς δ' ἄνεμοι] ἢ ὡς Ἀριστοφάνης "ὡς δ' ἀνέμω—ἐλθόντ' ἐξαπίνης." A=

§. σφοδρότεραι γὰρ αἱ αἰφνίδιοι τῶν ἀνέμων ἐμβολαί. A=

5. τώ τε Θρῄκηθεν] οἱ μὲν συνεκδοχικῶς, ὡς "ὅσοι βεβλήαται A+
χαλκῷ" (Il. 14. 28), οἱ δέ, ὅτι οἰκητήριον τῶν ἀνέμων ἡ Θρᾴκη·

1. ὁ τῶν B : αὐτῶν τῶν ‖ 4. addidi : ἀρχὴ τῆς ι Ἰλιάδος ὁμήρου textui inscriptum ‖ 5. schol. post l. 19 scriptum ‖ 6. τύχην B : ψυχὴν ‖ 7. φυλάττουσι B : φυλάττειν ‖ 9. παραγραφὰς B : παρεγγραφὰς ‖ νόμιμοι B, δόκιμοι coni. Dindorf ‖ 12. ἢ β. ‖ προσγ. B cf. B^2 p. 370, 12 : προγεγενημένη ‖ εἰ scripsi : ἢ ‖ 14. φυζακεινῆς ‖ 16. ψυχρὸς B : φοβερὸς ‖ 19. ἀπλήτῳ ‖ φυγῆς ‖ 25. παρελθόντων B ‖ καὶ δάμνα scripsi, οἱ δύο W : οἱ δὲ

εὐωχοῦνται γοῦν παρὰ Ζεφύρῳ ἐν Θράκῃ (Il. 23. 200)· ἔστιν οὖν ‘ἐλθόντε ἀπὸ Θρᾴκης, ἄητον’ ὅθεν ἑκάτερος εἴωθε πνεῖν· ἢ ὅτι ἡ τῶν Θρᾳκῶν γῆ σιγματοειδῶς κεῖται καὶ ἐπὶ πολὺ διήκει μέχρι τῆς δύσεως· ἀφ’ ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον.

* ζέφυρος] ὁ τὰ πρὸς τὸ ζῆν φέρων· ἔαρος γὰρ ἄρχεται πνεῖν.

B= 6. * ἄμυδις] ἅμα τῷ πνεῦσαι τοὺς ἀνέμους.

A+B− ἄμυδις] ψιλωτέον τὸ “ἄμυδις.” Αἰολικὸν γὰρ καὶ πνεῦμα καὶ τόνον ἐδέξατο ὁμοίως τῷ ἄλλυδις.

* κελαινόν] μέλαν ἢ φοβερόν.

A+B− 7. παρέξ] δύο εἰσὶ προθέσεις. ἀμέλει καὶ τρέπεται τὸ ξ̄ εἰς κ̄, “παρὲκ μέγα” (Od. 16. 343), “παρὲκ—νόον” (Il. 10. 391, 20. 133), “παρὲξ ὁδοῦ” (Il. 10. 349), “παρὲξ εἴποιμι” (Od. 17. 139), “παρὲξ ἀγορευέμεν” (Il. 12. 213)· τινὲς δὲ ἓν μέρος λόγου, ὅπερ ἐστὶν ἐπίρρημα. ἔστι δὲ καὶ πάρεξ, ὃ γενικῇ θέλει συντάσσεσθαι. μετὰ τὴν διά δὲ οὖσα ἡ ἐξ οὐδέποτε τρέπει τὸ ξ̄. τὸ δὲ ἑξῆς οὕτω, πολλὸν δὲ παρὰ τὴν ἄλα φῦκος ἐξέχευαν.

8. * ἐδαΐζετο] ἐταράσσετο, διεκόπτετο.

9. ἄχεϊ μεγάλῳ] τῇ ἀλάλῳ λύπῃ· καὶ ἑξῆς “ἶζον δ’ εἰν ἀγορῇ τετιηότες” (13). πένθους γὰρ ὄψιν καθόλου γράφει τοῦ στρατοῦ.

A−B= 11. τὸ μὲν πλῆθος οὐ συνάγει, ἐπεὶ ἐν ταῖς δυσπραγίαις ὀργίζονται τοῖς ἄρχουσιν ἐπ’ ἐκείνους τὴν αἰτίαν τῆς συμφορᾶς ἀναφέροντες, ἄλλως τε εἰ μηδὲν δυστυχήσαντες οὕτω πρώην ἐδέξαντο τὴν φυγήν, πολλῷ μᾶλλον νῦν, δυστυχήσαντες· κατ’ ὄνομα δὲ τοὺς ἀρίστους συνάγει, ἵνα μὴ ἔκπυστα γένηται τοῖς πολεμίοις τὰ πρασσόμενα, ἢ καὶ πρὸς τὸ μὴ ταράξαι τοὺς οἰκείους. οὐδὲ ἐν ταῖς δυστυχίαις οὖν ἐξίσταται τῶν πρακτέων ὁ βασιλεύς.

12. μηδὲ βοᾶν] ἀντὶ τοῦ μὴ βοᾶν δέ, ὡς “δόλῳ, οὐδὲ βίηφιν” (Od. 9. 408) ἀντὶ ‘βίᾳ δὲ οὔ.’

μετὰ πρώτοισι πονεῖτο] ταὐτὰ ποιεῖ τοῖς κήρυξι πρὸς τὸ δυσωπεῖν ἐκείνους· καὶ εἰκότως· ἡ γὰρ συμφορὰ ταπεινοῖ καὶ τὰ μεγάλα φρονήματα.

13. * τετιηότες] τετιμωρημένοι ἢ λυπούμενοι.

B− 14. ἵστατο δακρυχέων] ἵνα ἐλεεινὸς γεγονὼς μὴ καταλειφθῇ παρ’ αὐτῶν.

1. εὐωχεῖται οὖν: corr. W ‖ 4. ἑκάτερον A: ἑκάτερος ‖ 8. ἄλλυδις A: ἄμυδις ‖ 13. post λόγου 50 fere litt. erasae: suppl. sec. “ἀλλὰ παρὲξ τὴν νῆσον” (Od. 12. 276)· “στῆ δὲ παρέξ· Τρῶες δέ” (Il. 11. 486) ‖ 18. schol. post p. 291, 5 scriptum ‖ repetitur * τῇ ἀλάλῳ λύπῃ ‖ 19. ὄψιν W: ὄψις ‖ 23. πόσῳ B

15. αἰγίλιπος] ὑψηλῆς, ἧς καὶ αἶξ ἂν ἀπολείποιτο διὰ τὸ ἄγαν A+
ὑψηλόν· ἡ δὲ παραβολὴ πρός τε τὸ πλῆθος τῶν δακρύων εἴληπται
καὶ τῶν στεναγμῶν.

δνοφερόν] μέλαν ἢ μετὰ δονήσεως ⟨φερόμενον⟩· τῷ δὲ ψόφῳ ὁ B=
στεναγμὸς εἴκασται.

16. ὣς ὃ βαρὺ στενάχων] ἀλλ' εἶπε "δάκρυ χέων ὥς τε κρήνη" A+ B−
(14), εἰ μὴ λέγοις, ὅτι διὰ τοῦ βαρέως στενάζειν τὸ δάκρυ χέειν
δηλοῦται, ὡς τὸ "ἐζόμενοι λευκαινον ὕδωρ" (Od. 12. 172).

17. ὦ φίλοι Ἀργείων ἡγήτορες] οὐ πρὸς τὸ πλῆθος ἀποτείνεται, A+ B=
ἐπεὶ καὶ ἡγεμόνες μόνοι εἰσὶν οἱ παρόντες. §. τὴν μὲν πρώτην πεῖραν A− B=
ὁ Ἀγαμέμνων σύμπαντος τοῦ πλήθους ἐποιεῖτο καὶ "ὦ φίλοι ἥρωες
Δαναοί, θεράποντες Ἄρηος" (Il. 2. 110) ἔλεγεν· νῦν δὲ ταύτην δευτέραν
πεῖραν εἰς τοὺς Ἀργείων ἡγεμόνας φέρει, δεδοικὼς μὴ καὶ τούτων τὴν
γνώμην ἡ γενομένη ἤττα καὶ ὁ παρὰ τοῦ Διὸς φόβος ἀνέτρεψεν. ὅτι
γὰρ ἀποπειρωμένου καὶ ἡ σύνοδος αὕτη, δῆλον μὲν καὶ ἐξ ὧν Ἀγα-
μέμνων τὴν τοῦ Διομήδους ἐπίπληξιν φέρει, οὐκ ἐνεγκὼν τὴν τοῦ
κρείττονος Ἀχιλλέως δικαιολογίαν, δῆλον δὲ καὶ ἐξ ὧν ὁ Νέστωρ
ὡς τὴν τοῦ βασιλέως γνώμην ἐπιστάμενος τὸν Διομήδην ἐπαινεῖ,
πρότερον ἐπιτιμήσας Ἀχιλλεῖ.

18. Ζεύς με μέγα] σὺν τῷ ϖ τὸ "μέγας." A+

* ἄτῃ] ἀπαλ⟨λ⟩άσσει τῶν κατηγοριῶν ἑαυτόν. B=

19. ὃς πρὶν μέν μοι] "ὃς τότε μέν μοι" οὕτως Ἀρίσταρχος, ὅτε A=
τὸν ὄνειρον ἔπεμψεν· ἐκεῖ δὲ (Il. 2. 112) "πρίν," διὰ τὸ "ἀστράπτων
ἐπιδέξια" (ib. 353)· γράφεται δὲ καὶ ἐνταῦθα "ὃς πρὶν μέν μοι."

22. καί με κελεύει δυσκλέα] "κελεύει" διὰ τοῦ κεραυνοῦ.

23. οὕτω που Διὶ μέλλει] παρὰ τῷ Ζηνοδότῳ οὐκ ἐφέροντο οἱ A=
τρεῖς· καὶ Ἀριστοφάνης δὲ ἀθετεῖ.

25. ἠδ' ἔτι καὶ λύσει] ὑπόψυχρον διστάζειν περὶ τῆς ἁλώσεως B=
τῆς Τροίας ἐν τοιαύτῃ περιστάσει ὄντα.

29. "ἀκήν" ⟨ἀπὸ τοῦ⟩ ἄγη ἐστίν· οἱ γὰρ ὑπερβάλλοντες AB−
θαυμασμοὶ ἐκπλήσσουσι, πᾶσα δὲ ἔκπληξις σιωπὴν ἄγει, ὡς καὶ τὸ
"βῆ δ' ἀκέων" (Il. 1. 34) ἀντὶ τοῦ ἐκπλαγείς. ἢ ἀχήν, παρὰ τὴν ἀχά-
νειαν, "οὔτ' ἄν τι χανεῖν δέον," ὅθεν καὶ "προχανά" (Call. in Cer. 74).

1. ἧς A: ἦν ‖ ἀπολείποιτο A: ἀπολίπῃ ‖ 4. supplevi ex B ‖ 7. repetitur * διὰ τοῦ β. στ. δηλοῦται τὸ δ. χ.—ὕδωρ ‖ 20. μ. μέγα pr. etiam in textu: μέγας sec. ‖ 27. Ἀριστοφάνης A: Ἀριστοτέλης ‖ 30. supplev ex B ‖ 32. ἀχανίαν ut A ‖ 33. χανὸν

ἀκὴν ἐγένοντο] τὸ εὐσταθὲς καὶ ἐν ταῖς συμφοραῖς τῶν Ἀχαιῶν δεδήλωται.

B= 30. δὴν δ' ἄνεῳ ἦσαν] οὔτε γὰρ μένοντες χρηστὴν εἶχον ἐλπίδα οὔτε φεύγειν εὐκλεὲς ἡγοῦντο. ἅμα δὲ καὶ τὴν προτέραν πεῖραν εἰδότες ὑποπτεύουσι, τίς ὁ νοῦς τοῦ λέγοντος. ἔοικε δὲ αὐτὸς ὁ ποιητὴς διστάζειν, τίνα ἀντιτάξει τῇ ῥητορείᾳ Ἀγαμέμνονος εὖ ἐχούσῃ καὶ κηδεμονικῶς.

B+ 31. ὀψὲ δὲ δὴ μετέειπε] οἰκεία Διομήδους ἡ ῥητορεία· τὸν γὰρ παραιβάτην Ἕκτορος ἐφόνευσε, τὴν σώσασαν Ἀλέξανδρον ἔτρωσε, τοὺς Αἰνείου ἵππους ἔλαβε, χρύσεα ὅπλα ἔσχεν, Ἰδαίῳ μόνος ἀντεῖπε, τοὺς κεραυνοὺς μόνος ὑπέμεινεν, ἔφυγεν ὕστατος, ὑπέστρεψε πρῶτος· ὀνειδισθείς τε ὑπὸ Ἀγαμέμνονος εὐκαίρως αὐτῷ νῦν ἀντονειδίζει μετὰ τὴν ἀριστείαν.

B= 32. σοὶ πρῶτα μαχήσομαι] δῆλον ὡς καὶ τοῖς ἄλλοις μέμφεται ὡς συναινοῦσι τῇ φυγῇ διὰ τοῦ σιωπᾶν. μάχην δέ φησι τὴν ἐναντίωσιν τοῦ λόγου.

B= 33. ἦ θέμις ἐστίν, ἄναξ] προδιόρθωσις, ἐπειδὴ σφοδρότερον αὐτοῦ μέλλει καθάπτεσθαι, ὡς ἐφιεμένου μὴ ἄλλοτε ἐν δὲ ταῖς ἐκκλησίαις ἀντιλέγειν τοῖς βασιλεῦσιν· προπαραιτεῖται δὲ τὴν ὀργὴν ἀξιῶν δέξασθαι τὴν πρὸς τὸ συμφέρον ἀλήθειαν καὶ δηλῶν, ὡς τοῖς εἰρημένοις οὐκ αὐτῷ ἀπέχθεται.

B= * θέμις] τὸ παρρησιάζεσθαι τὸ δοκοῦν.

B= σὺ δὲ μή τι χολωθῇς] ἀξιοπίστως· εἰ ⟨γὰρ⟩ καὶ οἶδε καταθύμια αὐτῷ λέξων, ὅμως ἀναφέρει πρὸς τὸ "στυγέ[η] δὲ καὶ ἄλλος" (Il. 1. 186).

B+ 34. ἀλκὴν μέν μοι πρῶτον] "πρῶτος" ἀντὶ τοῦ εἷς καὶ μόνος. ὃν δὲ βαρύτατα φέρων ἠνέσχετο ψόγον δειλίας, περὶ τούτου πρῶτον ἔρρηξε φωνήν—ὁ θυμὸς γὰρ καὶ φιλοδοξία τοιοῦτον—⟨καὶ τὰ συμβουλευόμενα⟩ παρεὶς τὴν ὑπὲρ ἑαυτοῦ παρρησίαν πρῶτον εἰσήγαγεν.

B– 36. ἠμὲν νέοι ἠδὲ γέροντες] ἀνεπαχθῶς διὰ τὸ σῶσαι Νέστορα· διό φησι "πολέμῳ ἔνι καρτερὸς ἐσσί" (53). "νέοι" δὲ διὰ τὸν Σθένελον, ὅτι καὶ ἡνίοχος ἦν τοῦ Διομήδους καὶ τὰς ἀριστείας ἑώρα αὐτοῦ· καὶ γάρ φησι "μήτι φόβονδ' ἀγόρευε" (Il. 5. 252).

A ~ B= 37. σοὶ δὲ διάνδιχα] διῃρημένως τὸ ἕτερον τῶν δυεῖν, οὐχ ἑκάτερον.

6, 8. ῥητορία novavit sec. ‖ 11. ὕστατος ὑπέστρεψε B: ὕστερος ἐπέστρεψε ‖ 23. supplevi ex B ‖ 24. atramento obducta: στυγέει apogr. Hornei ‖ 25. lemma πρῶ, textus πρῶτον ‖ 27. ἐκ θυμοῦ γὰρ καὶ φιλοδοξίας B ‖ τ. σ. suppl. W ex B ‖ 31. καὶ ἡ. scripsi: δὲ ἡ.

38. * σκήπτρῳ μέν] προθεραπεύει μέλλων ὡς δειλοῦ καθάπτεσθαι. B=

39. ἀλκὴν δ' οὔ τοι δῶκεν] καὶ Ἀχιλλεὺς ταὐτὰ ὀνειδίζει. οὐ B=
πειστέοι δὲ ἀντιπολιτευόμενοι· τὰ δὲ ἀπαθῆ τῶν προσώπων ἱκανὰ
πρὸς μαρτύρησιν, "ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ'
5 αἰχμητής" (Il. 3. 179) καὶ "ἣ αὐτὸν βασιλῆα" (Il. 7. 180).

⟨σκήπτρῳ μέν τοι δῶκε—ἀλκὴν δ' οὔ τοι δῶκεν,⟩ ὅ τε κράτος ἐστὶ B=
μέγιστον] τὸ ἄμφω κεκτῆσθαι—ὥσ⟨τε⟩ οὐ⟨κ ἂν⟩ τέλειος εἴη βασι-
λεὺς ὁ μὴ ἔχων τὰ δύο—καὶ ὅτι ὃ μὲν δύναται βασιλείαν περιποιεῖν,
ἡ δὲ βασιλεία πρὸς κτῆσιν ἀλκῆς ἀδύνατος. §. δύο δέ εἰσι, τὸ μὲν B=
10 ἐκ τύχης, τὸ δὲ ἐξ ἀρετῆς, ὅπερ ἀποδέχεται ὁ Διομήδης.

40. *δαιμόνι'] εὔκαιρος ὁ ἔπαινος διὰ τὰ εἰρημένα κατὰ τοῦ στρατοῦ. B=

41. * ἀνάλκιδας] προενεχυράζων αὐτῶν τὴν ἀλκήν φησιν.

43. ἔρχεο· πάρ τοι ὁδός,—ἀλλ' ἄλλοι μενέουσι] πικρὰ μὲν τῷ B=
ἀκούεσθαι, ἥδιστα δέ ἐστι τῷ νοεῖν. ταῦτα γὰρ ἀκούειν ἐθέλει
15 Ἀγαμέμνων παρὰ τῶν Ἀχαιῶν, ὅτι ἐθελονταὶ τὸν κίνδυνον ἀναδέχον-
ται, ὡς δημοκρατούμενοι, οὐ βιαζόμενοι.

44. αἴ τοι ἔποντο Μυκήνηθεν] τούτων γὰρ ἄρχει μόνων, οὐχ B=
Ἑλλήνων. πῶς δὲ οὐκ αἰσχρὸν ἐλθόντα πολλῷ στόλῳ μάταιον
ὑποχωρεῖν;

20 45. ἀλλ' ἄλλοι μενέουσι] ῥητορικῶς προενεχυράζει αὐτῶν τὴν γνώμην. B=

46. εἰ δὲ καὶ αὐτοί] τὸ "εἰ" παρακελευστικόν φησιν ὁ Νικάνωρ, ὡς A+
τὸ "εἰ δέ, σὺ μέν μευ ἄκουσον" (262)· "ἀλλ' εἴ τις καλέσειε" (Il.
24. 74)· "εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε" (Il. 16. 667)· φησὶν οὖν
'ἄγε δὴ καὶ αὐτοὶ φευγέτωσαν· ἐγὼ γὰρ καὶ Σθένελος μαχούμεθα.' A+ B=
25 ἄλλως: εἰ δὲ καὶ αὐτοί, φευγόντων] ὑποστικτέον εἰς τὸ "αὐτοί,"
καὶ λείπει τὸ θέλουσι φυγεῖν· ἢ κοινὸν τὸ "ἐπέσσυται ὥστε νέεσθαι,"
κομματικῶς δὲ εἶπε μιμούμενος τὸν θυμούμενον.

47. * φευγόντων] αἰσχρῷ ὀνόματι ⟨τ⟩αὐτὸ εἶπεν (cf. 43).

48. ἐγὼ Σθένελός τε] οὐκ ἐδίσταζε προτρεπόμενος. B+

30 49. σὺν γὰρ θεῷ εἰλήλουθμεν] τῶν λόγων τὸ ὑψηλὸν τῇ θείᾳ B=
ῥοπῇ λύει. ἔστι δὲ ὅμοιον τῷ "πειθόμενοι τεράεσσι" (Il. 4. 408).

* θαυμαστὴ τῶν λόγων ἡ δύναμις συγχέουσα καὶ διαστέλλουσα.

52. μετεφώνεεν ἱππότα Νέστωρ] καλῶς μετὰ τὸ μαθεῖν τὴν B
γνώμην τῶν Ἀχαιῶν ἐπάγει τὸν λόγον ὁ Νέστωρ.

10. ὁ ποιητής cf. Eust. ‖ 11. εἰρ. κατ' αὐτοῦ B ‖ 13. ἀ. ἄλλοι ‖ 20. προενεχυριάζει ‖ 26. ἐπέσσυνται

B= μετεφώνεεν—Νέστωρ] ἡ σιωπὴ Ἀγαμέμνονος ἀπόπειραν δευτέραν ἔχει τῶν Ἑλλήνων. οὔτε δὲ ἀντιπράσσει Διομήδει—θυμήρη γὰρ εἶπεν—οὔτε ὡς ἡδόμενος συναινεῖ, ἵνα μὴ πρὸς τὸ μέλλον ἄπιστον ἑαυτὸν καταστήσῃ τοιοῦτόν τι τεχνάσασθαι.

A–B= 53. περὶ μὲν πολέμῳ ἔνι καρτερὸς ἐσσί, καὶ βουλῇ παρὰ πάντας ὁμήλικας] οἷς ἀμφοῖν ἐλοιδόρησε τὸν βασιλέα, τούτοις αὐτὸν προὔχειν φησίν, ἀλλ' οὐκ ἄκρως· οὔτε γὰρ 'κρατερώτατος' εἶπεν, ἵνα μὴ τοὺς ἄλλους τοὺς τῆς ἀνδρ⟨ε⟩ίας ἀντιποιουμένους λυπήσῃ, ἀλλὰ "μετὰ πάντας ὁμήλικας," ἵνα μὴ τοὺς πρεσβυτέρους ἀνιάσῃ, ἄλλως τε καὶ ἀνατρέψαι αὐτοῦ τὸν λόγον βούλεται· διὸ οὐ⟨δὲ⟩ συνετώτατον αὐτὸν καλεῖ.

B= 55. * δύο γὰρ ⟨πάν⟩τα ἀκυροῦσι, λόγων ἐναντίωσις καὶ μέμψις.

57. * νέος ἐσσί] ἀπολογεῖται τοῦ μὴ τελέσαι τὸν λόγον.

B= ἐμὸς δέ κε ⟨καὶ⟩ πάις] τῷ τῆς συγγενείας ὀνόματι τὴν ἐξ αὐτοῦ ἐπισπᾶται εὔνοιαν.

A= 58. * ὁπλότερος] γράφεται "ὁπλότατος."

B– ἀτὰρ πεπνυμένα βάζεις] ὁρᾷς ὅσοι οἱ ἔπαινοι· σχεδὸν γὰρ αὐτῷ ἀπονέμει τὸ πᾶν τῆς συμβουλῆς, ὀλίγα αὐτὸς προσθήσειν ἐρῶν.

A+ 59. ἐπεὶ κατὰ μοῖραν ἔειπας] τοῦτο ἀμφοῖν δύναται συντάσσεσθαι.

B= 60. ὃς σεῖο γεραίτερος] ἀνεπιφθόνως οὐ τὴν σύνεσιν, ἀλλὰ τὴν ἡλικίαν προβάλλεται, διὰ ταύτης κρεῖσσον ἔχειν ἀξιῶν οὐ λογιώτερον.

A=B– 61. ἐξείπω καὶ πάντα διίξομαι] πρὸς τὸ "ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (56). δασυντέον δὲ τὸ "⟨δι⟩ίξομαι·" ἀπὸ γὰρ τοῦ ἵκω ἐγένετο ἀντὶ 'διεξέλθω πάντα.'

B= οὐδέ κε τίς μοι μῦθον ἀτιμήσει, οὐδὲ κρειῶν Ἀγαμέμνων] πρὸς τὸ μὴ ἀντειπεῖν Διομήδην τοῖς λεχθησομένοις. οἶδε δὲ Ἀγαμέμνονα εἰπόντα "εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν" (Il. 2. 379).

B– 63. ἀφρήτωρ] ὁ μὲν μένειν παρήγγειλεν, ὁ δὲ τοὺς συμμάχους ὁμονοοῦντας ἔχειν. διδάσκει δέ, ὡς εἶναι μὲν πολεμικὸν δεῖ δι' ὧν φησιν "οἷς οὔτι μέλει πολεμήια ἔργα" (Il. 2. 338), οὐ μὴν φιλοπόλεμον· ἀνατρέπει γὰρ τοῦτο πᾶσαν πολιτείαν. Διομήδης δὲ νῦν

2. θυμήδη ‖ 5. κρατερὸς ut textus ‖ 12. suppl. W ex B ‖ λόγων B: λόγον ‖ 18. προσθήσειεν ‖ 25. supplevi ex A ‖ ἵκω A: ἧκω ‖ 27. ἀτιμήσει ut textus ‖ 28. οἶδε B: ἄδει ‖ 32. μέλλει

μὲν οὐκ ἀντεῖπεν, ἵνα μὴ ἀφρήτωρ δοκῇ· ὅτι δὲ οὐκ ἠρέσθη τῇ γνώμῃ, δηλοῖ διὰ τοῦ "μη⟨δ'⟩ ὄφελες λίσ⟨σ⟩εσθαι" (698). καὶ τὸ μὲν κεφάλαιον τῆς συμβουλῆς ἐπὶ τοῦ πλήθους εἶπεν, μὴ ὑπέρθηται τὰς λιτὰς Ἀγαμέμνων, τὸ δὲ κατὰ μέρος ἐπὶ τῶν ⟨συν⟩δείπνων (91).
καὶ Ἰσοκράτης δὲ ἐν τῷ Πανηγυρικῷ, τῶν ῥητόρων συμβουλευόντων πλεῖν ἐπὶ Ἀσίαν, ἔλεγε πρῶτον διαλλάσσειν τὰς Ἑλληνίδας πόλεις καὶ κοινῇ τὴν ὁρμὴν ποιεῖσθαι (§. 15 p. 166 S.). διὰ δὲ τῆς τῶν ὀνομάτων ὑπερβολῆς δυσωπεῖ Ἀγαμέμνονα, μηδὲ βασιλέα ἔσεσθαι αὐτὸν καλὸν στρατοῦ, ἀλλ' οὐδὲ κοινῆς ἑστίας, εἰ ἀντείποι ταῖς λιταῖς.

ἀθέμιστος] θηριώδης ἄνομος, ὅπου καὶ Κύκλωπες θεμιστεύουσι "παίδων ἠδ' ἀλόχων" (Od. 9. 115), οἱονεὶ τὸ περὶ τὴν συγγένειαν φυλάσσουσι δίκαιον. A – B=

ἀνέστιος] ὁ γὰρ ἑστίαν νέμων καὶ βίον ἑδραῖον τιμῶν τῆς πρὸς τοὺς οἰκείους ἀπέχεται στάσεως. ἐπιδήμιος γὰρ πόλεμος ὁ ἐμφύλιος. B –

65. * νῦν μέν] τοῦ καιροῦ στοχάζεται, καὶ προδείξας τὸ ὠφελοῦν σιωπᾷ τέως τὴν θεραπείαν. B =

66. δόρπα τ' ἐφοπλισόμεσθα] ἄξιον γὰρ προνοεῖν τῆς θεραπείας τοῦ σώματος τοὺς κάμνοντας· οἱονεὶ δὲ ὅπλα τῆς μάχης ποιησώμεθα τὰ δόρπα. B =

φυλακτῆρες δὲ ἕκαστοι] Ἀρίσταρχος δὲ "φυλακτῆρας." A =

67. τείχεος ἐκτός] ἵνα ὁρώμενοι τοῖς πολεμίοις καταπλήσσωσιν αὐτούς, ἔσω δὲ ὄντες τῆς τάφρου ἀσφαλεῖς ὦσιν. B =

69. * ἄρχε] ἀντὶ τοῦ σύναγε ἡμᾶς.

70. δαίνυ δαῖτα γέρουσιν] ἔθος μὲν ἦν· ἀλλ' οἴεται αὐτὸν παραλείψειν ⟨τῇ⟩ ἐκπλήξει τὸ ἔθος. ἄριστος δὲ ὁ καιρὸς ἐπὶ ὀλίγων, ἔνθα τὸν ἔλεγχον προσδέξεται. νῦν μὲν γὰρ οἱ τῶν Ἀργείων ἡγήτορες καὶ μέδοντές εἰσι συνειλεγμένοι· ἐπὶ δὲ τὸ δεῖπνον οἱ γέροντες μόνοι συνάγονται, ἐφ' ὧν ἤνεγκεν ἂν τὴν τοῦ γέροντος παρρησίαν ⟨ῥᾷον⟩ ὁ Ἀγαμέμνων. καὶ ἄλλως ἐν οἴνῳ ῥᾴους ἑαυτῶν ἐσμεν, ἥ τε ὁμοτράπεζος κοινωνία πάντας φίλους ποιεῖ. διὸ καὶ Πέρσαι μεθύοντες συμβουλεύονται, νήφοντες δ' ἐπικρίνουσιν (Her. 1. 133). καὶ τὸ μὲν πλῆθος ἀπαλλάσσει χρηστὰς ὑπογράψας ἐλπίδας περὶ τῶν λιτῶν, οὐ μὴν ἀναγκάσας ἐπ' αὐτῶν τὸν βασιλέα ἀντιφωνῆσαι περὶ τῶν δώρων· B =

1. οὐχ ‖ 6. Ἀσίαν B : Ἀσίας ‖ διαλλάξειν ‖ add. in marg. sec. ὅρα περὶ Περσῶν ‖ 15. μὲν νῦν ‖ 17. ἐφοπλισώμεσθα ‖ 21. καταπλήσσουιεν ut B ‖ 22. ἀσφαλῶς ‖ 25, 28. supplevi ex B ‖ 29. ῥᾷον : corr. W

πιέζοντος γὰρ ἦν τὸν καιρόν. καὶ ὁ Ῥοδίων δὲ νόμος κελεύει ταῖς μεγίσταις ἀρχαῖς συσσιτεῖσθαι τοὺς ἀρίστους, περὶ τῶν ἔωθεν πρακτέων βουλευομένους.

A – B= 73. πᾶσά τοι ἔσθ' ὑποδεξίη] ⟨ἡ⟩ πρὸς ὑποδοχὴν χορηγία. τινὲς δὲ οὕτως, ὅτι καὶ πάντας, ἂν θέλῃς, εὐχερῶς ὑποδέξῃ.

AB= πολέεσσι δ' ἀνάσσεις] ἐπαίρει τὸν βασιλέα, εἰς τὸ μετέπειτα αὐτὸν ὑπήκοον σχήσων.

B= 74. πολλῶν δ' ἀγρομένων τῷ πείσεαι] μετρίως οὐκ ἀποδίδωσιν 'ἑαυτῷ·' διδάσκει δὲ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ κράτιστον.

B= 75. μάλα δὲ χρεὼ πάντας Ἀχαιούς] πρὸς τὸ πεῖσαι Ἀχιλλέα· οἶδε γὰρ αὐτοῦ τὸ φιλότιμον.

χρεὼ—Ἀχαιοὺς ἐσθλῆς] "χρεὼ βουλῆς ἐμὲ καὶ σὲ" (Il. 10. 43) ἀντὶ τοῦ δεῖ.

76. ⟨ὅτι δήιοι⟩ ἐγγύθι νηῶν καίουσιν πυρά] δῆδια καίοντας ἐγγὺς νεῶν πυρά· ἐπὶ δὲ Ἑλλήνων "ἔνθα δὲ πῦρ κήαντο" (88).

B– 77. τίς ἂν τάδε γηθήσειεν] οὐ λείπει τὸ ὁρῶν, ἀλλ' ἔστι παλαιὰ συνήθεια· "ἀλλ' ἕτερον ἥσθην" (Aristoph. Ach. 13) καὶ ἐν Πανόπταις Κρατῖνος (fr. 158 K.) "γέγηθα τὸν ἄνδρα·" καὶ ἔστιν ἐξ ἀντικειμένου, τίς οὐκ ἂν κλαύσειεν; ἔοικε δὲ προσκρούειν Διομήδει λέγοντι "νῶι δ', ἐγὼ Σθένελός ⟨τε⟩" (48).

B= 78. ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει] ἐν τῷ πεῖσαι Ἀχιλλέα τὴν σωτηρίαν τίθεται. τί γὰρ ἕτερον πράσσειν νυκτὸς ἠδύναντο;

80. ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσ⟨σ⟩εύοντο] ἄτοπον γὰρ περὶ πρώτου λέγειν τοῦ συμποσίου.

B= 81. ἀμφί τε Νεστορίδην] εὖ τοῦ περὶ φυλακῆς εἰσηγησαμένου πρῶτος ἀριθμεῖται ὁ υἱός· καὶ ὅτι ὁ παρὼν καιρὸς οὐκ εὐτελεῖς ἄνδρας ἐπέτρεπε φυλάσσειν.

A+ 86. *Ἰακῶς τὸ "στεῖχον."

B= 88. πῦρ κήαντο] πυρκαϊὰν τοῦ δεῖπνον ποιῆσαι· ἀσφαλέστερον γὰρ ἦν αὐτοῖς τὸ ἀπὸ σκότους ὁρᾶν τοὺς πολεμίους.

A~B– ἄλλως: ἐνθάδε πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος] ἐπὶ μὲν τῶν κατεπτηχότων ψιλὴ καὶ ἡ τοῦ δείπνου παρασκευή, καὶ ἐνικῶς "πῦρ" φησίν, ἐπὶ δὲ τῶν εὐημερούντων βαρβάρων καὶ τὰ τῆς

4. supplevi ex B ‖ 7. ὑπήκοον B: ὑπήκουον ‖ 15. καίοντας scripsi: ἀκούων ‖ 21. δ' εἰῶ ‖ 29. τὸ στεῖχον A: τὸν στίχον ‖ 32. τίθοντο

εὐωχίας μετὰ πολλῆς ἐπεξεργασίας δεδήλωται "ἐκ πόλιος δ' ἄξαντο βόας καὶ ἴφια μῆλα" (Il. 8. 545) καὶ λαμπρότερα τὰ τῆς φυλακῆς "μέγα φρονέοντες ἀνὰ πτολέμοιο γεφύρας εἵατο παννύχιοι, πυρὰ δέ σφι⟨σι⟩ καίετο πολλά" (Il. 8. 553)· ἔστι δὲ ὅλα γραφικά.

93. πάμπρωτος] οἷον προφθάσας τοὺς αὐτοῦ ἀπαιτοῦντας τὴν γνώμην. B=

94. Νέστωρ, οὗ καὶ πρόσθεν] ὅτε παρῄνει Ἀγαμέμνονι παύσασθαι τῆς πρὸς Ἀχιλλέα ὀργῆς "Ἀτρεΐδη, σὺ δὲ παῦε τεὸν μένος" (Il. 1. 282)· ᾧ καὶ νῦν φησιν "οὔτι καθ' ἡμέτερόν γε νόον" (108). B+

97. * ἐν σοὶ μέν] καταπτήξαντα ἀνακτᾶται τοῖς ἐγκωμίοις καὶ πρὸς πειθὼ παρακαλεῖ. A=B+

ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι] πρὸς τὸ μὴ δοκεῖν ἐπιτάσσειν κύριον αὐτὸν τῆς ἁπάντων ἀποφαίνει γνώμης, προσεκτικόν τε αὐτὸν ἀπεργάζεται, ὡς ὅλου τοῦ πράγματος ἐπ' αὐτῷ κειμένου. ἢ ἐπεὶ τότε πρὸς αὐτὸν ἔληξε λέγων "λίσσομ' Ἀχιλλῆι μεθέμεν χόλον" (Il. 1. 283), ἐκείνην τὴν λῆξιν ἀρχὴν ποιεῖται τοῦ νῦν διαλόγου. B=

98. * ἐγγυάλιξε] ἐνεχείρισεν.

99. σκῆπτρόν ⟨τ'⟩ ἠδὲ θέμιστας] "σκῆπτρον" διὰ τὸ κράτος, "θέμιστας" διὰ τὸ δίκαιον· οὔπω γὰρ εἶχον γραπτοὺς νόμους, ἀλλὰ τὸ πᾶν ἦν ἐν τοῖς κρατοῦσιν, ὅθεν καὶ "δικασπόλοι, οἵ τε θέμιστας ⟨πρὸς Διὸς εἰρύαται⟩" (Il. 1. 239). εὐμενῆ δ' αὐτὸν ποιεῖ τὰς εὐτυχίας ἐξαριθμούμενος, καὶ ἄξια δὲ ⟨τῆς ἰδίας δόξης⟩ ποιεῖν ὑποτίθεται. καὶ ὅτι πρώτη ἀρετῶν ἐστιν ἡ φρόνησις. A—B=

100. περὶ μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι] ἵνα ἐξ ἁπάντων αἱρῆται τὸ χρήσιμον. ἅμα δὲ καὶ ἀναιρεῖ τὴν δόξαν τῆς ἥσσης, καθ' ἣν τινες οἴονται ἀδοξεῖν τοῖς πλησίον πειθόμενοι. B=

102. σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ] ἴσον ἀπέφηνε τῷ συμβούλῳ τὸν βασιλέα λόγων κυροῦντα τὸ τέλος, ὅπως μὴ φθονοίη ταῖς ἀγαθαῖς ὑποθήκαις· οἶδε γὰρ φθόνῳ καὶ θυμῷ καὶ ζηλοτυπίαις ἀδίκοις πολλὰς πράξεις ⟨ἀγαθὰς⟩ ἀνῃρημένας. τὸ πέρας οὖν τῶν λεγομένων ἐπὶ τὸν κορυφοῦντα ἀναφέρει. B=

ἄλλως: ὅττι κεν ἄρχῃ] ᾧ ἄν ποτε τῆς παραινέσεως πρωτεύῃ καὶ ἐπικρατυνθῇ, ἐκ σοῦ γίνεται· καὶ ἀλλαχοῦ "Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε" (Od. 11. 346). B=

8. ὁρμῆς ut B ‖ 15. εἰς αὐτὸν ut B ‖ 17. post ἐν. add. sec. γυῖα γὰρ αἱ χεῖρες ‖ 20. δικασπόλοι :— ‖ 21. εὐγενῆ ut B : corr. W ‖ 22. supplevi ex B ‖ 24. αἱροῖτο ut B ‖ 28. λέγων : corr. W ‖ 30. supplevi ex B ‖ 32. ἄν W : δή ut B ‖ πρωτεύει

B= 103. ὥς μοι δοκεῖ εἶναι ἄριστα] προσεκτικὸν μὲν τὸν ἀκροατὴν ποιεῖ δι' ὧν ἄριστα ὑπισχνεῖται ἐρεῖν, εὔνουν δέ, ὅτι μεθ' ὑποστολῆς τὸ "δοκεῖ" προστέθειται.

B− 104. οὐ γάρ τις νόον] ἐπὶ διαλλαγὰς τὸν βασιλέα φέρων οὐκ ἐν ἐπιτιμήσεως μέρει τὴν Ἀχιλλέως ἔχθραν προφέρει, ἀλλὰ μόνον ἄριστα συνεωρακέναι ⟨φησὶν⟩ ἑαυτόν· φησὶ γοῦν "πολλάκι δή μοι τοῦτον·" τὸ δὲ "νοήσει" ἀντὶ τοῦ νοήσειεν.

B= 105. * ἠμὲν πάλαι] εἰ τὰ μέλλοντα προέγνω Νέστωρ, πῶς περὶ τῶν ἐνεστώτων οὐκ ὀφείλει πείθειν;

B= 108. * οὔτι καθ' ἡμέτερόν γε νόον] προτρεπτικῶς· εἰ γὰρ καὶ τότε προέγνω τὰ μέλλοντα, πῶς οὐχ ὑπὲρ τῶν παρόντων πείσει;

B− οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγω⟨γε⟩ πόλλ' ἀπεμυθεόμην] εὐμάθειαν ἐργάζεται· ὁμολογῶν γάρ, ὅτι οὐκ ἠρέσκετο τῇ εἰς τὸν Ἀχιλλέα ἀτιμίᾳ, δῆλός ἐστι τὸν λόγον ὑπὲρ τοῦ τιμῆσαι τοῦτον συνιστάς· οὐκ ὀνειδίσαι δὲ τὴν ἁμαρτίαν θέλει, ἀλλὰ παρακελεύεται μὴ δεύτερον ἐξαμαρτάνειν.

B= 109. σὺ δὲ σῷ μεγαλήτορι θυμῷ] δεξιῶς ὑπήλλαξε τὰ ὀνόματα, τὴν αὐθάδειαν μεγαλοφροσύνην καλῶν καὶ τὸ προπετὲς εἶξαι λέγων.

B= 110. * συνθέμενος ἐν συντόμῳ τὰ κατορθώματα Ἀχιλλέως εἶπεν.

B= 111. ἀλλ' ἔτι καὶ νῦν φραζώμε⟨σ⟩θα, ⟨ὥς κεν μιν ἀρεσσάμενοι πεπίθωμεν⟩] προσποιεῖται τὴν παράκλησιν, ὅπως μὴ αἰσχυνθῇ ὁ βασιλεύς—τὸ γὰρ φράζου πικρότερον ⟨ἂν⟩ ἦν καὶ προστάξεως ἐχόμενον, καλαί τε αἱ λιταὶ διὰ τὸ ὁμοειδές—καὶ ἵνα προμαλαχθῇ Ἀχιλλεύς.

B= 112. φραζώμε⟨σ⟩θα] δεῖ γὰρ τὸν προαδικήσαντα παρακαλεῖν.

A+ §. ⟨"πεπίθωμεν"⟩ διὰ τοῦ ω̄ ἡ γραφή.

B= 113. δώροισίν τε—ἔπεσσί τε] ἴσην ὑποτίθησι κτῆσιν χρημάτων καὶ λόγων πρὸς πειθώ.

"μειλιχίοισι" δὲ δεκτικοῖς, οὐ δικαιολογουμένοις· τὰ γὰρ τοιαῦτα ἀνάπτει τὸν θυμόν.

B= 115. οὔτι ψεῦδος ἐμὰς ἄτας] ὁμολογεῖ πρᾶξαι, ἵνα μὴ αἰσχύνηται παρακαλῶν—διὸ καὶ ἡμαρτηκέναι φησίν—οὐκ ἀδικεῖ τε εὔνοιαν ποριζόμενος ἑαυτῷ. ἁπλοῦς δὲ ὁ τρόπος· τὸ μὲν γὰρ ἐπίκαιρον ἔχειν νοῦν μακάριον, τὸ δὲ χρόνῳ μετανοῆσαι οὐκ ἄχαρι.

AB+ ἄλλως: οὔτι ψεῦδος ἐμὰς ἄτας κατέλεξας] συναπτέον ὅλον.

6. supplevi ex B ‖ 7. δὲ νοῆσαι ‖ 9. ὀφ. νοεῖν B ‖ 10. προτρεπτικῶς B: ἐντρεπτικῶς ‖ 23. τε scripsi: δὲ ut B ‖ 30. αἰσχύνοιτο ut B

116. ἀντί νυ πολλῶν] ἀντὶ τοῦ ἴσως· προτρεπτικὸν δὲ εἰς εὐσέ- A+
βειαν.

119. ⟨φρεσὶ⟩ λευγαλέῃσι ⟨πιθήσας⟩] ὅ ἐστιν ὀργῇ πεισθείς· B+
ὀλεθρεύει γὰρ αὕτη τὰς φρένας· "φρένας ἔφθιεν" (Il. 18. 446).

120. ἐθέλω ἀρέσαι] ἐλευθερίως ὁμολογεῖ ὁ Νέστωρ ἐκοινοποιή- B=
σατο.

ἀπερείσια] ἵνα μὴ σμικροψυχίας ἕνεκεν δοκῇ τὸν στρατὸν ἀπο- B=
στερεῖν συμμαχίας.

121. *ἐν πάντεσσι—ὀνομήνω] δῆλον ὡς καὶ προέσκεπτο τὰς λίτας.

122. ἀπύρους] ὡς πρὸς σύγκρισιν τῶν ἐμπυριβητῶν. §. "αἴθωνας" B=
δὲ τοὺς εἰς πῦρ βαλλομένους· "ὡς δὲ λέβης ζεῖ ἔνδον" (Il. 21. 362). B=

123. δώδεκα δ' ἵπποι] ἱπποτρόφοι Θεσσαλοί· καλῶς δὲ ὁ ἄρτιος B=
τῶν ἵππων ἀριθμὸς ἱκανὸς πρὸς ἐπίζευξιν.

124. πηγοὺς ἀθλοφόρους] μέλανας· τούτους γὰρ ἀρίστους φασὶν B–
οἱ περὶ ἵππων γράψαντες. ὁμοίως καὶ "κύματι πηγῷ" (Od. 5.
388), εἶγε ἀλλαχοῦ φησι "μέλαν τέ ἑ κῦμ' ἐκάλυψεν" (ib.
353)· τινὲς δὲ μεγάλους, εὐτραφεῖς, ὑψαύχενας. §. διῄρηται ἡ ὑπό- B=
σχεσις εἰς δύο τόπους ⟨καὶ⟩ χρόνους· διὰ δὲ ⟨τῆς⟩ ποικιλίας τῶν δώρων
θηρεύειν οἴεται Ἀχιλλέα, εἴτε φιλότιμος, διὰ τῶν ἵππων, εἴτε φιλο-
χρήματος, πολὺν χρυσὸν καὶ χαλκὸν διδούς, εἴτε φιλογύνης εἴη,
θυγατέρα πρὸς γάμον.

οἳ ἀέθλια ποσ⟨σ⟩ὶν ἄροντο] οὐκ ἐν Πελοποννήσῳ εἰσὶν οἱ ἵπποι B=
ἠγωνισμένοι—εἶεν γὰρ ἂν ἤδη γέροντες—ἀλλ' ἐν Ἰλίῳ νενικήκασιν
ἐπιταφίους ἀγῶνας ἀγωνιζόμενοι.

125. οὔ κεν ἀλήιος εἴη] διακόπτει τὸ ὁμοειδὲς τοῦ καταλόγου, B=
τῶν δώρων τὸ ὁμοειδὲς ἐκκλίνων. ἅμα δὲ καὶ ἑκάστην μερίδα σπου-
δαίαν ἀποδείκνυσι καὶ δῶρα δώροις προστίθησι καὶ τὴν ἔπειτα χάριν
αὔξει.

128. δώσω ⟨δ'⟩ ἑπτὰ γυναῖκας] ἐντέχνως τῶν δώρων μέσας ἔταξε A~ B=
τὰς γυναῖκας, ἵνα μὴ ὑπόνοιαν παράσχῃ ὡς ἀκρασίαν καταψηφιζόμε-
νος αὐτοῦ. καὶ περὶ μὲν ὧν οἶδε μαρτυρεῖ, περὶ δὲ τῶν Ἰλιάδων "αἵ
κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν."

*ἀμύμονα] οὕτως Ἀρίσταρχος, Ζηνόδοτος δὲ "ἀμύμονας." A+

129. ἅς, ὅτε Λέσβον] πιθανῶς ἔπαινον Ἀχιλλέως παρέμιξε καὶ B=

4. ὀλοθρεύει ‖ 9. προεσκέπτετο W, περιεσκέπτετο ‖ 30. ὑπόνοιαν
‖ 32. κάλλιστ' ‖ 33. ἀμύμονα] Ἀρίσταρχος μετὰ τοῦ σ̄ "ἀμύμονε

μόνον οὐχὶ παραχωρήσειν αὐτῷ τῶν αὐτοῦ σκύλων φησίν. ἅμα δὲ καὶ ὑπ' ὄψιν αὐτῷ τὴν δωρεὰν ἄγει ἐμφαίνων, ὅτι ἃ οἶδεν ἐκεῖνος δίδωσιν. ἁπλοῦν δὲ τὸ ἦθος, καὶ πάντα πρὸς πειθώ.

130. ἐξελόμην] Ζηνόδοτος δασύνει τὸ "ἐξ," ἀριθμὸν αὐτὸ ἐκδεχόμενος, οὐχ' ὑγιῶς· φησὶ γὰρ "ἀτὰρ ὀγδοάτην" (Π. 19. 246)· ἄλλως τε οὐ δῶρον Βρισηίς.

B= 132. ὅρκον ὀμοῦμαι] διὰ τοῦ ὅρκου τὸν ζῆλον τοῦ ἔρωτος τοῦ Ἀχιλλέως θεραπεύει καὶ τὸ σῶφρον ἑαυτοῦ ἐνδείκνυται, διὰ φιλοτιμίαν, οὐκ ἀκρασίας ἕνεκεν ἀφελόμενος Βρισηίδα.

A~ * κούρην] Αὐτόχθων δίχα τοῦ ν̄ "κούρη Βρισῆος."

A+ 133. * τῆς εὐνῆς] λείπει τὸ ἄρθρον· καὶ "εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν" (Od. 2. 206).

B= 134. ἦ θέμις ἀνθρώπων] θαυμασίως φύσεως νόμῳ τὴν αἰσχρὰν λέξιν ἐκάλυψε, τὰ τῆς συμπλοκῆς ταπεινὰ καὶ ἀνθρώπινα τιμιωτάταις προσηγορίαις ἐπισκιάζων.

A+ B= * ἦ θέμις] δασυντέον τὸν "ἦ" καὶ ὀξυντέον, ἰσοδυναμοῦντα τῷ ὡς.

135. * παρέσσεται] ὥστε εἰς γ' καιροὺς ἡ διαίρεσις.

137. * νῆα] ἄδηλον πότερον δύο ἢ μίαν· πολύχρυσοι δὲ ἐξ ἀρχῆς οἱ βάρβαροι.

B= 139. αὐτὸς ἑλέσθω] τὴν δωρεὰν ἡ ἐκλογὴ ποιεῖ μείζω μακράν τε αὐτὸν τίθησι τοῦ γυναικείου πόθου.

140. * τὸ "αἴ κε ⟨κε⟩" ἀντὶ τοῦ ἐάν, ἐπεὶ καὶ τὸ "ἔωσιν" ὑποτακτικόν.

AB= αἴ κε μετ' Ἀργείην Ἑλένην] οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ὡς πρεσβεύουσαν ἁπασῶν ἐν κάλ⟨λ⟩ει.

B= 141. * οὔθαρ ἀρούρης] τρόφιμον τῆς γῆς.

A+ B= 143. τηλύγετος] μονογενής, ἢ μεθ' ὃν οὐ παιδοποιεῖ τις. τινὲς δέ φασι λείπειν τὸ ὡς.

144. τρεῖς δέ μοι εἰσὶν θύγατρες] εἰς ὃ μάλιστα λυπεῖ αὐτὸν λέγων "κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος" (388).

AB= 145. Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα] οἰκεῖα θυγατράσι βασιλέως τὰ ὀνόματα· τρία γὰρ συνέχει τὴν ἀρχήν, νόμος ὀρθός, ἔπειτα κρίσις καὶ ἰσχύς.

B= 146. τάων ἥν κε θέλῃσι] διὰ τῆς ἐπιγαμίας πιστοῦται τὴν φιλίαν, ὅπως μὴ δοκῇ πρὸς τὴν χρείαν κολακεύειν ὑπούλως ἔχων.

5. αὐτὰρ ὀγδοάτη ‖ 10. Ἀρίσταρχος pro Αὐτ. A ‖ 16. τῷ B: τὸ ‖ 26. τροφιμώτερον B, τροφιμώτατον coni. W

147. ἐπιμείλια δώσω] Ἀρίσταρχος ὑφ' ἓν ὡς ἐπιφέρνια, Ἀπολλόδωρος κατὰ διάλυσιν. A+

149. ἑπτὰ δέ οἱ δώσω—πτολίεθρα] ἄδηλον εἴτε φερνὴν ἐπὶ τῇ θυγατρὶ καὶ ταύτας δίδωσι τὰς πόλεις, ἢ ἔξωθεν, ὥσπερ καὶ τὰ ἄλλα δῶρα. B+

150. Καρδαμύλην Ἐνόπην τε] Μεσ⟨σ⟩ηνίδες αὗται πόλεις, ἡ δὲ Μεσσήνη εἰς τὸν Λακεδαιμονίων νομὸν πάλαι συνετέλει· πῶς οὖν, φασίν, Ἀγαμέμνων ταύτας δίδωσιν οὐκ οὔσας ἑαυτοῦ; καὶ οἱ μὲν Κλυταιμνήστρας εἶναι, ἢ ὅτι κοινὰ ἡγεῖται τὰ τοῦ ἀδελφοῦ, ὡς κἀκεῖνος τὴν Αἴθην (Π. 23. 295)· ⟨ἣν δ'⟩ ὑπὸ Μενελάῳ ὦσι, καὶ Μενέλαος αὐτὸν ἱκετεύει· διὰ τί δὲ οὐ μέμνηται αὐτῶν ἐν τῷ καταλόγῳ; ὅτι νεωστὶ ὑπὸ τῶν Διοσκούρων ἦσαν πορθηθεῖσαι, τῶν δὲ πεπορθημένων οὐ ποιεῖ συμμαχίαν, ὡς οὐδὲ Νηρίκου (Od. 24. 377)—φύσει γάρ εἰσι πολέμιοι τοῖς πορθήσασιν—ἢ περὶ αὐτῶν φησιν ἐν οἷς λέγει "Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν" (Π. 2. 575). μεγάλη δὲ ἡ δόξα Ἀχιλλεῖ, ὅταν τῶν πόρρω χωρίων ἄρχῃ. διὰ δὲ τῶν ἐπιθέτων σεμνοποιῶν μικροῦ δεῖν τῆς Πηλέως ἀρχῆς μείζους φησὶν αὐτάς· διάφοροι μὲν γάρ εἰσι τοῖς καρποῖς, ποικίλαι δὲ ταῖς φύσεσι τῶν ζῴων, φιλάνθρωποι ταῖς κατοικίαις, εὐνομώταται ταῖς ἀγωγαῖς. B=

* Ἰρήν] Ἀρίσταρχος ὀξύνει τὴν "Ἰρήν," ὁμοίως τῷ ἐπιθέτῳ. A+

153. * πᾶσαι δ' ἐγγὺς ἁλός] ἵνα καὶ τῶν ἐκ θαλάσσης ἀπολαύ⟨σ⟩ειεν ἀγαθῶν, παραλίων οὐσῶν. B=

νέαται] ὡς κέαται· καὶ σημαίνει τὸ οἰκοῦνται ἀπὸ τοῦ νῶ γεγονός, οὗ παραγωγὸν τὸ ναίω. §. ὁ δὲ Νικάνωρ ὄνομά φησι τὸ "νέαται" καὶ πρὸς ἄμφω χωρεῖν δύνασθαι, ὡς "τηλοῦ ἐπ' Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος" (Π. 11. 712). §. Ἀπολλόδωρος δὲ γράφει "κέαται." A+ B= A=

155. θεὸν ὣς τι⟨μή⟩σουσιν] ὡς θεῷ τὰς τῶν ὄντων προσάγοντες ἀπαρχάς. B=

156. καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας] οὐ στασιάζόντων, ἀλλὰ πειθαρχούντων ἀνδρῶν ἄρξει. §. "τελέουσι" δὲ ἀντὶ τοῦ ἀεὶ τελέσουσιν. §. "λιπαρὰς" δὲ τὰς θέμιστας καλῶν τοῦτο δηλοῖ, ὅτι τὸ κρίνειν καλῶς ⟨πρὸς⟩ εὐδαιμονίαν ἄγει. A~ B= A B= B=

158. δμηθήτω· Ἀΐδης τοι ἀμείλιχος] ἔνιοι τοῦτο ὑποτάσσουσιν "οὕνεκ' ἐπεί κε λάβῃσι πέλωρ ἔχει οὐδ' ἀνίησιν." A+

10. Αἴθην· ⟨εἰ δ'⟩ ὑπὸ Μενελάῳ εἰσὶ κ. Μ. W, Αἴθην ὑπομένει ὡς κ. Μ. ‖ 14, 15. τ' ἅπαντα ‖ 21, 22. ἀπολαύωσι B ‖ 24. ναίω A : νέω B, νεάω ‖ 25. πρὸς ἄμφω χωρεῖν] an 'πόλεις μεθόριαι' cf. A? ‖ 26. Ἀπολλώνιος Δ. ‖ 27. τίσουσιν etiam textus ‖ 32. supplevi

B= δμηθήτω] ἀναγκαῖον μετὰ τὰ δῶρα παράκλησιν ἐπαγαγεῖν διὰ τὸ ὑπεκκλίνειν τὸ ἀλαζονικόν. §. τὸ ἑξῆς, "δμηθήτω καί μοι ὑποστήτω·" τὰ δὲ "Αἰδης τοι" διὰ μέσου. §. διὰ τί δὲ οἱ μὲν ἄλλοι θεοὶ στρεπτοὶ
A= B– λέγονται, τὸν δὲ Ἅιδην ἀνελεήμονά φησιν; ὅτι ἐκεῖνοι μὲν περὶ τῶν εἰς ἑαυτοὺς χαλεπαίνουσιν ἁμαρτημάτων—διὸ καὶ συγγινώσκουσιν— ὁ δὲ περὶ τῶν ἰδίων καὶ ἀλλοτρίων· διὸ ἀτεγγής ἐστιν· ὅθεν ἐν οὐδεμιᾷ πόλει Ἅιδου βωμός ἐστιν· Αἰσχύλος "μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ, οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων λάβοις, οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται" (fr. 156).

A+ * δμηθήτω] Ἀριστοφάνης "καμφθήτω."

B– ἀμείλιχος ἠδ' ἀδάμαστος] "ἀμείλιχος" ἀγοήτευτος, "ἀδάμαστος" ἀτεράμων, ὅ ἐστιν ἀκαμπής· δύο γάρ εἰσιν οἷς πείθομεν, λόγῳ καὶ βίᾳ. διὰ δὲ τοῦ Ἅιδου ἐδήλωσεν ὡς, εἴ τις ἐστὶν ἀμείλιχος, βδελυρὸς ἔσται πᾶσιν.

B= 160. καί μοι ὑποστήτω ὅσ⟨σ⟩ον βασιλεύτερός εἰμι ἠδὲ—γενεῇ προγενέστερος] ὡσανεὶ δέησιν προσάγει τὴν ἡλικίαν καὶ τὸ σκῆπτρον, οἷς εἴκουσι καὶ μεγαλόφρονες. ἐξέφυγε δὲ τὸ ἐλεεινόν, εἴκειν αὐτὸν ἀξιῶν τοῖς μείζοσιν ἀξιώμασιν.

161. * ὅσσον γενεῇ] ὁ Νέστωρ "ἄμφω—νεωτέρω ἐστὸν ἐμεῖο" (Il. 1. 259).

A+ B= 165. κλητοὺς ὀτρύνομεν] τοὺς ἐξ ὀνόματος πρέσβεις. §. καλῶς δὲ
B= πρέσβεις πέμπει, ὅπως ἢ πείσωσιν ἢ πρᾳότερον αὐτὸν ἀπεργάσωνται.

B= * τάχιστα ἔλθωσι] διὰ τὸν ἐπείγοντα καιρὸν τῆς νυκτός.

B– 167. εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼ ἐπιόψομαι] αὐτὸς οὐκ ἄπεισιν ἢ διὰ τὸ γῆρας—"Νεστορέῃ" γοῦν "παρὰ νηί" (Il. 2. 54)—ἢ καὶ ὑποπτεύεσθαι παρὰ τῷ Ἀχιλλεῖ νομίζων ὡς ἐκπληρῶν τὴν αὐτοῦ ἀπουσίαν τοῦτο μὲν τῇ διατάξει τοῦ στρατοῦ "ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ" (Il. 2. 363), τοῦτο δὲ τάφρον περιβαλλόμενος καὶ τεῖχος, ὃ καὶ Ἀχιλλεὺς ὀνειδίζει "ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο, καὶ δὴ τεῖχος ἔδειμε" (348)· ἢ ὅτι εἶπεν "τούσ⟨δε⟩ δ' ἔα φθινύθειν, ἕνα καὶ δύο" (Il. 2. 346). εἰ δὲ ἐν τῷ ἐπιταφίῳ (Il. 23. 616) φιάλην αὐτῷ ἐδωρήσατο, οὐδὲν θαυμαστόν, εἰ τὴν ἔχθραν ἀποθέμενος τὴν πρὸς τὸν Ἀγαμέμνονα λύει καὶ τὴν πρὸς Νέστορα ὑποψίαν. ἢ ἀδήλου ὄντος εἰ πείσειε, καλῶς ἑτέρους ἔπεμψεν· πεισάντων γὰρ ἤμελλεν

2. ὑπεκκλίνειν B: ὑποκλίνειν ‖ 3. στρεπτοὶ A B: τριπτοὶ ‖ 6. ἀνηλεὴς B καὶ ἄκαμπτος A, αἰτεγγὴς ‖ 8. ἄνοις Dobree ‖ 12. ἀτεράμνων: corr. W ‖ 13. ὡς ἐὰν ‖ 15. ε. καὶ γενεῇ ‖ 18. ἀπαιτῶν B ‖ 26. νομίζει ut B ‖ 32. ἀποθέμενος B: καταθέμενος

αὐτὸς ἔχειν τὴν δόξαν ὡς εἰσηγησάμενος, ἀποτυχούσης δὲ τῆς ἱκεσίας αἰτίαν εἶχον οἱ πρέσβεις ⟨ὡς⟩ ἐνδεῶς διειλεγμένοι. ἢ συμπεριλαμβάνει ἑαυτὸν Ἀγαμέμνονι. §. τὸ δὲ "ἐγώ" ἄνευ τοῦ ν̄. §. δύο δὲ μέρη λόγου τὸ "οἳ δέ," ἵν' ᾖ οὗτοι δέ. A+ A+

5 * ἐπιόψομαι] φησὶν ἐπικρινῶ τοὺς ἀποσταλησομένους.

* οἳ δὲ πιθέσθων] λελη θότως ἑαυτὸν τῆς πρεσβείας ὑπεξέκλεψεν.

168. Φοῖνιξ μέν] ἀπὸ τῆς Ἀχιλλέως σκηνῆς δεῖ νοεῖν ἥκειν τὸν Φοίνικα ὡς ἐπὶ θέαν τῆς μάχης, ὅτι ἐδόκουν ἐν ἐσχάτοις εἶναι κινδύνοις συνελασθέντες εἰς τὸ τεῖχος, κἀνταῦθα γενόμενον κατασχεθῆναι ὑπὸ τῶν ἀριστέων εἰς τὴν εὐωχίαν· ἐθεράπευον γὰρ αὐτὸν ὡς τροφέα Ἀχιλλέως. ἴσως δὲ καὶ συμβιβάσαι αὐτοὺς θέλων παρῆν καὶ ἰάσασθαι τὴν ὀργὴν Ἀχιλλέως. πέμπεται οὖν ὁ Φοῖνιξ οὐχ ὡς πρεσβευτής—δύο γὰρ ἦν ἔθος πρεσβεύειν, ὡς "ἄνδρε δύω κρίνας" (Od. 9. 89) καὶ "ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆι" (Il. 11. 140)—ἀλλ' ἵνα τοῖς πρεσβευταῖς συλλάβηται. διό φησιν "Φοῖνιξ —ἡγησάσθω," ὡς ἐκεῖθεν ἥκοντος αὐτοῦ καὶ πάλιν ἐπανελθεῖν ἀνάγκην ἔχοντος, ὅπου καὶ μὴ πρεσβεύσαντός φησιν ⟨Ἀχιλλεὺς⟩ "Ἀτρεΐδῃ ἥρωι φέρων χάριν" (613) καὶ "Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω" (427), ὡς μέλλοντος αὐτοῦ ἐπανιέναι πρὸς Ἀγαμέμνονα καὶ ἀπαγγειλαι ἃ ἤκουσεν. B−

169. Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς] καὶ τούτων ἠπείλησεν Ἀγαμέμνων τὸ γέρας λαβεῖν "ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος" (Il. 1. 138). πρεσβεύουσιν οὖν οἱ συννυβρισθέντες καὶ μὴ μνησικακήσαντες, ἵνα δυσωπήσωσιν αὐτόν. B=

Αἴας τε μέγα⟨ς⟩] ἕκαστον ὑποθωπεύει τῶν ἀπιόντων. B=

170. κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης] ἵνα δηλωθῇ ὅτι δημοσία ἡ πρεσβεία· Ταλθύβιος δὲ οὐ πέμπεται ὡς Ἀγαμέμνονος ὤν. B=

172. ὄφρα Διὶ—ἀρησόμεθα] ὅτι δεῖ ἐν παντὶ καιρῷ ἐκ θεῶν ἄρχεσθαι, μάλιστα δὲ ἐν κινδύνοις· οὕτω γὰρ ἥδιον ἐπὶ τὴν πρᾶξιν ὁρμῶμεν καὶ οὐδὲν ἑαυτοῖς ἀποτυχόντες ἐγκαλοῦμεν· ὕψωσε δὲ τὸ πρᾶγμα, εἴγε συμπρεσβευτὴν αἱροῦνται Δία. B=

180. δενδίλλων ἐς ἕκαστον] ἀντὶ τοῦ ἑκάτερον· οὐ γὰρ παρῆν Φοῖνιξ, ἐπεὶ καταισχύνεται διὰ τοῦ "Ὀδυσσῆι δὲ μάλιστα." A+ B=

1. ἀποτευχθείσης B, ἀποπεμφθείσης ‖ 2, 3. συμπεριλαμβάνοι ‖ 3. post Ἀγ. omisi ἐντευξόμενον ‖ 6. ἐμαυτὸν ‖ 14. ὀδυσσῆι ‖ 18. ἄμιν ‖ 23. ὀδυσσῆος ‖ 25. schol. praecedenti adhaeret

A ~ B= ἄλλως: δενδίλλων] κατὰ τὸ δέον διαστρέφων τοὺς ὀφθαλμούς, καὶ οἷον τῇ ὄψει ἱκετεύων ὡς ἐπὶ σωτηρίᾳ τοῦ παντὸς στελλομένους.

B= 183. εὐχομένω γαιηόχῳ] τὸ γὰρ παρὸν εἰς μνήμην ⟨ἔτοιμον⟩· καὶ Εὔμαιος ⟨θύει⟩ ταῖς νύμφαις (Od. 14. 435), καὶ Ἕλληνες ἐπικαλοῦνται τὸν Ἰδαῖον Δία (Il. 3. 320), καὶ ⟨νῦν δὲ Ποσειδῶνα⟩, ὅτι ἐπίκουρος τῶν Ἀχαιῶν. ἢ ὅτι Νηρηίδος παῖς ἐστιν Ἀχιλλεύς, τῶν δὲ ἐναλίων θεῶν οὗτός ἐστι βασιλεύς.

A B= 184. ῥηιδίως πεπιθεῖν] περισπαστέον· β΄ γὰρ ἀόριστός ἐστιν. §. τὸ

B= δὲ "μεγάλας φρένας" εὐκαίρως· οὐ γὰρ ἔπεισαν.

B= 186. φρένα τερπόμενον] οὐκ ἀνοίκειον τῷ ἥρωι νυκτὸς οὔσης γυμνάζεσθαι μᾶλλον τὰ μουσικὰ καὶ μὴ διαπαννυχίζειν· παραμυθία γὰρ τοῦτο θυμοῦ καὶ λύπης. ἔστι δὲ νέος καὶ φιλόμουσος καὶ λάφυρον ἔχων τὴν κιθάραν, καὶ οὐ θηλυδριώδη μέλη ἀλλὰ κλέα ἀνδρῶν ᾄδει, καὶ ἐσπέρας καιρός· ἢ οἰόμενος ἥξειν αὐτοὺς σοβαρεύεται. καλῶς δὲ ἀπούσης τῆς ἐρωμένης ᾄδει, ὅπως μὴ δοκῇ κωμάζειν. ἢ ὅτι πεφρόντικε μὲν τῆς τῶν Ἑλλήνων ἀσφαλείας, προσποιεῖται δὲ καταφρονεῖν· φησὶ γοῦν "δῖε Μενοιτιάδη—νῦν οἵω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιούς" (Il. 11. 608). καὶ πάλιν "ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε· λεύσ⟨σ⟩ω δὴ παρὰ νηυσὶ ⟨πυρὸς⟩ δηίοιο ἐρωήν" (Il. 16. 126). οὐκ ἤθελε δὲ ἀργῶν σώματι καὶ ψυχῇ ἀργεῖν, ἀλλ' ἡτοίμαζεν αὐτὴν πρὸς τὰς πράξεις, καὶ ἐπ' εἰρήνης τὰ τοῦ πολέμου μελετᾷ, ὡς καὶ οἱ Μυρμιδόνες.

A– B= 188. τὴν ἄρετ' ἐξ ἐνάρων] ἵππον διὰ πόλεμον, δίσκον καὶ κιθάραν πρὸς σωματικὴν καὶ ψυχικὴν γυμνασίαν ⟨εἶχεν⟩· σύντροφον δὲ ὄργανον εὑρὼν οὐ παρῆκεν· οὐ γὰρ οἴκοθεν εἵλετο· καὶ ἴσως Ἑλληνικὸν ἄνδρα εὑρὼν Ἠετίωνα σὺν τοῖς ὅπλοις ἐκήδευσε, καὶ τοῖς ἐκείνου χρῆται.

189. * ἔτερπεν] ἀντὶ τοῦ ἔτρεπεν.

A B= κλέα ἀνδρῶν] ὅτι ἀειμνήστους δεῖ τοὺς ἀγαθοὺς εἶναι· οἱ γὰρ ἀοιδοὶ διὰ τῶν παλαιῶν ἱστοριῶν τοὺς ἀκούοντας ἐσωφρόνιζον. προσέθηκε δὲ τὸ "ἀνδρῶν," ἐπειδὴ καὶ θεῶν ᾄδουσι γάμους.

A + B= 190. Πάτροκλος δέ ⟨οἱ⟩ οἷος] ἡδεῖα γὰρ ἐπίδειξις ἡ ἐπὶ τῶν φίλων. ἤτοι δὲ μόνον αὐτὸν καθέζεσθαι λέγει ἢ μόνον ἐναντίον παρὰ τοὺς ἄλλους Μυρμιδόνας· καὶ ὅτι ἐν ἡσυχίᾳ δεῖ ἀκροᾶσθαι μουσικῆς.

192. βάτην προτέρω] καὶ ἐπὶ χρόνου "καί νυ κ' ἔτι προτέρω"

3, 4, 5. supplevi ex B ‖ 15. δοκοίη ut B ‖ 16. κωμάζειν B : κομπάζειν ‖ 18. λίσσεσθαι B ‖ 24. supplevi ex B

(Il. 23. 490)· δίχα τοῦ ι δὲ τὸ "προτέρω·" ἀπὸ γὰρ τοῦ προσωτέρω συγκέκοπται.

193. ταφών] ἢ διὰ τὸ φίλον, ἢ διὰ τὸ χαίρειν ἐπὶ τῇ προσδοκωμένῃ πρεσβείᾳ, ἢ διὰ τὸ νυκτὸς αὐτοὺς παρεῖναι. B=

194. αὐτῇ σὺν φόρμιγγι·] ὧδε στικτέον. ὑπὸ γὰρ φιλοφροσύνης ἀπήντησεν αὐτοῖς οὕτως ὡς εἶχε, σὺν τῇ κιθάρᾳ. τινὲς δὲ ὑφ' ἓν "αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος," καὶ τὴν φόρμιγγα λιπὼν ὡς αἰδούμενος. A+ B=

* αὐτῇ σὺν φόρμιγγι] διχῶς ἡ στιγμή.

195. * ἐπεὶ ἴδε] ὅτε εἶδεν Ἀχιλλεύς.

196. τὼ καὶ δεικνύμενος] δεξιούμενος λόγοις· ἐν ἄλλοις δὲ ἀντὶ τοῦ δεικνύς, "δεικνύμενος Δαναοῖσι" (Il. 23. 701). B–

197. * ἦ—ἦ] ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον. βεβαιωτικοὶ γάρ εἰσιν. A B=

ἦ τι μάλα χρεώ] ἀντὶ τοῦ τινός· "τί νυ μοι μήκιστα" (Od. 5. 299) ἀντὶ τοῦ τίνα.

ἄλλως: ἦ τι μάλα χρεώ] "τί" ἀντὶ τοῦ τινός· οἱ δὲ ⟨τὸ "ἦ τι"⟩ ἀντὶ τοῦ ὄντως. δυσωπεῖ δὲ αὐτοὺς ὡς παρὰ τὸν τῶν φίλων θεσμὸν δι' ἀνάγκην ἐλθόντας, οὐχ ὁμολογεῖ δὲ εἰδέναι τὰ περὶ τῆς ἐντεύξεως ἐναβρυνόμενος. B–

198. * οἵ μοι σκυζομένῳ περ—φίλτατοι] εἴωθε γὰρ ὁ θυμὸς παρορᾶν καὶ τὸ πρὸς φίλους δίκαιον.

199. * Ἑλληνικὰ πάντα, καὶ τὸ μὴ ἐκείνους πρῶτον ἐνάρξασθαι.

202. καθίστα] κίρνα, ὅμοιον τῷ "κρητῆρα στήσασθαι ἐλεύθερον" (Il. 6. 528)· φιλοφρονεῖται δὲ αὐτοὺς καταισχύνων Ἀγαμέμνονα.

203. ζωρότερον] ἀκρατότερον, παρὰ τὸ ζῆν· οἱ δὲ ἀντὶ τοῦ ταχύτερον· ἢ ἴσως, ἐπεὶ οἱ ξένοι ὕδωρ μὲν αἰτοῦσιν, οὐκέτι δὲ οἶνον, ἢ ὡς μουσικὸς καὶ ὑδαρέστερον πίνων ἀφ' ὧν ὀνειδίζει Ἀγαμέμνονι οἰνοφλυγίαν (Il. 1. 225), ἢ τὸν ἀκρατότερον ὃν εἶχεν ἐν τῷ ἀμφορεῖ Διονύσου (Od. 24. 74)· οὐ γὰρ εἰκὸς δεδόσθαι κενόν, ἀπαρχὴν δὲ ἔχοντα τῶν ἐκείνου εὑρημάτων οἶνον θαυμάσιον. τοῦτον δὲ οἱ ἥρωες ἀπεδέχοντο. "ἓν δέπας ἐμπλήσας" (Od. 9. 209). B–

ζωρότερον ⟨δὲ⟩ κέραιρε] δίχα τοῦ ρ̄ Ἀριστοφάνης "κέραιε." §. οὐκ ἄτοπον δὲ νυκτὸς οὔσης ζωρότερον πίνειν. A+

5. ὑπὸ γὰρ B: ὑπὲρ ‖ 15. ἦ τι ‖ τινός W: τινά ‖ 21. οἵδε γ. ‖ 30. κοινόν ‖ 33. schol. praecedenti adhaeret

B= 206. αὐτὰρ ὅ γε κρεῖον] εἰς ταπεινὴν τάξιν μαγειρικὴν κατερχόμενος οὐδὲν ἧττον τὴν ἡρωικὴν διαφυλάττει σεμνότητα. αἰτία δὲ ἡ ἐκλογὴ τῶν ὀνομάτων. πρῶτον μὲν οὐκ εἶπε 'κατέθηκεν' ἀλλὰ "κάββαλεν" ἔπειξιν ἐμφαίνων τοῦ διακονουμένου, ἔπειτα τροπικὸν εἰσήνεγκεν ὄνομα τὸ "τεθαλυῖα⟨ν⟩."

A+ * κρεῖον] ὡς θεῖον· οἱ νεώτεροι "κρεῖον" τὸ κρέας φασίν.

B− ἐν πυρὸς αὐγῇ] καὶ "ἠελίου ⟨τ'⟩ αὐγή" (Od. 12. 176)· ἥλιος δὲ τὸ ἄστρον· ἡμεῖς δὲ ἀφυῶς φαμεν ἐν ἡλίῳ καθῆσθαι. ἐνταῦθα οὖν ἐν τῇ αὐγῇ τοῦ λύχνου τέθεικε τὸ "κρεῖον," ἐπεὶ νὺξ ἦν, οἷον 'παρὰ τῷ λύχνῳ.'

207. ὄιος] ὡς πόλιος· εἰ μὴ διὰ μέτρον γάρ, οὗ φησιν οἰός.

A+ B− 208. σιάλοιο ⟨ῥάχιν τεθαλυῖαν ἀλοιφῇ⟩] εὐτραφοῦς, "ἀπαλοτρεφέος σιάλοιο" (Il. 21. 363). "α⟨ἰ⟩ὲι ζατρεφέων σιάλων" (Od. 14. 19).

209. τῷ δ' ἔχεν Αὐτομέδων] τούτῳ δὲ—τῷ Ἀχιλλεῖ—ὑπηρέτει τὰ κρέα ὁ Αὐτομέδων, οἷον ὑπεῖχεν αὐτά, ἐκεῖνος δὲ διέτεμνεν. §. ἐν

B+ σχήματι ἔδειξεν, ὡς καὶ Αὐτομέδων ἔνδον ἦν.

AB= τάμνεν δ' ἄρα ⟨δῖος⟩ Ἀχιλλεύς] τὸν τῦφον ἡμῶν ἐκβάλλει ἑαυτῷ ὑπηρετούμενος ὁ Ἀχιλλεύς.

210. μίστυλε] διὰ τοῦ ἑτέρου λ̄ τὸ "μίστυλε·" γίνεται δὲ παρὰ τὸ μεῖον καὶ μεῖστον.

212. αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη] εἰς ταπεινὴν ἀπαγγελίαν οὐδεὶς ἂν τοσαύτην ἐπέθηκε σεμνότητα καὶ λέξεις ⟨τοιαύτας⟩.

A+ ἄλλως: αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη] ἔνιοι γράφουσιν "αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ·" ὁ δὲ Ἀρίσταρχος ταύτην προέκρινεν· ἔνιοι δὲ γράφουσιν "αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο, παύσατο δὲ φλόξ." §. γράφεται δὲ καὶ "ἐκάη."

B= 214. πάσσε δ' ἁλὸς θείοιο] ἢ ὅτι τὰ ἁλίπαστα διαμένει, ἢ ⟨ὅτι⟩

A= τὰς φιλίας συνάγει. §. "θείους" δὲ λέγει τοὺς ἅλας διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασσόμενα.

B− ἄλλως: πάσσε δ' ἁλός—κρατευτάων ἐπαείρας] ἵνα μὴ εἰς τὸ πῦρ πάττων ἐνοχλῇ· τὸ δὲ ἑξῆς, "κρατευτάων ἐπαείρας πάσσε."

A+ B− κρατευτάων] οἱ μὲν τῶν ἁλοθηκῶν—τουτέστι τῶν ἀγγείων, ἐν οἷς οἱ ἅλες εἰσίν—οἱ δὲ τῶν ἐξοχῶν τῆς ἐσχάρας, αἷς ἐπιτίθενται οἱ ὀβελοί.

4. κάββαλεν B: κάμβαλεν ‖ 7. κ. ἡλίου ‖ 8. καθίσθαι ‖ 11. εὐτραφοῦς D, τροφίου coni. W: ἐντροφίου ut B ‖ 12. ζ. ἁπαλῶν A ‖ 19. καὶ W cf. Et. M.: ἢ ‖ 21. suppl. W ‖ 23. ἀπέπτατο A: ἀπέπαυτο ‖ 27. supplevi ex B ‖ 29. πτα in ras. novavit pr. ut A ‖ πασθέντα A

* ἐπαείρας] διὰ τοῦ ᾱ. A+

215. εἰν ἐλεοῖσιν] ἐπιμήκεσι τραπεζίοις ἐξ ἐλείων ῥάβδων πε- A+ B=
πλεγμένοις. §. δασύνεται δὲ τὸ "ἐλεοῖσιν·" τινὲς γὰρ παρὰ τὸ ἑλεῖν. A=

* ἔχενεν] διχῶς, καὶ "ἔθηκεν." A=

217. * κανέοισιν] ὡς "ὀστέοισιν."

218. ἀντίον ἷζεν Ὀδυσσῆος] ὡς διαλεξόμενος· οἶδε γὰρ ὡς αὐτὸς B=
τὴν πρεσβείαν πεπίστευται.

219. * τοίχου] ὡς "ὁίστευσον Μενελάου" (Il. 4. 100).

θεοῖσι δὲ θῦσαι ἀνώγει] δαισιδαίμων, ὃς καὶ τροφῆς τοῖς θεοῖς A=
ἀπάρχεται καὶ ἀποπλεύσεσθαι ⟨μέλλων⟩ λέγει "αὔριον ἱρὰ Διὶ
ῥέξας" (357)· καὶ "χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγεν" (Il. 16. 221).

θῦσαι] ἀπάρξασθαι, ὡς τὸ "ἦ ῥα καὶ ἄργματα θῦσε" (Od. 14. A+ B−
446), ἢ θυσιάσαι, ὡς τὸ "πῦρ κήαντες ἐθύσαμεν" (Od. 9. 231).
Καλλίμαχος δὲ κακῶς "τὸ μὲν θύος ἤρχετο βάλλειν" (fr. 531
Schn.)· Ὅμηρος δὲ "θύου" (Od. 5. 60) τοῦ θυμιάματος.

220. * θυηλάς] ὡς ἀπαρχάς. A= B+

221. οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα] πῶς παρὰ Ἀγαμέμνονι δεδειπνη- B=
κότες νῦν πάλιν ἐσθίουσιν; ἢ οὖν τὸ Πατρόκλῳ καὶ Ἀχιλλεῖ συμ-
βεβηκὸς συλληπτικῶς περὶ πάντων φησίν, ἢ πάλιν ἐσθίουσιν εἰς
ἔνδειξιν τοῦ ἥδεσθαι τῇ παρ' αὐτῷ ἑστιάσει.

222. αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο] Ἀρίσταρχος A+
γράφει "ἆψ ἐπάσαντο·" ἤδη γὰρ ἦσαν παρ' Ἀγαμέμνονι κορε-
σθέντες· οὐ μετέθηκε δὲ τὴν γραφήν.

223. νεῦσ' Αἴας Φοίνικι] οὐχ ἵνα εἴπῃ, ἀλλ' εἰ καιρός ἐστιν. A− B=
Ὀδυσσεὺς γὰρ προσκεπτόμενος τί δεῖ λέγειν τὸν καιρὸν οὐχ ὁρᾷ.
συνεὶς δὲ ταῦτα Ὀδυσσεὺς αὐτὸς λέγειν ἄρχεται, οὐχ ὑπὸ βασκανίας
τοῦ Φοίνικος τὸν λόγον ⟨προαρπάζων⟩ ἀλλὰ τὸ δυσχερὲς ἐφ' ἑαυτὸν
φέρων· οἶδε γὰρ δυνησόμενος ἀντιτάξασθαι Ἀχιλλεῖ. ἴσως δὲ οὐδὲ
ἐπιτήδειον εἶναι τὸν Φοίνικα ἐλογίζετο ἄρχεσθαι τοῦ λόγου, ὅπως μὴ
ὡς οἰκείῳ ἀπιστήσας Ἀχιλλεὺς ἀναστείλῃ καὶ τὸν αὐτῶν λόγον. Αἴας
δὲ οὐ λέγει· βραδὺς γάρ ἐστι καὶ μεμψίμοιρος.

225. οὐκ ἐπιδευεῖς] "οὐκ ἐπιδεύῃ δαιτός," ὡς τὸ "ἀποιχομένου A+

διὰ τοῦ ᾱ

1. κρατευτάων ἐπαείρας ‖ 3. ἐλείοισι ‖ γὰρ A: γράφουσι ‖ 10. supplevi ex A ‖ ἱερὰ ‖ 11. χιλοῦ ‖ 12. ἄργματα θῦσαι ‖ 13. θυμιᾶσαι B, θυμιάσαι ‖ 22. ἐπάσαντο A: ἐπαύσαντο ‖ 24. ἐστίν AB: ἔσται ‖ 27. supplevi ex B ‖ 29. ἄρχειν ‖ 32. ἐπιδευεῖς δ.: corr. W

'Οδυσῆος δεύῃ" (Od. 1. 253)· τὸ γὰρ ἕτερον ὑβριστικόν. ἔνιοι δὲ προστιθεῖσι τὸ σ̄· οὗτοι δὲ καὶ τὸ "ἠμέν" ῥῆμά φασιν.

B= χαῖρ', 'Αχιλλεῦ] πρὸς τὸ διαχέαι τὸ σκυθρωπὸν αὐτοῦ ὃν ἦν σκεψάμενος λόγον ἀφῆκε καὶ ἀπὸ τοῦ καιροῦ ἔλαβε τὸ προοίμιον, ὡς τὸ "ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ—ὃς λαὸν ἤγειρα—μητρί τ' ἐμῇ μνηστῆρες" (Od. 2. 40–50).

B= 226. ἠμὲν ἐνὶ κλισίῃ 'Αγαμέμνονος] λεληθότως ἐσήμανεν, ὡς ἐξ αὐτοῦ ἐπέμφθησαν, οὐ διαρρήδην, ὅπως μὴ τραχὺς γένηται 'Αχιλλεύς. καλῶς δὲ τὰ περὶ τὴν ἑστίασιν ὅμοια τῇ παρ' ἐκείνῳ λέγει, ἐν ᾗ οὐδεμίαν ἑώρα φιλοτιμίαν, τὴν δὲ σωτηρίαν ἐν 'Αχιλλεῖ κεῖσθαι μόνῳ φησίν· τοῦτο γάρ φησιν ἥκομεν αἰτοῦντες ὃ ἐξ ἄλλου λαβεῖν

B= οὐ δυνάμεθα. §. ὅτι διὰ φιλίαν ἠνέσχοντο τῆς παρ' αὐτῷ ξενίας.

B= 228. ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν] εἰς δύο στάσεις διεῖλε τὸν λόγον, ⟨εἰς⟩ τὴν παρορμητικήν, τραγῳδήσας τὰς συμφορὰς ⟨καὶ εἰς⟩ τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συμφέρον ποιήσας τὴν παρόρμησιν, καὶ εἰς τὴν ἀλλοιωτικήν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ 'Αγαμέμνονος τὴν στρατιὰν ἔλαβεν.

B+ 230. * ἐν δοιῇ] παρὰ τὸ δύο· καὶ "δοάσσατο" τὸ ἓν τῶν δύο ἐξελέξατο.

B– ⟨σαωσέμεν⟩ ἢ ἀπολέσθαι νῆας] τὸ πρῶτον κεφάλαιον τὸν κίνδυνον τῶν νεῶν περιέχει, ὃ καὶ τῷ 'Αχιλλεῖ ἐλογίζετο πᾶν δέος· ὅθεν καὶ πολλάκις ἐπὶ τοῦτο καταφέρεται "ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο" (232)· "ἀλλ' ἐν νηυσὶ—πεσε⟨έ⟩σθαι" (235)· "στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα" (241). §. τεχνικῶς ἐξαίρει, δεικνὺς

B= ὡς ἐπὶ τηλικούτοις τὴν χάριν τίσουσιν Ἕλληνες.

B– 231. εἰ μὴ σύ γε δύσεαι ἀλκήν] ὡς νῦν ἐκδεδυμένου αὐτὴν δυσωπεῖ· "θόρε, φρεσὶν εἱμένος ἀλκήν" (Il. 20. 381)· τὴν δὲ πάντων σωτηρίαν εἰς αὐτὸν ἀνάγει, ἣν ἂν μᾶλλον ἁπάντων ὁ φιλότιμος ἔλοιτο.

B= 232. *ἐγγὺς γὰρ νηῶν] ἔνθεν ἡ διήγησις. τῷ δὲ τόπῳ τὸν κίνδυνον ηὔ-

B– ξησεν. §. ὃ περιέμενεν 'Αχιλλεύς, "τοὺς δὲ κατὰ πρύμνας" (Il. 1. 409).

αὖλιν ἔθεντο] ὡς ἐπὶ ἀγρίων, ἴσως ὑποφαίνων ὅτι ὁ ποιμὴν Πάρις ἀριστεύει. §. δι' ὧν δὲ οἱ ἱκέται μείζονα τὴν χρείαν ποιοῦνται,

B= τὴν προθυμίαν αὔξουσι τῶν ἐπικούρων.

1. ὀδυσσῆος δεύει ‖ 2. τὸ σ̄ Lehrs: δαιτός ‖ 7. ἦ μὲν ‖ 14, 15. supplevi ex B ‖ 17. στρατείαν B ‖ 18. δοάσσατο B: δοιάσατο ‖ 21. ἑλ. πᾶν δέος turbata ‖ 28. ἣν ἂν W: ἵνα ‖ ἵνα πεισθῆναι ὡς φιλ. B

233. τηλέκλειτοι] ὀνειδίζει ὅτι καὶ ἀδικοῦσιν αὐτοῖς παραμένουσιν B=
οἱ σύμμαχοι, ὁ δὲ Ἀχιλ⟨λ⟩εὺς τῆς Ἑλλήνων συμμαχίας ἀπέστη,
καὶ διὰ λόγους μόνον.

236. Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα] θεραπεύων τὸν B=
Ἀχιλλέα φησίν, ὅτι μηνίσαντος αὐτοῦ καὶ τὸ θεῖον τοῖς ὑβρίσασιν
αὐτὸν συνωργίσθη. §. τὸ δὲ "σφί" δίχα τοῦ ν̄.

237. Ἕκτωρ δὲ μέγα] ὀνομάζων αὐτὸν κινεῖ τὸν Ἀχιλλέα. τὸ δὲ B=
"μαίνεται" καὶ "λύσσα" δηλοῖ εὐχερῶς κρατηθήσεσθαι τὸν
ἀπροαιρέτως κινδυνεύοντα.

βλεμεαίνων] βρέμω βρεμαίνω βλεμαίνω, ὡς κρίβανος κλίβανος.

238. *πίσυνος Διί] αὐτὸς γάρ φησι "γιγνώσκω δ' ὅτι μοι
Κρονίδης Ζεὺς κῦδος" (Il. 8. 175 et 141).

239. *ἀνέρας, οὐδὲ θεούς] βραχὺ διασταλτέον εἰς τὸ "ἀνέρας," A–
ἵνα μείζων ἔμφασις γένηται.

λύσσα δέδυκεν] τὸ ἐναντίον· αὐτὸς γὰρ αὐτὴν ἐνδέδυται. πολλὴ AB=
δὲ ἡ τοῦ θράσους ἔμφασις, ἐρεθισμός τε ἱκανὸς ὁ τῶν ἐχθρῶν ἔπαινος.
§. "λύσσα" δὲ παρὰ τὸ λύειν τὸν νοῦν. A=

241. ⟨ἀποκόψειν⟩ ἄκρα κόρυμβα] οὐκ ἀγαπᾶν αὐτόν φησιν, εἰ B=
μόνον ἐμπρήσειε τὰς ναῦς, ἀλλὰ καὶ τὰ κόρυμβα ἀποκόψαι θέλειν,
ὥσπερ τρόπαιον τῆς κατὰ τῶν Ἑλλήνων νίκης ἀναθεῖναι θέλοντα.
§. ἵνα γοῦν καὶ αὐχῇ ὡς ⟨ἐκ⟩ τηλικούτων ῥυσάμενος καὶ τὸν πολέ- A~
μ⟨ι⟩ον μεγάλης ἐλπίδος ἀποκόψῃ· καὶ ἄλλως δὲ τὰ ἄκρα ἀποκόπτει
Ἕκτωρ διὰ τὸ ἔχειν θεοὺς ἐντετυπωμένους, ὅπως μὴ κατακαέντες
ὑπὸ τοῦ πυρὸς ὀργισθῶσιν αὐτῷ.

243. *ὁρινομένους] δίκην σφηκῶν.

245. *"ἡμῖν δέ·" ἀπὸ κοινοῦ τὸ "δέδοικα" καὶ τὸ "μή."

247. καὶ ὀψέ περ] καλῶς τὸ "ὀψέ." εἰ γὰρ καὶ δύο γεγόνασιν B=
αἱ ἡμέραι τῆς μάχης, ἀλλ' οὖν γε τοῖς κεκακωμένοις ὁ τῆς δυστυχίας
χρόνος, κἂν ἐπ' ὀλίγον γένηται, πολὺς εἶναι δοκεῖ. καὶ τοῦ χρόνου ἡ
αὔξησις ἔνδειξίς ἐστιν ὡς ἱκανῶς πο⟨ι⟩νηθέντων Ἑλλήνων. τάχα δὲ
καὶ τοιοῦτός ἐστιν ὁ λόγος· εἰ μέλλεις ὀψὲ ἀμύνειν, νῦν ἄμυνον. συν-
άδει καὶ τὸ ἑξῆς, ὅτι νῦν μὴ ἐπαμύνας οὐχ εὑρήσεις τοῦ κακοῦ ἴασιν.

249, 50. οὐδέ τι μῆχος ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν] οὐδε- A B=

1. τηλέκλητοι ‖ 3. λόγων μόνων B, λόγων μόνον ‖ 10. κλίβανος scripsi : κλίμανος ‖ 21. τηλικοῦτον : suppl. et corr. W ‖ 26. πως post μή omisi ‖ 27. εἰ B : καὶ ‖ 29. χρόνον post ὀλ. omisi ut B ‖ 30. supplevi cf. B

μία ἐστὶ μηχανὴ τοῦ κακοῦ ῥεχθέντος θεραπείαν εὑρεῖν. πρὸς τὸ παρὸν δὲ ἡ γνώμη· τινὰ γὰρ τῶν κακῶν ἰάσεως τυγχάνει.

251. * Δαναοῖσιν] οὐκ Ἀγαμέμνονι· τοῦτο γὰρ κατακρύπτει.

B= πατὴρ ἐπετέλλετο Πηλεύς] τοῦτο δεύτερον κεφάλαιον, εἰς ἐπιείκειαν καὶ πραότητα προκαλούμενον. τὸ δὲ στασιαστικὸν θέλων ὀνειδίζειν οὔτε τοῖς ῥήμασιν ἀνακεκαλυ⟨μ⟩μένως χρῆται οὔτε ἐξ ἰδίου προσώπου τὴν ἐπιτίμησιν ποιεῖ, ἀλλ' ἐν ἠθοποιίᾳ ἐξ ἀπόντων προσώπων ταύτην εἰσήγαγεν. ἔστιν οὖν ἀνεπαχθὴς ὡς οὐκ ἰδίας ὑποθήκας εἰσάγων, ἀλλ' ὑπομιμνήσκων τοῦ πατρός. καὶ ὁ Νέστωρ ὁμοίως πρὸς Πάτροκλον (Π. 11. 785).

B= 253. ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν] ὡσανεὶ δευτέρῳ πατρί. ἐντέχνως οὖν οὐκ εἶπε 'σὺν Ἀγαμέμνονι.'

*Ἀγαμέμνονι πέμπεν] ἔνδοξόν τι, καὶ πρὸς πειθὼ δὲ ἐπιτήδειον τοῦτο.

B= 254. τέκνον ἐμόν] συνετῶν τὸ τὰς φύσεις τῶν υἱῶν καταμαθόντας πρὸς ταύτας ἁρμόττεσθαι τοὺς λόγους, ὡς καὶ ὁ Πηλεὺς εἰδὼς Ἀχιλλέα ἀνδρεῖον μέν, ὀργίλον δὲ καὶ πλήρη φιλοτιμίας παραινεῖ αὐτῷ ἀποθέσθαι τοῦ ἤθους τὸ φιλόνεικον, ὡς ἐκ τούτου μάλιστα τιμῆς τευξόμενον ἧς ὀρεγόμενον ἑώρα τὸν Ἀχιλλέα· ἔστι δὲ πιστὸς ὡς πατὴρ καὶ ἐν πολέμοις πολλάκις εὐδοκιμήσας.

AB= 255. * δώσουσ', αἴ κ' ἐθέλωσι] καλῶς τὸ "ἐθέλωσι" ὡς οὐ δωσόντων, εἰ ἀνάξιος ὅλος ὀφθείη τῆς δωρεᾶς.

257. * λιγέμεναι] διδασκαλία καὶ ἡμῖν, κρατεῖν ὀργῆς.

B= ἔριδος κακομηχάνου] πρὸς τὴν ἀγαθὴν διέστειλεν. §. ἐπείπερ οἱ

B= ἐρίζοντες κακὰ τοῖς πλησίον μηχανῶνται. δείκνυσι δέ, ὅτι οὐ τοσοῦτον ὀνίνησιν ἰσχύς, ὅσον ἡ πρὸς τοὺς φίλους ἔρις βλάπτει.

B= 258. ὄφρα σε—τίωσι—ἠμὲν νέοι ἠδὲ γέροντες] εἰ μὴ ὑποθήκη πατρὸς ἐδόκει τὸ πρασσόμενον, κἂν ἠρέθισεν Ἀχιλλέα ὑποσημαίνων ὡς ἀσχημονεῖ νῦν καὶ παρὰ νέοις καὶ παρὰ γέρουσιν.

B= 259. σὺ δὲ λήθεαι] πράως καθήψατο, οὐκ ἀμελεῖν αὐτὸν φήσας ἀλλ' ἐπιλελῆσθαι. ὄνομα οὖν ἐξελέξατο συγγνώμης ἀξιούμενον.

B= ἀλλ' ἔτι καὶ νῦν παύεο] καλῶς "νῦν," ἵνα δηλώσῃ τὸν ἱκέτην· ἅμα δὲ καὶ ὑποφαίνει, ὡς οὗτος αὐτῷ ὑποτάττεται ᾧ ὁ πατὴρ αὐτὸν ὑπέταξεν· μετὰ δὲ τὸ τοὺς τοῦ πατρὸς λόγους πεπᾶναι αὐτὸν προφέρει τὰ δῶρα· αἰσχροκερδὲς γὰρ ⟨ἂν⟩ ἦν τὸ ἀπ' ἀρχῆς.

6. ὀ. οὔτε B: οὐδὲ ‖ 13. δὲ scripsi: γὰρ ‖ 27. τὸ λεγόμενον B ‖ 30. ἄξιον B ‖ 31. παῦε ‖ 33. πεπάνας sine τὸ B, πεπτᾶναι ‖ προσφέρει ut B

262. εἰ δέ, σὺ μέν μευ ἄκουσον] ἀντὶ τοῦ ἄγε δή· δυσχεραίνοντος δὲ αὐτοῦ πρὸς τοὔνομα τῶν δώρων δεῖται ἀκουσθῆναι. ἢ τάχα ἔμφασίς ἐστι τοῦ πλήθους τῶν δοθησομένων. B=

263. * ὑπέσχετο δῶρα] τρίτον κεφάλαιον τὸ περὶ τῶν δώρων. B=

265. * αἴθωνας δὲ λέβητας] διαιρεῖ τῶν ἀναθεματιαίων ἐμπυριβήτας καὶ αἴθωνας αὐτοὺς καλῶν.

300. εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο] τέταρτον κεφάλαιον δεητικὸν ὑπὲρ τῶν Ἑλλήνων. ὑποφορᾷ δὲ χρῆται, προλαμβάνων αὐτοῦ τὴν ἀντίρ⟨ρ⟩ησιν καὶ τῇ Ἀγαμέμνονος ἔχθρᾳ ἀντιτιθεὶς τὸν ἁπάντων ἔλεον καὶ μόνον οὐχὶ πᾶσαν ἱκετεύουσαν παράγων Ἑλλάδα. ἐπὶ τὴν δευτέραν δὲ μεταβέβηκε στάσιν καὶ πανταχόθεν πείθει ὑποσχέσει, δεήσει, ὠφελίμῳ, ἐλέῳ. B=

κηρόθι μᾶλλον] εἰς δύο δὲ μερίζει τὴν ἱκετείαν, Ἀγαμέμνονα καὶ Ἕλληνας. B=

302. ἐλέαιρε κατὰ στρατόν] τὸ "⟨κατὰ⟩ στρατόν" δύναται πρὸς ἄμφω εἶναι. §. αὔξων τὴν εὔκλειαν δείκνυσιν, ὡς πρὸς αὐτούς ἐστιν ἡ πρᾶξις. A+

303. ἦ γάρ κε σφι—μέγα κῦδος ἄροιο] ὡς "πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος" (Il. 4. 95) ἀντὶ τοῦ παρὰ πάντων ἢ ἐκ πάντων.

304. νῦν γάρ ⟨χ'⟩ Ἕκτορ' ἕλοις] τρία ποιεῖ, τῷ μὲν καλῷ τῆς ἐπικουρίας τὸ φιλότιμον συνάπτει, ἀντὶ δὲ τῆς κατὰ τοῦ ἀδικήσαντος ὀργῆς τὴν τῶν ἀτυχούντων ἱκετείαν οἰκτίζεται, τὸ δὲ ἀνθέλκον τοῦ θυμοῦ ἐπιρ⟨ρ⟩επὲς ποιεῖ φθόνῳ τῶν περὶ τοὺς ἐχθροὺς εὐτυχημάτων. §. καλῶς δὲ εἶπε "νῦν," ὡς πρώην αὐτοῦ πτήσσοντος ἐν τῷ τείχει· ὥστε μὴ ἀπολέσῃς τὸν καιρόν, ἐν ᾧ μεγάλα δυνήσῃ ἐπιδείξασθαι κατὰ τῶν πολεμίων. B=

305. * οὔτινα] οὐδὲ σέ. ἐρεθιστικὰ δὲ ταῦτα.

307, 9. τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς —χρὴ μέν] τὸν Ἀχιλλέα παραδίδωσι φιλότιμον, ἁπλοῦν φιλαλήθη, βαρύθυμον, εἴρωνα. καὶ ὅσα μὲν φθέγγεται συνετά, ταῦτα αὐτῷ ἡ παιδεία δέδωκεν, ὅσα δὲ αὐθάδη καὶ μεγαλόφρονα, ταῦτα ὑπὸ τῆς φύσεως λέγειν προάγεται. B=

309. χρὴ μὲν δὴ τὸν μῦθον] γυμνός ⟨ἐστιν ὑπὸ τῆς⟩ ὀργῆς καὶ περιπλοκὰς οὐκ οἶδε λόγων. ἔδει γὰρ δικαιολογεῖσθαι, εἶθ' οὕτω τὴν B=

5. τὸν ἀναθεματιαῖον cf. B² ‖ 9. τὸν B: τῶν ‖ 15. supplevi ex A ‖ 29. φιλαλήθη B: φιλαλήθην ‖ 33. supplevi ex B

ἀπόφασιν ἐπαγαγεῖν. ὃ δὲ τοὐναντίον φησίν· ἔστι γὰρ θυμὸς μεστὸς ἀκοσμήτου παρρησίας. τοσοῦτον δὲ ἀπέχει πειθοῦς, ὅτι καὶ τῶν ἄλλων προαναστέλλει τοὺς λόγους "ὡς μή μοι τρύζητε παρήμενοι" (311). πάντες δὲ οἱ περίθυμον ἀπειλοῦντες πίστιν ἐπάγουσι τοῖς ἰδίοις λόγοις, οἱ μὲν λόγῳ, οἱ δὲ δι' ἀποδείξεων, οἱ δὲ διὰ γνωμῶν, ὃ νῦν ποιεῖ.

* τὸν μῦθον] τὸν ἀντικείμενον τοῖς ῥηθεῖσιν.

A+B— ἀπηλεγέως] ἀπαγορευτικῶς διαρρήδην, ἢ συντόμως ἀπὸ τοῦ λῆξαι, ὅ ἐστιν εἰπόντα παύσασθαι—φιλοσύντομος γὰρ ὁ θυμός—ἢ ἀσυμπαθῶς καὶ ἀπηλγημένως παρὰ τὸ ἀλέγειν. οἱ γὰρ λυπεῖν ἐθέλοντες τὰς χρηστὰς ἐκκόπτουσιν ἐλπίδας. ὅρα ⟨δὲ⟩ ὡς πρὸς μὲν Ὀδυσσέα (360) ἀπιέναι φησίν, πρὸς Φοίνικα δὲ (619) μενεῖν, μὴ μέντοι πολεμήσειν, πρὸς Αἴαντα δὲ (650) πολεμήσειν, ἀλλ' ὅταν ἀνάγκη καλῇ. τοῦτο δὲ θυμώδους ἀνδρὸς καὶ πρὸς τὸ μὴ καταφρονηθῆναι ἀγωνιζομένου.

A= 310. ἦ περ δὴ κρανέω τε] αἱ Ἀριστάρχου "φρονέω." §. τὸ δὲ "κρανέω" ἀντὶ τοῦ τελειώσω πληρώσω· ὁ δὲ "ἦ" ἀντὶ τοῦ ὡς.

B— 311. ὡς μή μοι τρύζητε] αὐθαδῶς ἐπισκώπτει τὴν ἐπιτέχνησιν τῶν λόγων Ὀδυσσέως, καὶ Φοίνικα προανακόπτει, ὃν ὑποπτεύει παρακεκλῆσθαι ὑπὸ τοῦ Ἀγαμέμνονος. τινὲς δὲ διὰ τὸ "καί μ' ἠτιάασθε ἕκαστος" (Il. 16. 202).

B— τρύζητε] παρὰ τὸ τρυγών ἐστιν· ἢ τρύχητε τὴν ἀκοήν, ἢ τονθορύζητε.

312. ἐχθρὸς γάρ μοι κεῖνος—ὅς ⟨χ'⟩ ἕτερον μὲν κεύθῃ] πρὸς τὴν ἀλλοιωτικὴν στάσιν Ὀδυσσέως· τὸ δὲ "ἄλλο" ἐπὶ τῶν ἑτερογενῶν, "ὄρνεον ἄλλο" (Il. 13. 64), "φάρμακον ἄλλο" (Od. 10. 392)· κακῶς οὖν ἔχει νῦν. §. ἀντὶ τοῦ ἕτερον τὸ "ἄλλο δὲ εἴπῃ."

AB= ὁμῶς Ἀΐδαο πύλῃσιν] πλέον πάντων Ἀχιλλεὺς μισεῖ τὸν θάνατον διὰ τὸ ἄπρακτον. τάχα δὲ καὶ ἄλλως χρήσιμόν ἐστι τὸ διαβάλλειν τὸν θάνατον, ἐπεὶ πῶς ἄν τις τοὺς γονέας ⟨σέβοι τοὺς τὸ ζῆν⟩ αὐτῷ παρασχομένους, εἰ μὴ τὸ ζῆν ἀγαθόν ἐστι καὶ κακὸν ἐκ τῶν ἐναντίων ὁ θάνατος.

B= 314, 5, 6. αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα· οὔτ' ἐμέ γ' Ἀτρεΐδην—πεισέμεν οἴω οὔτ' ἄλλους Δαναούς] τὸ καλὸν καὶ ἐλεεινὸν τῶν λόγων Ὀδυσσέως ἐξέκοψεν· καὶ τὸ μὲν κεφάλαιον τῆς

4. παρὰ θυμὸν ut B, cf. l. 13 ‖ 7. λῆξαι B: παῦσαι ‖ 10. supplevi ex B ‖ 11. φησίν B: φασίν ‖ μένειν ut B ‖ 14. ἦπερ ‖ 20. τθορύζετε pr., rasura supra τ adparente: suppl. sec., quae in margine praeterea add. καὶ ὁ Λουκιανός· "τί δῆτα τονθορύζετε, ὦ θεοί" (Deor. conc. 1) ‖ 22. κεύθει ‖ 25. εἶπεν sec. ‖ 28. supplevi ex AB ‖ 29. κακὸν B: κακῶν ‖ 31, 32. ἔμ' ἀτρείδης

ἀντιρρήσεώς ἐστι τὸ μὴ πεισθήσεσθαι τοῖς λεγομένοις· ἀλλ' ἐπεὶ τὸ ἀτιμασθὲν ἀπλήρωτον πρὸς ἀγανάκτησιν, ἀνθέλκεται πρὸς μῆκος λόγων.

316. οὔτ' ἄλλους Δαναούς] πρὸς τὸ "εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο—σὺ δ' ἄλλους" (300, 1)· ἀνέτρεψεν οὖν καὶ ταύτην τὴν στάσιν. τάχα δὲ καὶ βουλόμενος εἰπεῖν 'οὐδὲ ὑμεῖς πείσετε οἱ πρέσβεις' εὐπρεπῶς τῷ κοινῷ ὀνόματι τῶν Ἑλλήνων αὐτοὺς περιέλαβεν. καλῶς δὲ οὔ φησιν 'οὐκ ἐλεῶ αὐτούς,' ἀλλ' 'οὐ πείσουσί με.' B=

ἐπεὶ ⟨οὐκ⟩ ἄρα τις χάρις ἦεν] πρὸς τὸ "οἵ ⟨κε⟩ σε—θεὸν ὣς τι⟨μή⟩σουσιν" (297). "χάρις" οὖν ἡδονή.

318. *ἴση μοῖρα] παρ' ὑμῖν δηλονότι.

ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι] τοῦτο μάλιστα τοὺς χρηστοὺς λυπεῖ, ὅταν μὴ κατ' ἀξίαν τιμῶνται. §. ἔφυγε δὲ τὸ ὁμοειδές· οὐ γὰρ εἶπε 'πολεμίζοντι.' B=

319. ἐν δὲ ἰῇ τιμῇ] ἀλλάξας τὸ ὄνομα τὸ αὐτὸ εἶπεν.

320. κάθαν' ὁμῶς] ὅρον οὐκ ἔχει κατηγορίας θυμός. τοῦτο δὲ πρὸς τὸ "τύμβον δ' ἀμφὶ πυρήν" (Il. 7. 336)· οὐ γὰρ πρὸς τὰς πράξεις ὁ τάφος. B=

321. οὐδέ τι μοι περίκειται] περισσὸν τῶν ἄλλων ἀπόκειται. A+B=

ἐπεὶ πάθον ἄλγεα] διὰ μὲν τοῦ "πάθον ἄλγεα" τὸ ἐπίπονον ἑαυτοῦ παρίστησι, διὰ δὲ τῆς μάστακος τὸ κηδεμονικόν, διὰ δὲ τοῦ ἀγρυπνεῖν καὶ νύκτας οὐκ ὀλίγας τὴν πρόνοιαν καὶ ἐπιμέλειαν, διὰ δὲ τοῦ τὰ ποριζόμενα ἐκ τῆς μάχης ἐπὶ τὸν βασιλέα ἅπαντα ἀναφέρειν τὸ ἐλεύθερον τῆς ψυχῆς, διὰ δὲ τῶν πόλεων ὧν ἐχειρώσατο τὸ ἀνδρεῖον ἑαυτοῦ φησιν. B=

323. ὡς δ' ὄρνις ἀπτῆσι] εἰς τὸ ἐπιδεικτικὸν ἐρχόμενος διὰ τῆς κηδεμονίας αὔξει τὴν ῥώμην, τοσοῦτον προὔχειν φάσκων Ἑλλήνων ὅσον μήτηρ νεοσσῶν. εὖ δὲ τὸ μηδὲν τῶν τετραπόδων λαβεῖν εἰς τέκνων φιλοστοργίαν· ταῦτα γὰρ τρέφοντα τῷ γάλακτι οὐδὲν ἧττον ὠφελεῖται τῶν τρεφομένων—εἰ γὰρ μὴ ἀμελχθείη, καὶ ἀνιᾶται· "οὔθατα γὰρ σφαραγεῦντο" (Od. 9. 440)—ἡ δὲ ὄρνις τὴν ἑαυτῆς τροφὴν εἰς τοὺς νεοσσοὺς ἀναλίσκει. ὅθεν καὶ πιθανῶς ἐπήνεγκε τὸ "κακῶς δέ τε οἱ πέλει αὐτῇ" (324). εὖ δὲ καὶ τὸ "ἀπτῆσιν·" οἱ γὰρ πετόμενοι, κἂν ὀλίγον, προσπορίζονται. καὶ διὰ τὸ περιιέναι καὶ λῃζόμενος πάντα φέρειν ⟨ὄρνει ἑαυτὸν παραβάλλει⟩. B−

προφέρῃσι] ὡς τὸ "οἳ δὲ προπεσόντες ἔρεσσον" (Od. 12. 194).

3. ἄ. ἀχαιούς ut textus ‖ 5. οὔτε ‖ 12. δὲ scripsi: γὰρ ‖ 18. οὐδ' ἔτι ‖ περισσῶς κεῖται A ‖ 28. τέκνου ut B ‖ 34. ληιζόμενον: corr. W ‖ suppl W

A+ 324. *μάστακα] Νίκανδρος τὴν ἀκρίδα (Ther. 802). ὁμωνύμως τῷ στόματι, ὡς καὶ χεῖλος.

κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ] ἵνα ἡ εὐεργεσία μὴ ἐξ ἀκινδύνου περιουσίας προσεῖναι δοκῇ.

A+ 325. *ἴαυον] ἐμονομάχουν· παρὰ τὴν ἴαν.

B= 326. ἤματα δ' αἱματόεντα ⟨διέπρησσον πολεμίζων⟩] διὰ φόνων ἦν ὁ βίος, οὐ δι' ἐμὴ ἡδονήν—"οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἦλ⟨υ⟩θον" (Il. 1. 152)—ἀλλὰ διὰ τὸ γύναιον Μενελάου. τοῦτο γὰρ δηλοῖ "ὀάρων ἕνεκα σφετεράων" (327). ἢ τολμηρῶς πολεμῶν πρὸς ἄνδρας ὑπὲρ παίδων καὶ γυναίων ῥιψοκινδύνως ἀγωνιζομένους.

327. ὀάρων ἕνεκα] γράφεται καὶ "ὠρέων." §. "ἀόρων" μὲν σὺν ἄορσιν, ὅ ἐστι τῶν γυναικῶν τῶν αἰχμαλωτίδων, παρὰ τὸ ἄορ, ὅ ἐστι ξίφος, ὅτι διὰ πολέμου καὶ αἰχμῆς καὶ φασγάνου ἐλήζοντο. "ὠρέων" δὲ τῶν συμβίων παρὰ τὸ ξυνωρεῖν, ὅθεν καὶ ξυνωρίδας τὰς συζυγίας τῶν ἵππων φαμέν.

B= 328. δώδεκα δὴ σὺν νηυσί] ἐντέχνως τὰς πράξεις ἐπάγει, πίστιν τοῖς προειρημένοις ⟨φέρων⟩· εὖ δὲ καὶ τὸ μὴ κατ' ἄνδρα τὰ πραχθέντα φράζειν, ἀλλὰ κατὰ πόλεις καὶ ταύτας ἀθρόας· ἅμα δὲ καὶ συμπληροῖ τὴν ὑπόθεσιν. Σηστὸν δὲ καὶ Ἄβυδον οὐ πορθεῖ ὡς ἠσφαλισμένας· λαφύρων γὰρ ἔδει, οὐ κατορθωμάτων.

329. *ἕνδεκα] ὡς ἐν ἀμφισβητησίμῳ διορίζεται.

B= 332. ὃ δ' ὄπισθε μένων] ἐμοῦ ἀποδημοῦντος· τὴν δειλίαν δὲ Ἀγαμέμνονος ἐμφαίνει τὸ "ὄπισθε."

B= 333. δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν] ἀμφοτέρωθεν ηὔξηται ἡ ἀχαριστία τοῦ βασιλέως, ὅτι τοιαῦτα καὶ τοσαῦτα λαβὼν καὶ βραχὺ δοὺς γέρας τῷ κομίσαντι καὶ τοῦτο ὕστερον ἀφῄρηται.

B= πολλὰ δ' ἔχεσκεν] τεχνικῶς ἐνδείκνυται, ὅτι καὶ τὰ νῦν αὐτῷ διδόμενα δῶρα μέρος ἐστὶν ὧν Ἀγαμέμνων παρ' αὐτοῦ λαβὼν ἀδίκως ἐσφετερίσατο.

B– 334, 5, 6. ἄλλα δ' ἀριστήεσσι δίδου—καὶ βασιλεῦσιν, τοῖσιν δ' ἔμπεδα κεῖται, ἐμοῦ δ' ἀπὸ μούνου Ἀχαιῶν εἵλετο] ἐπιφθόνως φησὶ 'τοῖς ἄλλοις ἐφύλαξε τὰ γέρα, ἐμοὶ δὲ οὔ, δι' οὓς καὶ αὐτοὶ ἐλάμβανον·' εὐπρεπῶς δὲ οὐκ εἶπεν 'ὑμῖν.' ἄτοπον ⟨δὲ⟩ εἰ πολλὰ

2. χοῖνιξ A, cf. Et. M. s. v. χεῖλος ‖ 6. φόνων B: φόνον ‖ 8. Μενελάου B: Ἀγαμέμνονος ‖ 9. ὁ ἄρων ‖ 11. ὀάρων μὲν ‖ 17. supplevi ex B ‖ 29. λαμβάνων ut B ‖ 33. φησὶ B: ἢ ‖ οὗ W: ὧν

⟨μὲν⟩ ἔχων, μικρὰ δὲ παρέχων οὐδὲ ἐπ' ἴσης τῶν ἄλλων ἐᾷ αὐτῷ τὰ δοθέντα.

335. ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν] καλὰ τὰ μετὰ τὴν καταρίθμησιν τῶν κατορθωμάτων.

336. * ηὔξησε τὴν ὕβριν "ἄλοχον" αὐτὴν εἰπὼν καὶ "θυμαρέα." B= τῇ παριαύων] οὐ συνιαύων, διὰ τὸ βίαιον. φησὶ γοῦν "δμωῇσιν δὲ B= γυναιξὶ παρευνάζεσθε βιαίως" (Od. 22. 37).

337, 8, 9. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσ⟨σ⟩ι—τί δὲ λαὸν ἀνήγα- AB= γεν—Ἀτρείδης; ἢ οὐχ Ἑλένης ἕνεκα] πρακτικὸς ὁ λόγος, δεικνὺς τὸν Ἀγαμέμνονα ἢ ἀσύνετον ἢ ἄδικον. εἰ μὲν γὰρ μικρὸν ἡγεῖται τὸ ἀδικηθῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ Ἑλένης· ἀσύνετος οὖν ἐστι περὶ μικρᾶς αἰτίας πολεμῶν. εἰ δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπὸ ἀλλοφύλων ἀγανακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει; καὶ πρῶτον μὲν ἀπηρίθμηται τὸ ἀχάριστον, εἶτα τὴν ὕβριν.

339. *Ἑλένης] αὐξητικῶς τῇ Διὸς εἴκασε τὴν Βρισηίδα.

340. ἦ μοῦνοι φιλέουσ' ἀλόχους] τὸ τοιοῦτον ἐπιμονὴ λέγεται, B= ὅταν τις ἔχων αἰτίαν ἐπί τινι μὴ φεύγῃ τὸ ἔγκλημα. καὶ Ἀχιλλεὺς οὖν, ἐπεὶ τὴν διαβολὴν εἶχεν ὡς γυναικὸς χάριν ὀργισθείς, οὐ φεύγων τὴν ὁμολογίαν εἰς τὸ ὅτι δικαίως ἐχαλέπηνεν ἔρχεται, καὶ πρῶτον μὲν διέστρεψε δυσαπόκριτα προβαλόμενος—"ἦ μοῦνοι φιλέουσ' ἀλόχους"—εἶτα πανδήμῳ κρίσει τὴν γνώμην ἐπεσφραγίσατο.

341. * ἀγαθὸς καὶ ἐχέφρων] τεχνικῶς τὸ ἄνομον ἰᾶται διὰ τοῦ B= παρὰ τοῖς σπουδαίοις ἰσότιμον εἶναι τῷ γάμῳ.

342. * αὐτοῦ] Πτολεμαῖος δασύνει νομίζων τὸ πλῆρες εἶναι A+ "ἑαυτοῦ," ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ. λείπει οὖν ἡ ἕο, ὡς τὸ "ἕο τ' αὐτοῦ" (Od. 8. 211).

343. * δουρικτήτην] ὡς "ἀμφιρύτῃ" (Od. 1. 50)· "περιξέστη" A+ (Od. 12. 79).

344. νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο] ὁ νῦν πολλὰ ὑπισχνούμενος ⟨καὶ⟩ τὸ βραχὺ ἀφῄρηται. ὥσπερ δὲ σπινθὴρ κεκρυμμένος ὕστερον τὸ πᾶν τῆς ὕλης καταναλώσας ἔκδηλος γίνεται, οὕτως ὁ ἥρως τοὺς ἐπιπλάστους λόγους ἀποσειόμενος διάδηλος γίνεται.

*καί μ' ἀπάτησεν] ἴσως ὑποσχόμενος αὐτὸν ἐντίμως πέμψειν οἴκαδε B= ἠπάτησεν.

1. supplevi ex B ‖ 7. παρευνάζεσθαι ut B ‖ 14. ἀπαριθμεῖται A ‖ 20. διέστρεψε B: διατρέψαι ‖ δυσαπόκριτον προβαλλόμενος B ‖ 23. τὸν γάμον ut B ‖ 26. λείπει A: λέγει ‖ ἡ ἕο ὡς τὸ ἕο τ' A: ἥε οἱ μὴ ἴες ‖ 27. ἀμφιρύτη πέριξ ἔστη ‖ 30. supplevi ex B ‖ 31. οὕτως ὁ ἥρως B: οὕτως ἔρως

345. * τὰ σκυθρωπὰ οὐκ ἐπὶ τὸν Ὀδυσσέα τείνει.

B= 346. ἀλλ' Ὀδυσεῦ] οὔτε γὰρ ἔδει Φοίνικα εἰρωνεύεσθαι ὡς τροφέα, οὔτε Αἴαντα ὡς ἀνδρεῖον, Ὀδυσσέα δὲ ὡς φυγόντα.

B= * καὶ ἄλλοισιν] διὰ τὸ "παρ' ἔμοιγε καὶ ἄλλοι" (Il. 1. 174).

347. * ἀλεξέμεναι] ἀντὶ τοῦ ὅπως ἀλεξήσῃ.

B= 348. ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο] εἰρωνικὸς ὁ λόγος· ὧν γὰρ καταφρονοῦμεν, ταῦτα αὔξομεν. ἔοικε δὲ τὴν βουλὴν Νέστορος εὐτελίζειν.

B– 349. καὶ ἤλασε τάφρον ⟨ἐπ' αὐτῷ⟩] ἐξέτεινεν ἀπὸ τοῦ σιδήρου,

A+ ἢ ὤρυξεν ἀπὸ τοῦ παρεπομένου. §. Ἀρίσταρχος δὲ "καὶ ἤλασεν ἔκτοθι τάφρον."

A+ 350. * εὐρεῖαν, μεγάλην] ὀλίγη διαστολὴ εἰς τὸ "εὐρεῖαν."

ἐν δὲ σκόλοπας] Ἀρίσταρχος "περὶ δὲ σκόλοπας."

352. * ἀλλ' οὐδ' ὡς δύναται σθένος Ἕκτορος—ἴσχειν] οὐχ ὅτι περιγράφειν ἀλλ' ⟨οὐδ'⟩ "ἴσχειν."

B= ὄφρα δ' ἐγὼ—πολέμιζον, οὐκ ἐθέλεσκε μάχην] μείζων τείχους Ἀχιλλεύς, εἴγε τούτῳ μὲν ἐπαυλίζεται Ἕκτωρ, ἐκεῖνον δὲ ἔφευγεν. Ὀδυσσέως δὲ εἰς Δία φέροντος τὴν αἰτίαν τῆς εὐ[η]μερίας τῶν Τρώων Ἀχιλλεὺς ἐπὶ τὴν αὐτοῦ ἀπουσίαν ⟨τρέπει⟩.

B= 353. οὐκ ἐθέλεσκε μάχην] "ἐθέλεσκε" ἐδύνατο· καὶ ἀνάπαλιν "οὔτε τελευτὴν ποιῆσαι δύναται" (Od. 1. 249).

A~ ἀπὸ τείχους] τινὲς 'ἐπάνω τοῦ τείχους,' ὑπερβολῇ. εἰ δὲ σημαίνει τὸ ἄπωθεν, βαρύνεται ὡς τὸ ἄνα ἔπι.

354. καὶ φηγὸν ἵκανεν] δύο εἰσὶ φηγοί· ὑφ' ἣν μὲν ἱερὸν Διός (Il. 7. 60), ὑφ' ἣν δὲ Ἴλου τάφος.

B= 356. νῦν δ' ἐπεὶ οὐκ ἐθέλω] τινὲς εἰρωνικῶς 'οὐ δύναμαι δι' Ἀγαμέμνονα·' "καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἐνὶ—ἔρριγ' ἀντιβολῆσαι" (Il. 7. 113).

B= 357. αὖριον ἱρὰ Διὶ ῥέξας] διδάσκει πρὸ ἁπάσης πράξεως ἡγεμόνας θεοὺς ἐπικαλεῖσθαι. ἵνα δὲ καὶ μὴ λαθραῖον δοκῇ ποιῆσαι τὴν ἀποπομπήν, πρὸς δὲ τὸ "ἀρᾶται δὲ τάχιστα φανήμεναι ἠῶ δῖαν" (240)

B= ἀποκόπτῃ αὐτῶν τὴν ἐλπίδα, ⟨προλέγει⟩. §. τὸ δὲ ἑξῆς, ἐπὴν αὖριον ἱρὰ Διὶ ῥέξας καὶ νηήσας τὰς ναῦς προερύσω, ὄψεαι ἡμᾶς πλέοντας.

B= 359. ὄψεαι, ἣν ἐθέλῃσθα] "ἐθέλῃσθα" δυνηθῇς, ἐὰν ὑμῖν ἐπιτρέψωσιν οἱ πολέμιοι· ἠθικῶς δὲ εἰρωνεύεται.

9, 10. ? ‖ 15. suppl. W ‖ 18. novavit sec. ‖ 19. supplevi ex B ‖ 22. ὑπερβολή ‖ 23. ὑνὰ ἐπεί ‖ 27. Ἀχιλλεὺς ‖ 32. ἀνακόπτει ‖ supplevi ex B

360, 1. ἦρι μάλα—πλεούσας νῆας ἐμάς, ἐν δ' ἄνδρας] πιθανῶς B= προσέθηκε καὶ τοῦτο, ἵνα ἀπελπίσωσι καὶ τὴν παρὰ τῶν Μυρμιδόνων ἐπικουρίαν ὡς συναχθομένων αὐτοῦ τῇ ἀτιμίᾳ.

*ἐρεσσέμεναι μεμαῶτας] τὸ περὶ τὸν ἀπόπλουν πρόθυμον αὐτῶν δηλοῖ. B=

363. ἤματί κεν τριτάτῳ] ἐμπείρως· τοσοῦτος γάρ ἐστιν ὁ ἀπὸ B= Ἑλλησπόντου εἰς τὴν Φθίαν πλοῦς ἀνέμῳ χρωμένοις οὐρίῳ.

*ἤματί κεν τριτάτῳ] πρὸς τὸ "ἐπεὶ μάλα πολλὰ μεταξὺ οὔρεά τε" (Π. 1. 156).

364. ἔστι δέ μοι μάλα πολλά] ἀντίθεσιν ποιεῖται τῶν δώρων A B= Ἀγαμέμνονος, ὅτι μοι οὐ χρεία αὐτῶν ἔχοντι πολλά, τοῦτο μὲν τὰ τοῦ Πηλέως, τοῦτο δὲ ἅπερ ἐκ τῶν Τρωικῶν λαφύρων ἐδεξάμην.

ἐνθάδε ἔρρων] τοῦτό φησι δυσαρεστῶν τῇ στρατείᾳ. A+ B=

365. ἄλλον δ' ἐνθένδε χρυσόν] πρὸς τὸ "νῆα ἅλις χρυσοῦ καὶ B= χαλκοῦ νηησάσθω" (279). §. "πολιὸν" δὲ "σίδηρον" (366) ἢ ἔν- B= τιμον διὰ τὰς γεωργίας, ἢ πολιτικὸν διὰ τὰ ὅπλα, ἢ μέλανα κατὰ ἀντίφρασιν.

366. *γυναῖκας] πρὸς τὸ "Τρωιάδας ⟨δὲ⟩ γυναῖκας εἰκοσιν B= αὐτὸς ἑλέσθω" (281).

367. ἄσ⟨σ'⟩ ἔλαχόν γε] "ἔλαχον" ὁμοίως τῷ ψιλῷ πλήθει. λέγει B= γοῦν "τῶν δ' ἄλλων ἅ μοι ἐστί" (Π. 1. 300)· ταῦτα γὰρ οὐκ εἰλήφει παρ' Ἀγαμέμνονος· τὸ γὰρ γέρας ἐξαίρετον καὶ τοῦ διδόν ος ἦν. διὰ τοῦτο γοῦν κἀκεῖνος, ὡς ἐξὸν ᾧ δέδωκε λαβεῖν, ἀφαιρεῖται. §. γράφεται δὲ καὶ "ἄσσα λέλο⟨γ⟩χα." A=

γέρας δέ μοι, ὥσπερ ἔδωκεν] πάλιν τὸ κνμάζον πάθος εἵλκυσεν B= αὐτοῦ τὴν μνήμην ἐπὶ τὸν Ἀγαμέμνονα. δεινοποιῶν δὲ τὴν ὕβριν Ἀγαμέμνονός φησιν "ὥσπερ ἔδωκεν," ἐκεῖ δὲ ἐπανιστὰς τὸ πλῆθος "δόσαν δέ μοι ⟨υἷες Ἀχαιῶν⟩" (Π. 1. 162) φησίν.

368. *ἐφυβρίζων] "ἐνυβρίζων," διχῶς. A=

369. Ἀτρείδης· τῷ πάντ' ἀγορευέμεν] πιθανῶς, ἵνα μὴ τὸν Ἀγα- B= μέμνονα εὐφράνωσιν ἀφελόντες τι τῶν τραχύτερον εἰρημένων, αὐτὸν δὲ ταπεινὸν ἀποφήνωσι πρᾴότερον τῆς ἀπειλῆς ἀποπρεσβεύσαντες. ἔστι δὲ καὶ χαρακτηριστικὸν τῶν ὀργιζομένων τὸ ἀξιοῦν αὐτὰς τὰς φωνὰς τοῖς ἐχθροῖς διακομίζειν καὶ τὸ ἐπὶ πολλῶν ταύτα⟨ς⟩ λέγειν· οὐ γὰρ μόνον τὸ κακόν τι τὸν ἐχθρὸν εἰπεῖν τοῖς ὀργιζομένοις ἡδύ, ἀλλὰ

3. αὐτῶν B ‖ 6. χρωμένοις B: χρωμένων ‖ 11. ἐδεξάμην Horneius: ἐδέξατο ut AB ‖ 15. γεωργίας B: γεωσσίας ‖ 22. ἔδωκε B ‖ 30. ἀφελῶντες ‖ τῶν τατραχύτερον

καὶ τὸ παρόντων πολλῶν μαρτύρων. ἴσως δὲ καὶ τῆς παρὰ τοῖς Ἕλλησιν αἰτίας ἀπολυθῆναι θέλει, ἵνα μὴ αὐτῷ δυσχεραίνωσι τὴν συμμαχίαν ἐγκαταλιπόντι, ἀλλὰ τῷ τὸν ἄριστον τῶν Δαναῶν ἀτιμάσαντι. ἅμα δὲ καὶ ὡς δίκαια λέγων ἐπὶ πλειόνων αὐτὰ βούλεται ἐξετάζεσθαι.

B= 371. εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν] εἴγε οἴεται περὶ ἐμοῦ λέγων ἀπατήσειν τοὺς Ἀχαιούς· ἐμὲ γὰρ οὐ πείθειν, ἀλλ' οὐδὲ ὁρᾶν (373) διὰ τὴν συνείδησιν τῶν μεγίστων ἀδικημάτων ἐκεῖνος δυνήσεται.

A+B= 372. * οὐδ' ἂν ἔμοιγε] τοῦτο καθ' αὑτόν, ἵν' ᾖ κομματικὴ ἡ ἀπαγγελία τὸν θυμούμενον δηλοῦσα.

AB= 374. οὐδέ τι οἱ βουλὰς συμφράσσομαι] ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶττον διακοπτόμενοι· ἐν γοῦν τέσσαρσι στίχοις ὀκτώ εἰσιν αὐτοτελεῖς στιγμαί· ἀπὸ τοῦ γὰρ "ἐκ γὰρ δή με" ἕως τοῦ "αἴσῃ."

B= §. τὸ δὲ ἑξῆς, οὐ συμφράσσομαι αὐτῷ οὐδ' ἀπατήσει με, οὐδὲ εἴ μοι δεκάκις τόσα δοίη. ἐντεῦθεν δὲ δῆλον, ὅτι οὐ μόνον τὰ πολεμικὰ ἤσκητο Ἀχιλλεύς, ἀλλὰ καὶ βουλεύειν ἄριστος ἦν· καὶ γοῦν καὶ διδάσκαλον ἔπεμψεν αὐτῷ ὁ πατήρ "μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων" (443).

375. * ἀπάτησε] τὴν φιλίαν στρέψας εἰς ἔχθραν.

AB= 376. ἐξαπάφοιτο] ἀπὸ τῶν ταῖς ἀφαῖς φιλοφρονουμένων. εὐηθείας γάρ ἐστι τὸ ἅπαξ ἀπατηθῆναι ὑπὸ φίλου, τὸ δὲ δὶς μωρίας. ὅρα δέ, ὡς ἐπιμένει πάλιν τῇ ἀφαιρέσει.

B= 377. ἐρρέτω] ἱκανὴν οἴεται τιμωρίαν παρὰ τοῦ ἐχθροῦ λαμβάνειν τὸ ἀπαλλάσσεσθαι τῆς φιλίας αὐτοῦ, ὡς εἰώθαμεν λέγειν 'ἑαυτὸν ἐχέτω.'

B= 378. ἐχθρὰ δέ μοι τοῦ δῶρα] πρὸς τὸ δεύτερον κεφάλαιον, τὴν τοῦ Πηλέως ⟨παραίνεσιν⟩, οὐδὲν ἀντειπεῖν ἔχων παρῆλθεν αὐτό.

A+B– τίω δέ μιν ἐν καρὸς αἴσῃ] ὅμοιόν ἐστι τῷ "ἴσον γάρ σφι— ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3. 454)· οἱ δὲ ἔγκαρα τὸν φθεῖρα, οἱ δὲ ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής· ἢ ὅτι Ἀθηναῖοι τὸν ἐγκέφαλον οὔτε ἤσθιον οὔτε ὠνόμαζον· "ἔγκαρος" οὖν τοῦ ἐγκεφάλου.

B= 379. οὐδ' εἴ μοι δεκάκις τε] πλείσταις ὑπερβολαῖς λόγων

8. ἐκείνων: corr. W ‖ 13. διακοπτόμενοι B: δὲ κοπτόμενοι ‖ τέτρασι ‖ 15. ἂν ut B ‖ 18. ῥητῆρα ‖ 28. supplevi ex B

εἰώθασιν οἱ ὀργιζόμενοι χρῆσθαι. ἵνα δὲ μὴ ὑπόνοιαν δῷ ὡς πλειόνων ὀρεγόμενος, ἢ ὅτι δώροις αὐτὸν πείσουσιν, ἀπεριορίστῳ ἀριθμῷ δώρων ἐχρήσατο καὶ οὐδὲ οὕτω πεισθήσεσθαι ἐπαγγέλλεται.

381. Ὀρχομενόν] τὸν τῆς Βοιωτίας φησίν, ὃν Μινύαι κατῴκησαν· Β–
πολὺ γὰρ τούτῳ παράκειται πεδίον, εἰ πιστός ἐστιν Ἔφορος, πολλὰ δὲ καὶ ταῖς Χάρισι ταῖς αὐτόθι τιμωμέναις δῶρα πέμπεται· οὐκ ἂν τὸν "πολύμηλον" δὲ λέγοι (Il. 2. 605), . . . οὐδὲν ἧττον πλούσιον· φησὶ γοῦν "ἐν δ' ἄνδρες ναίουσι πολύ⟨ρ⟩ρηνες πολυβοῦται" (296).

οὐδ' ὃς ἐς Ὀρχομενὸν ποτινίσσεται, οὐδ' ὅσα Θήβας Αἰγυπτίας] Β=
δύο πόλεις συνήγαγεν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κομώσας πλούτῳ, καὶ οὐδὲ ταύταις ἠρκέσθη μόναις, ἀλλὰ καὶ ἐπὶ τὸν ἀόριστον ἀριθμὸν ψάμμου τε καὶ κόνεως τὴν ὑπερβολὴν ἀνήνεγκε τοῦ λόγου, ὡς εἰ ἔλεγεν 'ὑπὲρ τὰ τῆς οἰκουμένης ἀγαθά.'

383. αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην] ὡς εἶναι Α+
ἑκατὸν τάγματα· οὕτω δὲ "ἀν' ἑκάστας" δεῖ γράφειν· οὐδέποτε γὰρ Ὅμηρος ἑνικῶς πύλην φησίν, ἀλλὰ πύλας.

διηκόσιοι δ' ἀν' ἑκάστην] οὐ τὸ πλάτος τῶν πυλῶν θέλει σημαίνειν Β–
—οὐδὲ γὰρ ἅμα πάντας ἐξιέναι φησίν—ἀλλὰ τὸ μέγεθος τῆς πόλεως καὶ τὸ πλῆθος τῶν ἀνδρῶν, εἴγε πύλας μὲν ἑκατὸν ἔχει, ἄνδρας δὲ ἁρματοφόρους δισμυρίους. ἐν ταύτῃ δὲ ἦν πρότερον τὰ βασίλεια τῆς Αἰγύπτου, εἰς ἃ πολλοὺς ἔφερον φόρους Λίβυες, Αἰγύπτιοι, Αἰθίοπες, νῦν δὲ Διόσπολις ὀνομάζεται. εἶχε δὲ κώμας μὲν τρισμυρίας τρισχιλίας τριάκοντα· τὸ δὲ ἄστυ εἶχεν ἀρούρας ,γψ καὶ πύλας ρ', ἀνδρῶν δὲ μυριάδας ψ'. ταύτην ἐτείχισεν ὁ βασιλεὺς Ὄσιρις· ἐξ ἑκάστης δὲ πύλης ἐστράτευον ὁπλῖται μὲν μύριοι, ἱππῆς δὲ χίλιοι, ἁρματηλάται δὲ διακόσιοι. ταύτην Ἕλληνες Θήβην ὠνόμαζον ἀπὸ τῆς Νείλου ⟨ἢ⟩ καὶ Ἀσωποῦ ἢ Πρωτέως θυγατρός· ἐπορθήθη δὲ ὑπὸ Περσῶν.

διηκόσιοι δ' ἀν' ἑκάστην] ὡς τεταγμένου ἑκάστου τάγματος ἰδίᾳ πύλῃ ἐξιέναι.

* διηκόσιοι δ' ἀν' ἑκάστην] τὸ ἱστορικὸν τῆς παιδείας ἐνδείκνυται καὶ πρὸς Πρίαμον (Il. 24. 602).

385. ὅσα ψάμαθός τε κόνις τε] οὐδὲ ἐπὶ τοῖς προειρημένοις Β=

2. πείσουσιν B : πείσωσιν ‖ 4. μηνύαι ‖ 6, 7. οὐκ ἂν—λέγοι W : κἂν—λέγει ‖ 7. lacunam indicavi : ⟨οὗ τῶν ὑπ' Ἀγαμέμνονος δοθησομένων⟩ suppl. W ‖ 9. schol. praecedenti adhaeret ‖ ποτινείσεται ‖ 11. μόνον ‖ 16. γὰρ A : γράφει ‖ 29, 30. ἰδία πύλη

ἔστησε τὸ τίμημα τῆς ὕβρεως. §. καλῶς δὲ ἀμφοτέρας συμπεριέλαβε
B= τῷ λόγῳ, τήν τε θαλαττίαν καὶ τὴν πεδιάδα.
A+ * δύναται καὶ καθ' ἑαυτὸν εἶναι ὁ στίχος μὴ ὑποστιζόμενος.
B= 387. * πρίν γ' ἀπὸ πᾶσαν] ἠρέμα ὑπώλισθεν εἰς τὸ ἀληθές, καὶ ἐκ-
κόψας τὴν ἐλπίδα πάλιν ὥρισεν αὐτοῖς πρόστιμον τὴν ποινὴν τοῦ ἐχθροῦ.
B= 388. κούρην δ' οὐ γαμέω] τοῦτο ἐδόκει ὀχυρὸν ἔχειν ὡς ἀξιῶν
γαμβρεύσειν αὐτῷ. τοῦτον δὲ πλεῖον λυπεῖ τὸ εὐτελίζεσθαι τὸν
γάμον Βρισηίδος.
A+ Ἀγαμέμνονος Ἀτρείδαο] μᾶλλον δεῖ στίζειν εἰς τὸ "Ἀτρείδ[αο]·"
ὁ γὰρ κομματικὸς λόγος τοῖς θυμουμένοις ἁρμόζει.
B= 389. οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι, ἔργα δ' Ἀθηναίῃ]
ὑπερβολῇ χρῆται· δύο δὲ οἶδεν ἀρετὰς γυναικός, κάλλος τε καὶ
"ἀγλαὰ ἔργ' εἰδυῖα," ἀνδρὸς δὲ "μύθων τε ῥητῆρ' ἔμμεναι πρηκτῆρά
τε ἔργων" (443).
B= 392. βασιλεύτερός ἐστιν] ἐμοῦ ἢ πάντων, ἐπεὶ αὐτὸς ἔλεγε "καί
μοι ὑποστήτω, ὅσον βασιλεύτερός εἰμι" (160). διδάσκει δέ, ὡς
οὐδὲν ὀνίνησι τυραννὶς ἐπὶ ἀδίκῳ γνώμῃ.
B= *οἵ τ' ἐπέοικε] ἄξιος αὐτοῦ ἐστιν. §. εἰς μὲν ἁπλῆν μεταλαμβάνε-
A+ ται ἡ "οἵ," φυλάσσει δὲ τὸν ἴδιον τόνον διὰ τὸν "τέ."
A+ 393. * σόωσι] ἀπὸ τοῦ σόω κατὰ συστολήν.
B= 394. Πηλεύς θην μοι ἔπειτα γυναῖκα] φιλοπάτωρ καὶ σώφρων
κἀκεῖνον κυρῶν γάμον, ὃν ὁ πατὴρ ἔλοιτο. §. ἐντεῦθεν ἔλαβε Μέ-
νανδρος τὸ "ἐγάμησεν ἣν ἐβουλόμην ἐγώ" (fr. 303 M.). §. τὸ δὲ
A+ "γαμέσσεται" πᾶσαι εἶχον "⟨γε⟩ μάσσεται" ἀντὶ τοῦ ζητήσει.
A+ 395. * Ἑλλάδα] ⟨Θετταλίαν⟩ μόνην παρὰ τῷ Ὁμήρῳ.
B= 396. κοῦραι ἀριστήων] μήποτε ὀνειδίζει ἀνανδρίαν τῷ Ἀγαμέμ-
νονι, γενναίων κηδεστῶν, οὐχὶ τοιούτου δεῖσθαι λέγων. ἐν ᾧ οὖν
προὔχει, τὴν κρίσιν ποιεῖται.
B= 399. γήμαντι μνηστὴν ἄλοχον εἰκυῖαν ἄκοιτιν] γάμου γὰρ τέλος
οὐ κάλλος, οὐ κτῆσις, οὐκ ἄλλο τι τῶν τοιούτων, εἰ μὴ τῶν συνόντων
ἡ ὁμόνοια καὶ τὸ ἁρμόδιον, ὅπερ φησὶν "οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον
καὶ ἄρειον, ἢ ὅθ' ὁμοφρονέοντε" (Od. 6. 182). ἢ εἰρωνεύεται ὡς

1. συμπ. B: ἐμπεριέλαβε ‖ 2. θαλαττίαν B, ἐφάλιον coni. Horneius: θετ-
ταλίαν ‖ 4. ὑπώλισθεν B: ὑπώλισται ‖ 9. novavit pr. ut videtur ‖ 12.
κάλλος B: κάλλη ‖ 18. οἵ τ' ‖ 25. schol. falso supra v. 394 scriptum ‖
μόνω: suppl. et corr. W ex A ‖ 26. ὀνειδίζῃ, ὀνειδίζει sine μήποτε B ‖
‖ 30. οὐ κάλλος B: οὐκ ἄλλως ‖ 31. γε B: δὲ

γαμήσων κατὰ τὸ ἑαυτοῦ ἀξίωμα· φησὶ γοῦν "ὃ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω, ὅστις οἵ τ' ἐπέοικεν" (391).

* τὴν γὰρ Ἀγαμέμνονος οὐ λογίζεται "μνηστήν," ἐπεὶ δῶρον δίδοται. §. δοτικὴ δὲ τὸ "γήμαντι." A B= A + B=

400. κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς] "πατρῷ ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα" (Menander fr. 54 M.). φησὶν οὖν, ὡς μᾶλλον αἱροῦμαι πατρίδος καὶ τῶν ἐμῶν κτημάτων ἀπολαύειν ἢ πολεμεῖν. A B=

401. οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον] δυσωπεῖ τοὺς παρόντας, εἴγε δώρων προήσεται τὴν ψυχήν, ⟨αὐ⟩τῶν δῶρα διδόντων ὑπὲρ σωτηρίας τῆς ἑαυτῶν ψυχῆς, καὶ ὅτι πρώην κατεφρόνει ψυχῆς, ἀχαρίστῳ χαριζόμενος ἀνδρί. ὅτι δὲ οὐ φιλοψυχεῖ, πρὸς τὴν μητέρα φησὶν "αὐτίκα τεθναίην" (Π. 18. 98). B=

402. * Ἴλιον ἐκτῆσθαι] πρὸς τὸ "νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ" (137).

404. ἀφήτορος] οἱ μὲν ἀσαφήτορος, οἱ δὲ τοῦ στροφέως παρὰ τὸ τοὺς εἰσιόντας προσκυνεῖν ἐφαπτομένου⟨ς⟩, τινὲς δὲ τοξότου· ἀλλ' ἐπὶ τοῦ θεοῦ φησιν "ἑκηβόλον" παρὰ τὸ καὶ ἐπιτυγχάνειν, "οὐκ ἔβαλες τὸν ξεῖνον" (Od. 20. 305), ὡς καὶ "ποδάρκην" τὸν τοῖς ποσὶν ἐπαρκοῦντα. A + B—

406. * ἕκαστον ἀγωνιστὴν δύσθυμον ποιεῖ εἰς τὸν ἐπταισμένον πόλεμον. B=

407. * ἵππων ξανθὰ κάρηνα] ἡδεῖ⟨α ἡ⟩ περίφρασις καὶ πλήρης ἐναργείας. B=

410. μήτηρ γάρ τε μέ φησι] τὸ ἀμφίβολον τῆς μοίρας καὶ ἐν ἄλλοις οἶδε, δι' ὧν Τειρεσίας φησὶν Ὀδυσσεῖ "τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς—εἰ δέ κε σίνηαι" (Od. 11. 110)· καὶ ἀλλαχοῦ, ὡς ἐπὶ τοῦ Εὐχήνορος "πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύ⟨ε⟩ιδος, νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν, ἢ μετ' Ἀχαιῶν νηυσίν" (Π. 13. 666) καὶ ἐπὶ Αἰγίσθου "μήτ' αὐτὸν κτείνειν μήτε μνᾶσθαι ἄκοιτιν" (Od. 1. 39)· εἰπὼν δὲ "μήτηρ—φησί" δηλοῖ, ὅτι ὑπογυ⟨ί⟩ως· οὐ γὰρ ἂν Πηλεὺς ηὔξατο "σοί τε κόμην κερέειν" (Π. 23. 146). §. εὖ δὲ τὴν τῆς μητρὸς ἐδήλωσε πρόρ⟨ρ⟩ησιν. B—

1. post ἀξίωμα add. pr. ἢ τι τῷ τῆς Ἀγαμέμνονος: omisi ut B ‖ 4. δοτικῆς B, κατὰ δοτικὴν A, δοτ' ‖ τὸ B: τῷ ‖ 5. πατρῷα ut A ‖ 6. εὐδαιμονοῦντα B ‖ φησὶ γοῦν ‖ 9. suppl. W ex B ‖ 12. τεθναίην B: τεθνέειν ‖ 16. supplevi ex A ‖ 17. δὲ post ἑκ. omisi ‖ 22. supplevi ex B ‖ 26. σίνηαι B: σίνειε ‖ 27. πολλάκις ‖ 31. κειρέειν

ἐμφαίνεται ⟨δὲ⟩ ὡς ἔστιν ἀνοήτου χρημάτων ἕνεκεν εἰς προδηλον ἑαυτὸν ἐμβαλεῖν θάνατον, καὶ ὅτι ἄφρονές εἰσιν οἱ δεόμενοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἕτερου ἐπὶ δώροις τελευτᾶν, καὶ ἵνα ἀποπλέοντι αὐτῷ συγγινώσκωσι καὶ βοηθοῦντι μεγίστην ὁμολογῶσι χάριν.

411. * διχθαδίας κῆρας φερέμεν] ὑπὸ β' μοιρῶν ἄγεσθαι.

413. * ἁπλῶς ἐκφέρει τὰ ὑπὸ τῆς μητρὸς εἰρημένα πρὸς αὐτόν.

A= 416. * οὐδὲ παρὰ Ζηνοδότῳ ἐφέρετο.

AB= 417. καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην] τοσοῦτον ἀπέχει πειθοῦς· τεχνικῶς δὲ καὶ τοὺς ἄλλους ἀφίστησι, τὸ ἀδύνατον τῆς ἁλώσεως προβαλλόμενος.

* παραμυθησαίμην] ὡς τὸ παρειπεῖν.

B= 418. ἐπεὶ οὐκέτι δήεται τέκμωρ] τεχνικῶς ἀπέστρεψε πρὸς αὐτὸν ⟨sc. τὸν Ὀδυσσέα⟩ τὸν λόγον, ἐπεὶ καὶ ἔλεγε "Ζεὺς δέ σφι Κρονίδης" (236). εἰ τοίνυν, ὡς φῄς, πολέμιον ἔχετε τὸν θεόν, ὑπόλοιπον ὑμῖν ἐστιν ⟨ἀπο⟩πλεῖν.

419. * εὐρύοπα] ἀπὸ τοῦ εὐρυόπης.

AB= 420. χεῖρα ἐὴν ὑπερέσχε] ὑπερασπίζει· ἐν χερσὶ γὰρ αἱ ἀσπίδες. μεγάλη ⟨δὲ⟩ ἡ φαντασία, ὡς οὐ μόνον συλλαμβάνοντος τοῦ Διός, ἀλλὰ καὶ τὴν χεῖρα ὑπερέχοντος.

B=* 421. ἀριστῆεσσιν Ἀχαιῶν ἀγγελίην ἀπόφασθε] νῦν οὐδὲ λόγον ποιεῖ Ἀγαμέμνονος, καίτοι πρώην λέγων "τῷ πάντ' ἀγορευέμεν" (369), ἢ ὡς μὴ τοῦ Ἀγαμέμνονος μόνου πέμψαντος, ἀλλὰ καὶ τῶν βασιλέων.

425. * ἐπεὶ οὔ σφι⟨σι⟩ν ἥδε γ' ἑτοίμη] ἐπεὶ τὸ τεῖχος νῦν οὐδὲν ἐπήμυνεν αὐτοῖς.

B+ * ἑτοίμη] πρόχειρος.

B= 427. Φοῖνιξ δ' αὖθι] τοῦτο εἰς πίστιν τοῦ ἧρι ἀποπλεύσεσθαι. προσκρούει δὲ Φοίνικι ὡς παρ' Ἀγαμέμνονι διατρίψαντι· καὶ ἑξῆς "Ἀτρεΐδῃ ἥρωι φέρων χάριν" (613). ἅμα δὲ καὶ προεκκόπτει αὐτὸν τῆς λιτῆς.

B= 429. αὔριον, ἣν ἐθέλῃσιν] "ἣν ἐθέλῃσιν" προέσθαι Ἀγαμέμνονα. διό φησι "πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο" (437).

B= ἀνάγκη δ' οὔ τι μιν ἄξω] οὐ γὰρ εἰκὸς βιάζεσθαι ᾧ πειθαρχεῖν ὁ πατὴρ ἐκέλευσεν.

AB= 431. μάλα γὰρ κρατερῶς ἀπέειπεν] ἐμαρτύρησεν ἑαυτῷ ὁ ποιητής,

1. supplevi ex B ‖ 3. ἑαυτῶν B: αὐτῶν ‖ 4. ὁμολογοῖεν ut B ‖ 12. δήετε textus ‖ 15. supplevi ex B ‖ 16. ἀπὸ τῆς ‖ 18. supplevi ex AB ‖ 23. ἐ. τότε τ. ‖ 26. ἀποπλεῦσαι B, ἀποπλεύσεται

ὅτι ἀπότομον λόγον τῷ Ἀχιλλεῖ περιέθηκεν. ἄκρως γὰρ διέθηκε τὸν Ἀχιλλέως λόγον φύσει, φρονήματι, ἀξιώματι, ἤθει.

432. ὀψὲ δὲ δὴ μετέειπε] φρόνιμον τὸ μὴ εὐθέως τοῖς Ὀδυσσέως λόγοις τοὺς ἑαυτοῦ ἐπιβαλεῖν, ἀλλ' ἀντειπεῖν πρῶτον ἐᾶσαι τὸν Ἀχιλλέα καὶ ἐκχέαι τὸν θυμόν. ἀλλ' οὐδὲ παυσαμένου Ἀχιλλέως εὐθὺς ἄρχεται, οὐδὲ ἀρξάμενος εὐθὺς τὴν συμβουλίαν προάγει, ἀλλὰ δακρύσας προσοχὴν καὶ ἔλεον ἐπισπᾶται· οἴκτῳ γὰρ τὸ πλέον ἀγωνίζεται καὶ διηγήμασιν οἰκείων ἀτυχημάτων. τὸν δὲ λόγον οὐκ ἐπὶ ἱκετείαν ἀνάγει, ἀλλ' ἐπὶ τὸ συμφέρον Ἀχιλλεῖ. τὸ "ὀψέ" δέ, ὡς πάντων ἀπορησάντων ἀντειπεῖν. B=

433. *δάκρυ' ἀναπρήσας] καὶ θέλων, φησίν, οὐκ ἔστεξε τὸ δάκρυον. B=

434. εἰ μὲν δὴ νόστον γε] καὶ οὗτος ἀπὸ τοῦ καιροῦ τὸ προοίμιον δέχεται· οὐ γὰρ ὡς συμβουλεύσων παρελήλυθεν ἀλλ' ὡς διδοὺς ἀπόκρισιν πρὸς τὸ "Φοῖνιξ δ' αὖθι παρ' ἄμμι" (427). B–

εἰ μὲν δὴ νόστον] συνείκει αὐτῷ ἀπ' ἀρχῆς, εἶτα ἐπάγει τὴν λιτήν· τὸ δὲ "εἰ μὲν δή" ὡς παραδόξου τῆς ⟨ἀπο⟩κρίσεως οὔσης· προσεδόκων γὰρ ὡς παρακληθεὶς μενεῖς· ὥσπερ Ὀδυσσεὺς ἐκ τοῦ παρόντος ἔλαβε τὸ προοίμιον (225), [οὕ]τω καὶ οὗτος. B=

*ἀποσπῶν τῆς φυγῆς "φαίδιμ' Ἀχιλλεῦ" ⟨φησίν⟩.

435. οὐδέ τι—ἀμύνειν νηυσὶ—πῦρ' ἐθέλεις] τὸ ἀνεπίφθονον τῶν ὀνομάτων καὶ τὸ ἔσχατον τῶν κινδύνων ἐδήλωσε, τὸ τοῦ Ἀγαμέμνονος πρόσωπον σιωπήσας ὡς καὶ Ὀδυσσεύς. B=

*ἀμύνειν νηυσί] τοῦτο γὰρ ἦν δίκαιον.

436. ἐπεὶ χόλος ἔμπεσε θυμῷ] ὅτι διὰ θυμὸν καταφρονεῖ τοῦ δικαίου, οὗ ⟨μάλιστα⟩ δεῖ τὸν πεπαιδευμένον κρατεῖν. B=

437. πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο] φάσκων ἀποπλευσεῖσθαι μετ' αὐτοῦ, διότι Πηλεὺς ⟨ὡς⟩ διδάσκαλον συνέπεμψεν αὐτόν, τεχνικῶς ἐνέφηνεν ὅτι προσῆκόν ἐστι τὸ μὴ ἀπειθεῖν τῷ διδασκάλῳ. εἰ δὲ ὡς διδασκάλῳ ἐκέλευσε πείθεσθαι, χαλεπῶς ἂν ἤνεγκεν Ἀχιλλεύς. νῦν δέ, δι' ἃς αἰτίας ἐκεῖνον τὸ κελευόμενον ποιεῖν ἔδει, διὰ ταύτας αὐτὸς ἀκολουθήσειν φησίν, ὡς ἂν μὴ φάναι ὡς οὐ χωρισθείη τοῦ Ἀχιλλέως, ἀλλ' ὡς πυνθανόμενον λέγειν· διαγανακτοῦντος γὰρ ἦθος ἐμφαίνεται. B=

3. φρονίμως ut B ‖ 4. ἐπιβαλεῖν B: ἐπιβάλλειν ‖ 6. προάγει B: προσάγει ‖ 15. schol. praecedenti adhaeret ‖ 16. suppl. W ‖ 18. atramento obducta: supplevi ex B ‖ 20. οὐδ' ἔτι νηυσὶν ἀμύνειν ‖ νηυσὶ post lemma omisi ‖ 24. καταφρονεῖ B: οὐ κρατεῖ ‖ 25, 27. supplevi ex B ‖ 28. ἀπειθεῖν B: ἀπιστεῖν ‖ 31, 32 ?

ἅμα δὲ καὶ τὸν Ἀχιλλέα εὐμενῆ ἀπεργάζεται, οὐδεμίαν ἄλλην λέγων ὑπολείπεσθαι αὐτῷ ἐλπίδα.

AB= *φίλον τέκος] προσαγωγὰ ταῦτα, ὅτι διὰ τὴν φιλοστοργίαν καὶ παρὰ τὸ δέον αὐτῷ πείσεται.

438. σοὶ δέ μ' ἔπεμπε] ἔδει ⟨ἐπ⟩ειπεῖν 'διδάσκαλον·' ἀλλ' ἵνα μὴ ἀγριάνῃ ὡς διδασκάλου δεόμενον, σιωπᾷ, τῇ δὲ νεότητι (440) προσῆψε τὴν διδασκαλίαν.

B= σοὶ δέ μ' ἔπεμπε] ὡς ὀπάων οὖν οὐκ ὀφείλω ἀπολείπεσθαι· διὰ τοῦτο δὲ δυσωπεῖ αὐτόν· τὸν γὰρ διδάσκαλον δεῖ κελεύειν.

B= 439. *ἐκ Φθίης Ἀγαμέμνονι] λεληθότως δείκνυσιν, ὅτι ἀπειθεῖ τῷ πατρί, τούτου ἀποστὰς ᾧ καὶ πόρρωθεν αὐτὸν ἀπέστειλεν.

B= 440. *νήπιον] εἰ νηπίου ὄντος οὐ προεφασίσατο πρὸς τὴν αἴτησιν ὁ πατήρ, πῶς νῦν, φησί, τελειωθεὶς οὐ πολεμ[εῖς];

B= 441. *πολέμοιο οὐδ' ἀγορέων] ἄμφω τὰς ἀρετὰς κυδιανείρας φησίν· νῦν δὲ μᾶλλον ἐχρῆν ἐπαινεῖν τὰ ψυχικά.

B= 442. διδασκέμεναι τάδε πάντα] εἰ οὖν σύμβουλος ἐπέμφθη, νῦν δὲ βοᾷ τὸ πρᾶγμα δεόμενον συμβουλῆς, πῶς αὐτῷ πείθεσθαι οὐ δεῖ;

B= *διδασκέμεναι] ἰᾶται τῇ ἡλικίᾳ τὸ τραχὺ τῆς λέξεως.

B= τάδε πάντα] "τάδε" εἰς ἃ νῦν ἁμαρτάνεις. καὶ ὅτι οὔπω τετέλεσται τὴν μάθησιν, διὰ τῆς παρατάσεως ἐδήλωσεν· οὐ γὰρ εἶπε διδάξαι.

τάδε πάντα] ἐπὶ δύο· "προμνηστῖνοι ἐσέλθετε, μηδ' ἅμα πάντες" (Od. 21. 230).

AB= 443. σημείωσαι, ὅτι τὸ ὁμοιοτέλευτον ὁ ποιητὴς ἔφυγε μεταβαλὼν τὴν φράσιν· οὐ γὰρ εἶπε 'μύθων τε ῥητῆρα καὶ ἔργων ⟨πρηκτῆρα⟩,' ἀλλ' ἐνήλλαξεν. καὶ ὅτι δὲ πάντων κρείττων ἡ εὐβουλία, δηλοῖ διὰ τούτου.

B– μύθων τε ῥητῆρα—πρηκτῆρά τε ἔργων] ὅτι διδακτὸν ἡ ἀρετή. εἵπετο δὲ αὐτῷ Φοῖνιξ ὑποδείξων ἃ τε λεκτέον καὶ ἃ χρὴ πράττειν. φαίνεται οὖν καὶ τὸ τῆς ῥητορικῆς ὄνομα εἰδώς· φησὶ γοῦν "⟨ὁπ⟩ότε κοῦροι ἐρίσ⟨σ⟩ειαν περὶ μύθων" (Il. 15. 284), ἀλλὰ καὶ "βουλῇ καὶ μύθοισι" (Il. 4. 323) καὶ "δικαζόμενος παρὰ νηυσίν" (Od. 11.

6. δεόμενος ‖ 8. δ' ἔμ' ‖ 12. προπεφάσισται B, προσεφασίσατο ‖ 13. suppl. sec. ‖ 16. ἐπέμφθη B: ἐπέμφθην ‖ 18. τραχὺ B: τρανὸν ‖ 20. ἡ μάθησις B ‖ 22. ἐπεὶ: corr. sec. ‖ εἰσέλθετε ‖ 25. μ. τε καὶ ἔ. ῥητῆρα ut B, cf. A ‖ ἀπὸ κοινοῦ ante ἀλλ' del. W, cf. A ‖ 26. schol. iteratur post p. 325, 2 σημείωσαι δέ, ὅτι τὸ ὁ. ἔφυγε—ῥητῆρα καὶ ἔργων πρακτῆρα, καὶ ὅτι πάντων διδακτικὸν εὐβουλία ‖ 27. πρακτῆρά τε

545)· οἱ περὶ Κόρακα δὲ καὶ Τ⟨ε⟩ισίαν ὕστερον ἐξεκόσμησαν τὴν ῥητορικήν· εἰ ὑπὸ Φοίνικος οὖν πεπαίδευται, τί παρὰ Χείρωνος ἐδιδάχθη; δηλονότι δικαιοσύνην καὶ ἰατρικήν.

444. * ὡς ἂν ἔπειτ' ἀπὸ σεῖο] ἐπεὶ παρακαταθήκην ἐκ νηπίου σε εἴληφα παρὰ τοῦ πατρός.

446. γῆρας ἀποξύσας] "γῆρας" τὸ μάλιστα νῦν μοι ἐνοχλοῦν. διὰ δὲ τοῦ "ἀποξύσας" ἐδήλωσε προσπεπλασμένην ἀσθένειαν παλαιῷ σώματι. τῷ δὲ χρόνῳ τῆς συλλαβῆς τὸ δυσαφαίρετον τοῦ γήρως δηλοῖ. Ἀττικὴ δὲ ἡ ἔκτασις. Παρθένιος γοῦν ἐν Βίαντι συνέστειλεν· "ὅστις ἐπ' ἀνθρώπους ἔξυσεν αἰγανέας" (fr. vi M.). B–

* "θήσειν νέον ἡβώοντα] νέον" νεωστί, οὐχ ἁπλῶς, ἀπαλλάξειν γήρως, ἀντισηκώσειν δὲ ἀρχὴν πολυχρονίου ἥβης. A=

447. οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα] μυθολόγοι οἱ γέροντες καὶ παραδείγμασι παραμυθούμενοι, ἄλλως τε ψυχαγωγεῖ τὴν ὀργὴν ὁ μῦθος. εἰπεῖν δὲ θέλει τὰς εὐεργεσίας Πηλέως, εἴ πως πείσειεν ὡς εὔνους τῷ οἴκῳ, καὶ ὅτι λιταῖς οὐ πεισθεὶς ἐν ἀλλοδαπῇ ἅπαις διήγαγεν. ἡδεῖα δὲ ἡ ἀκρόασις τῶν οἰκείας συμφορὰς διηγουμένων. καὶ ὁ κυνικὸς Διογένης τοῖς συνοῦσιν ὡμολόγει, οἵας εἶχεν ὁρμὰς πρὸ τοῦ φιλοσοφεῖν, ὡς ἄρχειν αὐτοῦ μὴ δυνάμενος τῶν ἄλλων ἤθελεν. ἀκριβὴς δὲ διδασκαλία ἡ πεῖρα· διὸ καὶ τοσαῦτα ἡμαρτηκότι τῷ Φοίνικι καὶ ἐν προσκρούσει τοῦ πατρὸς γεγονότι τὸν υἱὸν ἐπιτρέπει ὁ Πηλεύς· ἑώρα γὰρ αὐτὸν αἰσθόμενον τῆς ἁμαρτίας δι' ὧν ἑαυτῷ τὴν ἑκούσιον ἐπήγαγε φυγήν. B=

449. ὅς μοι παλλακίδος περὶ χώσατο] οἰκείως ταῦτα πρὸς τὸν ἕνεκα τῆς Βρισηίδος χαλεπαίνοντα, ὅτι συγγνωστέος ἁμαρτήσας περὶ κόρην Ἀγαμέμνων, εἴγε καὶ αὐτὸς ἁμαρτὼν συγγνώμης ἠξίωται παρὰ Πηλέως. B=

ὅς μοι παλλακίδος] οὐ τῆς ἤδη μιγείσης, ἀλλὰ τῆς εἰς τοῦτο τρεφομένης· φησὶ γοῦν "προμιγῆναι." οὐκ ἀντίκειται δὲ τὸ ὅτι τὴν μὲν ἐφίλει, ἠτίμαζε δὲ τὴν γυναῖκα· ἔπραττε δὲ ταῦτα, ἐν νῷ ἔχων ἤδη τὴν πρὸς αὐτὴν ὁμιλίαν. τοῦτο οὖν ⟨ὁ Φοῖνιξ⟩ ἐποίησεν εἰς ὁμόνοιαν τῶν γονέων. §. ἦν δὲ Κλυτία, καὶ ἡ μήτηρ Ἱπποδάμεια, ⟨ἡ⟩ καὶ Ἀλκιμέδη. B=

A+

1. κ. Κτησίαν: corr. Bekker ‖ 11. καὶ ante ἀπ. omisi ‖ 12. ἀντισηκῶσαι ‖ ἄρχειν: corr. Bekker ‖ 18. συνοῦσιν B: συναινοῦσιν ‖ ὁμολογεῖ ut B ‖ 21. ἐν πρ. B: ἐμπροσκρούσει ‖ 31. supplevi ex B ‖ 33. ἡ Α. coni. W ‖ Ἀλκιμέδη W ex Anth. Pal. III 3: Ἀλκιμήδη

B+ 452. ἵν' ἐχθήρειε γέροντα] ῥᾷστα γὰρ ἀφίσταται γέροντος γυνὴ νέα, πειραθεῖσα ἀνδρὸς νέου. §. τινὲς "γέροντι" γράφουσιν 'ἵνα μισηθῇ τῷ γέροντι.'

B= 453. τῇ πιθόμην καὶ ἔρεξα] ἐν ἤθει δεῖ ἀναγινώσκειν, ὡς μετανοοῦντος· διὸ καὶ ἐμπεπίστευται Ἀχιλλέα· ὁ γὰρ πταίσας τι καὶ φυλάττεται συγγνωστός· καὶ Σοφοκλῆς "ὃς μὴ πέπονθε τἀμά, μὴ βουλευέτω" (fr. 814 N.).

B= ἄλλως: τῇ πιθόμην καὶ ἔρεξα] πρὸς ὁμόνοιαν γονέων τὰ παρὰ προαίρεσιν ἐποίησεν· φησὶ γοῦν "ἣ δ' αἰὲν ἐμὲ λισ⟨σ⟩έσκετο" (451). καὶ πάλιν τῆς διχοστασίας αὐτῶν κρείττονα τὴν φυγὴν ἡγήσατο. οἱ δὲ εὖ πρὸς γονεῖς ἔχοντες ἐπ' ἴσης μὲν αὐτοὺς ἀγαπῶσιν, ἐπαμύνουσι δὲ τῷ καταπονουμένῳ. ἢ τάχα βούλεται λέγειν, ὅτι οὐ πάντα πειστέον μητρί—Θέτις γοῦν ἔλεγεν "ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι μήνι' Ἀχαιοῖσιν" (Π. 1. 421)—ἀλλὰ μᾶλλον πατρὶ τῷ λέγοντι "φιλοφροσύνη γὰρ ἀμείνων" (256). ἀγαθοὶ δὲ διδάσκαλοι, οἳ ἐν πείρᾳ παθημάτων γεγόνασιν· καὶ Χείρωνα γάρ φασι τρωθέντα τὴν χεῖρα τὴν περὶ βοτανῶν ἐπιτηδεῦσαι ἰατρικήν, τὴν δὲ περὶ τὰς διαίτας τὸν Σηλυ⟨μ⟩βριανὸν Ἡρόδικον τὸν παιδοτρίβην, ὃς ἐμπεσὼν διὰ τοὺς πόνους εἰς φθόην ἐμελέτησε τὴν τέχνην.

454. *Ἐρινῦς] οὐκ οἶδε τὸν ἀριθμὸν αὐτῶν ὁ ποιητής.

B= 455. *μήποτε γούνασι] ἐοικυῖα κατάρα τῷ ἀτιμάσαντι πατέρα, τὴν ἀπὸ παίδων μὴ δέξασθαι τιμήν· πᾶς δὲ εὖ φρονῶν πατὴρ υἱῷ εὔχεται πάππος γενέσθαι.

A= 456. *ὡς μηδὲ ἄκοντας ἀδικεῖν γονεῖς· διὸ οὐδὲ περὶ τοῦ φόνου τῆς Κλυταιμνήστρας φησίν (Od. 3. 309).

B= 457. Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια] πῶς ὁ μὲν εὔχεται ταῖς Ἐρινύσι, τὰς δὲ εὐχὰς αὐτῷ ἐκτελεῖ Ἅιδης καὶ Περσεφόνη; ὅτι αὐτοκράτορες τῶν τιμωριῶν ὄντες τὴν τοῦ κολάζειν ἐξουσίαν τοῖς ἄλλοις δαίμοσι παρέχονται. §. "ἐπαινὴ" δὲ κατὰ ἀντίφρασιν, ὡς τὸ "νῆ' ὀλίγην αἰνεῖν" (Hesiod. Opp. 643). §. οἱ δὲ γράφουσι "καὶ ἐπ' αὐτῷ Περσεφόνεια," οἱ δὲ ἐν πλεονασμῷ τὴν "ἐπί" ⟨ἐκδέχονται⟩.

1. γέροντος γυνὴ B: γυνὴ γέροντος ‖ 4. μετανοοῦντα ‖ 6. τὰ μὰ ‖ 7. βουλευέτω Bekker: βουλεύηται B, βουλεύεται ‖ 8. ὃς ante πρὸς omisi ‖ 9. ἐποίησεν B: ἐποίει ‖ 10, 11. δὲ εὖ B: εὖ δὲ ‖ 19. ἐμπεσὼν B: συμπεσὼν ‖ 21. μήποτ' ἐγγούνασιν ‖ 30. νῆα ὀλίγειν αἰνεῖν

463. *κατὰ μέγαρα στρωφᾶσθαι] ὅτι ἐν ταῖς ἀδιαλλάκτοις ἔχθραις B=
κρεῖττον τὸ φεύγειν.

464. *ἔται] ὅτι πᾶσιν ἠγαπημένος ἦν διὰ τὴν σπουδήν· ὁ δὲ πατὴρ A B=
ἦν ὀργιζόμενος διὰ τὸν ἔρωτα.

5 ἀμφὶς ἐόντες] Διονύσιός φησι ⟨γεγραμμένου⟩ "ἀντιόωντες" A+
μεταθεῖναι τὸν Ἀρίσταρχον "ἀμφὶς ἐόντες."

466. *εἰλίποδας] εἰλήσει ὅμοια πάσχοντας· κεχάλασται γὰρ
αὐτῶν τὰ νεῦρα, ὡς Ἱπποκράτης φησίν (III p. 146 K.).

468. *εὐόμενοι τανύοντο] ἐκτείνονται γὰρ τῷ πυρί. A=

10 469. *πολλῶν δ' ἐκ κεράμων] ἀναφορικῶς τοῦ προειρημένου (467).

472. πῦρ, ἕτερον μέν] "ἕτερον" ἄλλο παρὰ τὸ τοῦ θαλάμου, ὅπου A+B=
αὐτὸς ἦν· τρίτον δὲ τὸ ἐν τῇ στοᾷ καιόμενον. §. λείπει δὲ τὸ 'ἅπτον.'

473. ἄλλο δ' ἐνὶ προδόμῳ—θαλάμοιο θυράων] μετήγαγε τὴν τάξιν· AB=
"θάλαμος" μὲν γὰρ ὁ ἔσω οἶκος τῆς αὐλῆς, τὸ δὲ πρὸ αὐτοῦ "πρό-
15 δομος·" "αἴθουσα" δὲ τὸ περίστυλον, τουτέστιν ⟨ἡ⟩ πρὸς ἥλιον
τετραμμένη στοά, παρὰ τὸ αἴθεσθαι.

476. *ῥήξας ἐξῆλθον] τῷ μὲν Φοίνικι ⟨ἡ⟩ μεταβολὴ ἀδύνατος διὰ B=
τὴν ὀργὴν τοῦ πατρός, τῷ δὲ Ἀχιλλεῖ ⟨καὶ⟩ ἔνδοξος διὰ τὴν παραίνεσιν
τοῦ πατρός.

20 καὶ ὑπέρθορον] τὸ "ὑπέρθορον" συναπτέον τῷ "ῥεῖα·" λαθεῖν B=
γὰρ ῥᾳδίως ἀδύνατον ἦν οὕτω φυλαττόμενον. §. "ῥεῖα" δὲ διὰ τὴν B=
νεότητα.

478. δι' Ἑλλάδος] Ἑλλὰς πόλις, ὁμώνυμος τῇ χώρᾳ· "Μυρμιδόνες A=
δὲ καλεῦντο καὶ Ἕλληνες" (Π. 2. 684).

25 480. *ἄναχθ'] ἐμὸν ἄνακτα. B=

*ὃ δέ με πρόφρων] διὰ τὴν ἐμὴν εὔνοιαν. B=

481. καί μ' ἐφίλησ' ὡς εἴ τε πατὴρ ὃν παῖδα] δυσωπητικὰ Ἀχιλ- AB=
λέως, ὅτι μὴ πεισθεὶς ἀτιμάσει τοῦτον ὃν ὁ πατὴρ ἐτίμησεν, ἅμα δὲ
καὶ ὅτι ἐν ταῖς φυγαῖς οὐδὲν οὕτω συμβάλλεται ὡς φρόνησις καὶ
30 παιδεία, δι' ἃς ὁ Φοῖνιξ ὑπὸ Πηλέως ἐτιμήθη.

*πατήρ] ὅτι νεώτερος Πηλέως, οὐχ ὡς οἱ τραγικοί. A—

481, 2. ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ, μοῦνον] εὖ τὸ μὴ ἀρκεσθῆ- B—
ναι τῇ τῶν πατέρων πρὸς τοὺς υἱοὺς φιλοστοργίᾳ, καίτοι ὑπερβολὴν
μὴ δεχομένῃ, ἀλλ' ἐπενέγκαι τὸ "μοῦνον·" μᾶλλον γὰρ οἱ μονογε-

5. supplevi ex A ‖ 6. εἶναι ante μεταθεῖναι omisi ‖ 7. κεχαλᾶσθαι ‖ 17, 18. supplevi ex B ‖ 27. ἐφίλησεν ‖ 32. φιλήσει

νεῖς φιλοῦνται μὴ μεριζομένης εἰς πολλοὺς τῆς φιλοστοργίας. καὶ οὐδὲ τούτῳ ἀρκεσθεὶς προσέθηκε τὸ "τηλύγετον" οὗτος δέ ἐστιν ὁ τῆς γονῆς τέλος ἔχων, μεθ' ὃν ἕτερος οὐ γίνεται· ἐπὶ τούτοις γὰρ τὴν τῶν γονέων συμπάθειαν ⟨ἔστιν⟩ ἰδεῖν, ἅπασαν τὴν ἐλπίδα ἐν τῇ τούτων σωτηρίᾳ τιθεμένων. καὶ ἔτι πλέον αὔξων ἐπιφέρει τὸ ἐπὶ πολλοῖς κτήμασιν· ὧν γὰρ συνήγαγεν εἰδὼς αὐτὸν ⟨ὄντα⟩ φύλακα ἀγωνιᾷ.

B= 485. καί σε τοσοῦτον ἔθηκα] δυσωπητικὸν τὸ τῆς δείξεως· καὶ Σοφοκλῆς "κἀξεθρεψάμην τοσόνδ' ἐς ἥβης" (El. 13).

θεοῖς ἐπιείκελε] διὰ βραχέος τὸν ὑπεραίροντα εὐφυοῦς σώματος καὶ ψυχῆς ἀρετῇ ἐσήμανεν.

B+ 486. ἐπεὶ οὐκ ἐθέλεσκ⟨ες⟩ ἅμ' ἄλλῳ] οὐκ οἶδε παρὰ Χείρωνι τραφέντα αὐτόν. δεινὸν οὖν τὸν ἐν τῇ πρώτῃ ἡλικίᾳ τοσοῦτον στέρξαντα ἀπειθεῖν τελειωθέντα.

A+ 488. *"γούνεσσι" διὰ τοῦ ε̄.

A+B− 489. ὄψου ἄσαιμι] ὄψον πᾶν τὸ ⟨προσ⟩εσθιόμενον· ὅμοια δὲ καὶ ταῦτα "Ἀστυάναξ, ὃς πρὶν μὲν ἐοῦ" (Π. 22. 500).

B= ὄψου ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών] ἐπὶ τὰ εὐτελέστερα καταβὰς ἔδειξε τὴν ἰσχὺν τοῦ λόγου διὰ τοῦ "προταμών"—πρῶτον γὰρ τέμνοντες παρέχουσι—καὶ ⟨τοῦ⟩ "ἐπισχών," ὡς "λαθικηδέα μαζὸν ἐπέσχον" (Π. 22. 83). οὐκ ἂν δὲ διὰ κοινοῦ ὀνόματος ἑτέρως αὐτὸ φράσειας.

B= 491, 2. οἶνου ἀποβλύζων—ὡς ἐπὶ σοὶ ⟨μάλα⟩ πόλλ' ἔπαθον] ὠνοματοποίηται ἀφράστως. καλῶς δὲ προδανεισθείσας ἀπαιτεῖ χάριτας, εἶτα ἐπάγει "ἵνα μοί ποτ' ἀεικέα ⟨λοιγὸν ἀμύνῃς⟩," ἰδιούμενος τὴν σωτηρίαν τῶν Ἑλλήνων.

AB= 494. ἀλλὰ σὲ παῖδα] "ἀλλὰ σέ" ὀρθοτονεῖται διὰ τὴν δεῖξιν.

B= 496. δάμασον θυμὸν μέγαν] ἅπερ Ὀδυσσεὺς εἰπεῖν ἐφυλάξατο—πικρὸν γὰρ ⟨ἂν⟩ ἦν—ἐπὶ δὲ τὸν Πηλέα ἀνήνεγκε, ταῦτα Φοίνικι δίδωσιν ἡ τῆς ἀνατροφῆς παρρησία. §. ἐμφαντικῶς δὲ τὸ ἀδάμαστον

A= ἐνέφηνε τοῦ θυμοῦ· καὶ ὁ Ἀγαμέμνων φησὶ "δμηθήτω" (158).

B= 497. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί] ἀποφθεγματικόν, ὅταν βιωφελές τι δι' ὀλίγης ἐκφέρηται λέξεως· ἐπίφθονος δὲ ὁ λόγος· ὡς

2. οὗτος B: αὐτὸς ‖ 4. supplevi ex B ‖ 7. ἀγωνία ‖ 10. εὐφυέος ‖ ὀνόματος: corr. Bekker ‖ 16. supplevi ex A ‖ 23, 24. ὠνοματοπεποίηται B, ὀνοματοπεποίηται ‖ 29. ἀνήγαγε B

θεοῦ γὰρ ἦκον δεησόμενοι. καὶ λεληθότως διδάσκει, ὅτι μὴ πειθόμενος Λιταῖς, αἳς καὶ θεοὶ πείθονται, ἀσεβεῖ καὶ εἰς θεοὺς καὶ εἰς τὴν ἑαυτοῦ μητέρα.

498. * τῶν περ καὶ μείζων ἀρετή] καὶ ἀναντί⟨ρ⟩ρητον τὸ τῆς B=
ἐπιχειρήσεως. B=

499. * καὶ μὲν τοὺς θυέεσσι] ἕτοιμον αὐτὸν ποιεῖ πρὸς τὴν τῶν δώρων λῆψιν διὰ τούτων.

499, 500. καὶ εὐχωλῇσ' ἀγανῇσι—παρατρωπῶσ' ἄνθρωποι] λαθεῖν B=
μὲν γὰρ ἀδύνατον τοὺς πάντα ἐφορῶντας, ἀλλ' οὐδὲ βιάσασθαι τοὺς ἰσχυροτέρους. μία τοίνυν ὁδὸς ἐκφυγῆς ἡ ἱκετεία.

502. καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι] πρὸς ἐντροπὴν Διὸς A– B=
κούρας αὐτάς φησιν, ἢ διὰ τὸ "Ζεὺς ἐπιτιμήτωρ ἱκετάων" (Od. 9. 270), ἢ παρόσον ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε λέγεται. μυθικῶς δὲ ⟨ὑποβάλλει⟩ τὸ 'ὅρα, μή σοι διὰ τὴν ὑπεροψίαν ἔσται δεινόν.'

503. χωλαί τε ῥυσαί τε] ὅσα κρατεῖ τῆς ἡμετέρας δυνάμεως, A+ B=
θεῖα ὠνόμαζον. "χωλαί" δὲ διὰ τὸ μόγις εἰς δεήσεις ἔρχεσθαι· "ῥυσαί" δὲ διὰ τὸ σκυθρωπάζειν· "παραβλῶπες" δέ, ὅτι παριδόντες τι τῶν ἀναγκαίων παρακαλοῦμεν ὕστερον.

χωλαί τε ῥυσαί τε] ἀπὸ τῶν συμβαινόντων περὶ τοὺς ἱκετεύοντας B=
παθημάτων τὰς Λιτὰς διετύπωσεν.

504. αἵ ῥα τε καὶ μετόπισθ' ἄτης ἀλέγουσι κιοῦσαι] ἁμαρ- B=
τόντες γὰρ καὶ βλαβέντες ὕστερον παρακαλοῦμεν· φροντίζομεν οὖν τῶν ὑπὸ τῆς Ἄτης πεπραγμένων· ἕπονται οὖν αὐτῇ αἱ Λιταί.

505. ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος] εἰκότως διὰ τὸ ἐξ ὑπεροχῆς B=
τῆς ἰσχύος τὰς βλάβας γίνεσθαι. οὐκ ἔστι δὲ ἐναντίον τῷ ἑτέρωθι (Π. 19. 92) λεγομένῳ, ὅτι τῆς Ἄτης ἁπαλὼ τὼ πόδε· ἐκεῖ γὰρ ὡς λεληθότως αὐτῆς ἐπιούσης τοῖς ἀνθρώποις ἀκούσιον θέλει δεῖξαι τὸ πταῖσμα.

507. * αἳ δ' ἐξακέονται ὀπίσσω] ἃ ἐκείνη βλάπτει.

508. * κούρας Διός] πάλιν πρὸς ἐντροπὴν "Διὸς κούρας" φησίν.

509. τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο] πρὸς αὐτοῦ B=
οὖν ἐστιν, ὅπως ἐν ἀσφαλείᾳ διάγοι ἐπικούρους ἔχων· εἰκὸς γὰρ καὶ αὐτὸν ἁμαρτήσειν καὶ εὐμενεῖς τοὺς ἱκετευομένους ἕξειν. φυσιολογεῖ οὖν μὴ θέλων εἰπεῖν ἐξ ὀνόματος, ὡς καὶ αὐτὸς βλαβήσεται

14. supplevi ex B ‖ τὸ scripsi : ὅτι ut B ‖ ὅρα μή σοι B : ὁρμίσοι ‖ 21, 22. ἁμαρτάνοντες ut B ‖ 24. ἀρτίπος B : ἀρτίπους ‖ 25. τῆς B : καὶ ‖ 30. πρὸς W : ὑπὲρ ‖ 31. διάγοι ‖ 32. ἁμαρτῆσαι ut B

μὴ πεισθείς· ἐπάγει οὖν "ἀλλ' Ἀχιλεῦ, πόρε καὶ σύ" (513). §. τὸ δὲ "εὐξαμένοιο" ἀντὶ τοῦ εὐχομένοιο.

B= 512. ἵνα βλαφθεὶς ἀποτίσῃ] ⟨ἵνα⟩ καὶ αὐτὸς ἐν ἄτῃ γεγονὼς ἐπὶ τὰς Λιτὰς καταφύγῃ.

B= 514. ἦ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν] καὶ ἄλλοι, φησίν, εἰσὶν ἀγαθοὶ ἀδικηθέντες, αἰδούμενοι δὲ τὰς Λιτάς.

B= 515. εἰ μὲν γὰρ μὴ δῶρα φέροι] ταῦτα γὰρ τὴν ἱκετείαν δηλοῖ καὶ τὸν ἐνυποπίπτοντα Ἀγαμέμνονα. καὶ διὰ τοῦ "φέροι" αὐτὸν παρέστησεν· καὶ τὸ μὲν ὀργίζεσθαι δικαίως συγχωρεῖ, τὸ δὲ ἀτιμάζειν τὰ διδόμενα καὶ τοὺς ἥκοντας ἀνάξιον Ἀχιλλέως φησίν.

A= 516. ἀλλ' αἰὲν ἐπιζαφελῶς] περισπωμένως, εἰ καὶ τὸ ζάφελος
A+ βαρύνεται. §. τὸ δὲ "ζαφελῶς" γίνεται ἐκ τοῦ ζᾱ ἐπιτατικοῦ καὶ τοῦ ὀφέλλω τὸ αὔξω, τὸ πάνυ ηὐξημένως.

518. χατέουσί περ ἔμπης] ὅτι καὶ δώρων ἄνευ ἐχρῆν βοηθεῖν διὰ τὴν ἀνάγκην;

B= 520, 1. ἄνδρας—ἀρίστους κρινάμενος] ὁ μὲν γὰρ συνέσει, ὁ δὲ
B= ἰσχύι πρωτεύει. §. ἐκ τούτου δῆλον, ὅτι οὐκ ἔστι πρεσβευτὴς ὁ Φοῖνιξ, ἐπεὶ πῶς ἑαυτὸν ἐπαινεῖ;

B= 521, 2. οἵ τε σοι αὐτῷ φίλτατοι] ὡς καὶ δίχα Ἀγαμέμνονος ὀφει-
B= λοντος αὐτοῖς πείθεσθαι. §. τοῦτο δὲ ἐλεγκτικῶς, ὅτι εἰπὼν "οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ" (204) νῦν ἀπειθεῖ τοῖς φιλτάτοις.

A–B= 522. τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς] ⟨μὴ⟩ ὀνειδίσῃς—"τὰ δ' ἐλέγχεα πάντα λέλειπται" (Il. 24. 260)—ὡς τῆς αἰσχύνης τοῦ μὴ πείθειν ἀνατρεχούσης εἰς αὐτούς.

AB– 523. πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι] τὸ πρώην μηνίειν ἀνεμέσητον εἰπὼν ἐκ τοῦ ἐναντίου τὸ νῦν νεμεσητόν φησιν, ὅτι τὸ πρὶν καὶ ἀρχὴ τῆς μάχης καὶ ὁ Ἀγαμέμνων μαινόμενος καὶ πρεσβεία οὐδαμοῦ οὐδὲ δῶρα, νῦν δὲ καὶ τῆς μήνιδος ὁ χρόνος παρήκμασε καὶ ὁ βασιλεὺς ἱκέτης καὶ πρεσβεία φιλτάτων ἀνδρῶν καὶ δώρων ἀριθμὸς πολὺς καὶ ἀνάγκη τοῦ ἁλῶναι.

524. οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα] ὅτι πάντως δεῖ βοηθῆσαι αὐτόν, ὅπερ ἐσκέπασε τῇ διηγήσει.

B= 526. δωρητοί τ' ἐπέλοντο] περὶ πάντων τοῦτο, εἶτα τὸν Μελέαγρον ἐπὶ τῇ ἰσότητι παρέλαβεν· οὐ γὰρ ἂν ἐφάνη τὸ δεινὸν τοῦ μὴ πεισθῆναι, εἴ τινα παρέλαβε τῶν πεισθέντων.

1. ἀχιλλεῦ ‖ 3. supplevi ex B ‖ 11. ζάφελος A : ζάφελες

527. μέμνηται τοδε ἔργον] ὁμοίαν μῆνιν παραγράφει. Ἀχιλλεὺς B=
οὐκ ἐπαμύνει τοῖς Ἕλλησι δι' Ἀγαμέμνονα καὶ ὁ Μελέαγρος ⟨τοῖς⟩
Αἰτωλοῖς διὰ τὴν μητέρα. ἀρχὴ μήνιδος Ἀχιλλεῖ χόλος Ἀπόλλωνος,
καὶ τῷ Μελεάγρῳ Ἀρτέμιδος ὀργή. Ἀχιλλεῖ Βρισηίδος ὕβρις,
Μελεάγρῳ δ' Ἀταλάντης. πρὸς ἑκάτερον πρεσβεύουσι δῶρα δώσειν
ὑπισχνούμενοι. τὰ λοιπὰ ὁ Φοῖνιξ εὔχεται ὅμοια μὴ γενέσθαι·
ὅμως γεγόνασιν. οὐδέτερος αὐτῶν εἶξε τοῖς δεομένοις. τὸν Μελέα-
γρον ἐποίησεν ἡ γυνὴ ἐξελθεῖν τοῦ πολέμου ἐπὶ θύραις ὄντος, καὶ ὁ
Πάτροκλος πλησίον τῶν πολεμίων ὄντων δεηθεὶς προελθεῖν, ἔπειτα
ἀποθανὼν ἔπεισε τῆς ἔχθρας παύσασθαι τὸν Ἀχιλλέα.

μέμνηται τόδε ἔργον ἐγὼ πάλαι] ὅτι ἀειμνήστους ἐπὶ κακῷ ποιεῖ B=
τοὺς ὀργιζομένους ὁ θυμός. οἰκεῖον δὲ διδασκάλῳ ἐκ τῶν παλαιῶν
σωφρονίζειν τοὺς νέους· ποικίλλει δὲ τὴν δέησιν, πιστούμενος τὰς
ἱστορίας διὰ τῶν παλαιῶν προσώπων.

528. ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισιν] ἐπεὶ κατὰ τοῦ Ἀχιλλέως B=
ἐκφέρει τὸ παράδειγμα, φησὶν 'ἐπὶ φίλων γάρ μοι ἐστὶν ὁ λόγος.'

529. Κουρῆτές τ' ἐμάχοντο] ψυχαγωγεῖ μὲν ἡ ἱστορία τὸν θυμόν, B=
δύο δέ φησι, μὴ ἀτιμάζειν ἱκέτας, καὶ ὡς ἄτιμος ἡ μετὰ δέησιν αὐτό-
κλητος ἐπικουρία. §. καλοῦσι δὲ ὑποδιήγησιν τὸ σχῆμα, ὅταν ἱστορικόν B–
τι λάβωμεν ὅμοιον. §. διό ἐστιν ὁ λόγος, ὡς Νηλέα τινὰ Πελίαν τε. ἀντὶ B–
δὲ τοῦ εἰπεῖν 'Κουρῆτες καὶ Καλυδώνιοι' ἐπὶ τὸ γενικώτερον ἦκεν·
διῃρῆ δὲ διῄρηται ἡ Αἰτωλία· καὶ τῆς μὲν Καλυδωνίας ἦρχεν Οἰνεύς,
τῆς δὲ Πλευρωνίας ὁ Θέστιος.

Κουρῆτες] οἱ τὴν Πλευρῶνα οἰκοῦντες ἄποικοι Εὐβοέων· οὕτω δὲ A–
ἐκαλοῦντο ἢ ἀπὸ Κουρίου ὄρους ἢ Κουρέως, ἢ ἐπ⟨ε⟩ὶ στολὰς καὶ κόμας
κορῶν εἶχον· Στράβων δὲ οὕτως (IX p. 465, 6)· "Ἀρχέμαχος ὁ
Εὐβοεύς φησι τοὺς Κουρῆτας ἐν Χαλκίδι οἰκῆσαι· συνεχῶς δὲ
πολεμοῦντας περὶ τοῦ Ληλάντου πεδίου, ἐπειδὴ οἱ πολέμιοι κομῶν
δραττόμενοι κατέσπων αὐτούς, ὀπισθοκόμους γενέσθαι, τὰ δὲ ἔμ-
προσθεν κείρεσθαι· διὸ καὶ Κουρῆτας ἀπὸ τῆς κουρᾶς κληθῆναι.

2. supplevi ex B ‖ 19. ἱστορικόν W: ἱερόν ‖ 20. an δίχα ἐστὶν ὁ λ. ὡς "Πελίην τέκε καὶ Νηλῆα· Πελίης μέν, ὃ δέ" (Od. 11. 254–7)? ‖ 24. schol. praecedenti adhaeret ‖ 25. ἐκαλεῖτο ‖ suppl. sec. ut videtur ‖ 27. συνοικῆσαι Strabonis codd. ‖ 28. πολεμοῦντας Str.: πολεμοῦντες ‖ Ληλάντου Str.: Λίλαντος ‖ 28, 29. τῆς κόμης ἐδράττοντο τῆς ἔμπροσθεν καὶ κ. Str. ‖ 29. ὄπισθεν κομῶντας Str. ‖ 30. γενέσθαι ante κληθῆναι omisi

μετοικήσαντας δὲ εἰς Αἰτωλίαν—τοὺς πέραν οἰκοῦντας διὰ τὸ ἀκούρους φυλάσσειν τὰς κεφαλὰς Ἀκαρνᾶνας ὀνομάσαι."

A+ * "Κουρῆτες" τὸ ἐθνικόν, κούρητες δὲ οἱ νεανίαι, ὡς Μάγνης καὶ Ἴγνης· "ἅμα δ' ἄλλοι—κούρητες" (Il. 19. 248).

533. * καὶ γὰρ τοῖσι κακόν] ὡς καὶ ὑμῖν τὴν μῆνιν.

B= 534. *θαλύσια] ὅτι δεῖ μεμνῆσθαι θεῶν· ἄπαξ δὲ κεῖται ἡ λέξις.

A~B= §. ἃ ἡμεῖς συγκομιστήρια φαμεν.

B= 537. * λάθετο] ἀπὸ μετοχῶν εἰς ῥήματα μετῆλθεν.

B= ἢ λάθετ' ἢ οὐκ ἐνόησε] ⟨"λάθετο"⟩ ἑκὼν παρεπέμψατο, "οὐκ ἐνόησεν" δὲ οὐκ ἔλαβεν εἰς νοῦν. §. ἀξιόπιστον δὲ τὸ διστάσαι, ὡς ἔχει

B= καὶ τὸ "ἢ δρυὸς ἢ πεύκης" (Il. 23. 328). ἀσύγγνωστον δὲ τὴν εἰς θεοὺς παράβασιν ὑποτίθεται, εἶθ' ἑκὼν μὴ τιμῶν εἴτε ἀκουσίως καὶ εἰ μὴ πάντας τιμῶν.

B– 538. δῖον γένος] πρὸς Ἀχιλλέα—οὐδέποτε γὰρ ἐπὶ θεοῦ τάσσει τὴν λέξιν—ὁ δὲ Νικάνωρ ἐπὶ Ἀρτέμιδος· καὶ γὰρ λέγει, φησίν, "αἶψά κ' ἐγὼν ἕρξαιμι, διοτρεφές, ὡς ἀγορεύεις" (Od. 13. 147) ἀγνοῶν, ὅτι "κελαινεφές" ἐστίν.

A B+ 539. * ὦρσεν ἔπι χλούνην] ἐπῶρσεν χλούνην.

A+ B= χλούνην] οἱ μὲν τὸν ἐντομίαν—κνώμενοι γὰρ πρὸς τὰ φυτὰ παρατρίβονται καὶ ἀγριώτεροι γίνονται—οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα —τὸν γὰρ οἰκοτραφῆ σίαλόν φησιν—οἱ δὲ τὸν εἰς γῆν καταβάλλοντα τὰ φυτά.

A+ 540. ἔρδεσκεν] Ἀμμώνιος "ἔρεξεν." §. "ἔθων" δὲ εἰθισμένος τοῖς

AB– τόποις· "ἐριδμαίνωσιν ἔθοντες" (Il. 16. 260). οἰκεία δὲ ⟨ἡ⟩ τιμωρία τῷ περὶ καρποὺς ἡμαρτηκότι.

A+B= 541. προθέλυμνα] τὰ ἄλλα ἐπ' ἄλλοις προτιθέμενα, ὅ ἐστι συνεχῆ. φησὶ γοῦν καὶ "σάκος σάκεϊ προθελύμνῳ" (Il. 13. 130) καὶ "τετραθέλυμνον" (Il. 15. 479).

B= 542. καὶ αὐτοῖς ἄνθεσι μήλων] ἐξ ἑνὸς τὸ πᾶν· "καὶ μηλέαι" γὰρ "ἀγλαόκαρποι" (Od. 7. 115). μηλοφόρον δὲ τιμῶσι τὴν Δήμητρα.

B= 543. τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος] ἴσως ὅτι πρῶτος

1. μετοικῆσαι Str., κατοικοῦντας 2. καλέσαι Str., ὠνόμαζον ‖ add. hanc figuram sec.



‖ 4. ἦσαν post ἄλλοι ut A : omisi ‖ 9. supplevi ex B ‖ 22. add. sec. χωλιεύνην ⟨corr. χλοεύνην ex Apoll. Soph.⟩ τινὰ ἤτοι ⟨legi ἴν///⟩ τὸν παρὰ τὴν εὐνὴν χωλ[όν] ‖ 23. διὰ τοῦ ζ ἔρεξεν A ‖ 24. ἐριδμένωσιν ‖ 27. σάκκος ‖ 30. Δήμητραν ut B

ἔβαλεν· ἅμα δὲ καὶ ἡ Ἀταλάντη. "Μελέαγρος" δὲ παρὰ τὸ μέλειν τῆς ἄγρας· κυνηγοὶ γὰρ οἱ Αἰτωλοί.

546. πολλοὺς δὲ πυρῆς ἐπέβησε] οὐ ζῶν μόνον, ἀλλὰ καὶ τελευ- B=
τήσας διὰ τὴν ἐπ' αὐτῷ μάχην. §. "ἀλεγεινῆς" δὲ πυρῆς, ἐπεὶ B=
ἀλγοῦμεν ἐπὶ τοῖς τεθνεῶσιν.

547, 8. "ἦ δ' ἀμφ' αὐτῷ" καὶ ἑξῆς "ἀμφὶ συὸς κεφαλῇ·" δείκνυσι δέ, B=
ὅτι οἱ θεοβλαβεῖς περὶ τῶν οὐδενὸς ἀξίων διαφέρονται πρὸς ἀλλήλους.

ἀμφὶ συὸς κεφαλῇ] ἐσιώπησε τὴν Ἀταλάντην αἰδούμενος τὸν B=
Ἀχιλλέα.

551. οὐδὲ δύναντο] ὡς καὶ οὐδέποτε Τρῶες. §. Ἀριστοφάνης δὲ "οὐδ' ἐθέλεσκον·" ⟨καὶ ἔστιν⟩ Ὁμηρικόν. A+

553, 4. ὅ⟨ς⟩ τε καὶ ἄλλων οἰδάνει] οἰδαίνεσθαι ποιεῖ, ὡς "μελάνει" AB=
(Il. 7. 64)· καὶ ὅτι μὲν ἀνθρώπινον τὸ πάθος, οἶδεν, ἀλλὰ περιγίνεσθαι παραινεῖ, καὶ ἡμᾶς μὲν αὐτοῦ ἐκτρέπει, Ἀχιλλεῖ δὲ συγγινώσκει.

555. ἦ τοι ὃ μητρὶ φίλῃ] καθόλου· οὐ γὰρ ἦν αὐτῷ τότε φίλη ἡ B=
μήτηρ.

557. κούρῃ Μαρπήσ⟨σ⟩ης] Ἴδας ὁ Ἀφαρέως μὲν παῖς κατ' ἐπί- B=
κλησιν, γόνος δὲ Ποσειδῶνος, Λακεδαιμόνιος δὲ τὸ γένος, ἐπιθυμήσας γάμου παραγίνεται εἰς Ὀρτυγίαν τὴν ἐν τῇ Χαλκίδι, καὶ ἐντεῦθεν ἁρπάζει τὴν Εὐηνοῦ θυγατέρα Μάρπησ⟨σ⟩αν. ἔχων δὲ ἵππους Ποσειδῶνος ἠπείγετο. ὁ δὲ Εὐηνὸς εἰς ἐπιζήτησιν ἐξῆλθε τῆς θυγατρός, ἐλθὼν δὲ κατὰ τὸν Λυκόρμαν ποταμὸν τῆς Αἰτωλίας, μὴ καταλαβών, ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν· ὅθεν ὁ Λυκόρμας Εὐηνὸς μετωνομάσθη. κατὰ δὲ τὴν Ἀρήνην ἀπαντήσας Ἀπόλλων τῷ Ἴδᾳ λαμβάνεται τῆς Μαρπήσ⟨σ⟩ης· ὁ δὲ ἔτεινε τὸ τόξον καὶ διεφέρετο περὶ τοῦ γάμου, ἕως κριτὴς ὁ Ζεὺς γενόμενος αἵρεσιν τοῦ γάμου ἐπὶ τῇ Μαρπήσ⟨σ⟩ῃ τίθεται. ἡ δὲ δείσασα, μὴ ἐπὶ γήρᾳ καταλίπῃ αὐτὴν ὁ Ἀπόλλων, αἱρεῖται τὸν Ἴδαν. ὡς διάσημον οὖν τὴν ἱστορίαν περιείργασται.

καλλισφύρου] σημεῖόν ἐστι συμμετρίας σώματος· ὡς ἐπίπαν γὰρ B=
παχεῖαι τὰ κάτω αἱ γυναῖκες.

* καλλισφύρου] κάτωθεν γὰρ ὁρᾶται τὸ θῆλυ εἶδος. B+

1. ἐν μελέτῃ B, μέλλειν ‖ 7. ἀλλήλους B: μάχην ‖ 11. supplevi ex A ‖ 14. αὐτῆς ut A B ‖ 16. ἤτοι ‖ 24, 25. ὠνομάσθη B ‖ 27. οἷς pro ἕως B ‖ 29. οὕτως δὴ Σιμωνίδης τὴν B ‖ διάσιμον

B= 558, 9. ὃς κάρτιστος γένετ' ἀνδρῶν τῶν τότε] ἐπαινετέον τὸ ἀκριβὲς περὶ τὴν ἑκάστου ἠθοποιίαν. ὁ μὲν Φοῖνιξ κάρτιστον εἰπὼν τὸν Ἴδαν, ἵνα μὴ δόξῃ καὶ τοῦ Ἀχιλλέως αὐτὸν προτετιμηκέναι, ἐπήνεγκε "τῶν τότε," τῷ δὲ Νέστορι ἀθωπεύτως εἴρηται "οὐ γάρ πω τοίους ἴδον" (Il. 1. 262).

560. * νύμφης] τῆς Μαρπή⟨σ⟩σης.

B= 561. *τὴν δέ] τὴν Κλεοπάτραν.

B= * πατὴρ καὶ πότνια μήτηρ] ὁ Ἴδας καὶ ἡ Μάρπη⟨σ⟩σα.

B= 561, 2. τὴν δὲ τότ' ἐν μεγάροισι—Ἀλκυόνην καλέεσκον] ἀντὶ τοῦ

B= ἀλκυόνα, παρὰ τὸ ἐν ἁλὶ κύειν. §. ἀπὸ τῶν αὐτοῖς συμβεβηκότων τὴν Κλεοπάτραν οὕτως ἐκάλουν, ὡς Μεγαπένθη καὶ Ὀδυσσέα· ἔκλαιεν οὖν ἡ Μάρπησ⟨σ⟩α καλοῦσα τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν ἥρπασεν ὁ Ἀπόλλων.

A= 564. κλαῖ', ὅτε μιν] οὕτω Ζηνόδοτος· Ἀρίσταρχος δὲ "κλαῖεν ὅ μιν."

A~ 567. κασιγνήτοιο φόνοιο] "κασιγνήτοιο" ὡς "γυναῖκά τε θήσατο μαζόν" (Il. 24. 58), εἰ μήποτε καθ' Ὅμηρον εἷς ἐστιν· δύο δὲ ἦσαν, Κλυτίος καὶ Προκάων.

A+B= κασιγνήτοιο φόνοιο] τοῦ ἀδελφ⟨ικ⟩οῦ· λείπει δὲ ἡ περί.

570. πρόχυν καθεζομένη] παντελῶς καθημένη, ὅλη παρειμένη, ἵνα πλέον ᾖ τὸ πάθος· οἱ δὲ γλωσσογράφοι 'ἐπὶ γόνυ.'

AB= 571. ἠεροφοῖτις] ἡ ἐν τῷ σκότῳ φοιτῶσα· αἱ ποιναὶ γὰρ

A+B= ἀπροοράτως ἔρχονται. §. πῶς δὲ Ἅιδην ἐπικαλεῖται, ἡ δὲ Ἐρινὺς ἔρχεται; δηλονότι ὡς ὑπηρέτις.

572. * ἀμείλιχον] ἀπαραίτητον.

AB= 573. δοῦπος] ψόφος δέος ἐμποιῶν, ὅ ἐστι φόβον. §. "ὅμαδος" δὲ παρὰ τὸ πάντας ὁμοῦ ᾄδειν, ὅ ἐστι βοᾶν.

A= 575. θεῶν ἱερῆας] ἐντεῦθεν καὶ Σοφοκλῆς τὸν χορὸν Μελεάγρου ἐξ ἱερέων ποιεῖ.

B= 579. πεντηκοντόγυον] ἐπίτηδες, ἵνα δείξῃ μείζονα τὰ Ἀγαμέμ-

AB+ νονος δῶρα. §. γύη δὲ μέτρον γῆς· "τὰς πολυχρύσους γύας" (Eur. Bacch. 13) ἀντὶ τοῦ ἀρούρας.

5. iteratur * ἵνα μὴ καταισχύνῃ Ἀχιλλέα μεγαλοφρονοῦντα ἐπὶ κράτει, εἶπε "τῶν τότε" ‖ 8. iteratur * μήτηρ] ἡ Μάρπησ⟨σ⟩α ‖ 12. post αὐτὴν add. τὴν Μάρπησσαν ut B: omisi ut A ‖ iteratur ad v. 564 * μιν] αὐτὴν τὴν Μάρπησσαν, ὅτε ἥρπασεν ὁ Ἀπόλλων ‖ 17. a in Προκάων non certum ‖ 18. supplevi ex A B ‖ 27. ἐν τῷ Μελεάγρῳ A, Οἰδίποδος ‖ 30. γύη A: γύης ‖ τὰς etiam codd. Euripidis, τοὺς coni. Elmsley

580. ψιλὴν ἄροσιν] διὰ τοῦ σ̄, ψιλὴν γῆν· λείπει δὲ ἡ εἰς, εἰς ἄροσιν. "ψιλήν" δὲ ἀντὶ τοῦ ἄδενδρον. A + B=

583. σείων κολλητάς] διὰ τὸ ἐπικίνδυνον, ὡς καὶ τοῖς πολεμίοις μέσον ἦν τὸ τεῖχος· "σείων" δὲ πρᾴως κινῶν διὰ τὸ γῆρας. AB=

584. πολλὰ δὲ—κασίγνηται] οὕτως Ἀρίσταρχος· ἔχει δὲ λόγον καὶ τὸ "κασίγνητοι·" πλείους γάρ εἰσιν αὐτῷ ἀδελφοὶ καθ' Ὅμηρον, "οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν" (Il. 2. 641). δύνανται δὲ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ αἱ θήλειαι ἀκούεσθαι, Γόργη καὶ Δηιάνειρα, Πολυξὼ καὶ Αὐτονόη. AB–

καὶ πότνια μήτηρ] ἡ αἰτία τῆς ὀργῆς, ὡς καὶ Ἀγαμέμνων. B=

586. οἵ οἱ κεδνότατοι] ὡς οἱ νῦν. πᾶν δὲ εὗρε πρόσωπον ἱκανὸν πρὸς πειθώ. B=

588. *ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο] ὅτε καὶ αὐτοῦ ἥψατο τὸ δεινόν.

590. ἐύζωνος παράκοιτις] καὶ πῶς οὐκ ἄτοπον μόνῃ γυναικὶ πείθεσθαι; ἢ ὅτι ὁ καιρὸς ἦν ὁ πείθων, οὐχ ἡ γυνή· ὅτι γὰρ οὐ γυναικοκρατεῖται, δῆλον· οὐ γὰρ ἐρωτικοῖς ⟨αὐτὴ⟩ ἐχρήσατο ῥήμασι, καὶ παυθέντος τοῦ θυμοῦ παρακαλεῖ. AB=

593. πῦρ ἀμαθύνει] σποδὸν καὶ κόνιν ἐργάζεται, ἣν ἄμαθον εἶπεν· "τύχε γάρ ⟨ῥ'⟩ ἀμάθοιο βαθείης" (Il. 5. 587). A + B–

594. *τέκνα δέ τ' ἄλλοι ἄγουσι] ἔνιοι γράφουσι "τέκνα δὲ δήιοι ἄγουσι." A +

598. εἴξας ᾧ θυμῷ] "εἴξας" πάλαι ὅτε ὠργίζετο, οὐ νῦν ὅτε ἤμυνεν. ἢ θυμὸν τὸν ἐπιλογισμόν. B=

τῷ δ' οὐκέτι δῶρ' ἐτέλε⟨σ⟩σαν] τοὺς γὰρ ἀναγκαίους παρεὶς πέπεισται γυναικί. B=

600. *ἀλλὰ σύ] μόγις παρρησιάζεται· ὡς μέγα δὲ κακὸν ἀπέχεται ⟨αὐτῷ⟩. B=

601, 2. κάκιον δέ κεν εἴη νηυσὶν καιομένῃσιν ἀμυνέμεν] ἐλέγχει, ὅτι καὶ ἄκων ὕστερον αὐτόκλητος ἐπικουρήσει. B=

602, 3. ἀλλ' ἐπὶ δώροις ἔρχεο] "ἐπὶ δώροις" ἀντὶ τοῦ μετὰ δώρων, λαβὼν τὰ δῶρα οὕτως ἔξελθε συμμαχήσων.

1. σ̄ A: ῑ ut B ‖ 5. αἱ Ἀριστάρχου A ‖ 7. οὐ γὰρ A: οἵ τ' ἄρ' ‖ 9. Γόργη A: Ὀργὴ ‖ Πολυξὼ Benseler: Πολυζὼ ‖ 13. ἄψεται ‖ 17. supplevi ex B ‖ 18. πεφθέντος A ‖ 21. δῆοι Bekker ‖ 28. supplevi ex B

A+ B− 605. τιμῆς ἔσεαι] οἳ μέν, ὡς ἀναλώσας ἔχω, ἠνάλωκα, ἀντὶ τοῦ τιμηθήσῃ καὶ ἔσῃ τιμήεις—καὶ περισπᾶται διὰ τὸ "καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον" (Il. 18. 475)—Ἀρίσταρχος δέ, τῆς τιμῆς· διὸ ἐπάγει "⟨οὔ τι με ταύτης⟩ χρεὼ τιμῆς" (607, 8). τοῖς γὰρ ἔμπροσθεν ἀντειπεῖν οὐκ ἔχων ἐκ τοῦ ἐσχάτου ἄρχεται.

B= 607, 8. οὔ τι με ταύτης χρεὼ τιμῆς] πρὸς τὸ εἰρημένον ὑπὸ Φοίνικος "ἶσον γάρ σε θεῷ τίσουσ⟨ιν⟩ Ἀχαιοί" (603) φησὶν Ἀχιλλεὺς "οὔ τι με ταύτης χρεὼ τιμῆς—ἣ μ' ἔξει," ὅ ἐστιν, οὐκ ἀγαθόν μοι τοιαύτη τιμή, δι' ἣν ἐγὼ μέχρι θανάτου ταῖς ναυσὶν ἐνδιατρίψω. εἶπε γὰρ "εἰ μέν κ' αὖθι μένω⟨ν⟩—ὤλετο μέν μοι νόστος" (412).

B= 608. τετιμῆσθαι Διὸς αἴσῃ] πιθανῶς τῇ παρὰ τοῦ Ἀγαμέμνονος τιμῇ ἀντέθηκε τὴν παρὰ τοῦ Διός. οὐ καλῶς δὲ χρῆται ταῖς εὐτυχίαις.

B= 612. μή μοι σύγχει θυμόν] ὁμολογεῖ μὲν ἡττῆσθαι τῷ ἐλέῳ, τὴν δὲ ἀφορμὴν διαβάλλει.

A+ ὀδυρόμενος καὶ ἀχεύων] "ἐν⟨ὶ⟩ στήθες⟨σ⟩ιν ἀχεύων" οὕτως ἡ γραφή, οὐχὶ "ὀδυρόμενος."

A+ 614. ἵνα μή μοι ἀπέχθηαι φιλέοντι] "μή μοί" ἐχρῆν ὀρθοτονεῖν, ἵνα ἀντιδιαστέ⟨λ⟩ληται Ἀγαμέμνονι.

B= 615. καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν] δεῖγμα, ὅπως χρὴ διακεῖσθαι τοὺς φίλους συναιρομένους ἀλλήλοις.

B= 616. ἶσον ἐμοὶ βασίλευε] κοινὰ γὰρ τὰ τῶν φίλων. ἅμα δὲ καὶ ἀντὶ τῆς χάριτος, ἣν λαβεῖν βούλεται ὁ Φοῖνιξ, ἑτέραν αὐτῷ μείζονα δίδωσι, τὴν δέησιν ἀποκρουόμενος αὐτοῦ.

καὶ ἥμισυ μείρεο τιμῆς] ἐδήλωσε τὸ "ἶσον ἐμοί."

B− 619. φρασσόμεθ' ἤ κε νεώμεθα] ὀργῆς ἴδιον μὴ ἐφ' ἑνὶ τὴν γνώμην ἐρεῖδειν· ἔφη γοῦν "ἣ μ' ἔξει" (609)· εὔελπιν δὲ ποιεῖ τὸν γέροντα, σκοπήσειν τὸ συμφέρον λέγων.

B= 621, 2. ὄφρα τάχιστα ἐκ κλισίης νόστοιο μεδοίατο] παρενοχλεῖσθαι ἐπὶ πλέον οὐ θέλει ταῖς νουθεσίαις· οἶδε γάρ, ὅτι παρόντες δυσωπήσουσιν· καὶ πάλιν τραχέως ἐκδιώκειν οὐχ Ἑλληνικόν.

B= 622. τοῖσι δ' ἄρ' Αἴας] οἱ δ' εἰσὶ ῥήτορες· Ὀδυσσεὺς συνετός, πανοῦργος, θεραπευτικός· Ἀχιλλεὺς θυμικός, μεγαλόφρων· Φοῖνιξ ἠθικός, πρᾶος, παιδευτικός· Αἴας ἀνδρεῖος, σεμνός, μεγαλόφρων,

4. supplevi ex B ‖ 15. σύγχη ‖ 24. ἐβούλετο B

ἁπλοῦς, δυσκίνητος, βαθύς. εἰ δέ που κινηθείη ἐπικαίρως, εὐστόχως διὰ βραχέων φησίν. νῦν γοῦν οὐκ ἐκινήθη, πρὶν ὁ Ἀχιλλεὺς αὐτὸν ἐπὶ παντὶ δυσχεραίνων παρώξυνεν. ἐλευθερίως οὖν ἄρχεται, ὡς οὐδὲ πρεσβεύσασθαι πρὸς τὸν τοιοῦτον ἐχρῆν· ἐκείνου δὲ Πατρόκλῳ διαλεχθέντος (620), καὶ αὐτὸς πρὸς τὸν συμπρεσβευτήν. ἄτοπον δὲ ⟨ἂν⟩ ἦν μετὰ Φοίνικα καὶ Ὀδυσσέα πείθειν· τὸ δὲ μὴ λαλεῖν περισσὴν αὐτῷ τὴν πάροδον ἂν ἐποίει. §. ὅτι δὲ πάντοθεν ἰσότιμος αὐτῷ, διὸ ὀργίζεται.

625. ἴομεν· οὐ γάρ μοι δοκέει] εὖ τὸ μὴ ἀπὸ δεήσεως ἄρξασθαι, ἀλλὰ ἀγανακτοῦντα. πολλὴν δὲ ἐμφαίνει τὴν μεγαλοφροσύνην κελεύων ἀπαλλάσσεσθαι. §. "ἴομεν" ὁμοιόν ἐστι τῷ "εἰ μὲν δὴ νόστον γε μετὰ φρεσίν" (434). B=

* μύθοιο] τῆς πρεσβείας, οἱ δὲ τῆς στάσεως.

626. ἀπαγγεῖλα δὲ τάχιστα· χρὴ μῦθον] "τάχιστα·" ὑποκνίζει, μὴ καὶ πορισάμενοι μηχανὴν σωτηρίας οὐ δεηθῶσιν αὐτοῦ. ἅμα δὲ καὶ τὸ πλῆθος τῶν καραδοκούντων δυσωπεῖ Ἀχιλλέα· φησὶ γὰρ "ἀπαγγεῖλαι τάχιστα χρὴ μῦθον Δαναοῖσι." B=

* ἔοικε δηλοῦν, ὡς ὅτι δευτέρας ἁπάντων δεήσει πρεσβείας. B=

627. * ἐλέγχει τὸ ἀπηνὲς διὰ τοῦ "καὶ οὐκ ἀγαθόν." B=

628. * οἳ—ποτιδέγμενοι] κοινοποιεῖ τὴν ὕβριν.

629. * ἴδιον τῶν θυμουμένων μὴ πρὸς τοὺς μεμφομένους ἀποτείνεσθαι. B=

630. * σχέτλιος] παρρησιάζεται καὶ οὐκ Ἀγαμέμνονος μέμνηται, ἀλλ' ὡς Φοῖνιξ "οἵ τε σοι αὐτῷ" (521). B=

632. καὶ μέν τις τε κασιγνήτοιο φονῆος ⟨ποινὴν—ἐδέξατο⟩] ἔθος γὰρ ἦν τοῖς συγγενέσι διδόναι πρὸς τὸ μὴ πλέον ἐνιαυτοῦ φεύγειν. λέγει οὖν, μὴ λαβὼν ἐκεῖνος οὐ παρίησι μόνον ἐνιαυτὸν φεύγειν. B=

κασιγνήτοιο φόνοιο ⟨—ποινήν⟩] ἀδελφικοῦ, ἢ "φόνοιο" φονέως· ἢ "φόνοιο ποινήν·" διασύρει δὲ τὴν αἰτίαν τῆς ἔχθρας. A–

636. σοὶ δ' ἄληκτόν τε κακόν τε] ἐντέχνως ἡ μετάβασις ἐκ τοῦ περὶ αὐτοῦ λόγου εἰς τὸν πρὸς αὐτόν· παρρησίᾳ δὲ χρῆται ὡς συγγενής. B=

637, 8. εἵνεκα κούρης οἵης] ἵνα μὴ διὰ ἀκολασίαν ἀλλὰ διὰ γέρας δοκῇ λυπεῖσθαι. B=

κούρης οἵης. νῦν ⟨δέ τοι ἑπτὰ παρίσχομεν⟩] ὁ Ἀχιλλεὺς ὡς B=

1. εὐκαίρως B ‖ 2. καὶ ante διὰ add. B ‖ 7. ἂν ἐποίει scripsi : ἐνεποίει, ἐποίει B ‖ 25. τοῦ post πλέον omisi ‖ 26. παρίησι W : παρήσειν, ἐᾷ B ‖ φεύγειν B : φυγεῖν ‖ 28. ποινῶν ‖ 31. διὰ νεκροκτασίαν B ‖ 33. νῦν scripsi : ἦν a lemmate seiunctum ‖ Ἀ. εἰς ut B

γυναῖκα ἠδικῆσθαι ἔφη, οὗτος ⟨δὲ⟩ κούρην αὐτήν φησι διασύρων αὐτοῦ τὴν πρόφασιν. καλῶς δὲ ⟨ταῦτα⟩ μετὰ ⟨τὴν⟩ πέψιν τοῦ θυμοῦ.

B= 639. σὺ δ' ἴλαον] μεγαλοφυῶς θωπείας μετέχει ὁ λόγος· θεοποιεῖ γὰρ αὐτὸν διὰ τοῦ "ἵλαον."

B= 640. αἴδεσσαι δὲ μέλαθρον] ἀξιολόγῳ ὀνόματι ἱκετεύει· τὸ γὰρ "αἴδεσσαι—μέλαθρον" 'τοὺς πρόσφυγας τῆς ἑστίας αἴδεσαι.' τὸ δὲ ὁμοτράπεζον καὶ ὁμόστεγον προτείνας καὶ πολέμιον ἂν ἐκίνησεν, ὡς καὶ τοῦ οἴκου συμπρεσβεύοντος.

* δέ τοι] ὁ "δέ" ἀντὶ τοῦ γάρ.

B= 642. κήδιστοί τ' ἔμμεναι] ἐκ τοῦ πλήθους φήσας τοὺς εὐνουστάτους καὶ συγγενικωτάτους ἥκειν πολλὰ δι' ὀλίγων ἐσήμανεν, ὑπεροψίας ἐπιτίμησιν, μετριότητος ὑπόμνησιν, αἰδῶ τῶν ἀνθρωπίνων παθῶν, ἔλεον ἱκεσίας, ἐντροπὴν συγγενείας· καὶ οἷος ἀνήρ, ἀρετῇ μὲν ἴσος, ἀνθρωπισμῷ δὲ βελτίων, λόγῳ δὲ σύμβουλος, συγγενὴς δὲ γενναῖος, ὥστε μηδ' ὁτιοῦν ἀντειπεῖν Ἀχιλλέα.

B= 645. πάντα τί μοι κατὰ θυμόν] ὅτι ἰσχυρὸς ὁ λόγος, δείξει τὸ "οὐ γὰρ πρὶν πολέμοιο" (650).

B= πάντα τί μοι κατὰ θυμὸν—ἀλλά μοι οἰδάνεται] ὁμολογεῖ θυμῷ

B= κρατεῖσθαι. §. διὰ τὸ δεινὸν τῆς ῥητορικῆς ἢ τὸ σύντομόν ⟨φησι τὸ "κατὰ θυμόν"⟩.

B= 646. ἀλλά μοι οἰδάνεται κραδίη—ὀππότ' ἐκείνων μνήσομαι] πάλιν τῆς ἐξ Ἀγαμέμνονος ὕβρεως μέμνηται, δεικνὺς ὡς βούλεται μὲν εἴκειν, τὸ δὲ μέγεθος τῆς ὕβρεως οὐκ ἐπιτρέπει.

A+B= 647. ἀσύφηλον ⟨—ἔρεξεν⟩] ἀντὶ τοῦ ἐπιρρήματος, 'μετὰ παραλογισμοῦ ἔβλαψεν.'

B= 649. ἀλλ' ὑμεῖς ἔρχεσθε] σκληρὸν ⟨ἂν⟩ ἦν τὸ μετὰ τῆς προθέσεως εἰπεῖν 'ἀπέρχεσθε.'

B= καὶ ἀγγελίην ἀπόφασθε] ἔχει τινὰ ἐλπίδα. νῦν γάρ, φησίν, ἀποπρεσβεύσασθε· ὕστερον δὲ ταῦτα ποιήσω.

B= 651. πρὶν υἱὸν Πριάμοιο] πρὸς μὲν Ὀδυσσέα ἀποπλεύσεσθαί φησιν—ἔτι γὰρ αὐτὸν σφόδρα ⟨ἡ ὀργὴ⟩ ἐξέμαινε—πρὸς δὲ Φοίνικα ἤδη πραϋνόμενος σκέψεσθαι περὶ τοῦ μένειν, τὸν δὲ Αἴαντα αἰδεσθεὶς τότε ἐπαμυνεῖν, ἡνίκα ἂν πλησίον γένωνται οἱ πολέμιοι,

1. supplevi ex B ‖ 2. πρόφασιν B: πρότασιν ‖ supplevi ex B ‖ 13. ἂν ἔοι ante ἀνήρ ut B: omisi ‖ 16. δηλοῖ B, δείξειν ‖ 24. ἐπιρρήματος A: ἀσυφήλως B, ἐπιρήτως ‖ 31. supplevi ex B ‖ 32. σκέψασθαι ut B ‖ post σκ. et 33. post ἐπ. omisi φησὶν ut B ‖ 33. ἐπαμυνεῖν B: ἐπαμύνειν

οὔτε ἀνέλπιστον τὴν συμμαχίαν τοῖς Ἕλλησι καταστῆσαι θέλων οὔτε ἕτοιμον, ἵνα μὴ μέτρια δοκῇ πεπονθέναι.

Ἕκτορα δῖον] οὐχ Ὁμηρικὸν τὸ ἐπίθετον, ἀλλ' ὁ Ἀχιλλεὺς B= πεποίηκεν αὐτὸ λυπῶν τοὺς Ἀχαιούς. καὶ Ὀδυσσεῖ ἔλεγε "νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ" (356), ἐπαινῶν καὶ μεγαλύνων τὸν πολέμιον.

652. * Μυρμιδόνων ἐπί τε κλισίας] ἔσχαται γὰρ αὗται.

653. σμῦξαι πυρὶ νῆας] σμύχειν ἐστὶ τὸ καπνὸν διὰ τοῦ πυρὸς AB= ἀνιέναι, ὃ καὶ τύφειν λέγεται.

655. σχήσεσθαι ὀΐω] "ὀΐω" ἦθος ἐμφαίνει, καὶ διὰ τὸ ἄδηλον τῶν μελλόντων ἀσφαλῶς εἴρηται.

656. ὣς ἔφαθ' · οἳ δὲ ἕκαστος] Πάτροκλος οὐ λαλεῖ, ἵνα μὴ νῦν B= προσκρούσας Ἀχιλλεῖ ὕστερον μὴ πείσῃ.

657. σπείσαντες] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου "λείψαντες." A+

658. * Πάτροκλος δὲ—κέλευσεν] καλῶς, οὐ παρόντων ἐκείνων.

660. στόρεσαν λέχος, ὡς ἐκέλευεν] Ζηνόδοτος "ἐγκονέουσαι."

661. κώεά ⟨τε⟩ ῥῆγός τε λίνοιό ⟨τε⟩ λεπτὸν ἄωτον] οἰκεία ⟨ἡ⟩ A=B− κοίτη ⟨τῷ⟩ γέροντι. καὶ ὁ Νέστωρ καθεύδει "εὐνῇ ἔνι μαλακῇ" (Il. 10. 75), οἱ δὲ ἑταῖροι τοῦ Διομήδους "ὑπὸ κρασὶν ⟨δ'⟩ ἔχον ἀσπίδας" (ib. 152) καὶ αὐτὸς ῥινὸν ὑπέστρωτο "βοὸς ἀγραύλοιο" (ib. 155). ῥῆγός τε]ῥῆξαι τὸ βάψαι· βαπτὸν οὖν περιβόλαιόν φησιν· οἱ δὲ τάπητα. AB+

664. * παρκατέλεκτο] ὡς τούτου νενομισμένου.

665. * Φόρβας βασιλεὺς Λέσβου.

668. Σκῦρον ἑλών] οἱ μὲν νεώτεροι ἐκεῖ τὸν παρθενῶνά φασιν, ἔνθα τὸν Ἀχιλλέα ἐν παρθένου σχήματι τῇ Δηιδαμείᾳ ⟨συγ⟩κατακλίνουσιν, ὁ δὲ ποιητὴς ἡρωικῶς πανοπλίαν αὐτὸν ἐνδύσας εἰς τὴν Σκῦρον ἀπεβίβασεν οὐ παρθένων ἀλλ' ἀνδρῶν διαπραξόμενον ἔργα, ἐξ ὧν καὶ τὰ λάφυρα δωρεῖται τοῖς συμμάχοις· εἶλε δὲ τὴν Σκῦρον, ὅτε εἰς Αὐλίδα ἐστρατολόγουν διὰ τὸ εἶναι ἐκεῖ Δόλοπας ἀποστάντας τῆς Πηλέως ἀρχῆς· "ἔπλεον εἰς Σκῦρον Δολοπηίδα" (Schneider Call. fr. adesp. 333)· τότε δὲ καὶ τὸν Νεοπτόλεμον ἐπαιδοποιήσατο· κ' δὲ ἔτη ἐστὶ πάσης τῆς παρασκευῆς τοῦ πολέμου, ὥστε δύναται ὁ Νεοπτόλεμος ὀκτωκαιδεκαέτης στρατεύειν.

8. σμύχειν B : σμύξαι ‖ 9. ἀνίεσθαι ὃ κ. τύφεσθαι ut AB ‖ 17, 18. supplevi ex AB ‖ 22. νενομισμένον ‖ 25. παρακλίνουσιν coni. Horneius ‖ 26. ἡρωικὴν coni. W ‖ 27. διαπραξάμενον ‖ 33. ὀκτὼ καὶ δέκα ἔτη : corr. Horneius

A– Σκῦρον ἑλὼν—Ἐνυῆος πτολίεθρον] ⟨Ἐνυεὺς⟩ Διονύσου καὶ Ἀριάδνης, ὃς Κρῆτας ἀγαγὼν ἔκτισε τὴν πόλιν· οἱ δὲ ὁμωνύμους δύο Σκύρους φασίν. §. ὅτι περὶ Αὐλίδα ἡ Σκῦρος.

B+ 671. ἀνασταδόν, ἔκ τ' ἐρέοντο] προσδοκῶντες χρηστόν τι ἀκούειν.

B+ 673. *πολύαιν' Ὀδυσεῦ] καὶ Νέστωρ "Ὀδυσσῆι ⟨δὲ⟩ μάλιστα" (180).

B~ 674. ἦ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι] ἐμιμήσατο τὸν σπουδάζοντα τὸ καίριον μαθεῖν.

A+B= 678. *⟨καλῶς τὸ⟩ "σβέ⟨σ⟩σαι·" πυρώδης γὰρ ὁ θυμός.

679. σὲ δ' ἀναίνεται] εὐσχημόνως οὐ κατῄσχυνε τὴν κόρην· διὰ γὰρ τοῦ "σέ" 'τὴν συγγένειάν σου' δηλοῖ.

680. *αὐτὸν σὲ φράζεσθαι] ταῦτα γὰρ αὐτῷ εἶπεν (347).

B= 682. αὐτὸς δ' ἠπείλησεν] καὶ μὴν Φοίνικι μὲν ἔλεγε "φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερα" (619), Αἴαντι δὲ "οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι—πρίν γ' υἱὸν Πριάμοιο" (650)· ἀλλ' ἴσως Ὀδυσσεὺς τὰ πρὸς αὐτὸν μόνον ῥηθέντα (360) ἀγγέλλει, ἀνακόπτει δὲ τὰ Αἴαντος εἰπὼν "εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν" (688), ὅπως μὴ αἰσχύνηται Αἴαντος πλέον κατορθώσαντος. ἢ ἵνα ἐκκόψῃ αὐτῶν τὴν ἐλπίδα καὶ εὐψύχως μαχέσωνται· ὅθεν καὶ παραινεῖ ὁ Διομήδης "καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους" (708)· ὅπερ ἀγνοήσαντές τινες ὠβέλισαν τὰ ἔπη.

684. *παραμυθήσεσθαι] διὰ τοῦ ε̄.

685. οὐκέτι δήετε] οὐ 'δήομεν' μιμητικῶς γὰρ ἀπαγγέλλει.

AB= 688. ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε] συντέμνει τὸ ἀηδὲς τῆς ὑποθέσεως, ἄλλως τε ἵνα μὴ δοκῇ ἀτιμάζειν τοὺς λοιποὺς.

A= ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε] τούτους (688–692) Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος τὸν "αὖριον—" (692) μόνον.

B= 690. Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο] οὐχ ὡς πρεσβεύσαντος τοῦ Φοίνικος, ἀλλ' εἰς πίστιν τοῦ ⟨ἀπο⟩πλευσεῖσθαι.

A= 694. μῦθον ἀγασσάμενοι] Ζηνόδοτος τὸν στίχον οὐ γράφει, Ἀρίσταρχος δὲ ἀθετεῖ.

B= 697. Ἀτρεΐδη κύδιστε—μὴ ὄφελες λίσσεσθαι] οὐδὲ ὅλως ἐσχημάτισε τὸν λόγον πρὸς Νέστορα εἰπόντα "ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (56), ἀλλ' ὡς συναλγῶν Ἀγαμέμνονι ταῦτά φησιν.

9. supplevi ex B ‖ 18. αἰσχύνοιτο ut B ‖ 19. μαχέσονται ‖ 24. διὰ ante τὸ add. B ‖ 29. τοῦ B : ὅτι ‖ supplevi ex B

699. μυρία δῶρα διδούς] ἐπαινεῖ τὴν προαίρεσιν ὡς ὑπὲρ τῶν Β=
Ἀχαιῶν πολλὰ παρασχόντος.

708. * ἐχέμεν] ἀντὶ τοῦ ‘ἔχε σύ,’ ὦ βασιλεῦ δηλονότι.

709. καὶ δ' αὐτὸς ἐν⟨ὶ⟩ πρώτοισι μάχεσθαι] στρατηγικῶς, πρὸς Β+
τὸ καταπλῆξαι τοὺς ἐναντίους τῷ πρόθυμον γενέσθαι τὸν βασιλέα.

711. * ἀγασσάμενοι] γράφεται “φρασσάμενοι.”

712. * σπείσαντες] Ἑρμῇ δηλονότι.

ΕΙΣ ΤΗΝ Κ.

Φασὶ τὴν ῥαψῳδίαν ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ εἶναι
μέρος τῆς Ἰλιάδος, ὑπὸ δὲ Πεισιστράτου τετάχθαι εἰς τὴν ποίησιν.
§. ἀγρυπνεῖ δὲ ὁ στρατηγὸς πρῶτα μέν, ὅτι τοὺς πρώην πολιορκουμένους Β=
πολιορκοῦντας ὁρᾷ, καὶ ὅτι ἡ εἰς Ἀχιλλέα ἐλπὶς ἐξε⟨κέ⟩κοπτο, οὗ
μάλιστα τὴν αἰτίαν εἶχεν. ἀκήκοε δὲ καὶ τοῦ ὀνείρου λέγοντος “οὐ
χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα” (Il. 2. 24). τὰ μὲν γὰρ
ἄλλα τῆς τύχης, τοῦ δὲ ἀμελεῖν ἡ αἰτία ἀπαραίτητος τοῖς στρατη-
γοῖς· πολλῶν δὲ κατὰ τὴν ποίησιν διηνυσμένων μετὰ μάχας ἱππικὰς
καὶ πεζάς, θεῶν, τρώσεις μονομαχίας, δημηγορίας, ἐκκλησίας, ἀνδρῶν
τε καὶ θεῶν πρεσβείας καὶ μέχρι τῆς Ἴδης καταγαγὼν τὸν Δία
καὶ ἀστραπαῖς καὶ κεραυνοῖς ποιήσας λειπόμενον τὸ Ἑλληνικὸν ἐπ'
ἄλλο εἶδος τρέπεται ὁ ποιητὴς διὰ δόλου καὶ νυκτὸς ἀναπληρῶν τὴν
μεθ' ἡμέραν ἀτυχίαν τῶν Ἑλλήνων.

1. ἄλλοι μὲν παρὰ νηυσίν] οἱ γὰρ φύλακες ἔξω νεῶν ἦσαν. A+ B=

2. εὗδον παννύχιοι] ὡς καὶ “πανημέριοι” (Il. 1. 472)· καὶ A+
“παννυχίη γάρ μοι Πατροκλῆος” (Il. 23. 105). §. “μαλακῷ” δὲ B+
“ὕπνῳ” τῷ μαλάσσοντι.

4. πολλὰ φρεσὶν ὁρμαίνοντα] τὸ πολυμερὲς καὶ ἀπέραντον τῆς Β=
φροντίδος ἄκρως ὑπέγραψεν.

5. ὡς δ' ὅταν ἀστράπτῃ] πρὸς τὸ διαπύρως καὶ ὀξέως καὶ μετὰ Β−
σκέμματος γίνεσθαι τοὺς στεναγμούς. μεγαλοπρεπῶς δὲ τὸν τῆς
Ἑλλάδος στρατηγὸν εἴκασε τῷ μείστῳ τῶν θεῶν· ἐπὶ δὲ Ὀδυσσέως
πτωχοῦ σχῆμα περικειμένου ταπεινὴν ἔθηκε τὴν εἰκόνα, “ὡς δ' ὅτε
γαστέρ' ἀνήρ” (Od. 20. 25).

8. addidi: Ἰλιάδος ἀρχὴ τῆς κ̄ textui inscriptum ‖ 9. ὑφ' Eust.: ἐφ' ‖ 12. supplevi ex B ‖ οὗ scripsi: ἧς ut B ‖ 22. post ἦσαν add. sec. οἷς τὸ ἐγρηγορέναι ἀναγκαῖον ut AB² ‖ 28. διαπύρως καὶ ὀξέως B: διάπυρον καὶ ὀξὺ

A + B = 6. τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν ⟨ἢ νιφετόν⟩]

A + B = τὸ "ἀθέσφατον" τῷ "χάλαζαν" συναπτέον. §. ὄμβρος ὑετός, χάλαζα τὸ παχὺ ὕδωρ, νιφετὸς τὸ λεπτομερές· διὸ ἐπάγει "ἐπάλυνεν," ἐπέπασσεν· πασπάλη γὰρ ἡ πιτυρίς.

B − 8. μεγὰ στόμα πευκεδανοῖο] "στόμα·" φθαρτικὸν γὰρ τῶν δι' αὐτοῦ φερομένων σιτίων, καὶ τοῦ πολέμου τὸ στόμα φθαρτικὸν τῶν σωμάτων· πικρὸς δὲ ὁ πόλεμος—ὅπερ δηλοῖ τὸ "πευκεδανοῖο"—διὰ τοὺς ἀναιρουμένους.

A B = 10. νειόθεν ἐκ κραδίης] ἐκ τῶν ἐσωτάτω λογισμῶν· ἔνδον γὰρ ἐν τοῖς ἐπιλογισμοῖς τὰ δεινὰ ὁρῶν καθ' ἑαυτὸν στένει. ἐντεῦθεν κινηθεὶς Φιλότιμος ἐν καρδίᾳ τὸ ἡγεμονικὸν ἔθετο· ὅθεν γὰρ τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι τὰς ἀρχὰς ἔχει, δῆλον ὅτι ὁ νοῦς ἐκεῖθεν ἤρτηται.

A + τρομέοντο δέ οἱ φρένες ἐντός] Ζηνόδοτος "φοβέοντο," κακῶς. φησὶ γοῦν "ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος" (25).

A + B = 11. ὅτ' ἐς πεδίον τὸ Τρωικὸν ἀθρήσειεν] ἢ ὅτι ἐφ' ὕψους ἡ βασιλικὴ σκηνή, ἢ ὅτι οἱ Τρῶες "ἐπὶ θρωσμῷ πεδίοιο" (160). ἔνιοι τὸ "ἀθρήσειεν" ἐπὶ τοῦ νοῦ ἀκούουσιν· ἀλλὰ προσέθηκεν ἂν τὸ φρεσίν, ὡς ἐκεῖ "ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δα⟨ε⟩ίω" (Il. 21. 61) καὶ "ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσίν" (Od. 1. 115).

12. Ἰλιόθι πρό] κατὰ παρολκὴν ἡ παραγωγή· δηλοῖ γὰρ τὸ Ἰλίου, ὡς τὸ "οὐρανόθι πρό" (Il. 3. 3) καὶ "ἐγγύθεν ἦλθε" (Il. 7. 219).

A + 13. αὐλῶν συρίγγων τ' ἐνοπήν] τινὲς "αὐλῶν συρίγγων," ἵν' ᾖ εἶδος αὐλοῦ ἡ σῦριγξ· ἀλλὰ καὶ ἐν τῇ Ὁπλοποιίᾳ φησὶν "αὐλοὶ σύριγγές τε" (Il. 18. 495). §. οὐχ' Ἑλληνικὸν δὲ οἱ αὐλοί· οὔτε γὰρ Φαίακες οὔτε μνηστῆρες οὔτε εἰς τοὺς γάμους Ἑρμιόνης (Od. 4. 17) οὔτε Πηνελόπης (Od. 23. 143) ἐχρῶντο τούτοις. τὴν βαρβάρων δὲ ἄγνοιαν κωμῳδεῖ ἐν τοιούτῳ καιρῷ μουσικευομένων ἐπὶ τοσούτων πτωμάτων καὶ οὐ μᾶλλον τῷ κοιμᾶσθαι ποριζομένων ἰσχὺν εἰς τὴν αὔριον.

B − 14. καὶ λαὸν Ἀχαιῶν] πανταχόθεν τὸ ἐναντίον ὁρῶν ἐδυσφόρει· εἰ δὲ καὶ ἀνδραποδώδη ποιεῖ, τὸν σκότον ἔχει προκάλυμμα· οὐκ ἐπεξῆλθε δέ, ὅσα περὶ τοὺς Ἕλληνας ἦν δεδοικότας, ἀλλ' ἠρκέσθη τῇ

3. λεπτομερέστερον B ‖ 4. ἡ γυρὶς B ‖ iteratur *ἐπάλυνεν] ἐπίλασσεν (corr. ἐπέπασσεν) ‖ 11. σοφιστὴς post Φ. add. A ‖ 16. lemmati praescripsit sec. λύσις ‖ 30. οὐ scripsi : μὴ ‖ 34. δεδοικώς B

τῶν εὐημερούντων διαθέσει ἐμφῆναι τὴν τῶν δυστυχούντων κατάστασιν· ἀεὶ γὰρ φιλέλλην ὁ ποιητής.

17. βουλή] τὸ προνοητικὸν αὐτοῦ καὶ ἐν ταῖς συμφοραῖς δηλοῦται μὴ ἀποφάσκοντος τοῖς δεινοῖς. AB=

18. Νέστορ' ἐπὶ πρῶτον—ἐλθέμεν] ὅτι καὶ ἐν τοῖς δεινοῖς δεῖ καταφεύγειν εἰς σοφίαν· αὐτουργεῖ δὲ δυσωπῶν αὐτόν, ὅπως τοῦ βασιλέως τε καὶ τοῦ γέροντος διαφοιτώ⟨ν⟩των ὑπακούσωσιν οἱ λοιποί. πρὸ ὀλίγου δὲ χωρισθεὶς ὡς ἂν εἰς ἰατροῦ νοσῶν θέλει φοιτᾶν πάλιν, ὥς που καὶ Εὐφορίων φησίν· "πολλάκι οὐ κλισίῃσι πυληγενέεσσί τε νηυσὶν ἐννύχιοι πίλναντο, νόσων ἅπερ ἰητῆρος" (fr. 59 M.). AB–

20. *ἥτις ἀλεξίκακος] ὑψοῖ τὰ τῆς βουλῆς λίαν.

23. *δαφοινόν] λίαν φονευτικόν· τινὲς δὲ πυ⟨ρ⟩ρόν. B=

ἑ⟨έ⟩σσατο δέρμα λέοντος] τινὲς ἐκ τούτου χειμέριόν φασι τὸν καιρόν, πρὸς σκέπην γὰρ ὄμβρων εἶναι τὴν λεοντῆν· Μενέλαον δὲ ὡς ἤττω παρδαλῆν ἐνδύει, Δόλωνα δὲ ὡς δειλὸν καὶ ἐπὶ λαθρίδιον πρᾶξιν ὁρμῶντα λυκῆν. B=

25. ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος] κατὰ τὸν αὐτὸν καιρὸν τῷ Ἀγαμέμνονι· ἀλλ' ὁ ποιητὴς τῷ βασιλικωτέρῳ προσώπῳ ἀπένειμε τὴν προτέραν τάξιν τοῦ λόγου, ὥστε καὶ τῶν ἀριστέων οὓς μὲν διήγειρεν ὁ Ἀγαμέμνων ἀκριβῶς διεξέρχεται, τοὺς δὲ ὑπὸ τοῦ Μενελάου ἐπὶ κεφαλαίου λέγει. AB=

27. πουλὺν ἐφ' ὑγρὴν ἤλυθον] "ἤλυθον" ὧδε ἡ στιγμή.

29. *παρδαλέῃ] τὸ μὲν ζῷον πόρδαλις, ἡ δὲ δορὰ παρδαλῆ διὰ τοῦ ᾱ γράφεται. AB=

30. στεφάνη εἶδος περικεφαλαίας πρόβλημα ἐχούσης. A–

32. βῆ δ' ἴμεν ἀνστήσων] δῆλον ὡς προεταράχθη Μενέλαος, ὁ δὲ ποιητὴς καταπλῆξαι ἠθέλησε διὰ τοῦ βασιλικωτέρου προσώπου. §. διὰ τοῦ ν̄ δὲ τὸ "ἀνστήσων." B=

ὃς μέγα πάντων Ἀργείων ἤνασσε, θεὸς δ' ὣς τίετο δήμῳ] διὰ τάχους ἐνέφηνε τὸ ἀξίωμα, καὶ τοῖς ἀρχομένοις ὅπως πρὸς τοὺς ἄρχοντας διακεῖσθαι δέον, καὶ τοῖς ἄρχουσιν ὁποίους ὀφείλουσι παρέχειν ἑαυτούς, ἵνα ὡς θεοὶ τιμῶνται. A+

*νηί] ἀντὶ τοῦ νηός. A+B=

7. suppl. sec. ‖ 9. οὐ scripsi : οἱ : πολλάκις ἐν vel πολλάκι οἱ Meineke, πολλάκις οὖ W ‖ 10. πίλναντο Heyne et Meineke : πίτναντο ‖ νόσων Meineke : νόσῳ ‖ ἰητῆρι coni. Meineke ‖ 14. Μενέλαον B : Μενέλαος ‖ 16. λύκον B, λυκέην ‖ 22. πουλὴν ‖ ἦλθον bis ‖ 30. τοὺς ἀρχομένους B ‖ 31. κ. τοὺς ἄρχοντας ὁπ. B

B= 35. τῷ δ' ἀσπάσιος γένετ' ἐλθών] εἰ γὰρ ἄλλων ἐδεῖτο, πόσῳ μᾶλλον ἀδελφοῦ;

B= 36. τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Μενέλαος· τίφθ' οὕτως ἠθεῖε κορύσσεαι] ὡς κατεπτηχότος τοῦ βασιλέως· ἢ ὅτι ἐνδιδυσκόμενον αὐτὸν εὗρεν, ὅθεν καὶ ἐξ αὐτοῦ ἄρχεται.

A= 38. *ὀτρύνεις] αἱ Ἀριστάρχου "ὀτρυνέεις" διῃρημένως.

B= Τρώεσσιν ἐπίσκοπον] προὔλαβε τὴν Νέστορος γνώμην τὴν περὶ τοῦ δεῖν κατασκόπους πέμπειν, τοῦ καιροῦ αὐτῷ τὴν ἐπίνοιαν τοῦ ἔργου ὑποβάλλοντος. καὶ τὸν ἀδελφὸν ὁπλιζόμενον ὁρῶν ὡς καὶ αὐτὸν τοῦτο βουλευόμενον ⟨ὑπονοῶν⟩ φησιν.

B– ἀλλὰ μάλ' αἰνῶς δείδω] ὡς ἤδη δεδογμένης τῆς βουλῆς ἐπιλογισμὸν εἰσάγει, κινεῖ δὲ τὸν ἀκροατήν. μόνον γὰρ οὐχὶ ἐπιμαρτύρεται, ὡς δυσχερὲς ἐπεισόδιον εἰσάξων τῇ ποιήσει.

A– 41. θρασυκάρδιος ἔσται] ὁ Ἰξίων "ἐστί" γράφει.

A+B= 43. χρεὼ βουλῆς—κερδαλέης] ἐπωφελοῦς. §. δεῖ, φησί, τὰ ἀπὸ τῆς τύχης προσγινόμενα ταῖς βουλαῖς ἀντισηκοῦν.

AB= B+ *χρεώ] ἀντὶ τοῦ δεῖ.

B= χρεὼ βουλῆς] σεμνὸν τὸ τοῦ βασιλέως εἰς ἐπίσκεψιν πλείονα φερομένου. ἅμα δὲ καὶ ὁ ποιητὴς ἀναρτᾷ τὸν ἀκροατήν.

A+ χρεὼ βουλῆς] ἡ χρεία, φησί, τῆς βουλῆς αὐτῆς τῆς λαθραίως γινομένης δι' ἐμὲ καὶ σὲ γέγονεν, ἐπεὶ καὶ τὸν στρατὸν ἡμεῖς ἀνηγάγομεν ἐνταῦθα.

B= 46. Ἕκτορέοις ἄρα μᾶλλον] θεοσεβὴς ὑπόνοια μὴ δι' Ἀχιλλέα, διὰ δὲ θυσίας λέγειν τὸν Δία βοηθεῖν.

A= ἐπὶ φρένα θῆκ' ἱεροῖσιν] ἔν τισι τῶν ὑπομνημάτων "ἐπὶ φρένας εἶχ' ἱεροῖσιν."

B= 47. οὐ γάρ πω ἴδόμην—ἄνδρ' ἕνα τοσσάδε μέρμερα] ηὔξησε τὰ ἔργα τοῦ Ἕκτορος, ἀνυπέρβλητα φήσας αὐτὰ εἶναι καὶ ὄψει καὶ ἀκοῇ.

B= 50. οὔτε θεᾶς υἱός] ἁπλοϊκῶς δεῖ λαμβάνειν· οὐ γὰρ πρὸς Ἀχιλλέα ἡ σύγκρισις.

A= *υἱός] λείπει τὸ ὤν.

A+ 51, 2. *ἀθετεῖ ὁ Ἀριστοφάνης.

52. *δηθά τε καὶ δολιχόν] ἐπὶ καιροῦ.

B= 53. ἀλλ' ἴθι νῦν, Αἴαντα] πρεπόντως τὴν τάξιν ἐμέρισεν ἀμφο-

5. ἑαυτοῦ coni. Bekker ‖ 9. ἐπιβάλλοντος B ‖ 10. supplevi cf. B ‖ 11. δεδογμένης Bekker: δεδειγμένης ut B ‖ 12. εἰς κίνησιν δὲ τὸν ἀκροατὴν B, κίνησις δὲ τοῦ ἀκροατοῦ ‖ 16. προσγ. B: λειπόμενα ut A

τέρεις· καὶ ὁ μὲν νεώτερος καὶ ἥττων τὸ ἀξίωμα ἐπὶ τοὺς πόρρω σκηνοῦντας ἀπέρχεται, ὁ δὲ πρεσβύτερος καὶ βασιλικώτερος ἐπὶ τὸν συνετώτατον Νέστορα, καὶ σὺν ἐκείνῳ τοὺς ἄλλους ἐγείρει. πρεπόντως δὲ ἐπὶ μὲν τῶν νεωτέρων καὶ ἥττον ἐνδόξων τὸ "κάλεσον" προστακτικῶς εἶπε, περὶ δὲ τοῦ Νέστορος παραπεφυλαγμένως φησὶν "αἴ κε θέλῃσιν" ἀντὶ τοῦ 'ἐὰν αὐτῷ δόξῃ χρήσιμον εἶναι,' ἐπὶ τῇ ἐκείνου γνώμῃ τὴν πᾶσαν κρίσιν ποιούμενος.

* Αἴαντα] "Αἴαντε" δυϊκῶς. A+

56. ἐς φυλάκων ἱερὸν τέλος] ὅτι τοῖς καθεύδουσιν ἄδειαν παρ- B=
ἔχουσιν, ὅ ἐστι θεοῦ ἴδιον.

57. κείνου γάρ κε μάλιστα πιθοίατο] διὰ δύο, ὅτι τε τὸν υἱὸν B=
παρέσχεν αὐτῶν ἄρχειν καὶ αὐτὸς δυσωπεῖ παρὼν καὶ ἐπιμελόμενος. παιδευτικῶς δὲ ὁ βασιλεὺς ἑτέρῳ παραχωρεῖ τὰ τῆς πειθοῦς.

58. καὶ Ἰδομενῆος ὀπάων] ἵνα καὶ αὐτὸς παρὼν αἰδέσιμος γένηται τοῖς φύλαξιν.

61. πῶς γάρ μοι μύθῳ ἐπιτέλλεαι] πιθανῶς· ὁ μὲν γὰρ ἐκπε- B–
πληγμένος οὐ ⟨προ⟩νοεῖ τὸ πᾶν, ὁ δὲ ὡς προπαρεσκευασμένος ἐρωτᾷ. ἢ διὰ τὸ ποικίλον ἐξ ἀμφοῖν συνίσταται.

62. αὖθι μένω μετὰ τοῖσι] "αὖθι" ἐν τοῖς φύλαξιν· ὅθεν καὶ B=
Ἀγαμέμνων ἐξῆς πρὸς τὸν Νέστορά φησι "κείνους δὲ κιχησόμεθα πρὸ πυλάων ἐν φυλάκεσ⟨σ⟩ι" (126).

63. ἠὲ θέω] πρὸς τὸ πρόθυμον τοῦ βασιλέως· καὶ ἔστιν ἐμπαθὲς B=
δύο βασιλεῖς οὕτως αὐτουργεῖν.

65. μή πως ἀβροτάζομεν—πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέ-
λευθοι] δῆλός ἐστιν ἐκ τούτων ἔμπειρος ὢν τεκτονικῆς· εἰς γὰρ πολλὰς ὁδοὺς τέτμηται τὸ ναύσταθμον, ἵνα ταχέως ἀπὸ τῶν σκηνῶν ἀπαντῶσι πρὸς τὰς βοηθείας.

67. φθέγγεο] τεχνικῶς, ἵνα ἐκ τῆς φωνῆς ἐπιγινώσκηται φίλος A B=
ὤν, μὴ καὶ ὑπονοήσωσιν ἔφοδον εἶναι πολεμίων. καὶ Νέστωρ πρὸς Ἀγαμέμνονά φησι "φθέγγεο μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο" (85).

καὶ ἐγρηγόρθαι ἄνωχθι] πρὸς τὸ διαμένειν τῇ φυλακῇ. ἐπεὶ δὲ B=
τὸ "ἄνωχθι" ἀνοίκειον τῷ καιρῷ, πρόσκειται τὸ "πάντας κυδαίνων."

11. κείνου etiam textus et B ‖ κε B: καὶ ut textus ‖ 12. ἐπιτελλόμενος B ‖ 13. παιδευτικῶς B: παιδευτικὸς ‖ 16. ἐπιτέλλεται ‖ 16, 17. ἐκπεπληγὼς ut B ‖ 17. supplevi ex B ‖ προπαρεσκ. B: προπαρασκευασμένος ‖ 24. ἀμβροτάζομεν ‖ 31. ἐγρηγόρθαι B: ἐγρήγορθε ‖ τὴν φυλακὴν ut B

AB= 68. πατρόθεν ἐκ γενεῆς] ὡς ὅταν λέγῃ "διογενὲς Λαερτιάδη," τὸν πατέρα δηλοῖ, τὸ δὲ "διογενές" τὸν ἀρχηγὸν τοῦ γένους.

69. πάντας κυδαίνων] ἀνακτώμενος καὶ προτρεπόμενος τῇ ἰδίᾳ ἐνεργείᾳ.

71. Ζεὺς ἐπὶ γεινομένοισιν ἴει κακότητα βαρεῖαν] παθητικὰ ταῦτα, δύο ἀδελφοὺς τοιαῦτα περὶ τῆς ἰδίας ψυχῆς καὶ γονῆς ὑπονοεῖν.

B= 72. εὖ ἐπιτείλας] ἐπεσημήνατο τοὺς λόγους ὡς καὶ καλῶς εἰρημένους καὶ παραγγελθέντας στρατηγικῶς.

B− 75. εὐνῇ ἔνι μαλακῇ] οὐδὲ ταῦτα ἐᾷ, ἀλλὰ τὸ πρέπον αὐτοῖς σῴζει. μαλακὴ γὰρ στρωμνή ἐστι τῷ γέροντι, ὡς καὶ τῷ Φοίνικι "κώεά τε ῥῆγός τε" (Il. 9. 661), τῷ δὲ Διομήδει νεωτέρῳ ὄντι "ὑπὸ δ' ἔστρωτο ῥινὸν βοός" (155)· τὸν δὲ Ὀδυσσέα κατέκλινεν Εὔμαιος ὑποβαλὼν "ῥῶπας" καὶ "δέρμα ἰονθάδος ἀγρίου αἰγός" (Od. 14. 49). καὶ τῷ Διὶ Γῇ "νεοθηλέα ποίην" ἀναδίδωσι "λωτόν τ' ἐρσήεντα ἠδὲ κρόκον ἠδ' ὑάκινθον" (Il. 14. 347).

A~ 77. ζωστὴρ κεῖτο] ζωστὴρ ζώσματος διαφέρει· ζῶσμα γὰρ τὸ προσραπτόμενον κατὰ τὰ πέρατα τοῦ θώρακος.

ᾧ ῥ' ὁ γεραιὸς ζώ⟨ν⟩νυθ', ὅτ' ἐς πόλεμον] τὸν παρ' ἡλικίαν ἀνδριζόμενον δηλοῖ.

79. * λαὸν ἄγων] μεῖζον ⟨ἂν⟩ τὸ ἐγκώμιον τοῦ Νέστρος γένοιτο, εἰ "λαόν" τις ἀκούοι ⟨τὸν⟩ σύμπαντα, μὴ τὸν τῶν Πυλίων μόνον.

B= ἐπεὶ οὔ μιν ἐπέτρεπε γήραϊ λυγρῷ] ἀναιρεῖ τὰς προφάσεις τῶν ἀργεῖν ἐθελόντων δεικνύς, ὡς καὶ τοῖς φυσικοῖς ἐλαττώμασιν οἶδεν ἀντιτάττεσθαι προθυμία.

A+ ἐπέτρεπε γήραϊ] "ἐπέτρεπε" διὰ τοῦ ε̄. ᾗ. τὸ δὲ "ἐπέτρεπε" ἀντὶ τοῦ 'οὐκ ἐδίδου ἑαυτὸν τῷ γήρᾳ οὐδὲ ὑπετάττετο αὐτῷ.'

A+B− 80. ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος, ⟨κεφαλὴν ἐπαείρας⟩] εἰς τὸ "ἀγκῶνος" ἡ διαστολή, πρὸς τὸ "ἕζετο δ' ὀρθωθείς" (Il. 2. 42). λείπει δὲ ὁ καί, ἵν' ᾖ 'καὶ κεφαλὴν ἐπαείρας.'

B= 82. τίς δ' οὗτος κατὰ νῆας] τετάρακται μέν· σκόπει δὲ τὴν προσοχήν, ⟨ἣν⟩ διὰ τοῦ γέροντος ἐνδείκνυται, ὃς οὐδὲ φθεγγομένου ᾔσθετο τοῦ Ἀγαμέμνονος καὶ προὔλαβε τὸν λόγον διὰ τῆς ἐρωτήσεως. καλῶς δὲ νυκτὸς οὔσης καὶ ὡς γέρων ἀγνοεῖ.

83. ὅτ' εὕδουσιν βροτοὶ ἄλλοι] "ἄλλοι," οὐ γὰρ οἱ γέροντες· οὗτοι δὲ καὶ διὰ τὸν καιρὸν καὶ ⟨διὰ⟩ τὴν φρόνησιν ἀγρυπνοῦσιν.

13. ῥινὸς B ‖ 15. Γῇ W: τὴν ‖ 23. ἀφαιρεῖ B

84. ἠέ τιν' οὐρήων διζήμενος] ὥσπερ τὸ ἀνδροφονῆα πομπῆα ἡνιοχῆα, οὕτως οὐρῆα· οὖρος οὐρεύς, ὡς πομπός πομπεύς.

85. φθέγγεο, μηδ' ἀκέων] ταρασσόμενός φησιν 'εἰπὲ δι' ἣν αἰτίαν πρός με ἦλθες·' ἅμα δὲ καὶ διὰ τῆς φωνῆς θέλει μαθεῖν, μὴ ἐχθρὸς εἴη—οὔπω γὰρ εἶχον συνθήματα—ἢ ἴσως ὑπονοεῖ, μὴ Θρασυμήδης ἐστὶ τὴν τάξιν ἐκλελοιπὼς τῶν φυλάκων. B–

87. *ὃ προσέταξε τῷ Μενελάῳ, τοῦτο πράσσει, "πατρόθεν ἐκ γενεῆς" ⟨αὐτὸν καλῶν⟩. B=

88. γνώσεαι, Ἀτρεΐδη] ἅμα τῇ ἀνακλήσει τοῦ ὀνόματος καὶ τῇ παραθέσει τῶν συμφορῶν τὸ πάθος ἐκίνησεν. B=

90. *ἀντμὴ ἐν στήθεσσι μένῃ] τὸ ζωτικὸν περικάρδιόν φησιν.

91. πλάζομ⟨αι⟩ ὧδε] "ὧδε" μόνος, ὡς ὁρᾷς, περιέρχομαι. ἀσύν- B=
⟨δ⟩ετος δὲ ὢν ὁ λόγος τὸ κομματικὸν τοῦ πάθους ἔχει.

92. ἀλλὰ μέλει πόλεμος] ὥστε καὶ ἔπαινος τοῦ φόβου ἡ τῶν κοινῶν πρόνοια, καὶ ἵνα σύμψηφον ἔχῃ τὸν Νέστορα.

94. ἀλλ' ἀλαλύκτημαι] παρὰ τὸ ἀλάλημαι ἡ λέξις. τῷ δὲ πλεο- B=
νασμῷ τῶν στοιχείων ⟨δηλοῖ ὅτι⟩ ἐκτετάρακται.

κραδίη δέ μοι ἔξω στηθέων ἐκθρῴσκει] φαντασία τις προσπίπτει B=
τῆς ἐκπηδῆσαι βιαζομένης καρδίας.

96. ἐπεὶ οὐδὲ σέ ⟨γ'⟩ ὕπνος ἱκάνει] ἵνα μὴ δόξῃ ἐμποδίζειν πρὸς B=
τὸν ὕπνον τῷ γέροντι.

97. ἐς τοὺς φύλακας καταβείομεν] ὅτι ἐφ' ὕψους αἱ νῆες, καὶ ἀλλαχοῦ "κατάγειν κοίλας ἐπὶ νῆας" (Il. 5. 26).

ἐς τοὺς φύλακας καταβείομεν] προπαρασκευάσαι γὰρ αὐτοὺς θέλει, μή πως ἔλθωσιν οἱ πολέμιοι διὰ νυκτός.

⟨καταβείομεν⟩] θαρραλεωτέρους τοὺς σκοποὺς ποιήσοντες.

98. μή τοι μὲν καμάτῳ ἀδηκότες] προαπολογεῖται ὡς διὰ τὸν Θρασυμήδην, εἰ καὶ ἀνθρώπινόν τι πάθοι· ἐκεῖνοι δὲ κρείσσονες ὁρῶνται τῶν παθῶν. §. περισσὸν δὲ τὸ "τοί·" ἐνήλλαξε δὲ τὴν φράσιν· B=
ἔδει γὰρ 'μὴ ἐκεῖνοι μὲν ἀμελήσωσιν, ἐπέλθωσι δὲ οἱ πολέμιοι.' §. τὸ δὲ "ἀδηκότες" ἀηδισθέντες· καὶ "δείπνῳ ἀδήσειεν" (Od. 1. 134). B–
§. "ὕπνῳ" τῇ ἀγρυπνίᾳ· "ὕπνῳ καὶ καμάτῳ ἀρημένος" (Od. 6. 2).

101. *ἀπολογεῖται ὡς δεόντως εἰπών.

103. Ἀτρεΐδη κύδιστε] κύδιστον γὰρ πάντων βασιλεύς. ἐκ προ-
οιμίων δὲ ἀνακτᾶται τὸ καταπλῆξαν τοῦ βασιλέως.

1. τὸν ἀ. ‖ 8. supplevi ex B. ‖ 9. ἐκφωνήσει B ‖ 14. μέλλει ἐπιτετάρακται ‖ 'fort. δὲ post τῷ delendum et ⟨ηῦξησε τὸ⟩ vel ⟨ἐγ ἐκτετόραγμαι scribendum' W ‖ 20. supplevi ex B ‖ 26. ποῖ ‖ 29.

B– 104. οὔ θην Ἕκτορι πάντα νοήματα] αἱ γὰρ ἄκρα⟨ι⟩ τῶν εὐτυχιῶν μεταβολὰς ποιοῦσιν· πιθανῶς δὲ νῦν μὲν παραθαρσύνει τὸν Ἀγαμέμνονα—ὁρᾷ γὰρ αὐτὸν ὑπὸ τῆς συμφορᾶς τεταπεινωμένον—ἐν δὲ τοῖς ἑξῆς τὸν Διομήδην φοβεῖ εὑρὼν βαθέως καθεύδοντα. καί φησιν "οὐκ ἀίεις, ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο εἵαται" (160); δεῖ γάρ, ὡς ἔοικε, τοὺς μὲν πεφοβημένους θαρσύνειν, τοὺς δὲ θαρροῦντας φοβεῖν, ὅπως μήτε τῷ δέει τις ἐκπλήττηται μήτε τῷ θάρσει ἀπαρασκεύαστος γίνηται.

οὔ θην Ἕκτορι ⟨—Ζεὺς ἐκτελέει, ὅσα πού νυν ἐέλπεται⟩] οἶδε γάρ, ὡς δι' αὐτόν· ὑποκορίζων δὲ "Ἕκτορι" φησίν, ἅμα δέ, ὅτι οὐ μέμφεται τὴν πρώτην βουλήν, οὐδὲ πρὸς τὴν ἀπόβασιν ἐξεταστέον τὰς βουλάς.

108. σοὶ δὲ μάλ' ἔψομ' ἐγώ] "μάλα," ἵνα μὴ δοκῇ δι' ἀνάγκην ἕπεσθαι αὐτῷ.

B= ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους] καλῶς οὐχ ὁ Ἀγαμέμνων καθ' ἑαυτὸν ἐγείρει τοὺς ἀριστέας, ἔχων τῆς Ἀχιλλέως ὀργῆς τὴν αἰτίαν.

111. * ἀλλ' εἴ τις] ἀντὶ τοῦ εἴθε.

113. τῶν γὰρ νῆες—ἑκαστάτω] διὰ σχήματος ἐδηλώθη διὰ τί Μενέλαος ἐκεῖ ἀπέσταλται, ὥστε οὐκ ἀργὸν τὸ "ῥίμφα θέων" (54).

* ἑκαστάτω] πορρωτάτω.

B= 114. ἀλλὰ φίλον περ ἐόντα] χαρίεν τὸ τῆς ὑποθέσεως· εὑρίσκεται γὰρ προβλέψας ἤδη, ⟨ὃ⟩ περὶ αὐτὸν μέμφεται.

115, 6, 7. νεικέσω—ὡς εὔδει—νῦν ὄφελεν πονέεσθαι] ἀποδέχεται οὖν τὸν Ἀγαμέμνονα συνεργοῦντα τῷ καιρῷ.

115. * εἴ περ μοι] οὕτως αἱ Ἀριστάρχου. τινὲς δὲ "εἰ καί μοι."

117. νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας] πρεπόντως τὸν πόλεμον ἀποσιωπᾷ, ὁ μέντοι Μενέλαος τοῦτο⟨ν⟩ ἐνθυμεῖται· "τοὶ δὴ ἕθεν εἵνεκα" (27).

B= 120. ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα] οὐδὲ ὡς συκοφαντοῦντι τῷ Νέστορι μέμφεται, οὐδὲ καθάπαξ ὑπεραπολογεῖται τοῦ ἀδελφοῦ, ἀλλ' ὁμολογῶν αὐτὸν ἐνίοτε ἀμελεῖν. δεξιῶς οὖν τὸν λόγον ἐκέρασεν.

A=B– 122. οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο] φιλαδέλφως ἀπολογεῖται. δύο δέ ἐστι δι' ὧν γίνεται ῥᾳθυμία, ἀμέλεια καὶ ἄνοια. καὶ ἐν Ὀδυσσείᾳ "νήπιος—ἠὲ χαλίφρων ἠ⟨ὲ⟩ ἑκὼν μεθιεῖ" (Od. 4.

7. ἐκπλήττοιτο ut B ‖ 8. γίνοιτο ut B ‖ 21. προαναβλέψας ‖ 30. ὅτι post ἀλλ' omisi ut B ‖ ὁμολογεῖ B ‖ 33. γίνεται B: γράφει ‖ 34. μεθίει

371)· ὥσ⟨τε⟩ τὸ δοκοῦν ἁμάρτημα εἰς ἐγκώμιον τῆς πειθαρχίας περίσταται.

124. καί μοι ἐπέστη] ταχέως ἐδήλωσεν, ὡς πολλῷ προὔλαβεν αὐτὸν ἀναστάς. B=

127. * ἠγερέεσθαι] διὰ τοῦ θ τὸ "ἠγερεέσθαι." A+

129. οὔτις σοὶ νεμεσήσεται] οὐδεὶς τῶν κελευομένων ἀντερεῖ, ὅταν αὐτουργοῦντα τὸν βασιλέα ὁρᾷ. "ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα" (70). B–

130. * ἐποτρύνῃ καὶ ἀνώγῃ] οὕτω χωρὶς τοῦ σ̄. A=

134. ἐκταδίην] οἰκεία στολὴ τῷ γέροντι διὰ τὸ γῆρας καὶ τὴν νύκτα. A=

137. πρῶτον ἔπειτα] οὐ δεῖ διαστέλλειν ⟨μετὰ⟩ τὸ "πρῶτον" πρὸς τὸν ὅμοιον γὰρ ἅπεισι πρῶτον. A+

138. ἐξ ὕπνου ἀνέγειρε Γερήνιος] οὐδὲν ἔτι ποιεῖ Ἀγαμέμνων ἀλλ' ἕπεται αὐτῷ, τοῦτο δηλοῦντος τοῦ ποιητοῦ, ὡς ἐν ταῖς χρείαις ὁ δυνατὸς ὀφείλει πάντα πράττειν, οὐχ ὁ βασιλεύς. καὶ Ὀδυσσεὺς "κοιρανέων ἐπεπωλεῖτο" (Il. 4. 250). B–

139. τὸν δ' αἶψα περὶ φρένας] δυσωπεῖται γὰρ Νέστορος καλοῦντος. οὐ δειλὸς δέ, ὅτι ἐντὸς τῆς σκηνῆς καθεύδει· οὐ γὰρ αἱ σκηναὶ πρὸς ἀσφάλειαν ἀλλὰ πρὸς σκέπην αὐτοῖς πεποίηνται. ὁ γοῦν Ἀγαμέμνων εἰς τὴν σκηνὴν εἰσέρχεται Νέστορος οὐδὲν ἐχυρὸν ἔχουσαν πρὸς ἔφοδον πολεμίων. B–

141. τίφθ' οὕτω κατὰ νῆας—οἷοι ἀλᾶσθε] φέρεσθε· ταῦτα δὲ ἀνατεταμένῃ τῇ φωνῇ καὶ ὡς σχετλιάζων, ὅτι θορυβοῦσι τοὺς στρατιώτας μόνοι οἱ βασιλεῖς νυκτὸς περιιόντες· δέδιεν οὖν, μή τι νεώτερόν ἐστιν ἐν τῷ στρατῷ. μαρτυρεῖ δὲ τούτοις Νέστωρ ἐπιλέγων "διογενὲς Λαερτιάδη, μὴ νεμέσα" (144). B–

142. ὅ τι δὴ χρεώ] ἀντὶ τοῦ 'τί δή,' ὡς "ὀπ⟨π⟩οίης δ' ἐπὶ νηός" (Od. 1. 171). A+

145. μὴ νεμέσα] παραιτεῖται τὴν μέμψιν, οὐ νεώτερόν τι σημαίνων, ἀλλὰ διὰ τὰ ἐνεστῶτα· ὃ συνεὶς Ὀδυσσεὺς ἕπεται μηδ' ὁτιοῦν ἀντιλέγων. B=

146. * ἀλλ' ἕπε'] ἄνευ τοῦ ῡ "ἕπε'." A+

147. * ὅλον συναπτέον. A+

1. supplevi ex A ‖ 5. θ̄ A : ε̄ ‖ 9. χωρὶς τοῦ σ̄ "ἐποτρύνει καὶ ἀνώγει" (-η corr. Spitzner) A ‖ 11. supplevi ex A ‖ 12. γὰρ A : δὲ ‖ 22. προφέρεσθε ‖ 23. σχετλιάζων B : σχετλιάζοντα ‖ 32. ῡ ἕπεο

B– 149. ποικίλον ἀμφ' ὤμοισι σάκος] δειλός, φασίν, οὗτος ἀσπίδα καὶ ⟨οὐ⟩ δόρυ ἀναλαμβάνων. ἴσως δὲ σιωπωμένῃ τῇ ἀποκρίσει χρῆται πρὸς τὸν Νέστορα εἰπόντα βουλεύ⟨σ⟩εσθαι, πότερον φευκτέα ἢ μενετέα, ἐμφαίνων διὰ τῆς ἀσπίδος ὅτι μενετέα. δόρυ μὲν γὰρ φέρουσι καὶ μὴ μαχόμενοι, ἀσπὶς δὲ μενόντων ἐστὶ καὶ μαχομένων. ὅτι δὲ ἐχρῶντο καὶ τῷδε τῷ τρόπῳ τῆς ἀποκρίσεως, δι' ὑποδείγματος παραστήσω. ἐστασίαζόν ποτε Ἐφέσιοι περὶ χρημάτων· παρελθὼν δὲ εἰς τὴν ἐκκλησίαν Ἡράκλειτος ἐπιπάσας κύλικι ἅλφιτα ἐξέπιε τὸν κυκεῶ, ἐμφαίνων ὅτι δεῖ ζηλοῦν αὐτάρκειαν.

A=B– 150. τὸν δ' ἐκίχανον ἐκτὸς ⟨ἀπὸ⟩ κλισίης] στρατιωτικὸν τὸ αἰθριοκοιτεῖν. δείκνυσι δέ, ὡς οὐ λόγῳ μόνον ἐστὶ θρασύς.

B= 151. σὺν τεύχεσιν, ἀμφὶ δ' ἑταῖροι] οὐχ ὡπλισμένος—δειλῶν γάρ—ἀλλ' οἷον πλησίον ἔχων τὰ τεύχη. καλῶς δὲ οἱ ἑταῖροι τὴν μεθ' ἡμέραν τάξιν φυλάττουσι τεταγμένοι περὶ τὸν βασιλέα.

A=B– ἀμφὶ δ' ἑταῖροι εὗδον, ὑπὸ κρασὶν δ' ἔχον ἀσπίδας] διὰ τὴν μεθ' ἡμέραν ταλαιπωρίαν κοιμῶνται. στρατιωτικὸν γὰρ τοῖς αὐτοῖς ὅπλοις χρῆσθαι καὶ πρὸς πόνους καὶ πρὸς ἀνάπαυλαν.

B– 152. ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ σαυρωτῆρος] τρόπον τινὰ περιχαρακοῦντα τὸν ἡγεμόνα. φανερὸν δὲ τὸ σχῆμα καὶ κοιμωμένων, ἴσως ἐμφαίνοντος τοῦ ποιητοῦ καὶ διὰ τούτου τὸ ἀνδρεῖον Διομήδους καὶ ἕτοιμον εἰς μάχην· διὸ καὶ τὰ ἐναντία ἑξῆς φησι περὶ Θρᾳκῶν ὡς ψέγων "ἔντεα δέ σφι καλὰ—παρ' αὐτοῖσιν χθονὶ κέκλιτο εὖ κατὰ κόσμον" (471).

B= 153. τῆλε δὲ χαλκὸς λάμφ' ⟨ὥστε στεροπή⟩] γραφικῶς τῷ σκιάζοντι τῆς νυκτὸς ἀντιπεριέστησε τὴν ἐκ τῶν αἰχμῶν ἀναλάμπουσαν αὐγήν, καὶ ταύτην "τῆλε."

B– 156. ὑπὸ κράτεσφι τάπης τετάνυστο] ἀναγκαῖον σκληρᾶς οὔσης τῆς στρωμνῆς τὸ προσκεφάλαιον εἶναι ἁπαλόν· οὐ μόνον δὲ καθ' ἡλικίαν, ἀλλὰ καὶ κατὰ τὸ ἀξίωμα ἑκάστῳ τι ἀπονέμει. τάπης γοῦν τῷ βασιλεῖ ὑπόκειται, οὐχ ὡς τοῖς στρατιώταις ἀσπίς.

B– 158. λὰξ ποδὶ κινήσας] εἰκὸς διὰ τοὺς μεθ' ἡμέραν κόπους οὐκ αἰσθάνεσθαι· καλῶς δέ, ὅτι οὐ μονοειδῶς ἅπαντες διυπνίζονται. δυσωπητικὸν δὲ τὸ ὑπὸ τοῦ γέροντος ἀνίστασθαι· διὸ καὶ "λάξ" αὐτὸν ἀνίστησιν ὀνειδίζων τὴν ἀπρονοησίαν.

1. οὗτος B: ὡς ‖ 2. suppl. Bekker ‖ 3. supplevi ex B ‖ 10. στρατιωτικὸν etiam A, στρατηγικὸν B ‖ 17. πόρους A ‖ 31. διὰ τοὺς μ. ἡ. κόπους B: τοῖς μ. ἡ. κόποις

* διὰ τοῦ "κινήσας" ἰάσατο τὸ "λάξ." τῷ ὑποκάτω τῶν δακτύλων μέρει.

159. * ἔγρεο, Τυδέος υἱέ] γράφεται καὶ "ὄρσεο·" διχῶς αἱ Α= Ἀριστάρχου.

* ἀωτεῖς] κοιμᾷ, ἀπὸ τοῦ ἀέσαι. Α+

160. οὐκ ἀίεις] Ἀγαμέμνονα μὲν καταπληχθέντα παραμυθεῖται, Διομήδεα δὲ ἀμελοῦντα ἀναπτεροῖ, καὶ ἄμφω βελτίους ποιεῖ. τὸ δὲ "ἀίεις" ἀντὶ τοῦ ἀκούεις πρὸς πλείονα ἐπίτασιν, ὡς πλησιασάντων αὐτῶν. Β=

ἐπὶ θρωσμῷ πεδίοιο] οἱ μὲν τῷ ἀντικρύ, οἱ δὲ τῷ ὑψηλῷ, οἱ δὲ τῷ πλατεῖ. Α+

161. εἵαται ἄγχι νεῶν, ὀλίγος δέ τε χῶρος ἐρύκει] οὕτω διὰ τοῦ "τέ" γραπτέον· ⟨γράφεται δὲ⟩ καὶ "ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει." Α+

164. σχέτλιος ἐσ⟨σ⟩ί, γεραιέ] ἡδὺ ἐπίπληξις φιλοπονίας καὶ ἀρετῆς.

σχέτλιος] ὁ ἄξια ἀγανακτήσεως πράσσων· εἰώθαμεν δὲ ἀμελείας κρινόμενοι φιλοπονωτέρους τ⟨οῦ⟩ δέοντος φάσκειν τοὺς ἐγκαλοῦντας, τῷ ἐπαίνῳ ἐκείνων τὸν ἴδιον ἀπολυόμενοι ψόγον, οὐχ ἑαυτοὺς ἧττον τοῦ δέοντος φάσκοντες πονεῖν, ἀλλ' ἐκείνους τοῦ δυνατοῦ περαιτέρω. Α Β=

167. ἀμήχανος ἐσσί] ἀνίκητος, πρὸς ὃν οὐδὲ τὸ γῆρας μηχανήσασθαί τι δύναται. Α+ Β=

169. ναὶ δὴ ταῦτά γε—κατὰ μοῖραν ἔειπες] ὁ γέρων ἐπαινεθεὶς ἴαται τὸ "τί πάννυχον ὕπνον ἀωτεῖς (159);" φρονίμως δὲ οὐ συνεχώρησε τοῦτο, ὅτι φιλοπονώτερός ἐστι τῶν ἄλλων—φορτικὸν γὰρ ⟨ἂν⟩ ἦν—ἀλλὰ τὸν καιρὸν ἐπικίνδυνον εἶναι καὶ τῆς παρὰ δύναμιν φιλοπονίας δεόμενον. Β=

170. εἰσὶ δέ μοι παῖδες] ὅτι εἰς τὰς κοινὰς ὑπηρεσίας πρώτους καταλέγει τοὺς ἑαυτοῦ παῖδας.

173. ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς] καὶ διὰ τὸ ὀξὺ καὶ διὰ τὸ λεπτὸν ἐπικίνδυνον τοῦτο. §. τὴν πρώτην δὲ τοῦ "ξυροῦ" συσταλτέον διὰ τὸ μέτρον. Α~ Α=

174. ἦ μάλα λυγρὸς ὄλεθρος—ἠὲ βιῶναι] ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον· διαζευκτικοὶ γάρ εἰσιν· οὐκ εἶπε δὲ κρατῆσαι ἢ κρατηθῆναι, ἀλλ' ἢ κακῶς ἀπολέσθαι ἢ ζῆσαι.

175. Φυλέος υἱόν] Μέγητα· καὶ ἀλλαχοῦ "Φυλείδην τε Μέγητα" Α+

5. κοιμᾷ A : κοιμῶσαι ‖ 6. καταπληχθέντα B : καταπλήξαντα ‖ 13. supplevi ex A ‖ 17. φάσκειν B : ἀποφάσκειν ‖ 24. τοῦτο B : τούτῳ

(Il. 19. 239). §. καὶ πῶς ἀριστεὺς ὑπάρχων οὐκ ἀνίσταται κατὰ Ἕκτορος (Il. 7. 161); ἢ ὅτι μείζων ἑαυτοῦ γέγονε, τὴν Ἐπειῶν προσλαβὼν ἀρχὴν μετὰ Διώρην (Il. 4. 517).

B– 176. ἄνστησον, σὺ γὰρ ἐσσὶ νεώτερος, εἴ μ' ἐλεαίρεις] τὸ ἐξῆς "ἄνστησον, εἴ μ' ἐλεαίρεις." οὐκ ἐπιτακτικῶς δέ φησιν, ἀλλ' 'εἰ ταῖς ἀληθείαις ἐλεεῖς με' διὰ τὸ "σὺ μὲν πόνου οὔποτε λήγεις" (166). τὸ δὲ "σὺ γὰρ ἐσσὶ νεώτερος" πεφυλαγμένως προσέταξε πρὸς τὸ λῆμμα εἰπόντος "οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν" (165), ὡς, εἰ μὴ

A+ παρῆν, δι' ἑαυτοῦ ἂν ὁ γέρων ἐκάλεσεν. §. τὸ δὲ "ἄνστησον" διὰ τοῦ ν.

B= 179. τοὺς δ' ἔνθεν ἀναστήσας ἄγεν ἦρως] ταχέως καὶ μεγαλείως· τί γὰρ ἔδει διατρίβειν περὶ πρᾶξιν οὐδὲν ἠθικὸν οὐδὲ ἀξιόπιστον ἔχουσαν;

A B= 182. ἀλλ' ἐγρηγορτὶ—εἵατο] καλῶς οὔτε κατακλίνονται, ἵνα μὴ κατενεχθῶσιν εἰς ὕπνον, οὔτε ἑστήκασιν, ἵνα μὴ προκάμωσι τῆς χρείας.

B= ἐγρηγορτὶ σὺν τεύχεσιν] οἰκεῖον φύλαξι τὸ μὴ κοιμᾶσθαι μηδὲ πρὸς βραχὺ ἀποθέσθαι τὴν ἀσπίδα.

B= 183. ὡς δὲ κύνες περὶ μῆλα] θείως τὴν τῶν φυλάκων ἀγρυπνίαν τῇ τῶν κυνῶν παρέβαλε, καὶ ταῦτα ποιμενικῶν· ὀξυήκοοι γὰρ καὶ ἄγρυπνοι, ἔπειτα καὶ λέοντος προσδοκῶντες ἔφοδον.

* δυσωρήσωνται] ὥρα ἡ φυλακή.

B= 186. ἀπό τε σφι⟨σὶ⟩ν ὕπνος ὄλωλεν] τοῖς κυσίν· θορύβου γὰρ παρεμπεσόντος, κἂν οἱ ἄνδρες ἀφυπνώσωσιν, οὐκέτι κοιμῶνται οἱ κύνες. διὸ ὑπερβολικῶς εἶπε τὸ "ὄλωλεν," ὡς μηδὲ ὕστερον εἰ βουληθεῖεν ὑπνωσόντων αὐτῶν.

B= 188. νύκτα φυλασσομένοισι κακήν] κοινῶς, ὡς ἂν εἴποις 'κακὴν νύκτα διήγαγον·' καὶ ἔστι παθητικόν, ὑπὸ τοῦ ποιητοῦ Ἀττικῶς κείμενον. ἅμα δὲ ἐξηγεῖται τὸ "δυσωρήσονται" (183)· δηλοῖ γὰρ τὴν δυσχερῆ παραφυλακήν.

A= * φυλασσομένοισι] ἀντὶ τοῦ φυλάσσουσιν.

188, 9. πεδίον⟨δε⟩ γὰρ αἰεὶ τετράφατο] διὰ τοῦ ἀεί δηλοῖ τοὺς μηδ' ὅλως ἀφυπνίσαντας ἀντιστήσαντας τῷ ὕπνῳ τὸν φόβον.

189. * ἐπὶ Τρώων ἁλίοιεν ἰόντων] ἐπιόντων ἁλίοιεν.

190. τοὺς δ' ὁ γέρων γήθησεν] τὸ πᾶν γὰρ αὐτῷ ἐπιτρέπει ὁ Ἀγαμέμνων.

8. ἔασι καὶ ἄλλοι ‖ 23. ὑπνωσσόντων B ‖ 25, 26. Ἀττικῶς κείμενον scripsi cf. Eust. p. 535, 18: προσκείμενον ut B ‖ 29. πεδίον γὰρ ἀεί τε in ras. novavit pr. ‖ τέτραφθ'

191. οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε] τεχνικῶς διὰ τοῦ παραγ- B–
γεῖλαι αὐτοῖς ὁμοίως φυλάττειν ἐπῆνεσέ τε ἅμα καὶ προσέταξεν
ἀνεπιφθόνως. εὖ δὲ καὶ τὸ "φίλα τέκνα·" τῷ γὰρ συγγενικῷ
ὀνόματι τὴν ἀπὸ τοῦ ὕπνου νενίκηκεν ἡδονήν. τοῦ δὲ παιδὸς οὐδ' ὅλως
ἐμνημόνευσεν.

193. μὴ χάρμα γενώμεθα] τὸ μάλιστα λυποῦν παρέλαβε, χαρὰν B=
πολεμίων. ὡς ἐν ὑποθήκῃ δὲ λέγων ἐν αὐτοῖς εἶναι τὴν πᾶσαν Ἑλ-
λήνων σωτηρίαν φησίν.

194. τάφροιο διέσσυτο] ὑπὲρ γεροντικὴν προθυμίαν καὶ πρῶτος B=
πρόεισι δυσωπῶν αὐτούς. §. διὰ τί δὲ οὐ μᾶλλον ἔσω τοῦ τείχους AB–
ἀσφαλέστερον βουλεύονται; ἀλλ' ἐν τῷ στρατεύματι νυκτὸς συνι-
όντες θόρυβον ἂν ἐκίνησαν, καὶ ταῦτα προτεταλαιπωρημένων ἤδη τῶν
Ἑλλήνων. ἄλλως τε ἄτοπον ἦν εἰς κατασκοπὴν ὀτρύνοντα⟨ς⟩ μὴ τολ-
μᾶν προϊέναι τῶν πυλῶν· ἔτι δὲ καὶ πρὸς παραμυθίαν τῶν μελλόντων
ἐκπέμπεσθαι πρὸς τὸ μὴ δοκεῖν πολὺ προκόπτειν τῆς φάλαγγος·
ἦσαν δὲ ἤδη τὰ τῶν συμμάχων παυθέντα πυρά· διὸ ἔλαθον.

196. τοῖς δ' ἅμα Μηριόνης καὶ Νέστορος ἀγλαὸς υἱός] διὰ τὸν
Ἰδομενέα καὶ Νέστορα· ἅμα δέ, ἵνα οἱ κατάσκοποι ὁπλισθῶσιν.

197. αὐτοὶ γὰρ κάλεον συμμητιάασθαι] πιθανῶς τοὺς φύλακας
εὑρόντες ἐγρηγορότας, ἐπῆνεσαν μὲν αὐτοὺς τοῖς λόγοις, ἐτίμησαν
δὲ τοῖς ἔργοις ἐπὶ συμβουλίαν τοὺς ἡγεμόνας αὐτῶν παραλαβόντες.

198. ὀρυκτήν] τὴν εὖ ὀρυχθεῖσαν, ὅ ἐστι βαθεῖαν· ἢ ἀντιδια- B=
στέλλει πρὸς τοὺς ἐξ ὄμβρων γινομένους ῥωχμούς.

199. ὅθι δὴ νεκύων διεφαίνετο χῶρος] "διεφαίνετο" ὡς ἐν σκότῳ οὐ B=
καθαρῶς ἐφαίνετο. ἐκίνησε δὲ ἡμῶν τὴν διάνοιαν τῷ ἐναργεῖ, τὸ μὲν
περὶ τὴν τάφρον ἅπαν χωρίον φήσας πλῆρες εἶναι κειμένων νεκρῶν,
ὀλίγον δὲ τὸν καθαρὸν τόπον.

ὅθι δὴ νεκύων διεφαίνετο χῶρος πιπτόντων] ἄτοπόν φασι, μηδὲ
τοὺς πρὸς τῇ τάφρῳ ⟨ἀν⟩ελέσθαι νεκρούς· ἀλλ' οὐκ ἂν ἐπέγνωσαν
νυκτὸς τοὺς ἑαυτῶν. ἢ διὰ τὴν φαντασίαν.

204. ὦ φίλοι, οὐκ ἂν δή τις ἀνήρ] ἐξ αὐτοῦ τοῦ πράγματος ἄρχε- B=
ται· οὐκ ἔδει γὰρ προοιμίων ἀλλ' ὀξυλαβίας τῷ καιρῷ. ὑποθετικῶς
δὲ ἄρχεται, οὐ προστακτικῶς. εὖ δὲ καὶ τὸ μὴ ἕνα ἐκλέξασθαι·

10. οὐ scripsi: μὴ ut B ‖ 11, 12. συνιόντες etiam B^2, περιόντες B ‖ 13. supplevi ex B ‖ 16. καυθέντα ‖ 17. τοῖσι ‖ 23. γενομένας ῥωγάδας B ‖ 32. ὀξυβουλίας B

ἐλύπησε γὰρ ⟨ἀν⟩ αὐτὸν ὡς καταφρονῶν τῆς αὐτοῦ σωτηρίας καὶ τοὺς λοιποὺς ᾐσχυνεν. φιλοτιμίαν οὖν τοῖς ἀρίστοις εἰς ἀλλήλους ἐμβαλὼν τοὺς ἀτόλμους οὐκ ἤλεγξεν, ἀλλ' ἡσυχίαν αὐτοῖς ἀνεπίφθονον δέδωκεν. εὖ δὲ καὶ τὸ αὐθαίρετον—"πεπίθοιτο" γὰρ οὐκ ἐμοὶ ἀλλ' "ἐῷ αὐτοῦ θυμῷ" καὶ "τολμήεντι"—ὅ ἐστι περιεκτικὸν τῆς προκειμένης πράξεως.

A+B= 206. ἐλθεῖν εἴ τινά που] ὑποστίζων εἰς τὸ "ἐλθεῖν" τελειώσεις εἰς τὸ "Ἀχαιούς" (210) καὶ τελειῶν εἰς τὸ "ἐλθεῖν" ἀποδώσεις εἰς τὸ "ἀνθρώπους" (213).

B− ἕλοι ἐσχατόωντα] ζωγρήσαι πρὸς τὸ πυθέσθαι τὰ παρὰ τοῖς πολεμίοις. διὰ δὲ τοῦ "ἐσχατόωντα" τὸ ἀκίνδυνον ὑπέφηνε τῆς πράξεως καὶ ἀντιπαρέβαλε τῷ "μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη" (212).

210. * ἂψ ἀναχωρήσουσιν] διὰ τὸ ὑπονοεῖν Ἀχιλλέα.

211. * ταῦτά τε πάντα] ἐπανάληψις.

ἂψ εἰς ἡμέας ἔλθοι] διοριζόμενος θαρσαλεώτερον αὐτὸν ποιεῖ.

B= 212. ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον] πανταχόθεν προτρέπεται, τῷ εὐχερεῖ, τῷ ἀκινδύνῳ, τῷ εὐκλεεῖ.

213. * πάντας ἐπ' ἀνθρώπους] ἀντὶ τοῦ εἰσέπειτα.

B− 214. ὅσ⟨σ⟩οι γὰρ νήεσ⟨σ⟩ιν ἐπικρατέουσιν] μέγας οὖν ἔσται, ἀριστεῖα παρὰ τῶν ἰδίων λαμβάνων· καὶ τὸ δῶρον ἐκ μεγίστης προφάσεως διδόμενον, καὶ εἰ μηδέν ἐστιν, ὅμως μέγα· ἔσται δὲ αὐτῷ, φησίν, ἀγέλη μελάνων οἰῶν, ὅπερ ἐστὶ σπάνιόν τε καὶ σύμβολον τῆς ἐν νυκτὶ πράξεως. διὰ δὲ τῆς ἐπιμονῆς ἀείμνηστον ποιεῖ τὸ κλέος τῆς πράξεως.

A= 216. ὑπόρρηνον] ἔγκυον· οἱ δὲ θηλάζουσαν. §. "ὑπόρηνον" δὲ γράφει διὰ τοῦ ἑτέρου ρ̄.

B− 217. αἰεὶ δ' ἐν δαίτῃσι] ὡς τὸ "ἔδρῃ τε κρέασίν τε" (Il. 8. 162)· ἐκ τούτου δὲ δῆλον, ὡς οὐ πάντες ἀεὶ ἐκαλοῦντο. ἢ τὸ "ἀεί" τὸ αὐτόματον τῆς ἑστιάσεως δηλοῖ, ὡς τὸ "αὐτόματος δέ οἱ ἦλθε" (Il. 2. 408).

A− 218. οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ] Ἑλληνικὸν τὸ μὴ προπετῶς ὑποδέχεσθαι τοὺς κινδύνους.

220. ἔμ' ὀτρύνει κραδίη] "ἐμέ" πρὸς τὸ "πεπίθοιθ' ἑῷ αὐτοῦ" (204)· ἔπρεπε δὲ τὸν μένειν συμβουλεύοντα καὶ τοὺς κινδύνους ὑποδύεσθαι.

1. ἐλύπησε Eust. : ἐλύπει ‖ supplevi ex Eust. ‖ 6, 7. τελείου ὡς εἰς B ‖ 7. ἀπόδος B ‖ 9. ζωγρήσαι scripsi : ζωγρήσει B, ζωγρήσοι ‖ τὰ παρὰ τοῖς πολεμίοις scripsi cf. p. 366,25 : τὰ τῶν πολεμίων B, τὰ παρὰ τῶν πολεμίων ‖ 11. τὸ μ. ‖ 19. ἀριστεῖα B : ἀριστείαν ‖ 22. ἐπιγονῆς ‖ 24. ὑπόρρηνον δὲ ‖ 31. καρδίη

καὶ θυμὸς ἀγήνωρ] παρέλκει τὸ ἐπίθετο⟨ν⟩· καὶ ἔστιν Ὁμηρικόν, ὡς τὸ "Ἀνδρομάχη λευκώλενος" (Il. 6. 377).

221. ἐγγὺς ἐόντα] οὐκ εἰκῇ τὸ "ἐγγὺς ἐόντα," ἀλλ' ὅτι μέγαν B= κίνδυνον ἀναδέχεται. τοῦτο δὲ οὐχ οὕτως ἐξαίρων ἑαυτόν φησιν, ἀλλ' ὡς καὶ ἑτέρου συνεργοῦ δεόμενος.

222. * ἀλλ' εἰ] τινὲς ἀντὶ τοῦ εἴθε.

223. μᾶλλον θαλπωρή] ἐπιτήδειος ὁ τόπος πρὸς τὸ κοινωνοὺς ἐν B= τοῖς δεινοῖς αἱρεῖσθαι, ὅπερ οὐ ποιεῖ Δόλων· διὸ καὶ ἀποτυγχάνει.

224. σύν τε δύ' ἐρχομένω] ὡς τὸ "ἄμφω δ' ἑζομένω, γεραρώτε- A+ ρος ἦεν Ὀδυσσεύς" (Il. 3. 211).

225. * εἴ περ τι νοήσῃ] οὕτω καὶ οἱ ἀπὸ τῆς σχολῆς. A+

227. οἳ δ' ἔθελον Διομήδει] προτρέπει ἐπὶ τὰ καλὰ τῶν ἔργων B= δεικνύς, ὅτι πᾶς ἀνὴρ ἀγαθὸς πρὸς ὀντιναοῦν κίνδυνον ἐλθεῖν θέλων πολλοὺς ἕξει τοὺς συγκινδυνεύοντας.

228. ἠθελέτην Αἴαντε δύω] παλαιᾶς ἑρμηνείας ἰδέα καὶ μᾶλλον ἔμφασιν ἔχουσα τῷ ἐπιμένειν τῷ "ἤθελε" καὶ μὴ μεταλλάξαι εἰς τὸ 'ἐβούλετο' ἢ ἄλλο τι.

231. ὁ τλήμων Ὀδυσεύς] "ὁ τλήμων" πρὸς τὴν ἑτέραν ποίησιν, ἵνα εὐφυὴς ἐν ἅπασι γένοιτο.

232. αἰεὶ γάρ οἱ ἐνὶ φρεσὶ θυμὸς ἐτόλμα] τολμητὴς ἦν οὐ μόνον ἐν τῷ παρόντι.

233. τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων] πάντα B– Νέστωρ διῴκηκε καταπληχθέντος τοῦ βασιλέως. ἄτοπον δ' ⟨ἂν⟩ ἦν τὸ ἄφωνον αὐτὸν μεῖναι· νῦν οὖν τῷ θάρσει τῶν ἀριστέων ὥσπερ ἀνασφήλας φησὶ περὶ τοῦ ἀδελφοῦ. ἄτοπον γὰρ ⟨ἂν⟩ ἦν Νέστορα καὶ τοῦτο εἰπεῖν καταβάλλοντα τὸν Μενέλαον.

234. ἐμῷ κεχαρισμένε θυμῷ] ἤδη χάριν αὐτῷ τῆς προθυμίας ὁμολογεῖ.

235. * ἕταρον] συνεργόν. A+

236. φαινομένων τὸν ἄριστον] καλῶς παραιτεῖται Μενέλαον· οὐ γὰρ ἄριστος οὗτος.

φαινομένων τὸν ἄριστον] τεχνικῶς ἔχει ὁ λόγος. ὁρῶν γὰρ τοὺς B= ἀνθρώπους πολλάκις καὶ παρὰ γνώμην τοὺς ἐν ἀξιώμασιν ὄντας προτιμῶντας ἰδίᾳ μὲν ὤκνησεν περὶ τοῦ ἀδελφοῦ ποιήσασθαι τὸν λόγον,

7. τρόπος: corr. W ‖ 11. νοήσῃ] ῃ an ει incertum ‖ οἱ A: ὁ ‖ 14. συνκινδυνεύοντας ‖ 16. τὸ ἤ. ‖ 23. διῴκησε B ‖ 26. ἐρεῖν ‖ 29, 31. ἄριστα

μὴ τοῦ κινδύνου αὐτὸν ὑπεκκλέπτειν δοκῇ, κοινῇ δὲ ὑπὲρ ἁπάντων λέγει τὸν ἄριστον αἱρεῖσθαι.

238. σὺ δὲ χείρον' ὀπάσσεαι αἰδοῖ εἴκων] διδάσκει, ὅτι πολλάκις αἰδὼς ἐκκρούει τοῦ συμφέροντος.

B= 239. εἰς γενεὴν ὁρόων, μηδ' εἰ βασιλεύτερός ἐστιν] τοὺς πρὸς τὰ ἔργα ἡμῖν χρησίμους ἐσομένους ἀξιοῖ Ὅμηρος σκοπεῖν, οὐ τοὺς εὐγενεῖς ἢ πλουσίους, ὥσπερ καὶ ἰατροὺς οὐ τοὺς πλουσίους παραλαμβάνομεν ἐν ταῖς νόσοις, ἀλλὰ τοὺς ἰάσασθαι δυναμένους.

A+ 240. * οὐδὲ ἐν τῇ Ζηνοδότου ἦν.

A+ 242. εἰ μὲν δὴ ἕταρόν ⟨γε κελεύετ' ἔμ' αὐτὸν ἑλέσθαι⟩] Ἀρίσταρχος τὴν "μέ" ἐγκλιτικῶς προφέρεται.

B− 243. πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγώ] τῇ ἀνδρ⟨ε⟩ίᾳ ἑαυτοῦ θαρρῶν σύμβουλον αἱρεῖται· διὸ παρίησιν Αἴαντα.

AB= 244. οὔ περὶ μὲν πρόφρων κραδίη] ἀληθὴς ὁ ἐν τοῖς κινδύνοις ἔπαινος, παρωσάμενος πᾶσαν αἰδῶ. ἅμα δὲ καὶ τοῖς ἄλλοις ἀπολογεῖται, οὐ δι' ἀνδρ⟨ε⟩ίαν φήσας αὐτὸν δέχεσθαι, ἀλλὰ διὰ φρόνησιν. §. ᾧ ἕκαστος κατὰ σοφίαν εἴκειν ἠξίου.

245. * ὡς ὑπὸ τῆς θεοῦ τιμώμενος οἶδε καὶ τοὺς ἄλλους τοὺς ὑπ' αὐτῆς τιμωμένους.

A+ 246. * τούτου γ' ἑσπομένοιο] δασύνεται· Ἀρίσταρχος γὰρ δασύνει καὶ τὸ "ἀλλὰ σοί, ω μέγ' ἀναιδές, ἅμ' ἑσπόμεθα" (Il. 1. 158).

B= 247. ἄμφω νοστήσαιμεν] πρὸς τὸ φιλάλληλον οὐκ εἶπε 'νοστήσαιμι', καὶ ὑποφαίνει, ὡς εἰ ἄλλον εἵλετο αἴτιος ⟨ἂν⟩ ἀμφοτέροις θανάτου καθειστήκει. §. καὶ ⟨εὖ⟩ ἔοικεν ἔχειν τὸ "θείοιο" (243)· μόνους γὰρ θεοὺς οὐκ ἀναλίσκει τὸ πῦρ.

A+ ἐπεὶ περίοιδε νοῆσαι] τινὲς κατὰ παράθεσιν τὸ "περίοιδε." §. φησὶ δὲ ἐκ τούτων πεποιῆσθαι τὴν Ὀδυσσείαν. §. ὅτι κρειττων ἀνδρείας

B= ἐν κινδύνοις ἡ φρόνησις.

A+B= 249. μήτ' ἄρ με μάλ' αἶνεε] ἐντεῦθεν Χίλων τὸ "μηδὲν ἄγαν" φησίν.

B= §. ἀριστέως δὲ τὸ θέλειν μὲν εὐφημίαν, οὐκ ἀνέχεσθαι δὲ αὐτήν. §. τινὲς δὲ τὸν λόγον ἀνατείνουσιν εἰς τὸ "πῆ φεύγεις" (Il. 8. 94)· οὐκ ἂν δὲ ἐκείνου τοῦ καιροῦ ἐμνήσθη ἐπὶ Νέστορος, ὅσον τὸ καθ' αὐτὸν προδοῦναι αὐτόν.

12, 16, 23. supplevi ex B ‖ 21. σοὶ μὲν μέγ' ‖ 26. ἐπείπερ οἶδε ut textus ‖ φησὶ] cf. p. 357, 12 ; an φασὶ ? ‖ 27. ἀνδρίας B, ἀνδρίαν ‖ 29. αἶνεαι ‖ ad Χίλων sec. add. ἢ Πιττακὸς ut D Eust. ‖ 30. ἀνέχεσθαι B Eust. : ἀναδέχεσθαι ‖ αὐτῆς B Eust.

250. εἰδόσι γάρ τοι ταῦτα—ἀγορεύεις] περισσὸς ὁ μεταξὺ τῶν φίλων ἔπαινος· πρὸς δὲ τοὺς ἀγνοοῦντας "εἶμ' Ὀδυσεὺς Λαερτιάδης" (Od. 9. 19). B−

252. ἄστρα δὲ δὴ προβέβηκε] ἄτοπον πρὸς ἡῶ κατασκόπους πέμπεσθαι. κατεπείγων οὖν φησιν. B=

5 * ἤδη πρὸ τῆς ἐξόδου περὶ τοῦ καιροῦ συμβουλεύει. δεόντως οὖν αὐτὸν εἵλετο. B=

⟨παρῴχηκεν δὲ⟩ πλέων νύξ] οὕτω διὰ τοῦ ω̄ ⟨"παροίχωκεν"⟩, κατὰ τροπὴν τοῦ η̄ εἰς ω̄. A+

πλέων νύξ, τῶν δύο μοιράων] παρῆλθον τῆς νυκτὸς αἱ β′ B−

10 πλήρεις μοῖραι, ὡς τὸ "μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη" (Soph. El. 19), ἵν' ᾖ τὸ "πλέω" ἀντὶ τοῦ πλήρης· ὅθεν καὶ τὸ "Πληιάδας τ' ἐσορῶντι" φησὶ περὶ τοῦ Ὀδυσσέως (Od. 5. 272)· προοικονομεῖ οὖν, φησί, τὴν Ὀδυσσείαν. οἱ δέ, τὸ πλέον τῶν β′ μοιρῶν αὐτῆς παρῆλθεν ἡ νύξ, β′ δὲ μοῖραι ἡ′ ὧραι. τούτων τὸ πλέον, ὅ

15 ἐστιν ζ′, παρῆλθεν, ἐσμὲν δὲ ἐν ὀγδόῃ ὥρᾳ, λείπονται δὲ τέσσαρες. δύναται δὲ καὶ οὕτως εἶναι· πολλάκις γὰρ τῇ λ′ τοῦ μηνὸς τὸ δειλινὸν λέγομεν, τὴν λ′, μόνην ὑπολείπεσθαι τῷ μηνί· καὶ ἀλλαχοῦ "οἱ δὲ πανημέριοι μολπῇ θεόν" (Il. 1. 472) τὸ λεῖπον τῆς ἡμέρας.

πλέω—τῶν β′ μοιράων] τὴν πλείονα μοῖραν τῶν β′ μοιρῶν, ἵνα B=

20 λείπηται μέρος τι τῶν β′ καὶ ἡ τρίτη τελεία.

253. * Ἀριστοφάνης ἀθετεῖ. A+

255. Τυδείδῃ μὲν δῶκε—Θρασυμήδης] ἵνα μὴ ἀπιόντες πάλιν εἰς τὰς σκηνὰς χρονοτριβοῖεν. φησὶ δὲ "ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν" (Il. 9. 80). Θρασυμήδης δὲ ὁπλίζει αὐτὸν ὡς νεωστὶ Νέστορα B−

25 σώσαντα (Il. 8. 139).

256. * τὸ δὲ—λέλειπτο] τοῦτο διὰ μέσου. οἱ δὲ "δέ" ἀντὶ τοῦ γάρ. A−

257. * καὶ σάκος] εἰς προβολὴν τοῦ τοξ⟨ότ⟩ου Ὀδυσσέως.

258. ἄφαλόν τε] ὁ φάλος ὀμφαλός ἐστι μικρὸς ἀσπίδι μικρᾷ παραπλήσιος. κεῖται δὲ κατὰ τὸ μέτωπον ὑπερέχων τῶν ὀφρύων, A= B−

30 ἀποσκιάζων τὴν αὐγὴν τοῦ ἡλίου, οἷαι τῶν Κορυβάντων εἰσὶν αἱ κόρυθες καὶ τῶν παλλαδίων· ὅτι δὲ κατὰ τὸ μέτωπόν ἐστιν ὁ φάλος, δῆλον ἐκ τούτων "τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον—ἐν δὲ μετώπῳ πῆξε" (Il. 4. 459) κἀκ τούτων "ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι νευόντων· ὣς πυκνοὶ ἀφέστασαν" (Il. 13. 132).

1. ἀγορεύεις scripsi : λέγεις ‖ 2. Ὀδυσσεὺς ‖ 13. φησὶ] cf. p. 356, 26 ‖ 21. schol. supra v. 254 scriptum ‖ 27. προσβολὴν ‖ 31, 32. ὁ φάλος Bekker cf. Eust.: ἄφαλος A, ὀμφαλός

A+ B= ἄλοφον] πρὸς τὸ λανθάνειν. §. "ἄφαλον" δὲ ἀναγκαίως· ἐκ γὰρ τῶν φάλων εἰώθασιν ἐκδεῖσθαι οἱ λόφοι.

A+ B= καταῖτυξ] παρὰ τὸ κάτω τετύχθαι· λόφον γὰρ οὐκ ἔχει.

B− 259. ῥύεται δὲ κάρη] ⟨δείκνυσιν,⟩ ὅτι πρὸς μόνην σκέπην πεποίηται, οὐ πρὸς κόσμον· φάλος δέ ἐστι μικρὸς ὀμφαλός, ⟨ἐξ⟩ οὗ δεῖται ὁ λόφος.

260. Μηριόνης δ' Ὀδυσῆι δίδου βιόν] ὡς Κρὴς ἔχει τόξον, ὅπως βάλλῃ λανθάνων τοὺς ἐν φωτί. καὶ προοικονομεῖ καιρίως τὴν μνηστηροκτονίαν.

B= 262. ῥινοῦ ποιητήν· πολέσιν δ' ἔντοσθεν ἱμᾶσιν] ὥστε τῇ ἐμπλοκῇ τῶν ἱμάντων δυσδιάλυτον μεῖναι τὸ κράνος, τῶν δὲ ἔξωθεν κατὰ τὴν ἐπιφάνειαν σκέπεσθαι ὀδόντων πυκνῶς ἐρεισθέντων.

264. * ἀργιόδοντος] πρὸς τὸ ἀποκρούεσθαι τὰ βαλλόμενα μεμηχάνηνται οἱ ὀδόντες.

A+ 265. πῖλος ἀρήρει] Ἀπολλόδωρος ὁ σκιαγράφος ἐντεῦθεν πρῶτος ἔγραψε πῖλον Ὀδυσσεῖ· ἀλλ' οὐκ ἦν αὐτοῦ ἡ περικεφαλαία ⟨ἰδία⟩, κοινόν τε πάσῃ τὸ ἔχειν ⟨πῖλον⟩.

A− 266. τήν ῥα ποτ' ἐξ Ἐλεῶνος] προειπὼν ἐν Θεσσαλίᾳ κατοικεῖν τὸν Ἀμύντορα δι' ὧν φησι Φοίνιξ "φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος" (Il. 9. 478) ἐνθάδε πῶς ἐν Ἐλεῶνι τῆς Βοιωτίας αὐτὸν φησιν οἰκεῖν; ἡ δὲ λύσις ῥᾳδία· ἦν μὲν γὰρ ὁμώνυμος τῷ Φοίνικος ⟨πατρί⟩. Φερεκύδης δὲ Βοιωτὸν τὸν Ἀμύντορά φησιν· καὶ γὰρ ὁ ποιητὴς οὐκ ἀπὸ τῆς Ἑλλάδος φησὶ φεύγειν τὸν Φοίνικα. δύναται δὲ καὶ ἐν Ἑλλάδι οὕτω τις προσαγορεύεσθαι τόπος Ἐλεών.

A− τήν ῥα ποτ' ἐξ Ἐλεῶνος] Αὐτόλυκος Ἑρμοῦ καὶ Στίλβης τῆς Ἐωσφόρου δῶρον παρὰ τοῦ πατρὸς ἔλαβε τοῦτο, ὥστε κλέπτειν καὶ τῶν κλεπτομένων ἀμείβειν τὴν ἰδέαν· καί ποτε κλέψαντος αὐτοῦ Σισύφου βόας παρῆν ὁ Σίσυφος ἐπιγνοὺς τὰς ἰδίας· ὡς δὲ ἠρνεῖτο, Σίσυφος στρέψας τὰς ὁπλὰς τῶν βοῶν ἔδειξε τὸ ὄνομα αὐτοῦ ἐγκεκολαμμένον. ὁ δὲ φωραθεὶς ἐπὶ ξενίαν αὐτὸν προετρέπετο· ὅθεν μεθυσθεὶς βιάζεται Ἀντίκλειαν καὶ ποιεῖ Ὀδυσσέα.

B+ * ἐν Ἐλεῶνι τὴν κλοπήν φησιν, ἐν δὲ Σκανδείᾳ τὴν διανομήν.

3. post ἔχει add. sec. κοίλην τινὰ οὖσαν καὶ μὴ ἐξεστηκυῖαν ἀλλ' ὡσανεὶ κατω[φερῆ] (πατερῶ legi, at ultimae 4 litt. fere evanidae; cf. Et. M.) ‖ 4. supplevi ex B ‖ 6. ὀδυσσῆι ‖ βάλλοι ‖ 9. εἶναι B ‖ 9, 10. cf. Eust.; τὴν δὲ ἔξωθεν ἐπιφάνειαν σκέπεσθαι τῶν ὀδ. coni. W: τὴν δὲ ἔ. ἐπιφ. σκέπεσθαι μετὰ τῶν ὀδ. B,—σκέπτεσθαι κατὰ τῶν ὀδ. ‖ 13. σκιαγράφος Eust.: σκιογράφος ‖ 14, 15. supplevi, cf. Eust. ‖ 15. πᾶσι, cf. Eust. ‖ 16. Θεσσαλίᾳ Heyne: θαλάσσῃ ‖ 17. φεύγων ‖ 19. ἡ μὲν γὰρ ὁμωνυμία, cf. Eust. ‖ *supplevi* ex A ‖ 23. κ. Τηλαύγης Eust.

268. *Σκάνδειαν] πόλις τῶν Κυθήρων. §. λείπει δὲ ἡ εἰς, ἀντὶ τοῦ A + B =
'εἰς τὴν Σκάνδειαν.' A + B

270. φορῆναι] ἐκ τοῦ φόρημι φορέναι, ἐκτάσει φορῆναι, ὡς καὶ τὸ εἶναι.

271. δὴ τότ' Ὀδυσσῆος πύκασεν κάρη] ἡδεῖα ἡ περιπέτεια, τὸ διὰ B =
τοσούτων ἐλθοῦσαν τὴν κυνῆν πάλιν σκεπάσαι Ὀδυσσέα τὸν ἐξ Αὐτολύκου.

272. δεινοῖσιν] ἴσως διὰ τὴν κατάπληξιν τῆς προσδοκωμένης δι' B =
αὐτῶν λαθραίας πράξεως.

273. λιπέτην δὲ—πάντας ἀρίστους] μένοντας καὶ καραδοκοῦντας B =
τὴν ἀπόβασιν.

274. τοῖσι δὲ δεξιόν] ἀγαθὸν λίαν τὸ σημεῖον τοῖς ἐνεδρεύουσιν, A B –
ὥς φησιν Ἕρμων. ἐδήλου δὲ ὅτι οὐχ ὁραθήσονται μέν, ἔκπυστα δὲ καὶ ἄκρυπτα δράσουσι τοὺς πολεμίους. ἐρωδιὸν δὲ ἔπεμψεν ἡ Ἀθηνᾶ, ἐπεὶ ἑλώδης ὁ τόπος παρὰ τῷ Σκαμάνδρῳ, ὑδατῶδες δὲ τὸ ὄρνεον—ἐδήλου οὖν τὴν ἐπὶ τὰς ναῦς ὑποστροφήν—καὶ νυκτὸς ἀγρεύει καὶ ἁρπακτικόν ἐστιν. ἀντὶ δὲ τοῦ "Παλλάς" "πελλόν" γράφειν φησὶ δεῖν ὁ Ζώπυρος· τρία γὰρ γένη ἐρωδιῶν· πελλός, ὅς ἐστιν ἅρπαξ· πύγαργος, ὃς αἱμορραγεῖ διὰ τῶν ὀφθαλμῶν ἐν ταῖς συνουσίαις· ὁ δὲ ⟨τρίτος⟩ ἀφροδίσιος, ὃς ἀφρίζει ἐν ταῖς συνουσίαις.

ἐγγὺς ὁδοῖο] παρὰ τὴν ἔξοδον. §. προχαρίζεται δὲ τῷ ἀκροατῇ, B =
προαναφωνῶν αὐτῶν τὴν κατόρθωσιν.

275. τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖσιν] ἐδήλου, ὡς οὐκ ὀφθήσονται A B =
μὲν αὐτοῖς, εἴσονται δὲ τὰ τῶν πολεμίων διὰ τῆς φωνῆς τῆς Δόλωνος.

276. *νύκτα δι' ὀρφναίην] οἰκονομικῶς· ἀσέληνος γάρ ἐστιν ἡ νύξ· ἀμέλει Νέστωρ οὐχ ὁρᾷ (532).

277. ἠρᾶτο δ' Ἀθήνῃ] οἱ μὲν Ἕλληνες θεὸν ἡγεμόνα πρὸ τῶν B =
ἔργων ἐπικαλοῦνται, ὁ δὲ βάρβαρος Δόλων οὐκ εὔχεται.

*χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυσεύς] ὡς ἐμφρονέστερος.

*ὄρνιθ'] ἐκ πλήρους "ὄρνιθι" δοτική, ὡς "θεῖ' ἐφ' ἁλὸς πολιῆς" (Il. 1. 350).

278. ἦ τε μοι αἰεὶ—παρίστασαι] πραγματικῶς· προθυμοτέρως B =
γὰρ καὶ θεοὶ καὶ ἄνθρωποι εὐεργετοῦσι τοὺς ὑπὲρ ὧν πεπόνθασι χάριν ὁμολογοῦντας.

3. ἔκτασις ‖ 5. Ὀδυσσῆος B: Ὀδυσσέως ‖ 14. ἐν τοῖς πολεμίοις B ‖ 17. πέργον sec. ‖ 18. πελλὸς B^2 Eust.: πέργος ‖ 19. πύργαργος cf. B^2 Eust. ‖ 20. ἀφρίζει coni. W: ἁρμόζει B^2, ἀορίζει ‖ 23. εἶδον ‖ 28. ἔτι post οὐκ omisi ut B

A– B= 280. *κινύμενος] ὑπερβολικῶς, οἷον 'καὶ ἐπὶ σμικρὰν πρᾶξιν ὁρμῶν.'

A+ 281. *εὐκλεΐας] ἀπὸ τοῦ εὐκλέας γέγονεν· διὸ προπερισπαστέον.

A= 286. *ἐς Θήβας] πρὸς ἄμφω δύναται συντάττεσθαι.

A+ B= 288. *μειλίχιον μῦθον] καλῶς "μειλίχιον" τὸν περὶ διαλλαγῶν ἔφη.

A+ 290. τὸ "πρόφρασα" ἐνόμισάν τινες εἶναι θηλυκὸν "πρόφρασσα," οὐκ ἔστι δὲ ἀληθές· Φιλόξενος γὰρ ἐν τῷ περὶ μονοσυλ⟨λ⟩άβων φησίν, ὅτι ἐστὶν ἰδιότυπος ῥηματικὸς χαρακτήρ· καὶ ὡς παρὰ τὸ βήσω βῆσα καὶ βῆσσα, ἄξω ἄξα καὶ ἄμαξα, ⟨πείσω⟩ πεῖσα—"τῷ δ' ἄρ' ἔτ' ἐν πείσῃ κραδίη μένε τετληυῖα" (Od. 20. 23)—οὕτω καὶ ἀπὸ τοῦ φρῶ φρήσω ⟨φρῆσα⟩ καὶ κατὰ τροπὴν φράσα καὶ πρόφρασα καὶ πρόφρασσα· ἔστι δὲ τὸ φρῶ, ὥς φησιν, ἀπὸ τοῦ προΐω. ἔστιν οὖν τὸ "πρόφρασσα" παρὰ τὸ προϊέναι καὶ προθυμεῖσθαι. μέμνηται καὶ Ὡρίων τούτων ἐν τῷ περὶ ἐτυμολογιῶν.

B– 291. ὣς νῦν μοι ἐθέλουσα παρίσταso] καλῶς ὡς συνετώτερος Ὀδυσσεὺς ἐκοινοποίησε τὴν εὐχὴν "δὸς δὲ πάλιν ἐπὶ νῆας ἐυκλείας

A+ ἀφικέσθαι" (281), ὃ δὲ "σπεῖό μοι" (285). §. ὁ δὲ Ζηνόδοτος "παρίσταo" γράφει ἄνευ τοῦ σ̄.

292. ῥέξω βοῦν] ἐπεὶ εἰς αὐτὸν ὁ κίνδυνος πλέον ὁρᾷ, καὶ θυσίαν

A+ ὑπισχνεῖται. §. τὸ δὲ "ἦνιν" Πτολεμαῖος περισπᾷ, Τυραννίων παροξύνει.

295. τῶν δ' ἔκλυε] παραμυθητικὸν τοῦτο.

297. ὥς τε λέοντε δύω—ἀμ φόνον] ἐλεεινὸν ἐποίησε τοῖς ὀνόμασι τὸ νοούμενον.

298. ἀμ φόνον, ἀν νέκυας, διά τ' ἔντεα καὶ μέλαν αἷμα] τῶν ἐπαινουμένων Ξενοφῶντός ἐστι ταῦτα· "ἐπεὶ δ' ἔληξεν ἡ μάχη, παρῆν ἤδὺ θεάσασθαι, ἔνθα συνέπεσον ἀλλήλοις, τὴν μὲν γῆν αἵματι πεφυραμένην, νεκροὺς δὲ κειμένους, ἀσπίδας δὲ πεπρισμένας, δόρατα παρατεθρυσμένα, ἐγχειρίδια γυμνὰ κολεῶν, τὰ μὲν χαμαί, τὰ δ' ἐν τοῖς σώμασιν ἐμπεπηγότα" (Ages. 2. 14). ταῦτα δὲ Ὅμηρος ἑνὶ στίχῳ συλλαβὼν πάντα ἀπήγγειλεν.

A~ B– 299. οὐδὲ μὲν οὐδὲ Τρῶας] ὑπὸ τὸν αὐτὸν χρόνον ἀμφότεροι τοὺς κατασκόπους πέμπουσιν· συντυγχάνουσι γὰρ ἀλλήλοις ἰόντες· ἀλλ' ὁ ποιητὴς ἐτίμησε τὸ Ἑλληνικὸν τῇ προτέρᾳ τάξει τοῦ λόγου. ἔστι δὲ οἰκονομικὸν τὸ περὶ Δόλωνος καὶ πίστιν ποιοῦν τοῖς νυκτερινοῖς τῶν Ἑλλήνων κατορθώμασιν.

1. καὶ B : κἂν ‖ 2. γέγονε in ras. novavit pr. ‖ 4. διαλόγων cf. B ‖ 6. οὐκέτι δὲ ‖ 8, 10. supplevi ex A ‖ 13. τούτων A : τοῦτο ‖ 16, 17. παρίσταso

300. ἀλλ' ἄμυδις] ὁ μὲν Ἕκτωρ ἀνοήτως πάντας συγκαλεῖ τοὺς ἀρίστους, ἔνθα δέος καὶ ἐκπεσεῖν τι τῶν ἀπορρήτων, οἱ δὲ βραχεῖς. B=

ἀλλ' ἄμυδις κικλήσκετο] βασιλικῶς· Ἀγαμέμνων δὲ δι' ἑαυτοῦ.

303. τίς κεν μοι τόδε ἔργον] ὁ μὲν Ἕκτωρ μετὰ προστάξεως τὸν ὑπακουσόμενον τῇ χρείᾳ καλεῖ, ὁ δὲ Νέστωρ ὑποτίθεται. καὶ οἱ μὲν ἃ ἔχουσιν ἐπαγγέλλονται, ⟨ὃ δὲ ἃ οὐκ ἔχει, καὶ⟩ οἱ μὲν δῶρον, ὃ δὲ ἀτίμως μισθόν. καὶ πρῶτον ἔταξε τὸν μισθόν· διὸ δελεάζεται ὁ υἱὸς τοῦ πολυχρύσου (315). B–

306. οἵ κεν ἀριστεύωσι] αἱ Ἀριστάρχου "ἄριστοι ἔωσι," Ζηνόδοτος δὲ "αὐτούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα." §. οἱ μὲν Ἕλληνες ἃ ἔχουσι διδόασιν, οἷν ὕπαρνον (215), ὁ δὲ Ἕκτωρ οὓς οὐκ ἔχει, ἵππους. §. Ἀριστοφάνης γράφει "καλούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα." A=

308. ἔκ τε πυθέσθαι] ὁ μὲν Νέστωρ τὴν πρᾶξιν ἐξεφαύλισεν ἐπὶ φήμης ἀκοὴν πέμπων τὸν κατάσκοπον ἢ ἐπὶ σύλληψιν μονωθέντος τινὸς πολεμίου, ὁ δὲ Ἕκτωρ ἐπὶ τὴν γνῶσιν τῶν ὅλων. B=

ἔκ τε πυθέσθαι] τὰ ἀκριβῆ περὶ πάντων ἀκοῦσαι· ὁ δὲ ⟨Νέστωρ⟩ "εἴ τινά που δηίων ἕλοι" (206) ὡς ἐκ παραδόξου. B=

314. ἦν δέ τις ἐν Τρώεσσι] ταχέως ἅπαντα ἐδήλωσε, τὸ ἔθνος, τὸ ὄνομα αὐτοῦ τε καὶ τοῦ πατρός, τὴν τέχνην, τὴν τύχην, ὅτι πλούσιος, τὴν μορφὴν τοῦ Δόλωνος, τὴν ὠκύτητα. B=

*ἦν δέ τις] διηγήσεως ἐδέησε πρὸς τὸ σημᾶναι τὸ ἄδηλον τοῦ ἀνδρός· ὅμως τοιοῦτος ὢν τῶν Ἀχιλλέως ἵππων ἐρᾷ καὶ μετ' ὀλίγον προδότης γίνεται. B=

315. κήρυκος] ἵν' ὡς οἰκεῖον ἑαυτῷ τοὔργον ἕληται καὶ ὀφθεὶς εὐπορῇ προφάσεως διὰ τὴν ἄδειαν, ἣν ἔχουσιν οἱ κήρυκες· ἅμα δέ, ὅτι καὶ ἀγνῶτες πολέμων οἱ κήρυκες, ἵνα καὶ ἄπρακτος ᾖ. §. τὸ δὲ "θείοιο," ὅτι ἀνόμοιος τῷ πατρί.

πολύχρυσος] καὶ ὅμως ἠράσθη κέρδους· ἢ δι' ἀλαζονείαν ἕτερόν τι ⟨θηρᾷ⟩ παρὰ χρυσόν. τὸ γὰρ πλουτεῖν καὶ ἱπποτροφίας ἐμποιεῖ πόθον· ἵνα καὶ ὡς ἐν πλούτῳ τεθραμμένος ἄνανδρος ᾖ, καὶ ἵνα εὔελπις ᾖ, ὡς εἰ ληφθείη διὰ τούτων λυτρωθήσεται. A+ B–

*πολύχρυσος] εἰκότως, λαβὼν πέντε θυγατέρων ἕδνα.

6. supplevi ex B ‖ 12. καλούς A: καλοῦσι ‖ 18. iteratur * ὁ δὲ Νέστωρ "εἰ—ἕλοι ἐσχατόωντα" ‖ 23. ὀλίγων: corr. Bekker

316. εἶδος μὲν ἦην κακός] ἵνα ὡς ἄσημος λάθῃ· οὗτος δὲ ἤθελεν ἀντὶ Ἀχιλλέως ὀχεῖσθαι τοῖς ἵπποις.

A~ 317. * μετὰ πέντε κασιγνήτῃσιν] ὡς γυναικοτραφὴς δειλὸς ἦν καὶ ῥιψοκίνδυνος.

B= 318. ὅς ῥα τότε Τρωσίν τε] δοκεῖ διαγανακτεῖν ὁ ποιητής, οἷος ὢν οἵοις ἐπιχειρεῖ.

B= 319. ἔμ' ὀτρύνει κραδίη] ὁ μὲν Διομήδης προσλαβέσθαι συνεργὸν ἔσπευσε καὶ τὸ ἐπικίνδυνον τοῦ πράγματος καὶ τὸ νεμεσητὸν ὑφορώμενος, ὁ δὲ ἀνοήτως μόνος ὁρμᾷ.

B– 321. καί μοι ὄμοσσον] τὸ ἄπιστον δηλοῖ τῶν βαρβάρων, ὅτι τὰς πίστεις ὅρκοις, οὐ τρόποις ἀγαθοῖς βεβαιοῦσιν. ὁ δὲ Διομήδης οὐδὲ μέμνηται τῆς δόσεως.

B– 323. οἳ φορέουσιν ἀμύμονα Πηλείωνα] ὁ μὲν Ἕκτωρ τοὺς ἀρίστους ἵππους δώσειν ὑπέσχετο, οὗτος δὲ τοὺς Ἀχιλλέως αἰτεῖ εἰδὼς τούτους ἀρίστους. ἀμφοτέρων δὲ τὴν ἀτοπίαν καὶ ἄνοιαν ἐδήλωσεν· φίλιππον δὲ χαρακτηρίζει τὸν Δόλωνα, νῦν μὲν τῶν Ἀχιλλέως ἵππων ἐρῶντα, ἐν δὲ τοῖς ἑξῆς ἐπαινοῦντα τοὺς Ῥήσου περιττῶς (436).

324. σοὶ δ' ἐγὼ οὐχ ἅλιος] αἰτεῖ μὲν ἀδύνατα καὶ περὶ αὐτῶν ἀναγκάζει ὀμνύναι, ὑπισχνεῖται δὲ πάντα, περὶ ὧν οὐδὲν εἶπε Διομήδης.

B– οὐδ' ἀπὸ δόξης] οὐκ ἄπωθεν τῆς οἰήσεως ἧς ἔχεις περὶ ἐμοῦ. ἢ οὐχὶ αὐτὸς ἐξ ὑπολήψεως ἀπαγγελῶ, ἀλλὰ μετὰ ἀκριβείας μαθὼν ἕκαστον· ἐπιφέρει γοῦν "τόφρα γὰρ ἐς στρατὸν εἶμι" (325).

325. τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερές] ἐκπεπτωκὼς τῇ ἐπιθυμίᾳ τῶν ἵππων πάντα διορίζεται ὡς ἐπικηρυκείαν ποιήσων, οὐ τὸν μέγιστον κίνδυνον.

326. νῆ' Ἀγαμεμνονέην] ἐκεῖ γὰρ αὐτοὺς καὶ Ἰδαῖος εὑρὼν ἀπήγγειλεν (Il. 7. 383)· ἢ ὅτι Πρίαμος παρ' ἑαυτῷ ποιεῖ τὰς συνόδους. §. λαθεῖν δὲ οἴεται φύλακας, οὓς οὐδ' ⟨ἂν⟩ ἐν ῥαστώνῃ ὄντας ἔλαθε Πρίαμος, εἰ μὴ Ἑρμῆν ἔσχεν (Il. 24. 445).

B= 328. καί οἱ ὄμοσσεν] μωρότερος τοῦ αἰτοῦντος ὁ ἐπαγγειλάμενος καὶ ὀμνὺς ὡς ἤδη τὰ λάφυρα διαιρῶν.

10. εἰς ante τὸ omisi ut B ‖ 14. αἰτεῖ in ras. pr. ‖ 28. ἐκεῖ sec.: τεῖ erasis ante τ 2 litt. pr. ‖ 30. λαθὼν: corr. Bekker ‖ 32. αἰτοῦντος B: ὀμνύοντος ‖ 33. ὁ ante ὀμνύς omisi ‖ ὄμνυσι γὰρ ὡς B

330. μὴ μὲν τοῖς ἵπποισ⟨ιν⟩] ἀντὶ τοῦ 'οὐ μέν·' "μὴ δι' ἐμὴν ἰότητα Ποσειδ⟨ά⟩ων" (Π. 15. 41).

332. καί ῥ' ἐπίορκον ἀπώμοσε] προσαγώγιμος ἡ τῶν ἀναφωνήσεων τέρψις τῷ ἀκροατῇ· ἡδίστη δέ ἐστιν ἡ κερτομική· ὃ μὲν γὰρ οὐδὲ πόρρω τὴν Ἀγαμέμνονος εἶδε σκηνήν, ὃ δὲ ὑπὸ τῶν ἵππων πεφονευ⟨μένος ἕλκε⟩ται (Π. 22. 398).

τὸν δ' ὀρόθυνεν] φαίνεται γὰρ ἀναπτερο⟨ύ⟩μενος τῇ ἐπιθυμίᾳ τῶν ἵππων.

333. ἐβάλ⟨λ⟩ετο καμπύλα τόξα] ἄφρων, ὃς μὴ κα⟨ι⟩όντων πῦρ ⟨τῶν⟩ πολεμίων τόξα ἔχει.

334. πολιοῖο] λευκοῦ, ὡς ἄφρων· κατάφωρος γὰρ δι' αὐτοῦ ἐγένετο. ὁ δὲ Ἀριστοφάνης "πολιοῖο" τεφρώδους· φησὶ γὰρ μὴ εἶναι λευκὸν λύκον· ἔστι δὲ μᾶλλον λευκανθίζοντος. AB–

335. κρατὶ δ' ἐπὶ κτιδέῃ] οὐ δύναται εἶναι "ἰκτιδέῃ" τὸ τέλειον· αὐτὸς γάρ φησι "τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην" (458). A+

§. Ἀριστοτέλης δέ φησιν ἰκτὶν ζῷον ὅμοιον κυνιδίῳ Μελιταίῳ, ὀρνιθοφάγον, τοῖς σμήνεσιν ἐπηρεάζον· τὸ δὲ αἰδοῖον ὀστοῦν καὶ ἰᾶσθαι στραγγουριῶνας (H. A. I p. 612b 10). ἴσως οὖν παρ' Ὁμήρῳ κατ' ἀφαίρεσίν ἐστι τοῦ ῑ. B–

ἕλε δ' ὀξὺν ἄκοντα] ὡς Ἀλεξανδρος (Π. 3. 17).

336. βῆ δ' ἰέναι] οὐκ εὔξατο, ὡς ὁ Διομήδης· διὸ καὶ ἀποτυγχάνει.

339. τὸν δὲ φράσατο προσιόντα] ὡς προνοητικός, μὴ καὶ παρὰ τῶν πολεμίων εἴη τις δόλος· ὃ δὲ ὡς καταφρονῶν τῶν κινδύνων καὶ μέγα τι θέλων διαπράξασθαι τοὺς πολεμίους ⟨οὐ προνοεῖ⟩. καὶ ὁ Νέστωρ "πρῶτος κτύπον ἄιε" (532). B–

341. ἀπὸ στρατοῦ ἔρχεται ἀνήρ] πῶς τὸν ἐρωδιὸν οὐκ ἰδόντες "νύκτα δι' ὀρφναίην" (276) νῦν ὁρῶσι τὸν Δόλωνα; ἴσως οὖν ἀνέσχεν ἡ σελήνη. B=

* οὗτός τοι] "οὗτός τις," οὕτω διὰ τοῦ "τις·" τινὲς δὲ διὰ τοῦ "τοι." A+

342. ἦ νήε⟨σ⟩σιν ἐπίσκοπος] ἐκ τῆς ἰδίας προσβολῆς τεκμαίρεται περὶ τῶν πολεμίων. §. περισσὴ δὲ ἡ "ἐπί·" φησὶ γὰρ "ὄθι σκοπὸν Ἕκτορος" (526).

3. καίρ' ἐπεὶ ὅρκον ‖ 4. ἡ scripsi : καὶ ‖ 9. πυρὰ coni. W ‖ 10. suppl. W ‖ 16. ἰκτὶς ‖ 22. προνοῶν B, προνοητικῶς ‖ 24. supplevi ex B ‖ 25. κτύπων ‖ 32. φησὶν ὅθι

B= 343. ἤ τινα συλήσων] οὐ γὰρ οὕτω ῥᾳδίως εἰς κατασκοπὴν ἀφικέσθαι αὐτὸν οἴεται.

B= 344. * παρεξελθεῖν] οὐκ ἴσασι γάρ, ὅτι ὠκύς ἐστιν.

B= 346. εἰ δ' ἄμμε παραφθαίῃσι] εἰ δὲ πλαγίαν ὡς ἐπὶ τὴν πόλιν ποιεῖται τὴν ὁδόν, ἀπόστρεφε πάλιν αὐτὸν ἐπὶ τὰς ναῦς.

A+ 347. * "ἐπὶ νῆας," οὐ "ποτὶ νῆας."

348. ἔγχει ἐπαΐσσων] ἵνα τὴν ἄφεσιν δεδιὼς ἐπὶ τὰς νῆας τράπηται.

A+ 349. ὣς ἄρα φωνήσαντε] οὕτως αἱ Ἀριστάρχου συλληπτικῶς, ὡς καὶ ἐκεῖ "ὣς ἄρα φωνήσαντε μετ' ἀθανάτους ἀπεβήτην" (Il. 21. 298)· Ἀριστοφάνης δὲ γράφει "ὣς ἔφαθ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Διομήδης· ἐλθόντες δ' ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεσσι."

ἐν νεκύεσ⟨σ⟩ι κλινθήτην] τραγικῶς, ἵνα καὶ αὐτοὶ δόξωσιν εἶναι νεκροί· προῳκονόμηται οὖν ⟨τῷ⟩ μὴ ἀναιρεθῆναι τοὺς νεκρούς (Il. 8. 491).

B− 350. παρέδραμεν ἀφραδίῃσιν] "παρέδραμεν" σύμφωνον τῷ "βῆ ῥ' ἀν' ὁδὸν μεμαώς" (349), ἐπὶ δὲ τῶν Ἑλλήνων "βάν ῥ' ἴμεν" (297)· ἠρέμα γὰρ δεῖ χωρεῖν τοὺς κατασκόπους, τὴν ὄψιν περιάγοντας πρὸς ἐπίγνωσιν ἀκριβῆ.

A=B− ἀφραδίῃσιν] οὐ θεασάμενος αὐτούς, ὁμοίως τῷ "τὸν δ' ἐφράσατο προσιόντα διογενὴς Ὀδυσεύς" (339).

A~B= 351. ⟨ὅσσον τ'⟩ἐπὶ οὖρα πέλονται ἡμιόνων] ὅσον ἀροτριῶσα ἡμίονος ὑπὸ μίαν ὁρμὴν ὑπογράφειν δύναται, ὅ ἐστι πλέθρον.

B= 352. αἱ γάρ τε βοῶν προφερέστεραί εἰσιν] ἐν γὰρ τῇ πρώτῃ αὔλακι σχολαιοτέρων προσδεῖ ζώων πρὸς τὸ βαθυτέραν γενέσθαι τὴν ἐντομήν, ἐν δὲ τῇ νειῷ ὀξυτέρων· προεσχημάτισται γὰρ τῷ ἔαρι.

Ἀρίσταρχος δὲ οὕτως ἐξηγήσατο· ὅσον, φησίν, ὑφ' ἓν καὶ ὁμοῦ ὑπό τινος ἀφεθέντος καὶ ἀπολυθέντος ζεύγους ἡμιόνων καὶ ζεύγους ἄλλου βοῶν φθάσωσι καὶ προλάβωσι τὰς βοῦς αἱ ἡμίονοι—ταχύτεραι γάρ εἰσι τῶν βοῶν—τοσοῦτον, φησίν, ἐάσαντες διάστημα παρελθεῖν τὸν Δόλωνα μεταστραφέντες ἐδίωξαν.

354. * ἐπεδραμέτην] καὶ τοῦτο πρὸς τὸ συλληφθῆναι.

355. ἔλπετο γὰρ κατὰ θυμὸν ἀποστρέψοντας ἑταίρους] οἱ μὲν καὶ προορῶσιν, ὁ δὲ οὐδὲ ὑπονοεῖ πολεμίους ἐπηρμένως.

356. ἰέναι, πάλιν—ὀτρύναντος] ὀτρύναντος ἰέναι, ἀπὸ κοινοῦ.

4. παραφθέῃσι textus ‖ 7. τράποιτο ‖ 12. πρακτικῶς coni. W ‖ 13. ἀφαιρεθῆναι ‖ 15. ἰέναι ‖ 19. ὀδυσσεὺς ‖ 20. ἡ ἡμ. B ‖ 21. ὀργὴν ‖ 24. προευτρέπισται B ‖ 25. ὑφ' ἓν etiam D, ἐξ ἑνὸς B^2

357. δουρηνεκές] φησὶ γοῦν ἐξῆς "δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐύξου δουρὸς ἀκωκὴ ἐν γαίῃ ἐπάγη" (373).

358. * δηίους] διώξοντας δηλονότι.

λαιψηρὰ δὲ γούνατ' ἐνώμα] ἄκρως ἐχαρακτήρισε θρασύδειλον· ἐνθυμηθῶμεν γάρ, ὅτι οὗτός ἐστιν ὁ ἐπαγγειλάμενος μέχρι τούτου πορεύ⟨σ⟩εσθαι, ὅφρ' ἂν ἵκηται "νῆ' Ἀγαμεμνονέην" (326).

360. ὡς δ' ὅτε καρχαρόδοντε] ⟨νῦν μὲν κυσὶν εἰκάζει⟩ διὰ τὸ ἀγρευτικόν, πρώην δὲ λέουσι διὰ τὸ εὐσταθές. B=

361. ἢ κεμάδ' ἠὲ λαγωόν] ὅτι δειλὸς καὶ Δόλων. §. τὸ δὲ "μεμηκώς" τὸν καταληφθησόμενον δηλοῖ· περικατάληπτοι γὰρ γιγνόμενοι βοῶσιν οἱ λαγῴ. B=

364. λαοῦ ἀποτμήξαντε] ὡς τὸ "εἰδότε θήρης" (360). οὐδὲ γὰρ ἐκεῖνοι κατ' οὐρὰν διώκουσιν, ἀλλὰ περὶ τὰ πλευρά, ἠὐτρεπισμένοι πρὸς τὴν ἐπιστροφὴν τῶν διωκομένων θηρίων. A=

ἐμμενὲς αἰεί] ἐν τούτῳ γάρ ἐστι τῶν κυνῶν ἡ ἀρετή. ταῦτα γὰρ τὰ ζῷα φύσει μέν ἐστι ταχέα, ὑπεκλυόμενα δὲ διὰ τὴν ἀσθένειαν· οἱ δὲ κύνες τὸ ἐναντίον. AB=

365. ἀλλ' ὅτε δὴ—μιγήσεσθαι φυλάκεσ⟨σ⟩ι—τότε δὴ μένος] μαθόντες γὰρ οἱ Ἕλληνες τὸν σκοπὸν τῶν Τρώων οὐκ ἂν ἔτι ἔπεμψαν κατασκόπους.

ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε] ἄκρως αὔξει τὰς ἀγωνίας· τί γὰρ ⟨ἂν⟩ ἦν, ὑποστρέφειν αὐτοὺς εἰς τὸν ναύσταθμον ἀπράκτους;

368. ὃ δὲ δεύτερος ἔλθοι] ἡττηθείη· ἀπὸ τῶν δρομέων ἡ μεταφορά.

369. δουρὶ δ' ἐπαΐσσων] ὑπόνοιαν διδούς, ὅτι βαλεῖ αὐτόν· Ὀδυσσεὺς δὲ οὐ τοξεύει· ἢ γὰρ ἂν ἐφόνευσεν, ἢ προπεπηγὸς οὐκ ἂν εἶδε τὸ βέλος ὁ Δόλων διὰ τὴν βραχύτητα. B–

δουρὶ δ' ἐπαΐσσων] ἐνεργείας μεστὸς ὁ ἐπικραδαίνων τὸ δόρυ καὶ βοῶν, ὡς ἀφήσων ἐπ' αὐτὸν ἐὰν μὴ στῇ. B=

370. ἠέ σε δουρὶ κιχήσομαι] οἷον εἰ μὴ τοῖς ποσὶ δύναμαι. καὶ πῶς ἅμα τῇ ἀπειλῇ ἀφῆκεν; ὅτι ὀξυλαβ⟨ε⟩ίας ἔδει, καὶ οὐκ ἐπίστευεν ὡς ἀπειλῇ μόνῃ π⟨ε⟩ισθήσεται, καὶ ὑπόνοιαν αὐτῷ δίδωσιν ὡς οὐ θέλων αὐτὸν ἀνελεῖν, ἵνα ὑπήκοον ἔχῃ πρὸς τὴν ἀνάκρισιν. B=

372. ἑκὼν δ' ἡμάρτανε φωτός] ζῶντος γὰρ θέλει κρατῆσαι πρὸς τὸ χρήσιμον τῆς ἀνακρίσεως. B=

1. δουρινεκές ‖ εὐξόου ‖ 7. supplevi ex B ‖ 8. εὐπαθές B ‖ 11. λαγωοί B ‖ 14. ἐπιστροφὴν etiam A ‖ 15. ἐν τούτῳ A: τοῦτο ‖ 18. φυλ. μιγ. ‖ 24. βαλεῖ B: βαλῇ ‖ 28. εἰ μ. ut B

B= 373. δεξιτερὸν δ' ὑπὲρ ὦμον] ἔξεστιν εἰπεῖν, ὅτι καὶ τὰ βέλη ὡς ἔμψυχα τῷ ποιητῇ συναγωνίζεται.

B− 375. βαμβαίνων] ἄκρως ἐδήλωσε πάθος δυσερμήνευτον, τοῖς δειλοῖς παρακολουθοῦν, τὸν θρασύδειλον Δόλωνα ὑπογράφων καὶ τοῖς ἐσχάτοις ὀνόμασιν ἐξευτελίζων τὸν πρώην ἐπαγγελλόμενον "τόφρα
B+ γὰρ ἐς στρατὸν εἶμι" (325). §. τὸ δὲ "βαμβαίνων" δηλοῖ τὸν ἱκεσίας καὶ λόγου ἀποροῦντα.

376. *ἀσθμαίνοντε] ἔστιν ἰδεῖν μετέωρον τὸ πνεῦμα τῶν καταδιωξάντων.

B= 378. ζωγρεῖτε] βαρβαρικὸν τὸ εὐθὺς περὶ αὐτοῦ διαλέγεσθαι, ἵνα τε ἅμα ὡς ἀγενοῦς καταφρονήσαντες μὴ παραυτὰ φονεύσωσιν αὐτόν, ἀλλὰ μάθωσιν.

379. χαλκός τε χρυσός τε] τούτοις πιστεύων ἐξῆλθεν εἰς κατασκοπήν· δυσκατεργαστότερος δέ ἐστιν ὁ σίδηρος ὡς πρὸς τὸν χαλκόν.

380. *ἀπερείσια] οὐ προσέθηκεν ἀριθμόν, ἐμφαίνων ὡς ὅσα θέλουσι λήψονται.

B= 382. προσέφη πολύμητις Ὀδυσσεύς] ἑκατέρῳ προσώπῳ τὴν πρέπουσαν ἐμέρισε τάξιν. ὅπου μὲν γὰρ ἀκοντίσαι καὶ κατασχεῖν τὸν πολέμιον χρεία, ἐκεῖ Διομήδης ἐνεργεῖ, ὅπου δὲ λόγον δοῦναι καὶ λαβεῖν καὶ ἀπατῆσαι τὸν πολέμιον, Ὀδυσσεύς.

*Ὀδυσσεύς] κατέχειν γὰρ ἐμπιστευθεὶς ὁ Διομήδης ἐκχωρεῖ τῷ ἱκανωτέρῳ εἰπεῖν.

383. θάρσει, μηδέ ⟨τι⟩ τοι θάνατος] ἐμφρόνως, ἵνα δελεασθεὶς ἐλπίδι σωτηρίας δηλώσῃ τὰ παρὰ τοῖς βαρβάροις καὶ τὴν οἰκείαν τῆς κοινῆς ἀλλάξηται σωτηρίας.

B− 387. ἦ τινα συλήσων] ἐπίτηδες ἐνδόσιμον αὐτῷ ⟨καιρὸν⟩ ψευσμάτων δίδωσιν, ὅπως τοὺς λόγους αὐτοῦ δοκιμάσῃ. τί γὰρ παρέτρεχε τοὺς νεκρούς, εἴπερ σκυλεῦσαι ἤθελεν; ἵνα, εἰ ἄσμενος τὴν πρόφασιν λαβὼν ψεύδοιτο, καὶ περὶ τῶν λοιπῶν ἀπιστοῖτο.

A+ *κατατεθνειώτων] ⟨Ἀρίσταρχος⟩ διὰ τοῦ η̄ "⟨κατα⟩τεθνηώτων" ἠθέτει δὲ καὶ Ἀριστοφάνης.

388. ἦ σ' Ἕκτωρ προέηκε] πρὸς τὸ μαθεῖν, εἰ ἐγρηγόρει ὁ Ἕκτωρ.

6. βαμβαίνειν coni. Bekker, βαμβαίνει ‖ 11. τε scripsi: δὲ ‖ αὐτοῦ post ἀγ. add. B ‖ 19. τάξιν B: πρᾶξιν ‖ 22. κατέχειν scripsi: καὶ τόπω ‖ 27. supplevi ex B ‖ 29. θέλει B, ἤλθεν ‖ 31. supplevi ex A

389. ἤ σ' αὐτὸν θυμὸς ἀνῆκεν] αἱ συνεχεῖς πεύσεις οὐκ ἐῶσιν εἰς B=
ψεῦδος τραπῆναι.

390. ὑπὸ δ' ἔτρεμε] κατάσκοπος γὰρ ἐφωράθη, καὶ εἰ μὴ B=
ἀληθεύει, ἐλπίδα οὐχ ὁρᾷ.

391. πολλῇσίν μ' ἄτῃσι] ἄτας ἔφη τὰς ἐπὶ κακῷ ὑποσχέσεις. B=
ὡς ἀναγκασθεὶς δὲ καὶ δελεασθεὶς καὶ τὴν φρενοβλάβειαν ἑαυτοῦ
ὑποτίθεται, ἔλεον θηρώμενος.

* ἤγαγεν] Ἀριστοφάνης "ἤπαφεν." A=

392. ὅς μοι Πηλείωνος—ἵππους] ἐντέχνως, ὅτι ὑπέσχετο, μόνον
ἔφη, οὐχ ὅτι καὶ ἡττήθη, τὴν ἑαυτοῦ ἄνοιαν εἰς ἐκεῖνον μετάγων.

394. ἠνώγει δέ με] ἵνα δοκῇ ἄρχοντι πείθεσθαι, καὶ ὡς ἀναγκα-
σθέντι συγγνῶσιν.

θοὴν διὰ νύκτα] "θοήν" ἐπεὶ μετὰ δύσιν ἡλίου τάχιστα B–
σκότος γίνεται, ἢ ἐπεὶ διὰ τὸν ὕπνον ἧττονα αὐτὴν ἡγούμεθα, ἢ τὴν
θετικήν—ἀποτίθησι γὰρ ἡμᾶς εἰς ἀνάπαυλαν—ἢ ὅτι ὀξεῖα καὶ
κωνοειδής ἐστι διὰ τὴν σκιὰν τῆς γῆς· θοὸν δὲ τὸ ὀξύ· δείκνυται δὲ
διὰ τούτου, ὅτι ὁ ἥλιος τῆς γῆς μεῖζων ἐστίν· οὐ δύναται γὰρ ἡ
σκιὰ κωνοειδὴς εἶναι, μὴ τοῦ περιφωτίζοντος μείζονος ὄντος.

395. ἀνδρῶν δυσμενέων] ὑπομιμνήσκει τῆς ἔχθρας αὐτοὺς καθ' B=
Ἕκτορος, ἀναζωπυρῶν τὸν θυμὸν αὐτῶν.

401. ἦ ῥά νυ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός] δεόντως τὸν B=
ἐλπίσαντα, οὐ τὸν ὑποσχόμενον αἰτιᾶται.

406. ποῦ—λίπες Ἕκτορα] καλῶς τοῦτο πυνθάνεται, ἵνα ἐγρηγο- B=
ρότος μὲν καὶ διέποντος τὰς φυλακὰς ἀπόσχοιντο, εἰ δὲ καθεύδοι,
ἐπιχειρήσειαν καὶ αὐτὸν ἀνελεῖν.

407. ποῦ δέ οἱ ἔντεα κεῖται] οὐκ ἔστι κοινὸν ἐπὶ τῶν ἵππων τὸ B=
"κεῖται·" δεῖ οὖν προσυπακούειν τὸ 'ἑστᾶσιν.'

ποῦ δέ οἱ ἔντεα κεῖται] εἰκὸς γὰρ ὡς βασιλέα σκηνοποιεῖσθαι B=
στρατηγικώτερον· ἵνα οὖν κἂν ἀφέλωνται τὰ ὅπλα αὐτοῦ περιιόντες
τὰς φυλακάς, ⟨τούτου χάριν ἐπερωτῶσιν⟩.

408. δαί] πευστικὸς σύνδεσμός ἐστιν, οὐκ ἄρθρον. A=

409. ἄσσα τε μητιόωσι] ψιλωτέον ἐνθάδε· ἰσοδυναμεῖ γὰρ τῷ A=
'τίνα.'

ἄσσα τε μητιόωσι—ἢ μεμάασιν] ἐνεργὸν καὶ ζωτικὸν τὸ τοῦ

4. σωτηρίας ante ἑλ. add. B ‖ ὁρᾷ B: ὁρῶν ‖ 16, 18. κονοειδὴς ‖ 27. οὖν scripsi: γὰρ ‖ πρ. B: προσυπακουστέον ‖ 30. supplevi ex B

λόγου τάχος· μεμίμηται γὰρ τοὺς ἐν ἀγωνίῳ σπουδῇ κατεχομένους καὶ ἐν ὀλίγῳ πολλὰ μαθεῖν σπουδάζοντας.

413. τοιγὰρ ἐγώ τοι ταῦτα] "καὶ ταῦτα." §. ὡς τὰ πρώην ἠκριβωκώς, οὕτω καὶ ταῦτα.

414. Ἕκτωρ μὲν μετὰ τοῖσιν] φυλάσσει μὲν αὐτὸν Ἀχιλλεῖ, ἀπίθανον δὲ ἀδεῶς αὐτὸν κοιμᾶσθαι.

B– 415. παρὰ σήματι Ἴλου] στρατηγικῶς τὸν τόπον τοῦτον ἐξελέξατο μέσον ὄντα τοῦ πεδίου, ἵνα μὴ οἱ Ἕλληνες ἀποπλεῖν βουλόμενοι λάθοιεν αὐτόν, μηδὲ τὴν πόλιν "λόχος εἰσέλθῃσι—λαῶν ἀπεόντων" (Π. 8. 522)· φησὶ γοῦν "οἳ δὲ παρ' Ἴλου σῆμα—μέ⟨σ⟩σον καπ πεδίον" (Π. 11. 166).

A= 416. * φυλακὰς δ' ἂς εἵρεαι] περὶ δὲ τῶν φυλάκων ων ἐρωτᾷς.

B– 417. οὔ τις κεκριμένη] ἀστρατήγητον τὸ πᾶσιν ἐπιτρέψαι τὴν φυλακὴν ἑκουσίως, ἵνα παραυτὰ προθύμως φυλάξαντες εὐθὺς ῥᾳθυμήσωσιν, ἢ διαμείναντες καρτερικῶς ἔωθεν ἀσθενήσωσιν.

B– 418. ὅσσαι γὰρ Τρώων πυρὸς ἐσχάραι] ὅ ἐστιν 'ὅσαι Τρώων εἰσὶν ἑστίαι καὶ οἰκίαι,' οἱονεὶ ὅσοι εἰσὶν ἰθαγενεῖς Τρῶες, οὗτοι φυλάσσουσιν. ἐκ γὰρ τῆς ἑστίας τὸν πολίτην δηλοῖ. ἀνέστιος δὲ ὁ ἄπολις καὶ ἄοικος· οὕτω Πορφύριος.

οἷσιν ἀνάγκη] τοῦτο διὰ μέσου· ὧν ἐστι γνήσιος ὁ κίνδυνος.

B= 419. κέλονται] δῆλον ὡς ἐξ ἐπιταγῆς· ἐντεῦθεν οἱ νομοθέται γυναικονόμον ὁρίζουσιν αἱρεῖσθαι τὸν γεγαμηκότα οὐ τὸν ⟨ἄ⟩γαμον, καὶ παιδονόμον οὐκ ἄπαιδα, ἵνα ἐκ τῶν οἴκοι τὴν συμπάθειαν ἔχοντες πολλὴν ποιῶνται τὴν ἐπιμέλειαν.

B= κέλονται ἀλλήλοις] εὖ τὸ μὴ μόνον ἰδίᾳ ἕκαστον ἀγρυπνεῖν, ἀλλὰ καὶ ἀλλήλοις παρακελεύεσθαι, ἵνα ὁ τῷ ὕπνῳ νικώμενος ὑπὸ τοῦ πλησίον ἐγείρηται.

B– 422. οὐ γάρ σφιν παῖδες σχεδόν] εἰς τὸ ἀσυμπαθὲς τῶν βαρβάρων. εὐλόγως δὲ ἀποκρίνεται· ἠρωτήθη γὰρ "πῶς δ' αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί" (408), οὐ μόνον περὶ τῶν φυλασσόντων.

B= 424. πῶς γὰρ δή] ἕως τοῦ "νῦν" ἀναπαύσαντας δεῖ τὴν ἀνάγνωσιν τὰ λοιπὰ ἀπὸ ἄλλης ἀρχῆς κατ' ἐρώτησιν προφέρειν.

A+ B– * τὸ ἑξῆς "πῶς γὰρ δὴ—εὕδουσι;" μήποτε διὰ τοῦτο δυσάλωτοί εἰσι φυλασσόμενοι ὑπὸ τῶν Τρώων;

7, 8. ἐξελέξατο scripsi: ἐπελέξατο ut B ‖ 9. μήτε B, μήτι ‖ εἰσέλθῃσι λόχος ‖ 19. ἄοικος B: ἀνέστιος ‖ 31. δή] νῦν textus ‖ 34. εἶεν

425. * ἦ ἀπάνευθε] περισπαστέον τὸν η̄· διαπορητικὸς γάρ ἐστιν. A=

427. * τοιγὰρ ἐγὼ καὶ ταῦτα] οὕτω "καὶ ταῦτα."

μάλ' ἀτρεκέως ἀγορεύσω] καὶ πλείονα ὧν ἠρωτήθη λέγει ὡς B–
σύμβουλος γενόμενος ὑπὲρ ὀλέθρου τῶν συμμάχων. τοῦτο δὲ δειλίας
5 καὶ χαυνότητος σύμβολον.

428. πρὸς μὲν ἁλός] πρὸς σύγκρισιν τῆς Θύμβρης (430)· θα- B–
λασσοκράτορας δέ φασι πρώην Κᾶρας εἶναι (Thuc. I 4)· προσ-
υπακουστέον δὲ τὸ μέρος, οἷον 'πρὸς μὲν τὸ μέρος τῆς θαλάσσης.'

429. καὶ Λέλεγες] ὡς ἐπήλυδες οὐ κατελέχθησαν ἐν τῷ κατα- A–
10 λόγῳ· οὐδὲ γὰρ Ὀθρυονεύς (Π. 13. 363), Ἰφιδάμας (Π. 11. 221),
Φαῖστος (Π. 5. 43). §. Λέλεγες δέ εἰσιν οἱ Πήδασον τὴν ὑπὸ Ἴδῃ
οἰκοῦντες· "πέρσε δὲ Λυρνησὸν καὶ Πήδασον" (Π. 20. 92), εἶτα
"Λέλεγας καὶ Τρῶας ἐναίρειν" (ib. 96)· οἱ περίλοιποι οὖν ὑπὸ
Πρίαμον ἦσαν διὰ τὴν πρὸς Ἄλτην συγγένειαν, "ὃς Λελέγε⟨σ⟩σι
15 φιλοπ⟨τ⟩ολέμοισιν ἀνάσσει" (Π. 21. 86).

Καύκωνες] τῆς Παφλαγονίας μοῖρα, τῶν ἐν Πελοποννήσῳ Καυ- A+
κώνων ἄποικοι.

431. καὶ Φρύγες] δῆλον ὡς ἐπίκουροι Τρωσὶν οἱ Φρύγες· οἱ δὲ A–B=
νεώτεροι συγχέουσι Φρύγας καὶ Τρῶας. §. ἡ δὲ Θύμβρα (430) πε- A+ B=
20 δίον ἐστὶ τῆς Τρῳάδος· ὅμοιον δέ ἐστι τῷ "πρὸς μὲν ἁλός" (428).

καὶ Μῆονες ἱπποκορυσταί] ἤδη καθ' Ὅμηρον ἐπρώτευε τὸ Λύδιον
ἱππικόν. §. ἡ δὲ γραφὴ "ἱππόμαχοι," οὐχ "ἱππόδαμοι." A+

433. εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον] οἱ μὲν περὶ B–
τὸν Ὀδυσσέα οὐ τρανότερον ἐξέφηναν τὴν βούλησιν, ὁ δὲ συμ-
25 βάλλεται αὐτῶν τῇ σκέψει καὶ μιᾶς ψυχῆς ἀτυχίᾳ προδίδωσιν
ὅλον τὸ συμμαχικόν. οἳ δὲ καὶ ἐπαινοῦσιν αὐτὸν ὡς ἀποτρεψάμενον
αὐτοὺς Ἕκτορος διὰ τοῦ ἐπαίνου τῶν Θρᾳκῶν.

434. νεήλυδες] πρὸς τὴν ἀπειρίαν τῶν τόπων καὶ τὴν πάρεσιν τὴν B=
ἀπὸ τοῦ καμάτου.

30 * οἵδε] τῇ χειρὶ δείκνυσι, καθ' ὃν τόπον ἐστρατοπεδεύκασιν. B=

ἔσχατοι ἄλλων] τοῖς δὲ ἀπὸ τῶν νεῶν πρῶτοι. §. "ἀπάνευθε" δὲ B=
πρὸς τὸ μὴ μεμῖχθαι τοῖς ἄλλοις. B=

435. ἐν δέ σφιν Ῥῆσος] Ῥῆσος Στρυμόνος τοῦ ποταμοῦ τῆς A+ B–
Θρᾴκης υἱὸς καὶ Εὐτέρπης τῆς Μούσης. ἱστορεῖ δὲ Πίνδαρος (fr.

5. σύμβουλον ‖ 11. ἐν Πιδαίῳ πόλει Καρίας A ‖ ὑπὲρ τὴν Ἴδην St. B. s. v. Πήγασα, ubi ὑπὸ coni. Meineke ‖ 24. τρανῶς B ‖ 30. τρόπον B

262 B.), ὅτι καὶ μίαν ἡμέραν πολεμήσας πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἐνεδείξατο κακά, κατὰ δὲ πρόνοιαν Ἥρας καὶ Ἀθηνᾶς ἀναστάντες οἱ περὶ Διομήδεα ἀναιροῦσιν αὐτόν.

B– 435. τοῦ δὴ καλλίστους ἵππους] ὡς φίλιππος—κινδυνεύει γοῦν δι' ἵππους—ἢ ὡς μέγιστα χαριζόμενος ἀντὶ τῆς ἰδίας ψυχῆς· φησὶ γοῦν "ἀλλ' ἐμὲ μὲν—δήσαντες" (442, 3)· τοσοῦτον δὲ ἀπέσχε τοῦ λαβεῖν ἵππους, ὥστε καὶ τῶν ἐν τῷ στρατοπέδῳ καλλίστων ἵππων προδότης γίνεται.

AB+ 437. λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν] δύο ὑπερβολὰς ἐνῆκεν ἐντέχνως, τὴν μὲν ἐξ ὑπερθέσεως, τὴν δὲ ἐξ ὁμοιώσεως, καὶ ἐφ' ἑκατέρας παρέλαβε τὸ οἰκεῖον· χιόνος μὲν γὰρ δύναταί τι λευκότερον γενέσθαι, ἀνέμου δὲ θᾶσσον οὐδέν. ἐπαινετέον δὲ καὶ τὴν φράσιν, ὅτι κατ' αἰτιατικὴν δυνάμενος εἰπεῖν 'λευκοτέρους χιόνος,' καὶ ⟨ὡς⟩ τοῦ μέτρου ἐπιδεχομένου, θαυμαστικῶς κατ' ἰδίαν ἀνεφώνησε τὸν ἔπαινον. καὶ λείπει τὸ 'εἰσίν.' §. πῶς εἰδέναι ἐδόκει, ὅτι ταχεῖς εἰσιν, εἴγε

AB= νεήλυδες ἦσαν; ἢ ὡς ἀκούσας, ἢ ἀποσεμνύνων ὡς καὶ σωθησομένων αὐτῶν διὰ τῶν ἵππων μετὰ τὴν τῶν Θρᾳκῶν ἐπανάστασιν.

A= * λευκότεροι χιόνος] ἵνα ὁρῶνται νυκτὸς οὔσης.

B= 439. * χρύσεια] τὸ σμικροπρεπὲς τοῦ ἀνδρὸς ἄκρως κωμῳδεῖ καὶ τὸ ἐπτοημένον περὶ χρυσόν.

B= 442. ἀλλ' ἐμὲ μὲν ⟨νῦν⟩ νηυσὶ πελάσσετον] πέπεισται, ὅτι μέγιστα αὐτοῖς ἐχαρίσατο, καὶ ἐπὶ μαρτυρίαν πιστὴν κατέρχεται· εἰ γὰρ μὴ τοῦτο προσέθηκεν, εὐήθεις ἂν ἦσαν οἱ περὶ Διομήδην πιστεύσαντες αὐτῷ καὶ εἰς τοὺς Τρῶας παρελθόντες. δῆλον γὰρ ὡς οὐκ ἠπάτα, φυλάττεσθαι παρὰ τοῖς πολεμίοις μέλλων.

443. νηλέι δεσμῷ] ὡς ἠλπικώς, ὅτι δεθήσεται, καὶ τὸν δεσμὸν ὀλοφύρεται καί φησιν, ὡς ἀμήχανον ἐκφυγεῖν ἐμοί.

* δέον τούτοις τοῖς ἀγενέσι λόγοις ἀντιπαρατεθῆναι τὸ "τόφρα γὰρ ἐς στρατὸν εἶμι" (325).

A+ 445. * ἦ ῥα κατ' αἶσαν] "ἠὲ κατ' αἶσαν," οὕτω δεῖ γράφειν χωρὶς τοῦ "ῥ⟨α⟩."

B= 446. Ἑλληνικῶς ὁ κοινωνήσας αὐτῷ φιλανθρώποις λόγοις οὐ φονεύει.

AB+ 447. μὴ δή μοι φύξιν γε, Δόλων] καὶ πῶς ᾔδεσαν αὐτοῦ τὸ

2. ἐνεδείξατο etiam Eust., ἀνεδείξατο B ‖ 7. ὥστε Eust.: ὅτι ut B ‖ 8. ἐγένετο B ‖ 13. supplevi ex D, καὶ delet W: καὶ τ. μ. ἐ. etiam A B Eust. ‖ 15. εἰδέναι A, ᾔδει vel ἔγνωκεν coni. W: ἐγίνωσκε B, δὲ ‖ 23. γὰρ B: δὲ ‖ 34. ᾔδεισαν B, εἴδεσαν

ὄνομα; ἢ εἰκὸς ὡς κήρυκος υἱὸν πολλάκις συμπαρεῖναι τῷ πατρί. ὅτι δὲ ἐπιφανής, δῆλον ἐκ τοῦ "ἀλλ' ἄμυδις κικλήσκετο πάντας ἀρίστους" (300).

449. εἰ μὲν γάρ κε σε νῦν ἀπολύσομεν] ἐπεὶ οὐχ Ἑλληνικὸν τὸν ἱκέτην ἀναιρεῖν, προφάσεις ἀναγκαίας περιέθηκεν. ἅμα δὲ καὶ ἄτοπον ἦν πάλιν ὑποστρέφειν εἰς τὰς ναῦς ἄγοντας Δόλωνα καὶ δεῖν ἐν μέσῃ τῇ ὁδῷ, μὴ καί τινες διὰ λάφυρα ἐλθόντες μάθωσι τὸ πᾶν παρ' αὐτοῦ. ἅμα δὲ καὶ ὡς προδότην ἀναιρεῖ· ὑπὸ γὰρ ἐκείνων μεμίσηται πρῶτον, οἷς τοὺς οἰκείους προέδωκεν. B–

* "ἀπολύσομεν" διὰ λύτρων, "μεθῶμεν" δίχα λύτρων.

ἀπολύσομεν] πληθυντικῶς, ἵν' ἐνεχυράσῃ καὶ τὴν Ὀδυσσέως γνώμην.

454. ἔμελλε γενείου—ἁψάμενος] ἀνόητος ὁ μετὰ τοιαύτην ἀπόκρισιν λιπαρεῖν μέλλων. τάχιστα δὲ αὐτὸν ὁ ποιητὴς ἀναιρεῖ, ἵνα μὴ φθάσῃ γονυπετῶν. B=

457. φθεγγομένου δ' ἄρα τοῦδε] ἅμα τῷ ἄρξασθαι φωνὴν ἀφεῖναι, ⟨πρὶν⟩ καὶ σαφηνισθῆναι τὸ λεγόμενον· καὶ ἀνῆλθε μὲν τὸ πνεῦμα μέχρι τοῦ στόματος, καὶ τὸν τόπον ὅλον πληρῶσαν ἐξεχύθη τῇ τμήσει τῆς κεφαλῆς, ὡς, εἰ καὶ σωλῆνά τινες μεστὸν ὕδατος διατέμοιεν, ἡ μὲν ἐκ τῆς γῆς φορὰ εἴργεται, τὸ δὲ ἤδη διελθὸν ἐκχεῖται. B=

460. καὶ τὰ γ' Ἀθηναίῃ λητίδι] διδάσκει τῶν κατορθουμένων αἰτίους θεοὺς οἴεσθαι. καὶ τὸ ἐπίθετον δὲ οἰκεῖον τῷ καιρῷ, ἐκ τῆς πράξεως εἰλημμένον. καὶ ἀγελείη γάρ (Π. 4. 128)· οἰκείως δὲ φονεύει ὁ Διομήδης, ἀνατίθησι δ' Ὀδυσσεύς. B=

461. ὑψόσ' ἀνέσχεθε χερσί] πανταχόθεν ἐκίνησε τὴν ἐνάργειαν, ἐκ τοῦ ἱκετεύειν μέλλοντος, ἐκ τῶν διακοπτομένων ἀθρόως τενόντων, ἐκ τῆς φθεγγομένης κεφαλῆς μετὰ τὸ πεσεῖν, ἐκ τοῦ σκυλεύοντος τὰ ὅπλα καὶ ὑψόσ' ἀνέχοντος. B=

463. ἐπιδωσόμεθα] ἐπιδόσεων καὶ δώρων ἀξιώσομεν. προτρεπτικὸν δὲ τοῦτο εἰς συμμαχίαν. §. γράφεται καὶ "ἐπιβωσόμεθα." A + B=

464. ἐπὶ Θρῃκῶν ἀνδρῶν ἵππους] τοῖς τοῦ Δόλωνος πεισθέντες λόγοις ἤδη περὶ τῶν ἵππων τοῦ Ῥήσου δέονται τῆς θεοῦ· ἢ μᾶλλον "ἵππους" οὐ τοὺς Ῥήσου, ἀλλὰ τὸ ἱππικόν.

465. ὑψόσ' ἀείρας] αἱ Ἀριστάρχου "ὑψοῦ" καὶ "ὑψόσε." A=

7. κέ ‖ 9. παρέδωκεν ut B ‖ 17. supplevi ex B ‖ 20. τ. ἐπεισροῆς φ. B ‖ 21. γ' B: δ' ‖ 29. ἐπιδώσεων

A+ 466. δέελον] ψιλωτέον τὸ δεύτερον ε̄ τοῦ "δέελον." §. Ἀρί-
A+ σταρχος δέ φησιν αὐτὸ παρὰ τὸ δῄειν. §. τὸ δὲ "συμμάρψας δόνακας" τροπαίου σχῆμα μιμεῖται.

* πάντα ⟨τὰ⟩ προνοητικὰ περίκειται τῷ Ὀδυσσεῖ.

A= 469. τὼ δὲ βάτην προτέρω διά τ' ἔντεα καὶ μέλαν αἷμα] ἐπὶ τόπου τὸ "προτέρω" ἀντὶ τοῦ ἔμπροσθεν. §. τὸ δὲ "καὶ μέλαν αἷμα" τινὲς γράφουσι "καὶ Παλλὰς Ἀθήνη."

470. * αἶψα] διὰ τὸ ἐπεῖγον τοῦ καιροῦ.

* αἶψα δ' ἐπὶ Θρηκῶν ἀνδρῶν τέλος ἶξον ἰόντες] ἔνθα συνετέλουν.

A+ §. ὅ ἐστι τάγμα.

471. οἳ δ' εὗδον καμάτῳ ἀδηκότες] ἐκ τούτων ἡ πριδοσία Δόλωνος καὶ τὸ πιστὸν τῆς ἀναιρέσεως αὐτῶν φανεῖται.

* ἀδηκότες] ἀηδισθέντες· καὶ "δείπνῳ ἀδήσειεν" (Od. 1. 133).

B= 473. τριστοιχεί] ἵνα ὦσι τρία τάγματα πρὸ Ῥήσου, ἀφ' ὧν ἑκάστου τέσσαρας ἄνδρας ἀναιροῦσι, τρισκαιδέκατον ⟨δὲ⟩ Ῥῆσον.

τριστοιχεί· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες] εἰκότως οὖν εἶχε τὸ "ἵππους τε καὶ εὐνάς" (464).

AB– 475. ἐξ ἐπιδιφριάδος] ἐπιδιφριὰς μέρος τοῦ δίφρου, καθ' ὃ ἐπιβαίνειν εἰώθασιν, οἳ δὲ τῆς ἄντυγος· πιθανῶς δὲ προετοιμάζει αὐτοὺς ὁ ποιητὴς τῇ ἀπελάσει. §. τὰ γνωστικὰ αὐτῷ περίκειται· ἔγνω δὲ
B– Ὀδυσσεὺς ἢ ἀπὸ τοῦ μέσον εἶναι ἢ τῶν ἵππων, ὅπερ ἐδήλωσε διὰ
A+ τοῦ "οὓς νῶιν πίφαυσκε" (478). §. ψιλωτέον δὲ τὸ "ἔξ·" οὐ γάρ ἐστιν ἀριθμὸς ἀλλὰ πρόθεσις.

A+ 476. τὸν δ' Ὀδυσεὺς προπάροιθεν] χρονικῶς ἀντὶ τοῦ πρῶτος καὶ τοπικῶς· "ἠιόνος προπάροιθε" (Il. 2. 92).

479. πρόφε⟨ρε⟩ κρατερὸν μένος] "πρόφερε" οὐκ εἰς τὸ φονεύειν ἀλλ' εἰς τὸ δρᾶν τὰ χρειώδη.

B= 480. μέλεον σὺν τεύχεσιν] "σὺν τεύχεσιν" δηλοῖ, ὡς μᾶλλον ἐπιτηδειότερος ὢν εἰς τὸ φονεύειν τούτου λαβέσθαι ὀφείλει. εἶτα σοφῶς τὴν αἵρεσιν τῷ Διομήδει δίδωσιν.

B= 482. τῷ δ' ἔμπνευσε μένος] εἰκότως τὸ μὲν εὐχερέστερον τῷ πρακτικῷ, τὸ δὲ δυσχερέστερον τῷ βουλευτικῷ ⟨δίδωσιν⟩.

1. δ. ε̄ τοῦ Ludwich cf. A : δ. τοῦ ῑ̄ τὸ ‖ 2. δῄεις ut A : corr. Lehrs ‖ 4. suppl. W ‖ προνοητικὰ ‖ 6. ἔμπροσθεν A : ἐνδοτέρω ‖ 13. ἀηδεσθέντες ‖ 15. ἀναιροῦντες ‖ τέσσαρες ἄνδρες ἀναιροῦνται B ‖ supplevi ex B ‖ 16. σφισιν ‖ 22. ἐξ A : ἐξῆς ‖ 24. ὀδυσσεὺς ‖ 25. iteratur * προπάροιθεν ⟨ἐπὶ⟩ χρόνου καὶ τόπου ‖ 32. supplevi ex B

τῷ δ' ἔμπνευσε] πιθανῶς, ἵνα πιστὸν εἴη τοσούτους ὑφ' ἑνὸς ἀναιρεθῆναι.

483. κτεῖνε δ' ἐπιστροφάδην] ἐπιστρέφων τὴν ὄψιν τοῦ λαθεῖν. B+ ἢ 'τῇ καὶ τῇ,' ὡς ἐπὶ Ἀχιλλέως (Il. 21. 20).

5 τῶν δὲ στόνος] ὡς ἐν ὕπνῳ ἀναιρουμένων ἠρεμαία τις στοναχὴ B= ἐγίνετο.

485. ὡς δὲ λέων μήλοισιν ⟨ἀσημάντοισιν ἐπελθών⟩] οἰκεία B= ἐπ' ἀμφοῖν τοῖν προσώποιν ἡ παραβολή· καὶ γὰρ οὗτοι τῆς ἐκ τοῦ βασιλέως φυλακῆς κοιμωμένου ἐστέρηντο.

10 488. ὄφρα δυώδεκ' ἔπεφνεν] δῆλον ὡς ἀνὰ τέσσαρας (473), ἵνα ἱκανὸς εἴη ὁ τόπος πρὸς τὴν ἀπελασίαν τῶν ἵππων.

ἀτὰρ πολύμητις Ὀδυσσεὺς ὄντινα Τυδείδης ἄορι πλήξειε—τὸν B= δ' Ὀδυσεὺς μετόπισθε] διὰ τὸ τοῦ Ὀδυσσέως παρέλαβεν ὄνομα σχηματίζων, δυναμένης τῆς ἀπαγγελίας καὶ ἅπαξ ἔχειν τὸ
15 ὄνομα.

490. τὸν δ' Ὀδυσεὺς—λαβὼν ποδὸς ἐξερύσασκεν] εἰς τὸ προγνω- B= στικὸν Ὀδυσσέως· καὶ ἐπ' ἄλλων φησὶ "στείβοντες νέκυάς τε" (Il. 11. 534), ἐπὶ δὲ τῶν νεηλύδων καὶ μήπω πολέμου πειραθέντων "ἀήθεσσον γὰρ ἔτι" νεκρῶν (493).

20 493. ἀήθε⟨σ⟩σον γὰρ ἔτ' αὐτῶν] πόθεν οἶδεν, ὅτι ἀήθεις εἰσὶ νεκρῶν; ὅτι ἀκήκοε Δόλωνος λέγοντος "Θρήικες οἷ δ' ἀπάνευθε νεήλυδες" (434).

496. κακὸν γὰρ ὄναρ κεφαλῇφιν ἐπέστη τὴν νύκτ', Οἰνείδαο πάις, διὰ μῆτιν Ἀθήνης] τὸ βαθὺ γὰρ τοῦ ὕπνου δι' αὐτῆς ἐγένετο· ἔλαβε
25 δὲ καὶ τὸ φίλοινον Θρᾳκῶν πρὸς τὸ μὴ αἰσθέσθαι.

κακὸν γὰρ ὄναρ κεφαλῇσιν ἐπέστη] τοῦτο ἐπὶ τῶν ἀπὸ τοῦ ἔθους B= συμβαινόντων· ὅταν γάρ τις νυκτὸς κακῷ τινι περιπέσῃ, φαμὲν 'κακὸν ὄνειρον εἶδεν ὁ δεῖνα.'

499. σὺν δ' ἤειρεν ἱμᾶσι] ὡς μὴ κατ' ἰδίαν τῶν ἵππων εἰθισμένων B−
30 ἡνιοχεῖσθαι. φησὶ γοῦν ἵππων ἐπεβήσετο (529) καὶ "ἔρυξε Διὶ φίλος ὠκέας ἵππους" (527).

σὺν δ' ἤειρεν ἱμᾶσι] συνέζευξε δὲ αὐτοὺς τοῖς ἱμᾶσι, τουτέστι A+B= συνημμένους καὶ οὐ καθ' ἕνα ἐξέφερεν· καὶ ἔστι νησιώτης μέν, τῇ πείρᾳ δὲ οὐ δευτερεύει τινός.

10. ἀπὸ τεσσάρων: corr. W ‖ 13. ὀδυσσεὺς ‖ 14. σχῆμα κινῶν ut B ‖ 19. ἀλήθεσον ‖ 28. ὄναρ B

500. τόξῳ ἐπιπλήσσων] ἡ γὰρ νευρὰ τῷ τῆς μάστιγος ψόφῳ ὁμοίαν τὴν φαντασίαν δίδωσιν.

B− ἐπεὶ οὐ μάστιγα φαεινήν] πιθανῶς καὶ ἀνθρωπίνως, ἵνα τοῖς λοιποῖς πιστεύσωμεν· οὐ γὰρ ἄτοπον ἐν τοιαύτῃ ταραχῇ παρεῖσθαί τι, καὶ τοῦτο οὐ τῶν ἀναγκαίων. ἀλλὰ καὶ ὅμως ἀντ' αὐτοῦ μεμηχάνηται Ὀδυσσεύς. καὶ ἡ τάξις· οὐ γὰρ εἰπὼν 'ἐπελάθετο' ἐπήγαγε τὸ "τόξῳ," ἀλλὰ τοὐναντίον· τούτων ὅμοιόν ἐστι καὶ τὸ ἐπὶ Σαρπηδόνος "βάρυνε δέ μιν δόρυ μακρὸν ἑλκόμενον· τὸ μὲν οὔτις ἐπεφράσατο" (Π. 5. 664).

A+B= 502. ῥοίζησεν] ἄναρθρον καὶ βαρβαρικὴν φωνὴν μιμούμενος ὑπὲρ τοῦ μηδένα τῶν πολεμίων, εἰ τύχοι τις ἐγρηγορώς, αἰσθέσθαι. οὐ γὰρ ⟨συμ⟩παρεῖναι αὐτῷ ἐδύνατο, ἐ⟨λ⟩άσας πόρρω τοὺς ἵππους.

B= 503. ὅ τι κύντατον ἔρδοι] φιλότιμος γὰρ ὢν καὶ νέος δυσαπαλλάκτως ἔχει τοῦ εὑρήματος.

A+B= 504–6. ἢ ὅ γε δίφρον ἑλών—⟨ἢ ἐκφέροι ὑψόσ' ἀείρας⟩, ἢ ἔτι τῶν πλεόνων Θρῃκῶν] δύο εἰσὶ βουλαί, ἢ εἰς Θρᾴκας τραπῆναι ἢ τὸν δίφρον ἀφελέσθαι· τὸ δὲ περὶ τοῦ δίφρου εἰς δύο διῄρηται, ἢ ἑλκύσαι αὐτὸν ἢ βαστάσαι. ἀλλ' οὐδὲν τούτων ἐναντίον τοῦ σωθῆναι αὐτὸν ἀκίνδυνον.

A+ 506. ἢ ἔτι τῶν πλεόνων Θρῃκῶν] περισπαστέον τὸ "ἢ ἔτι·" διαπορητικὸς γάρ ἐστιν.

B− 509. νόστου δὴ μνῆσαι] ὅτι δεῖ μάλιστα ἐν ταῖς εὐτυχίαις τὸ μέλλον σκοπεῖν καὶ μὴ ἁπλήστως χρῆσθαι ταῖς εὐτυχίαις. ὅτι δὲ τοῦτον εἶχεν Ὀδυσσεὺς τὸν νοῦν, δῆλον διὰ τοῦ "ῥοίζησεν δ' ἄρα πιφαύσκων Διομήδεϊ" (502). καὶ τὸ "ἐγγύθεν ἱσταμένη" (508) πρόκειται, ὅπου Ὀδυσσεὺς στῆναι οὐκ ἠδύνατο, ἐ⟨λ⟩άσας πόρρω τοὺς ἵππους.

B− 510. μὴ καὶ πεφοβημένος ἔλθῃς] οὐ μόνον διὰ τοῦ "πεφοβημένος," ἀλλὰ καὶ διὰ τοῦ "θεός" (511) ἐκδειματοῖ. διὰ δὲ τοῦ "ἄλλος" ἐσήμανεν, ὅτι καὶ αὐτὴ θεός ἐστιν. ἤδη δὲ καὶ παροιμιῶδες γέγονε "μή τις καὶ Τρῶας ἐγείρῃ."

B= 513. ἵππων ἐπεβήσετο] κέλησι μὲν οὐδ' ἐν τοῖς ἀγῶσιν εἰσάγει
A+ χρωμένους, νῦν δὲ διὰ τὴν χρείαν. §. διὰ τοῦ ε δὲ "ἐπεβήσετο."

B− 515. οὐδ' ἀλαοσκοπίην] πῶς οὐκ ἀλαός ἐστι τοσούτων πεφονευμένων; οὐ λέγει, ὅτι ἐφύλασσε τὰ πρασσόμενα—ἀπεκεκήρυκτο γὰρ ὑπὸ τοῦ Διὸς τοῖς θεοῖς, ἑκατέρῳ στρατεύματι βοηθεῖν—ἀλλ' 'ὡς

11. ἐγρηγορῶν ut B ‖ 12. supplevi ex B ‖ 14. εἶχε B ‖ 16. θρᾳκῶν δ. ‖ 25. supplevi ex B ‖ 33. ἀποκεκήρυκτο

εἶδεν ἐλθοῦσαν πρὸς Διομήδην τὴν Ἀθηνᾶν, καὶ αὐτὸς ἦλθεν.' τοσοῦτον δὲ αὐτὸν ἡ Ἀθηνᾶ προὔλαβεν, ὅσον ἔφθη τῷ Διομήδει τὴν ἀναχώρησιν παραινέσαι· Ἀπόλλων δὲ κατελθὼν οὐδὲν ἔπραξεν, ἀλλ' ἕτερον ἐγείρει· βραδέως δὲ ἐνεργεῖ Ἀπόλλων δεδιὼς Δία, ἡ δὲ Ἀθηνᾶ εἰωθυῖα ' ἐνικλᾶν " τῷ Διὶ " ὅ τι νοήσῃ " (Il. 8. 422) καὶ πρότερον παρὰ πρόσταγμα τούτου κατελθοῦσα εἰς τὴν μάχην καὶ νῦν τῷ Διομήδει παρίσταται.

* τινὲς εἰς τὸ " Ἀπόλλων " στίζουσιν.

519. Ῥήσου ἀνεψιόν] οἰκτρὸν τὸ τὸν ἴδιον ἀνεψιὸν ἐπισκέψασθαι Β– τὸ δεινόν. οὐ μὴν θρήνους περιτίθησι καίτοι εὐπορῶν, ἀλλ' ἑτέρῳ μέρει τῆς ποιήσεως (Il. 24. 725 sqq.) τηρεῖ τοὺς θρήνους ἐπὶ Ἕκτορι τεθνεῶτι· νῦν γὰρ οὐκ ἔστιν αὐτῷ περὶ τούτων.

522. φίλον δ' ὀνόμηνεν ἑταῖρον] ἀνεκαλέσατο· τοῦτο γὰρ συμ- Β= βαίνει τοῖς ἐκπληττομένοις.

523. Τρώων δὲ κλαγγή] ἄκρως τοὺς ἐπτοημένους παρέστησε διὰ Β= τῆς βοῆς καὶ τοῦ θορύβου καὶ τῆς ἐπὶ τὸ αὐτὸ συνδρομῆς.

524. θηεῦντο δὲ μέρμερα ἔργα] τὸ θαῦμα τῶν θεωμένων τὸ δεινὸν Β– ὑποφαίνει τῶν δεδραμένων, ὡς καὶ τὸ κάλλος τῶν οἴκων Καλυψοῦς διὰ τῆς Ἑρμοῦ ἐδήλωσε θέας (Od. 5. 75).

525. ὅσσ' ἄνδρες ῥέξαντες] πολλὴν ἔμφασιν ἔχει τὸ " ἄνδρες."

527. ἔνθ' Ὀδυσεὺς ⟨μὲν⟩ ἔρυξε—ὠκέας ἵππους] πάλιν ⟨εἰς⟩ τὸ ⟨προ⟩γνωστικὸν Ὀδυσσέως· ἔδει γὰρ ἐνεχθῆναι τὰ λάφυρα εἰς τὸν ναύσταθμον. ἐπεὶ δὲ ὁ καιρὸς οὐκ ἐᾷ χρονίζειν, τάχιστα αὐτὰ παρατρέχει.

532. Νέστωρ δὲ πρῶτος κτύπον ἄϊε] εἰκότως· τῶν φρονιμωτέρων Α Β– γὰρ αἱ αἰσθήσεις ὀξύτεραι. ἢ καὶ ὅτι τῶν ἄλλων μᾶλλον προσεῖχεν αὐτὸς ὡς ἂν τῆς ἐκπομπῆς τῶν κατασκόπων φερόμενος τὴν αἰτίαν· ὅθεν ἐπιφέρει " ἀλλ' αἰνῶς δε⟨ί⟩δοικα " (538)· καὶ Πρίαμος γὰρ πρῶτος ἀπὸ τοῦ τείχους ὁρᾷ τὸν Ἀχιλλέα (Il. 21. 526). ἔοικεν οὖν παρακαλεῖν ὁ ποιητὴς μὴ πάντη καταφρονεῖν γήρως, ὅπου σύνεσις πλείονα δωρεῖται.

534. ψεύσομαι ἢ ἔτυμον ἐρέω] ἐν ἀμφιβόλῳ αὐτὸ ἐᾷ, ἵνα ἐπι- Β= τυχὼν μὲν δοξασθῇ, ἀποτυχὼν δὲ μὴ ἐλεγχθῇ. §. παρὰ δὲ τῷ Ζηνοδότῳ οὐκ ἦν ὁ στίχος.

536. αἶ γὰρ δὴ Ὀδυσεύς τε] δι' εὐχῆς ἐσήμανε τὴν ἰδίαν ὑπό- Β=

2. ὤφθη: corr. Bekker ‖ 5. νοήσει ‖ 10. ἐν ante ετ. add. B ‖ 18. δραθέντων B ‖ 21. ὀδυσσεὺς ‖ 21, 22. supplevi cf. p. 373, 16 ‖ 26. ἐπιφερόμενος B ‖ 34. ὀδυσσεὺς

B= νοιαν. §. τὸ δὲ "ἄφαρ" (537) ἀπιστοῦντός ἐστιν, εἰ ἐν τοιούτῳ καιρῷ τοιαῦτα πεπράχασιν.

537. ὣδ' ἄφαρ ἐκ Τρώων] ἀντὶ τοῦ ἐσπευσμένως, ὅθεν καὶ ἀφάρτερος (Il. 23. 311).

B= 538. ἀλλ' αἰνῶς δείδοικα] ἀνθρωπίνως οὐκ ὤκνησε καὶ τῶν ἀπευκτῶν τι λαβεῖν, μεγαλοφυῶς δὲ προαναιρῶν τὴν αἰσχύνην φησὶν "ὑπὸ Τρώων ὀρυμαγδοῦ" (539).

A+ * μετὰ φρεσί] γράφεται καὶ "κατὰ φρένα."

539. * "ἄριστοι," οὕτως ἡ γραφή.

542. δεξιῇ ἠσπάζοντο] καὶ Νέστωρ δηλονότι· ἄτοπον γὰρ τὸ μὴ ποιεῖν ⟨αὐτὸν⟩ τὸ πάντων.

B= 544. εἶπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ] Διομήδεα ἐάσας τὸν προηγουμένως ἀποσταλέντα παρ' Ὀδυσσέως πυνθάνεται ὡς συνετωτέρου.

A+ 545. * τινὲς στίζουσιν εἰς τὸ "λάβετον." §. τινὲς "καταδύντε" δυϊκῶς.

A+ 546. ἤ τις σφωὲ πόρεν] ἐγκλιτέον τὴν "σφωέ" τρίτου προσώπου
A+ οὖσαν. §. οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ "σφῶι."

B= ἤ τις σφωὲ πόρεν] εὐφραντικὰ τοῦ ἀκροατοῦ. ἢ διὰ τὸ κάλλος, ἢ διὰ τὸ ἀμήχανον εἶναι δύο εἰς κατασκοπὴν ἀπελθόντας καὶ λάφυρα κομίσασθαι.

B= 547. ⟨ὅππως τούσδ' ἵππους λάβετον—⟩ αἰνῶς ἀκτίνες⟨σ⟩ιν ⟨ἐοικότες⟩] διὰ τῆς μεταβάσεως τῶν πτώσεων τὸ τοῦ θαυμάζειν ὁρᾶται μέγεθος, ὡς κἀκεῖ· "τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους, ⟨λευκότεροι χιόνος⟩" (436).

A+ ἀκτίνε⟨σ⟩σιν ἐοικότες] λείπει τὸ εἰσίν.

548. * ἐπιμίσγομαι] ὁ Ἰξίων "ἀναμίσγομαι."

552. σφωὲ φιλεῖ νεφεληγερέτα Ζεύς] κεχαρισμένα ταῦτα τοῖς ἀκούουσιν.

B= 556. ῥεῖα θεός γ' ἐθέλων] αἰδημόνως οὐκ ἀνασκευάζει τὴν ὑπόνοιαν τοῦ γέροντος, ἀλλ' αὔξει μᾶλλον τὰ θεῶν εὐσεβῶς.

B= 558. ἵπποι δ' οἵδε—Θρηίκιοι] ἀπὸ τῶν ἵππων ἀρξάμενος δικαίως Ῥῆσον καὶ Θρᾷκας συνῆψεν, εἶτα Δόλωνα, ἀναστρέφων τὴν διήγησιν. ἅμα δὲ καὶ αὔξει· τὸ γὰρ λέγειν, ὅτι παρὰ Δόλωνος μαθόντες τὸ

5, 6. ἀπευκταίων B ‖ 16, 18, 27. σφῶε ‖ 19. εἰς σκοπὴν B ‖ ἀπελθόντας B: ἀπελθόντων ‖ 22. θαυμάζοντος ut B ‖ 23. εἶδον ‖ 30. μᾶλλον B: μόνον

πᾶν εἰργάσαντο, μείωσιν ⟨ἂν⟩ εἶχεν. §. τὴν δικαιολογίαν περιστάμενος τὸ κεφάλαιον ἐν συντόμῳ εἶπεν.

559. τὸν δέ σφιν ἄνακτα—Διομήδης ἔκτανε] οὐδὲ ἐν τῇ ἀπε- B=
λάσει τῶν ἵππων ἑαυτὸν ⟨συμ⟩περιλαμβάνει.

560. πάντας ἀρίστους] οὐ γὰρ ἂν συνεκοιμῶντο τῷ βασιλεῖ. B=

561. τὸν τρισκαιδέκατον] πῶς τοῦ Ῥήσου καὶ τῶν δώδεκα ἑταίρων A+ B=
συναριθμουμένων τρισκαιδέκατός ἐστιν ὁ Δόλων; δῆλον οὖν, ὅτι τὸν Ῥῆσον κατ' ἐξοχὴν ὑπεξεῖλεν.

σκοπὸν εἴλομεν] ἐκοινώνησε γὰρ τῷ φόνῳ τοῦ Δόλωνος. ἐπιεικὲς B=
δὲ κἀν τούτῳ ἐμφαίνει ἦθος Ὀδυσσεύς· οὐ γὰρ εἶπεν ἐκτείναμεν, διὰ τὸ ὑπὸ τοῦ Διομήδους πληγέντα θανεῖν τὸν Δόλωνα, ἀλλ' "εἴλομεν," ὅ ἐστιν ἐλάβομεν.

562. τόν ῥα διοπτῆρα στρατοῦ] ὑπόνοιαν δίδωσι καὶ περὶ τῶν B=
ἄλλων ὧν μεμάθηκε παρὰ Δόλωνος, ἃ σιωπᾷ διὰ τὸν καιρόν.

564. ὣς εἰπὼν τάφροιο διήλασε] καλῶς ἀνεῖρξε τῶν πολλῶν τὰς B=
ἐρωτήσεις, τῆς πρὸς τὰς ναῦς ἄρξας ἐπανόδου. §. ⟨"καγχαλόων" B=
(565)⟩· οὐ γὰρ τοσαύτην κίνησιν ἔχει τὰ λυπηρά, ὅσην τὰ ἡδέα.

568. φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι] αὐτοῦ γὰρ τὸ B–
κατόρθωμα, καὶ νησιώτης ὢν οὐκ οἶδεν ἵππους Ὀδυσσεύς. ὡς δὲ δεισιδαίμων τὰ ἀφιερωμένα τῇ θεῷ λαμβάνει.

571. ὄφρ' ἱρὸν ἑτοιμασ⟨σ⟩αίατο] ἀντὶ τοῦ ἑτοιμάσαιντο, ὡς B–
"ἐφθίατο" (Π. 1. 251).

ὄφρ' ἱρόν] ἀντὶ τοῦ ἕως. ὁ δὲ νοῦς, ἕως ⟨ἂν⟩ εὐπορήσαντες ἱερείων B=
ἀναθῶσιν αὐτὰ τῇ θεῷ.

573. ἐσβάντες] βραχεῖα· διαστολὴ εἰς τὸ "ἐσβάντες." καὶ AB=
κοινὸν τὸ "ἀμφί," τὸν ἀμφὶ τὰς κνήμας ἱδρῶτα καὶ τὸν λόφον.

576. * ἔς ῥ' ἀσαμίνθους βάντες ἐυξέστας] ἤλλακται ἡ τάξις.

577. τὼ δὲ λοεσσαμένω] διὰ τὸν κάματον θεραπείας αὐτοῖς τοῦ B=
σώματος ἔδει, ἄλλως τε καὶ μέλλουσιν ἐπὶ τὸν πόλεμον ἐξιέναι.

578. δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνη] κατὰ τὸ σιωπώ- B=
μενον τὸ ἱερεῖον σφάξαντες ἀνατιθέασι τὰ δῶρα, ὕστερον ⟨δὲ εὐωχοῦνται⟩. §. τέως δὲ νῦν ἐκ τῶν παρόντων προσφέρουσιν.

579. * ἀφυσσάμενοι] διὰ τοῦ ō "ἀφυσσόμενοι." A+

3. τῶν δέ σφ' ‖ 4. συμπεριέλαβεν B ‖ 5. ἄλλοι post ἂν supplet W ‖ 9. ἐπιεικὲς B: ἐπιεικῶς ‖ 16. πρὸς scripsi: περὶ ut B ‖ suppl. W ‖ 17. τὰ ἡδέα ὅ. τὰ λυπηρά, cf. B ‖ ὅσην Bekker, ὁπόσην B: ὅσον ‖ 19. εἶδεν: corr. Bekker ‖ 24. τῷ ‖ 26. ἰδρῶ B ‖ 31, 32. supplevi ex B

ΕΙΣ ΤΗΝ Λ.

AB= 1. Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο ὄρνυθ'] τὸ ὅλον τοῦτο νομιστέον, ὅτι 'ἀπὸ τοῦ ἡλίου ἡμέρα γέγονεν.' §. "Τιθωνοῖο" δέ, ὡσεὶ
AB= ἔλεγε Τιτωνοῖο. Τιτὰν γὰρ ὁ Ἀπόλλων, ὅτι ἀπὸ Λητοῦς· τοῦτον δὲ
AB= καὶ ἥλιον νενομίκαμεν. §. "ἐκ λεχέων" δέ, ὅτι σὺν αὐτῷ ἀεὶ θεωρεῖται· ἡμέρα γάρ ἐστι πεφωτισμένος ἀήρ, ἡλίου ὑπὲρ γῆν ὄντος.
A+B= §. Ἱερώνυμός φησι τὸν Τιθωνὸν αἰτήσασθαι ἀθανασίαν παρὰ τῆς Ἠοῦς, οὐ μέντοι καὶ ἀγηρασίαν· ὡς δὲ πολλῷ τῷ γήρᾳ χρώμενος ἐδυσφόρει, αἰτήσασθαι θάνατον· ἡ δὲ ἀδυνατοῦσα εἰς τέττιγα αὐτὸν μεταβάλλει, ὅπως ἥδοιτο διηνεκῶς τῆς φωνῆς αὐτοῦ ἀκούουσα.

παρ' ἀγαυοῦ Τιθωνοῖο] φαίνεται ὅτι ⟨μήτηρ⟩ ἡ Τροία καλῶν ἀνδρῶν, Τιθωνοῦ Γανυμήδους Ἀγχίσου Βουκολίωνος (Il. 6. 22)· Ἀλέξανδρον δὲ καὶ Δηίφοβον θεοειδεῖς καλεῖ, καὶ Πρίαμον "εἰσορόων ὄψιν τ' ἀγαθήν" (Il. 24. 632)· καὶ περὶ Ἕκτορος "οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος" (Il. 22. 370).

B= ὡς φιλέλλην ὁ ποιητὴς μέχρι τῶν νεῶν τοὺς Ἕλληνας συνελάσας καὶ ἐπαυλιζομένους ταῖς ναυσὶ ποιήσας τοὺς βαρβάρους οὐκ εὐθέως τειχομαχίαν ἐποίησεν οὐδὲ τὴν ἐπὶ ταῖς ναυσὶ μάχην, ὅπερ καὶ κατὰ δόξαν ἦν τοῖς ἀκροωμένοις, ἀλλὰ πρότερον τὴν Ἀγαμέμνονος ἀριστείαν διέγραψε, καὶ μετ' αὐτὴν ⟨τὴν⟩ τῶν ἄλλων ἀριστέων, εἶτα ἐπειδὴ τοὺς ἀρίστους ἐπὶ τὰς ναῦς ἀπέστειλε τρωθέντας, τότε τοὺς Ἕλληνας ἐποίησεν ἡττωμένους. ἐπεὶ δὲ μεμονωμένους τοὺς Ἕλληνας ἀπίθανον ἦν παρεισάγειν ἀνδραγαθοῦντας ἔωθεν, εὐλόγως ἡ νὺξ παραμυθεῖται αὐτῶν τὴν ἧτταν, καὶ τοσοῦτον ἀναλαμβάνει, ὡς συνωθῆσαι πάλιν μέχρι τείχους τοὺς Τρῶας, ἄχρις ὅτου ⟨ἂν⟩ πάλιν τῆς παρὰ τοῦ Διὸς τύχωσιν ἐπικουρίας· ἐπιδείκνυσι γάρ, ὅτι τύχαις, οὐ γνώμαις ἐλείποντο Ἕλληνες. δικαίως μὲν οὖν Ἀγαμέμνων ἀριστεύει· θαρροῦντα μὲν γὰρ τοῖς πράγμασιν οὐκ εὔλογον ἦν αὐτὸν προπετῶς ἐπὶ τοὺς κινδύνους φέρεσθαι, ἀλλὰ διὰ τὴν ἡγεμονίαν ἀσφαλέστερον μᾶλλον ἢ φιλοκινδυνότερον ἀγωνίζεσθαι· ἐπὶ ξυροῦ δὲ νῦν, καὶ ταῦτα δι' αὐτόν, ὄντων ἀναγκαίως κινδυνεύει. γέγονε δὲ ἀντίστροφα τὰ πράγματα·

1. addidi : ἀρχὴ Ἰλιάδος τῆς λ textui inscriptum ‖ 3. Τιτωνοῖο etiam A B ‖ 11. ὅτι scripsi : ὅλη ‖ supplevi, cf. Eust. ἱστέον δὲ ὅτι—ἡ Τροία ἤνεγκε ‖ 20. αὐτὴν B : αὐτὸν ‖ suppl. Bekker ‖ 22. μεμονωμένους B : πεπονημένους ‖ 24. ἧτταν B : ἧσσαν ‖ 30, 31. διὰ τὸν νοῦν τῶν ἀναγκαίων κ., cf. B ‖ 31. ἀναγκαίως B : ἀναγκαίων

Διομήδης γὰρ ὑπὸ Ἀγαμέμνονος ὀνειδισθεὶς εὐδοκιμεῖ, καὶ πάλιν Ἀγαμέμνων ὑπὸ Διομήδους· Ἕκτωρ δὲ μεγάλα ὑπισχνούμενος διώκεται.

2. ἀθανάτοισι φόως φέροι] ἀθανάτους νῦν οὐχὶ τὰ οὐράνια ἀκουστέον—ἀεὶ γὰρ ἐν φωτί εἰσιν—ἀλλ' ἤτοι τὰ στοιχεῖα ἢ τὰ περὶ γῆν θειότερα ζῷα καὶ ἀέρια. ἤ, ἐπειδὴ ἐν τῷ Ὀλύμπῳ ὑποτίθεται ὁ ποιητὴς οἰκεῖν τοὺς θεούς, ὄρος δὲ ὁ Ὄλυμπος, ἁρμοδίως τῷ πλάσματί φησιν αὐτοὺς καὶ ἐν σκότῳ ποτὲ εἶναι. B=

3. Ζεὺς δ' Ἔριδα προΐαλλε] ἀγῶνας πάλιν τῇ ποιήσει κινῶν Δία παρορμᾶν τὸ Ἑλληνικόν φησιν· οὐκ ἂν γὰρ καταπτήξαντες προῆλθον, εἰ μὴ παρώρμησεν. τοὺς δὲ Τρῶας ἐγεῖραι ἱκανὸν καὶ τὸ ἐκ τῆς προγενομένης νυκτὸς θάρσος. B=

5. ἐπ' Ὀδυσσῆος μεγακήτεϊ] καιρίως τοὺς τόπους ἐδήλωσεν· διὰ δὲ τὰς βουλὰς καὶ τὰ ἱερὰ ἐκεῖ νεωλκεῖ Ὀδυσσεύς. "βουλάς τ' ἐξάρχων ἀγαθάς" (Il. 2. 273)· "περὶ δ' ἱρὰ θεοῖσιν" (Od. 1. 66).

8. τοί ῥ' ἔσχατα νῆας ἐίσας εἴρυσαν] τεῖχος τῶν ἄλλων νεῶν ἐποίησαν τὰς ἰδίας, ὡς καὶ αὐτοὶ τῶν Ἀχαιῶν ἦσαν.

11. Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ] Τρῶες γὰρ ὑπὸ τῆς εὐημερίας ἱκανῶς παρώρμηντο.

12. καρδίῃ] τινὲς ἐν αὐτῇ τὸ λογιστικόν ⟨φασιν⟩. §. ὀλίγη δὲ διαστολὴ εἰς τὸ "καρδίῃ." A+

13. τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων] δεδήλωκε τὴν πρώην αὐτῶν ὁρμήν· κακωθεῖσι γὰρ οὐδὲν ἦν πρὸ ὀφθαλμῶν ἕτερον ἢ τὸ φεύγειν. B=

τοῖσι δ' ἄφαρ πόλεμος] Ζηνόδοτος οὐκ οἶδεν· Ἀριστοφάνης ἀθετεῖ. A+

15. Ἀτρεΐδης δ' ἐβόησεν] προσκρούων Ἀχιλλεῖ· διό φησιν "οὐδέπω Ἀτρεΐδεω ὀπὸς ἔκλυον" (Il. 16. 76).

16. ἐν δ' αὐτὸς ἐδύσατο νώροπα] ὃ γὰρ ἐπιτάσσει, ποιῶν προθύμους ἔχει τοὺς ὑπηκόους. B=

17. κνημῖδας μὲν πρῶτα] ὁπλίζει τοὺς ἀνδραγαθήσοντας παρασκευάζων τὸν ἀκροατήν· ἐπὶ δὲ Ἀλεξάνδρου, ὅπως πλέον καταγέλαστος φαίνηται ἡττώμενος (Il. 3. 330). A~

20. τόν ποτέ οἱ Κινύρης] οὗτος Θείαντος μὲν ἦν παῖς, βασιλεὺς δὲ Κύπρου· ὃς ζάπλουτος ὢν παριόντας Ἕλληνας ἐξένισε, καὶ ὑπέσχετο αὐτοῖς ἐν Ἰλίῳ πέμψειν τὰ πρὸς τὸν βίον. φασὶ δὲ αὐτὸν B–

10. καταπτήξαντες B: καταπλήξαντες ‖ 15. ἱερὰ ‖ 19. παρωρμήσαντο ‖ 20, 21. κραδίῃ ‖ 29. πρῶτον ‖ 31. φαίνοιτο ‖ 32. Θείαντος etiam Eust., Βίαντος B

ἀμελήσαντα ἐπικατάρατον γενέσθαι ὑπὸ Ἀγαμέμνονος· καὶ αὐτὸν μὲν ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι, ἐπειδή περ ἠμιλλᾶτο αὐτῷ εἰς μουσικήν, τὰς δὲ θυγατέρας αὐτοῦ πεντήκοντα οὔσας ἁλέσθαι εἰς θάλασσαν καὶ εἰς ἀλκυόνας μεταβληθῆναι.

B– τόν ποτέ οἱ Κινύρης] ἀφεστήκασι μὲν καὶ ὡς μὴ συντελοῦντες εἰς Ἕλληνας οὐ στρατεύουσιν, οἰκειοῦνται δὲ δώροις τὴν Ἑλλήνων φιλίαν· οὐ γὰρ ὑπὲρ ἀστρατείας ὡς Ἐχέπωλος ὁ Σικυώνιος τὴν Αἴθην ⟨δέδωκεν⟩ (Il. 23. 296)· ὅτι δὲ ἀφεστήκασιν Ἑλλήνων, φησὶ "Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς" (Od. 4. 83)· φασὶ δὲ αὐτὸν ἐν Πάφῳ ὀμόσαντα Μενελάῳ πέμψειν πεντηκόντα ναῦς μίαν ἀποστεῖλαι, τὰς δὲ λοιπὰς ἐκ γῆς, καὶ γηίνους ἄνδρας.

A+B– 21. πεύθετο γὰρ Κύπρονδε] ἠκούετο εἰς Κύπρον τὸ κλέος, ἐπ⟨ε⟩ὶ τὸ "Κύπρονδε" τὴν ἐς τόπον δηλοῖ σχέσιν.

A–B= 24. οἶμοι] ὁδοί· νῦν ῥάβδοι ὀρθαί, ἢ ὡς ἐζωσμέναι, ὃ καὶ ἄμεινον. παραλλήλους δὲ λάβωμεν τὰς ῥάβδους, ἵν' ᾖ ποικίλον καὶ βασιλικὸν τὸ φόρημα. ὑποστατέον οὖν τὰς μὲν ιβ' χρυσᾶς ἐν διαστάσει κεῖσθαι, μεταξὺ δὲ τετάχθαι τὰς κα⟨σ⟩ιτερίνας, ὡς πάλιν μεταξὺ τὰς κυανέας, τὰς δὲ περὶ τὸν τράχηλον δύο χρυσᾶς πρὸς κόσμον.

B= 26. ὀρωρέχατο προτὶ δειρήν] ὥστε σκέπειν τὰ ἀσκέπαστα· φησὶ γὰρ "φαίνετο δ', ᾗ κληῖδες" (Il. 22. 324) καὶ "στῆθος βεβλήκει ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς" (Il. 14. 412). ἔστι δὲ περὶ ἑκατέραν κλεῖν εἷς, μέσον δὲ εἷς, ⟨εἷς⟩ εἰς τὸν πρηγορεῶνα. ἐμψύχους δὲ

B– παρίστησιν αὐτοὺς διὰ τοῦ "ὀρωρέχατο." ϛ. τὸ δὲ "ἑκάτερθεν" πῶς συντακτέον; δῆλον ὅτι ἓξ ἦσαν οἱ δράκοντες, ἐξ ἑκατέρου μέρους τοῦ θώρακος τρεῖς ἀναφερόμενοι, καὶ τὰς δ' κεφαλὰς συμπλέκοντες, ἀνατείνοντες δὲ τὰς δύο. διὸ καὶ ἴρεσιν εἰκάζει τοὺς δράκοντας κατὰ τὴν ἐπισύμπτωσιν· πρὸς γὰρ ἑκατέραν κλεῖν νενεύκασι κεκυρτωμένοι· τοιαύτη δὲ καὶ ἡ ἶρις.

B= 27. ἴρε⟨σ⟩σιν ἐοικότες] τῷ κυρτώματι ἢ τῷ χρώματι· φησὶ γὰρ Ξενοφάνης "ἦν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι." ἢ πρὸς τὴν διάστασιν αὐτῶν ἡ ὁμοίωσις.

3. ἁλέσθαι B Eust.: ἅλλεσθαι ‖ 6. οὐδὲ συστρατεύουσιν B ‖ 8. supplevi ex Eust., cf. B ‖ 10. μίαν scripsi, μίαν μόνην Eust.: μὲν ‖ 13. ἐν τόπῳ cf. A ‖ δηλώσει ‖ 16. φόρημα B: φρόνημα ‖ 21. κληῖδες B: κληῖδος ‖ 23. supplevi ex B ‖ 26. δ' Bekker: γ̄ sec. ut videtur in ras. ‖ ad *schol.* v. 26 figuram clipei serpentibus insignem delineavit pr.

28. * ἐν νέφεϊ στήριξε] καὶ ἐπὶ τῶν διαττόντων διδάσκει, ὅτι οὐκ B=
αὐτόματά εἰσι ταῦτα ἀλλ' ὑπὸ θεῶν αἴτιον ἔχοντα.

34. ἐν δέ οἱ ὀμφαλοί] καί που ἡ "Γοργείη κεφαλή" (Π. 5. 741).

35. * λευκοί, ἐν δέ] "λευκοί" γράφεται, οὐ "λευκοῖο." A+

36. Γοργὼ βλοσυρῶπις] γοργότητά τινα καὶ κατάπληξιν τῶν ὁρών- B=
των· τὸν γὰρ περὶ τῆς Γοργόνος μῦθον Ἡσίοδος ἔπλασεν (Th. 274).
§. ⟨καὶ⟩ εἰς ἄλλα δὲ παρεικάζει αὐτὸν Διί· "ὄμματα καὶ κεφαλήν"
(Π. 2. 478)· ⟨βασιλείαν⟩, "πατὴρ ἀνδρῶν τε θεῶν τε" (Π. 22. 167)
καὶ "ποιμένα λαῶν" (Π. 2. 243)· τὸ ἀπὸ Διὸς σκῆπτρον (Π. 2. 10)·
ἀσπίδα παραπλησία⟨ν⟩ αἰγίδι (Π. 5. 738)· φροντίδας, "ὡς δ' ὅταν
ἀστράπτῃ" (Π. 10. 5).

40. ἀμφιστεφέες] ἀλλήλαις περιπεπλεγμέναι διὰ τὸ εἶναι "ἑνὸς B–
αὐχένος." ἢ εἰς ἀλλήλας ἀπεστραμμέναι. ταύτην δὲ Ξενοκράτης
μίμημα τοῦ κόσμου φησὶν εἶναι. §. Ἀρίσταρχος δὲ "ἀμφιστρεφέες" A+
γράφει ἀντὶ τοῦ περιπεπλεγμέναι.

45. ἐπὶ δ' ἐγδούπησαν] οὐ μόνον τῇ ὁπλίσει ἀλλὰ καὶ ταῖς διο- B=
σημίαις προφαντάζει τὸν ἀκροατήν.

47. ἡνιόχῳ μὲν—ἐπέτελλεν] ἐντειλάμενοι τοῖς ἡνιόχοις οἱ παραι- B–
βάται ἐπὶ τῇ τάφρῳ σὺν τοῖς ἵπποις ἀναμένειν αὐτούς, ἐν ὅσῳ τοὺς
ἵππους ἐκεῖνοι ζ[ευγνύουσι, καὶ] αὐτοὶ ἅμα τοῖς πεζοῖς διαβαίνουσι τὴν
τάφρον, καὶ ἐκεῖνοι μετ' οὐ πολὺ καταλαμβάνουσιν ἅμα τοῖς ἵπποις.

51. φθὰν δὲ μεθ' ἱππήων] ἔφθασαν ἐν τῇ τάφρῳ οἱ πεζοὶ διὰ τῶν A + B=
ἱππέων δηλονότι κοσμηθέντες, ἐάσαντες δὲ τοῖς ἡνιόχοις τὰ ἅρματα
ἐπὶ τῷ ἀγαγεῖν αὐτά.

52. ἐν δὲ κυδοιμὸν ὦρσε—Κρονίδης] Ζεὺς αὐτοὺς προτρέπε⟨τα⟩ι, B=
ὅπως ἐξελθόντων καὶ τρωθέντων ἐξαγάγοι Πάτροκλον.

54. αἵματι μυδαλέας] ἐπεὶ αἱματώδεις οἱ περὶ Τροίαν ποταμοί, B=
ἀναγκαίως καὶ ὁ ὄμβρος αἱματώδης. §. "ἰφθίμους κεφαλάς" (55)
οὕτως αἱ Ἀριστάρχου. A=

ἐξ αἰθέρος] ὅτι συνέχεε τὸν ἀέρα καὶ αἰθέρα· ἢ ἀπὸ τοῦ ὑψη- B+
λοῦ μέρους· ἢ ὅτι Διὸς ἔργον ⟨τὸ τοιοῦτον⟩ καὶ οὐχ ὑετός.

56. Τρῶες δ' αὖθ' ἑτέρωθεν] ἀπὸ κοινοῦ τὸ ἐζών⟨ν⟩υντο (15). A=

58. Αἰνείαν θ', ὃς Τρωσί] οὐ μάτην ἡ προσθήκη, ἀλλ' ἐμφαίνει B=
τὴν τάξιν τῶν ἀνδρῶν· μετὰ γὰρ Ἕκτορα οὗτος δεύτερος. διὸ καὶ

1. διαττόντων B: διατρεχόντων ‖ 2. θεούς ‖ ὑπὸ θείαν αἰτίαν sine ἔχοντα B ‖ 6. Γοργοῦς B ‖ 7, 8. suppl. W ‖ 10. ἀσπίδι: corr. et suppl. W ‖ 12. εἶναι B: καὶ ‖ 13. ἀπεστρεμμέναι ‖ 14. ἀμφιστρεφέες A: ἀμφιστρεφεῖς ‖ 25, 31. supplevi ex B ‖ 29. Ἀρίσταρχος A

ζηλοτυπία τις ἦν ἐν αὐτοῖς· φησὶ γοῦν "αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ, οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν" (Il. 13. 460).

B= 61. Ἕκτωρ δ' ἐν πρώτοισι φέρ' ἀσπίδα—οἷος δ' ἐκ νεφέων] οἷος ἦν ὁ ποιητὴς διελθὼν περὶ τῆς Ἀγαμέμνονος ἀσπίδος ἐκφράσαι καὶ τὴν Ἕκτορος· ἀλλὰ τῇ παραβολῇ τὸ κίνημά τε καὶ λαμπρὸν τῶν ὅπλων ἐσήμανεν. ἴσως δέ τινα τῶν κομητῶν ἀστέρων φησὶ καὶ τὴν φθορὰν προδηλοῖ.

A+ 62. * οὔλιος ἀστήρ] τινὲς γράφουσιν "αὔλιος ἀστήρ."

B= 63. παμφαίνων, τότε δ' αὖτις ἔδυ—ὡς Ἕκτωρ ὁτὲ μέν] ἐμφερεστάτη ἡ εἰκὼν πρὸς ἀμφότερα, πρός τε τὴν λαμπρότητα καὶ τὸ μὴ διηνεκῶς φαίνεσθαι, ἀλλ' ἔσθ' ὅτε καὶ ἀποκρύπτεσθαι. ὥσπερ οὖν ὁ ἀστὴρ ἐν τῇ κινήσει ἐνίοτε καὶ ὑπονέφελος γίνεται, οὕτω καὶ Ἕκτορά φησι ⟨καὶ⟩ ἀπολάμπεσθαι τοῖς ὅπλοις ⟨καὶ⟩ ἐνίοτε κατακρύπτεσθαι ὑπὸ τοῦ πλήθους, ἄλλοτε ἐπ' ἄλλα μέρη ἐπιφαινόμενον.

B= 67. ὥς τ' ἀμητῆρες] τοὺς μαχομένους ξίφεσι καὶ δόρασι τοῖς θερίζουσι διὰ τῶν δρεπάνων παρέβαλεν.

B= ἐναντίοι ἀλλήλοισιν ὄγμον ἐλαύνωσιν] τὸ παλαιὸν γὰρ οὕτως ἐθέριζον, ἀπὸ τῶν περάτων ἀρχόμενοι καὶ εἰς τὰ μέσα τελευτῶντες.

B= 68. * ὄγμον ἐλαύνωσιν] πρὸς τὴν σύντομον ἀναίρεσιν.

B= ἀνδρὸς μάκαρος κατ' ἄρουραν] ἐν πλατεῖ γὰρ λείῳ πολλοὺς ἐργάζεσθαι εἰκός ἐστιν.

B= 69. ταρφέα πίπτει] τὸ εὐχερὲς καὶ δυσαρίθμητον τῶν πιπτόντων δηλοῖ.

70. ὣς Τρῶες καὶ Ἀχαιοὶ—θορόντες ⟨δῄουν⟩, οὐδ' ἕτεροι μνώοντο] οἱ μὲν ὑπὸ Διός, οἱ δὲ ὑπὸ Ἔριδος.

A+B= 72. ἴσας δ' ὑσμίνῃ κεφαλὰς ἔχον] ἀντὶ τοῦ ἰσοκέφαλος ἦν αὐτοῖς ἡ μάχη. §. θαυμαστῶς τέως ἰσορροποῦσιν Ἕλληνες καὶ ταῦτα ἀπὸ δυστυχίας ὄντες, μετ' οὐ πολὺ δὲ καὶ περιέσονται τῶν Τρώων.

A= ἴσας δ' ὑσμίνῃ] χωρὶς τοῦ ι γράφει ὁ Ἀρίσταρχος, ἵν' ᾖ ἡ ὑσμίνη τῶν Ἑλλήνων τε καὶ τῶν Τρώων ἰσοκέφαλος ἦν, οἷον ἀμφοτέροις ἰσοκέφαλος ἦν ἡ μάχη.

B= οἱ δὲ λύκοι ὥς] πρὸς τὸ πρόθυμον καὶ κατὰ τὸ πλῆθος δραστικόν· ὁ γὰρ λέων μόνος ἀγωνίζεται.

B= 76. οἷσιν ἐνὶ μεγάροισι] οὐδὲ ὁρᾶν ὑπομένοντες τὴν μάχην διὰ τὸ ἐληλάσθαι ὑπὸ Διός.

1. τις ἦν ἐν αὐτοῖς B : ἦν τις αὐτοῖς ‖ ἐπεμήνεις ‖ 3. τε ante ἦν ut B: del. W, cf. Eust. ὅρα ὡς—ἐξέφρασεν ‖ 5. κ. γε B ‖ ἐσήμανεν B : ἐκίνησεν ‖ 12. supplevi ex B ‖ ἀποκρύπτεσθαι B ‖ 13. φαινόμενον B ‖ 28, 29. ἀμφοτέροις scripsi : αὐτοῖς A, ἀμφοτέρων

78. πάντες δ' ἠτιόωντο] οἱ Ἕλληνικοί, ὅτι εἰ μὴ ἐπεκούρει Τρωσὶν ἐνίκησαν ἂν οἱ Ἕλληνες. §. τούτους δὲ Ζηνόδοτος οὐκ οἶδεν, Ἀρι- A=
στοφάνης δὲ ἀθετεῖ.

84. ἱερὸν ἦμαρ] ἕως ὥρας ἕκτης, ἕως μεσημβρίας, ὅτε θυσίαι B—
γίνονται καὶ τὰ πρακτικὰ πάντα. "κνέφας" δὲ "ἱερόν" (194)· καὶ γάρ φησι "μακάρων τοι νύκτες ἔασιν" (Hesiod. Opp. 730).

86. ἦμος δὲ δρυτόμος] ἄκρως τὸν καιρὸν ἐδήλωσεν, ἀπὸ τῶν AB=
κατειθισμένων καὶ πᾶσι γνωρίμων τὴν δήλωσιν ποιησάμενος· οὔπω γὰρ ἦν ὥραις μετρητὴ ἡ ἡμέρα. ὁρᾶται δὲ ἡ ἀρετὴ τῶν Ἑλλήνων, ὅτι οὐδὲ τῷ καιρῷ παραχωροῦσι τῷ πάντα τὰ σώματα διαλύειν ⟨ἐκ⟩ τῶν ἔργων πεφυκότι.

* ἦμος δὲ δρυτόμος] ὅτε ὁ δρυτόμος ἐπὶ τὸ ἑωθινὸν ἔρχεται ἄριστον. A+

ὡπλίσ⟨σ⟩ατο δεῖπνον] τὸ ἑωθινὸν ἄριστον· εὐθέως γὰρ μετὰ τὸν B—
ὄρθρον αὔξην λαμβανούσης τῆς ἡμέρας ὁ ὑλοτόμος ἐπὶ τὸ ἑωθινὸν ἄριστον ἔρχεται. ὅτι γὰρ τὸν ἑωθινὸν καιρὸν δηλοῖ, σαφὲς ἐξ ὧν κατὰ τὴν Πατρόκλειάν φησιν "ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν— τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο" (Il. 16. 777).

87. * ἐκορέσσατο χεῖρας] ἀντὶ τοῦ ἔκαμεν.

89. σίτου τε γλυκεροῖο] διδαχὴ μετὰ τοὺς πόνους ἐμφορεῖσθαι B—
σιτίων πρὸς τὸ εὐόρεκτον, ὡς καὶ Σωκράτης πολλὰ περιπατήσας ἑσπέρας πρὸς τὸν ἐρόμενον "τί τηνικάδε, ὦ Σώκρατες;" ὄψον ζητεῖν ἔφη (cf. Athen. IV 157ᵒ).

90. τῆμος σφῇ ἀρετῇ] ὡσεὶ λέγοι, ὅτι κεκοπωμένοι μὲν τοῖς B=
σώμασιν, ἀντιτασσόμενοι δὲ ⟨τῷ κόπῳ⟩ ταῖς ψυχικαῖς ἀρεταῖς.

ῥήξαντο φάλαγγας—ἐν δ' Ἀγαμέμνων—ἕλε ⟨δ'⟩ ἄνδρα] ἐν B—
κεφαλαίοις εἰπὼν ὡς ἀνῄρηνται, τὸ πῶς ἐπάγει κατὰ μέρος· διὰ δὲ τοῦ φόνου τοῦ δευτέρου ἐδήλωσε καὶ περὶ τοῦ πρώτου· εἰπὼν γὰρ ὡς ἐξ ἵππων κατεπάλμενος ἀνῄρηται δηλοῖ, ὡς ὁ πρῶτος ἐπιβεβηκὼς τῷ δίφρῳ πεφόνευται· σύνδυο οὖν ἀναιροῦνται, ὡς καὶ τῇ Διομήδους ἀριστείᾳ (Il. 5. 159).

91. κεκλόμενοι ἑτάροισι] διδάσκει ὡς καὶ τοῖς δεινοῖς τὸ φιλάλ- B—
ληλον σῴζειν ἡμᾶς πέφυκεν. τοιοῦτοι δὲ οἱ Ἕλληνες "ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν" (Il. 3. 9).

ἐκ δ' Ἀγαμέμνων πρῶτος] ἀποτυχὼν γὰρ Ἀχιλλέως λαμπρὸς B=
εἶναι θέλει ἢ εὐκλεῶς ἀποθανεῖν.

4. ἠνίκα B, ὅτι ‖ 10, 24. supplevi ex B ‖ 19. διδάσκει B

94. *ὅ γε] ὁ Ὀιλεύς. 95. *τὸν δέ] τὸν Ὀιλέα.

τὸν δ' ἰθὺς μεμαῶτα] δῆλον ὡς φερόμενον ὑπὲρ τοῦ ἀδελφοῦ· καὶ βοηθῶν φονεύε⟨τα⟩ι.

μετώπιον—νύξ', οὐδὲ στεφάνη—σχέθε] ὅπου ἐπὶ ἀνοχῆς ἐστιν ἡ μάχη, εὑρίσκομεν περιφυλάσσοντας καὶ τὰ γυμνά, "ἦ ῥ' ἴδε γυμνωθέντα" (Π. 12. 389) καὶ ἄλλα πολλά· ὅπου δὲ ὀξυλαβ⟨ε⟩ίας χρεία, πρὸς τὸ ἀνώσασθαι μόνον αἱ πληγαί.

A+ μετώπιον] τὸ μεταξὺ τῶν ὠπῶν ἐπάνω τῆς ῥινός, ὡς "μεταμάζιον" (Π. 5. 19).

A=B− 98. πεπάλακτο] διεβρέχετο· "παλάσσετο δ' αἵματι θώρηξ" (Π. 5. 100) καὶ "λύθρῳ—παλάσσετο χεῖρας" (Π. 20. 503). φησὶν οὖν τὸν ἐγκέφαλον ἐμπεπλῆσθαι τοῦ αἵματος· σφιγγομένου γὰρ τοῦ δόρατος ὑπὸ τοῦ ὀστέου ἔξω προελθεῖν εἴργεται τὸ αἷμα, ἔσω δὲ ἐπισυνάγεται, καθάπερ ἐπὶ τῶν βληθέντων λίθῳ, ὅταν συντριβῇ μὲν τὰ ὀστᾶ, μὴ διαιρεθῇ δὲ ἡ ἐπιφάνεια, ἐντὸς χεῖται τὸ αἷμα τῆς ἔξω φορᾶς εἰργόμενον.

πεπάλακτο] γράφεται "κεκίνητο·" ἀλλ' οὐκ εἰκὸς συνδεδεμένον τῷ ὀστέῳ τὸ δόρυ κινεῖν τὸν ἐγκέφαλον.

B= 100. στήθεσι παμφαίνοντας] οὐ συνάπτει Νικάνωρ, ἀλλὰ τὸ "παμφαίνοντας" δηλοῦν φησι τὸ νέον αὐτῶν. Πῶς δὲ 'τὰ στήθη περιφαίνοντας.' οἳ δὲ ὅλον "στήθεσι παμφαίνοντας—χιτῶνας."

A+ 101. βῆ ῥ' Ἰσόν τε] Ποσ⟨ε⟩ίδιππος "Βήρισον" ὑφ' ἓν· Ἡρωδιανὸς νοεῖ διαλελυμένως τὸ "βῆ ῥ' ⟨Ἴσον⟩," Ζηνόδοτος δὲ χωρὶς τοῦ ῥ' "βῆ Ἰσόν τε."

B= 102. *φιλοτέχνως ἐδήλωσε διὰ τοῦ ἑξῆς στίχου, πότερος ἦν ὁ νόθος. *τὸ "ἄμφω" τῶν ἑξῆς ἐστιν.

A= 103. *ἑόντας] Ἀριστοφάνης "ἐοντε."

B= ὁ μὲν νόθος ἠνιόχευεν] σημειωτέον, ὅτι πρὸς τὸ πρῶτον ὑπήντησε "νόθον καὶ γνήσιον" (102), εἶτα "ὁ μὲν νόθος."

B− 104. ὥ ποτ' Ἀχιλλεὺς Ἴδης ἐν κνημοῖσι] καὶ ἐν τούτοις ἡ ποικιλία ὁρᾶται, ὡς καὶ περὶ Λυκάονος (Π. 21. 35)· ἐφ' ἑκάστου οὖν ἢ γένος ἢ τύχην ἢ σχῆμα πτώματος δηλῶν ποικίλλει τὸ ὑποκείμενον.

A+ Ζηνόδοτος γράφει "ὅν ποτ'·" ἀλλ' ἐλέγχεται ἐκ τοῦ "καὶ γάρ σφε" (111).

8. ὦτων ut A ‖ ῥηνὸς: corr. sec. ‖ μεταμάξιον ‖ 11. λάθρα ‖ 13. συνάγεται B ‖ 14. βληθέντων B: πληγέντων ‖ 22. νοεῖ δ. τὸ β. scripsi cf. Eust., μόνως διαλύει τὸ βῆρ coni. Lehrs, μόνον διαλύει τὸ βῆ (sc. "βῆ Ῥῖσον") W: μόνος καλεῖ τὸ βῆρ quod tuetur Lentz Herod. I p. cxxi ‖ 24. πότερος W: ποῖος ut B

105. δίδη μόσχοισι λύγοισιν] οὐκ ἀπίθανος ἡ μεταφορὰ ἀπὸ B=
τῶν ἁπαλῶν ἔτι βοῶν ἐπὶ τὰ τρυφερὰ τῶν φυτῶν ἀγομένη.

106. * τὸ "ἐπ' ὄεσσι" τῶν ἑξῆς ἐστιν.

110. σπερχόμενος δὲ—ἐσύλα τεύχεα—γινώσκων] εἰώθασιν ἐπι- A=B–
σαρκάζειν τοῖς ἐπισήμοις τῶν φονευομένων, ὡς Ὀθρυονεῖ (Il. 13. 374). νῦν οὖν, ἐπείπερ ὀξύς ἐστιν ὁ καιρός, ἄμφω δηλοῖ, καὶ ὡς ἐγίγνωσκεν αὐτούς, καὶ ὡς ὁ καιρὸς οὐκ εἶα λαλεῖν.

113. ὡς δὲ λέων ἐλάφοιο] ἐμφερεστάτη ἡ παραβολή. νεβροὶ γὰρ B=
οἱ νέοι Πριαμίδαι, μήτηρ οἱ Τρῶες, προθυμίᾳ μὲν ὑπερέχοντες ⟨ἐς⟩ τοὺς νεκροὺς καὶ κηδεμονίᾳ, κατεπτηχότες δέ. πιθανῶς δὲ οὐκ ἐπ' ἄλλων τοῦτο παρέλαβεν, ἀλλ' ἐπὶ τῶν Πριάμου παίδων, ἐφ' οἷς εἰκὸς τὴν προθυμίαν τῆς τιμωρίας σφοδροτέραν μέν, ἀδύνατον δὲ τοῖς Τρωσὶν ὑπάρχειν.

ὡς δὲ λέων] εἰς τὸ δυνατὸν καὶ βασιλικὸν τοῦ Ἀγαμέμνονος ὁ λέων B=
παρείληπται· ἡ δὲ παραβολὴ πρὸς τὸ μὴ δύνασθαι τῇ ἐκείνων ἀναιρέσει βοηθῆσαί τινα τῶν Τρώων.

* Ἀριστοτέλης β' φησὶ τίκτειν τὴν ἔλαφον (H. A. I p. 578^{b} 15).

114. ῥηιδίως συνέαξε] πρὸς τὸ εὔθλαστον· ἐπὶ δὲ βοὸς "ἐξ B+
αὐχένα ἄξε" (175).

115. ἐλθὼν εἰς εὐνήν] τὴν ἰδίαν, ὅπου ἀγνοοῦσα αὐτοὺς ἔθηκεν· B+
καὶ τοῦτο δῆλον ἑτέρωθεν· "ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος νεβροὺς κοιμήσασα" ἕως "ὃ δέ τ' ὦκα ἓὴν εἰσήλυθεν εὐνήν" (Od. 4. 338).

ἁπαλόν τε σφ' ἦτορ] καὶ Ἀντίπατρος ὁ ἰατρὸς συναύξεσθαί φησι B+
τῷ σώματι τὴν ψυχήν.

116. οὐ δύναταί σφιν χραισμεῖν] ἵνα μὴ δοκῇ χαρίζεσθαι B=
Ἕλλησι, λελῃθότως τῇ παραβολῇ τὸ ἀγενὲς τῶν Τρώων δηλοῖ.

119. σπεῦδον' ⟨ἱδρώουσα⟩] διαστολὴ ὀλίγη ἐπὶ τὸ "σπεύδουσα" A+
καὶ ἐπὶ τὸ "ἱδρώουσα."

121. ἀλλὰ καὶ αὐτοὶ ὑπ' Ἀργείοισι φέβοντο] πρὸς τὸ φιλάλ-
ληλον τῶν Ἀχαιῶν.

123. Ἀντιμάχοιο δαΐφρονος] "δαΐφρονος" τοῦ ⟨πρὸς⟩ τοὺς B=
πολεμίους ἐγείροντος τῇ συμβουλίᾳ· δαὶς γὰρ ἡ μάχη.

ὅς ῥα μάλιστα—οὐκ εἴασκε] ὡς καὶ ἄλλων αὐτῷ συμπραττόν- B–
των. ἐπάγεται οὖν κατ' αὐτῶν τὸν ἀκροατήν. καὶ ἔστιν ὥσπερ

7. ἐπεγίνωσκεν A B ‖ 9. an περιττεύοντες ? ‖ 10. τῶν νεβρῶν B ‖ 13. schol. praecedenti adhaeret ‖ δυνατὸν B: ἀδύνατον ‖ ὁ λέων B: ἐλθὼν ‖ 14. ἡ δὲ B: δὲ ἡ ‖ 20. ὁππότ'

Νεμέσεως ἔργον τὸ εἰς τοὺς ἀδικηθέντας ἐμπεσεῖν· ἐμέρισε δὲ τὸ διήγημα, νῦν μὲν λέγων "οὐκ εἴασκεν," ἐξῆς δὲ καὶ τὸ πῶς.

A= 124. ἀγλαὰ δῶρα] πρὸς τὸ σημαινόμενον ὑπαντῶν τὸν χρυσὸν "ἀγλαὰ δῶρα" εἶπεν.

B= 127. ὁμοῦ δ' ἔχον ὠκέας ἵππους] "ὁμοῦ" τῷ 'Αγαμέμνονι, ἀντὶ τοῦ ἐν ταὐτῷ. §. διὰ δὲ τοῦ "φύγον ἡνία" καὶ τοῦ "κυκηθήτην" αἰτίαν

B– δίδωσι τοῦ ταραχθέντας περιπεσεῖν 'Αγαμέμνονι· διὰ γὰρ τὴν ταραχὴν καὶ ἀφηνίασιν τῶν ἵππων συμπλέκονται τῷ βασιλεῖ, ὅπως καὶ λόγον προέμενοι διδάξωσι τὰ περὶ τοῦ πατρός.

A+ 128. * φύγεν] διὰ τοῦ ε̄ "φύγεν."

B= 130. τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέσθην] καινὸν τὸ τῆς διαθέσεως. ἕνα ἱκετεύουσι δύο, καὶ πεζὸν ἐποχούμενοι ἅρματι, οὐδὲ ὁτιοῦν προνοούμενοι τῆς φυγῆς.

B= 131. ζώγρει, 'Ατρέος υἱέ, σὺ δ' ἄξια] οὐδεὶς Ἑλλήνων τοιοῦτος· εἰσὶν οὖν πλούτῳ μᾶλλον ἢ δυνάμει ἐναβρυνόμενοι.

σὺ δ' ἄξια] προσαγωγῶς ἐπ' αὐτῷ ποιοῦνται τὴν αἵρεσιν, ὅπως ὅσα θέλει λάβῃ.

B= 132. πολλὰ δ' ἐν 'Αντιμάχοιο] καὶ τοῦτο προσαγωγὸν ὡς ληψομένου ὅσα βούλεται· εἰς εὐσέβειαν δὲ ἡμᾶς παρακαλεῖ τὸν ἐξ ἀσεβείας χρηματισάμενον στερίσκων τῶν παίδων, δι' οὓς καὶ μάλιστα συνήγαγε τὸν χρυσόν.

A= * 'Αντιμάχοιο δόμοις] Ζηνόδοτος "'Αντιμάχου πατρός."

B– 134. τῶν κέν τοι χαρίσαιτ⟨ο⟩—ἀπερείσια] δύο γάρ εἰσι τὸ θέλειν καὶ ⟨τὸ⟩ δύνασθαι, ἅπερ ἄμφω προβάλλονται· καὶ τὸ "χαρίσαιτο" ὡς μὴ ποιησόντων αὐτῷ αἴσθησιν τῶν δώρων. ἀνοήτως καὶ τοῦ πατρὸς ὑπομιμνήσκουσι τὸν 'Αγαμέμνονα καὶ τοῦ χρυσίου, ἃ παρ' 'Αλεξάνδρου δῶρ' ἔλαβεν (124).

A= 135. * ζῳούς] 'Αριστοφάνης "ζῳώ."

B= 137. * ἀμείλικτον δ' ὄπα] "ἀμείλικτον" ἑαυτοῖς, δικαίαν δέ.

B= 138. εἰρωνικῶς τοῦτό φησιν, ὡς δὴ φιλίας παλαιᾶς μνείαν τινὰ ποιούμενος.

* δαΐφρονος] Ζηνόδοτος γράφει "κακόφρονος."

B= 140. ἀγγελίην ἐλθόντα] μετ' ὀνόματος εἰρηνικοῦ ἥκοντα παρὰ τὸν τῶν ἀνθρώπων νόμον φονεύειν ἐπεχείρησεν.

6. ταὐτῷ B: τούτῳ ‖ 9. διδάξειαν ‖ 15. ἐναβρυνόμενοι B: ἐπιτριβόμενοι ‖ 17. λάβοι ‖ 20, 21. συνῆγε B ‖ 22. δόμοισι ‖ 'Αντιμάχου A: 'Αντιμάχοιο ‖ 23. τὰ ἐναντιούμενα post εἰσὶ add. B ‖ 24. supplevi ex B ‖ 25. ἀπ ἄχθος τ. δ. cf. p. 394, 29 ‖ ‖ δὲ pro καὶ B

ἀγγελίην] ἀντὶ τοῦ εἰς πρεσβείαν. §. δύο δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὸ ἄγγελμα, ὡς ἐν τῷ "ἀγγελίην εἶποιμι περίφρονι Πηνελοπείῃ" (Od. 15. 314), καὶ τὸν ἄγγελον ἤτοι τὸν πρέσβυν, ὡς ἐνταῦθα "ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆι." A= A B=

141. * ἐξέμεν] πέμψαι· δασύνει δὲ τὸ "ἔμεν·" τὸ γὰρ εἶναι καὶ ἀφεῖναι παραγωγῶς γέγονεν "ἔμεν," ὡς τὸ θεῖναι θέμεν. A=

142. τοῦ πατρὸς τίσετε λώβην] ἃ ἐλωβήσατο ὁ πατήρ· διδάσκει γάρ, ὅτι καὶ παισὶ φυλάσσονται τὰ πταίσματα. B=

* τοῦ πατρός] τινὲς "σφοῦ πατρός." A+

144. οὔδει ἐρείσθη] οὕτως αἱ Ἀριστάρχου. A+

145. Ἱππόλοχος δ' ἀπόρουσε] ἐωρακὼς τὴν ἀπώλειαν τοῦ ἀδελφοῦ.

146. χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ' αὐχένα κόψας] οἰκεία ἡ κόλασις τῷ τοῦ πατρὸς ἀδικήματι· κεφαλή τε γὰρ ἀποτέμνεται ἡ φθεγξαμένη γνώμην πονηρὰν καὶ χεῖρες αἷς τὸν χρυσὸν ἔλαβεν, ὡς καὶ Πάνδαρος τιτρώσκεται διὰ τῆς γλώττης (Il. 5. 292), καὶ ὁ Λοκρὸς Αἴας ἐν τῷ ἀγῶνι λοιδορησάμενος Ἰδομενέα ὄνθου τὸ στόμα πληροῦται (Il. 23. 777)· B= B-

* τμήξας] "πλήξας" αἱ πλείους. A+

147. ὅλμον δ' ὡς ἔσσευε] ὁ κυλινδρώδης λίθος οὕτω καλεῖται, ᾧ ἐμφερὲς καὶ τὸ σκεῦος ὁ ὅλμος. §. δεῖ δὲ πάσχειν ἐξαίρετα υἱοὺς ὄντας τοῦ αἰτίου τοῦ πολέμου. καὶ ὅσον μὲν δεινὰ ποιεῖ, φιλαδελφίας ἐμφαίνει μέγεθος· εἰ δὲ Μενέλαος ἦν, μικροψυχίας ἂν αὐτοῦ κατεγνώκειμεν, εἰ ὑπὲρ ἑαυτοῦ οὕτω πικρὸς ἐφαίνετο. §. ἔστι δὲ καὶ ξύλον καὶ λίθος ὁ ὅλμος. A+ B= B=

149. ἅμα δ' ἄλλοι ἐυκνήμιδες Ἀχαιοί] εἰς τὸ "Ἀχαιοί" τελεία, καὶ τὸ ἑξῆς ἀσύνδετον· τούτοις γὰρ ἥδεται ἐν ταῖς μεταβάσεσιν. A-

151. ἱππεῖς δ' ἱππῆας] Ἀγαμέμνων δὲ πεζὸς ὢν ἱππέας ἀναιρεῖ, καὶ σύνδυο.

ὦρτο κονίη] ὅτι ὁ κονιορτὸς κόνις ἐστὶν ὡρμημένη. B+

152. ἐκ πεδίου] τὸ "ἐκ πεδίου" ἄμεινον εἶναι τῶν ἄνω. A+

153. χαλκῷ δηιόωντες] τὸ ἑξῆς, ἱππεῖς δ' ἱππῆας ὄλεκον χαλκῷ δηιόωντες· διὰ μέσου δὲ τὸ "ὑπὸ δέ σφιν." A+

154. Ἀργείοισι κελεύων] οὐ μόνον ἀριστεύοντα αὐτὸν ποιεῖ, ἀλλὰ καὶ τοῖς λοιποῖς αἴτιον εὐδοκιμήσεως γινόμενον. B=

155. ὡς δ' ὅτε πῦρ] τί ὀξύτερον ἢ εὐκινητότερον τοῦ πυρός; B=

3. πρέσβιν ut A B ‖ 6. ἔμεναι A ‖ θέμεναι A ‖ 7. τίσεται ‖ 10. οὔδει ἐρείσθη] Ἀρίσταρχος. "οὔδας ἔρεισεν" A ‖ 18. ὅλμον ‖ ᾧ B: ὡς ‖ 20. ὅσῳ ‖ 26. δ' ἱππήων

A+ B= ἐν ἀξύλῳ ⟨—ὕλῃ⟩] ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ἵν' ᾖ, πλῆθος ἔχουσα ξύλων· ⟨ἡ⟩ καὶ ⟨ἡ⟩ ἐκ παλαιοῦ τμηθεῖσα ⟨καὶ⟩ ξηροτάτη καὶ πρὸς καῦσιν ἐπιτηδεία· εἰκυῖα οὖν ⟨ἡ⟩ παραβολὴ πρὸς τὴν συνέχειαν τῶν πιπτόντων.

B= 156. εἰλυφόων] σημαντικῶς τῷ ὀνόματι χρῆται· δηλοῖ γὰρ τὴν μετὰ ἑλίξεως καὶ περιστροφῆς τοῦ πυρὸς κίνησιν. εἰς ἐπίτασιν δὲ καὶ ἄνεμον ἐπιγενέσθαι φησίν.

B– 157. πρόρριζοι πίπτουσιν] πρὸ τῶν ῥιζῶν· οὐ γὰρ ἅπτεται τῶν ὑπογείων τὸ πῦρ.

B= 159. Τρώων φευγόντων] τοῦτο γὰρ αἴτιον τῆς ἀσώστου αὐτῶν ἀπωλείας, ὅτι οὐδὲ ἀνθιστάμενοι ἀνῃροῦντο.

πολλοὶ δ' ἐριαύχενες ἵπποι] διαστήματα παρέχει, ὡς καὶ τῶν ἄλλων μνημονεύῃ, ὅτι ἐπράττετό τινα ὑπ' αὐτῶν διὰ τὴν τοῦ βασιλέως προτροπήν.

161. * ἡνιόχους ποθέοντες] νοῦν ἐνέθηκε τοῖς ἵπποις.

A– B= 162. γύπεσ⟨σ⟩ιν πολὺ φίλτεροι] ἀρχαιοπρεπῶς ἔφρασεν, ὅτι φίλτεροι ἦσαν τοῖς γυψὶν ὅτε ἀπέθανον ἢ ταῖς γυναιξὶν ὅτε ἔζων. ἢ οὕτως· τοῖς γυψὶν ἔμελον, ταῖς δὲ γυναιξὶν οὔ.

B= 163. Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς] ἐντέχνως ἔχει καὶ ταῦτα· τό τε γὰρ παρόντα ἐλαττοῦσθαι Ἀγαμέμνονι οὐ σύμφωνον τῇ ποιήσει, τό τε περιφεύγειν αὐτὸν οὐ τῆς θρασύτητος Ἕκτορος. καλῶς οὖν τὸν Δία φησὶν αὐτὸν ἐξαγ⟨αγ⟩εῖν, ὡς, εἰ παρῆν, ἀπέλαυσεν ⟨ἂν⟩ τοῦ δεινοῦ.

AB= 165. * ἔπετο σφεδανὸν Δαναοῖσι κελεύων] τινὲς σφενδονηδὸν

A+ B= εἵπετο· οἱ δὲ σφεδανὸν κελεύων. §. ⟨σ⟩πευστικῶς.

166. * Ἴλου—παλαιοῦ Δαρδανίδαο] προγονικῶς· Δαρδάνου γὰρ Τρώς, οὗ Ἶλος.

A+ 167. μέσ⟨σ⟩ον ⟨καπ⟩ πεδίον, παρ' ἐρινεὸν ἐσσεύοντο] εἰ ἐντῷ μέσῳ τοῦ πεδίου ὁ ἐρινεός, πῶς ἐν τῇ Ζ φησὶ "λαὸν δὲ στῆσον παρ' ἐρινεόν" (Il. 6. 433); βραχὺ οὖν διασταλτέον ἐπὶ τὸ πεδίον· ἐν μέσῳ γὰρ ἦν τὸ Ἴλου σῆμα, ὅθεν καὶ Ἀλέξανδρος τοξεύει καὶ ὁ Ἕκτωρ "βουλεύει θείου παρὰ σήματι Ἴλου" (Il. 10. 415)· ὁ δὲ ἐρινεὸς παρὰ τῷ τείχει· "λαὸν δὲ στῆσον παρ' ἐρινεόν" (Il. 6. 433). ἀξιοπίστως τὰ ὀνόματα τῶν τόπων ὡσεὶ παρὼν τοῖς γινομένοις φησίν.

1. ἐξυλίσατο B: ἐξυλήσατο ‖ ἵν' ᾖ scripsi: ἵνα ut B ‖ ἔχουσα scripsi, cf. D: ἔχοι B, ἔχῃ ‖ 2. suppl. W ‖ 3. ἔοι ἡ παρ. οὖν πρὸς B ‖ 11. οὐδὲ ἀνθιστ. B, οὐ διανθ. ‖ 13. μνημονεύει ‖ 22. supplevi ex B ‖ ὡς εἴπερ π. B ‖ ἀπήλαυσε ‖ 23. supplevi ex B ‖ 25. σφενδανὸν ‖ supplevi ex B

171. καὶ ἀλλήλους ἀνέμιμνον] νῦν μὲν περιμένουσιν ἀλλήλους· ὅτε δὲ ὑπὸ Ἀχιλλέως διώκονται, "οὐδ' ἄρα τοί γ' ἔτλαν—μεῖναι ⟨ἔ⟩τ' ἀλλήλους καὶ γνώμεναι ὅς τε πέφευγεν, ὅς τ' ἔθαν' ἐν πολέμῳ" (Π. 21. 608)· οὕτως ἑκατέρῳ προσώπῳ τὸ κατ' ἀξίαν ἀπονέμει.

173. ἅς τε λέων ἐφόβησε] ὡς καὶ πρώην ἡ ἔλαφος (116)· ἀλλ' εἶχε προθυμίαν τινὰ ἐκείνη ἐπαμῦναι τοῖς τέκνοις, αἳ δὲ παντελῆ φυγήν.

ἀμολγῷ] τῇ ἑσπέρᾳ, ἐν ᾗ ἀμέλγουσιν. A+

174. τῇ δ' ἔτ' ἰῇ ἀναφαίνετ⟨αι⟩ αἰπὺς ὄλεθρος] ὡς γὰρ λέων φοβεῖ μὲν πάσας τὰς βοῦς, κτείνει δὲ τὴν πλησίον, οὕτως ὁ Ἀγαμέμνων ἐδίωκε μὲν πάντας, ἔκτεινε δὲ ὃν κατελάμβανεν ὑστεροῦντα· περὶ δὲ τὴν ἑσπέραν δοκεῖ ὁ λέων τοῖς τετραπόδοις ἐπιχειρεῖν.

179, 80. πολλοὶ δὲ πρηνεῖς τε] Ἀρίσταρχος τοὺς δύο ἀθετεῖ· A+ Ζηνόδοτος οὐ⟨δὲ γράφει⟩.

184. ἔχε δ' ἀστεροπήν] ὄργανον, ᾧ τινασσόμενον ἀστραπὰς ποιεῖ. A+

ℌ. γράφεται δὲ καὶ "στεροπήν." A+

186. βάσκ' ἴθι] Τυραννίων ὑφ' ἕν, ὡς ἄπιθι· ἄμεινον δὲ ταυτολογίαν εἶναι ἐμφαίνουσαν τὴν ἔπειξιν· καὶ ἀλλαχοῦ "ἔλθοι καὶ ἵκοιτο" (Od. 24. 237). δύναται δὲ καὶ "ἴθι" ἐπίρ⟨ρ⟩ημα παρακελεύσεως εἶναι, ἄγε δὴ πορεύου, ὡς Νικάνωρ φησίν, ὡς τὸ "ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν" (Soph. Ai. 1003).

Ἶρι ταχεῖα] ἐπι⟨ρ⟩ρηματικῶς, ἀντὶ τοῦ ταχέως, οἷον καὶ τὸ A− "τότε μοι χάνοι εὐρεῖα χθών" (Π. 4. 182).

* τελείᾳ εἰς τὸ "ταχεῖα" καὶ "ἔνισπε·" ἡ δὲ συνήθεια συνάπτει. A+

187. ὄφρα—μέν κεν ὁρᾷ Ἀγαμέμνονα] ὕψωσιν περιέχει ὁ λόγος, ὡς καὶ τοῦ θεοῦ παραινοῦντος τῷ ἀπονενοημένως κινδυνεύοντι ⟨ἀναχωρῆσαι⟩.

191. ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ] ἀξιοπίστως ἐπιδιστάζων A− φησίν· τὸ γὰρ ὁρίζειν ὡς τρωθήσεται λύοντος ⟨ἂν⟩ ἦν τὸ μέλλον εἰσάγεσθαι πάθος ἐκ τῆς τοῦ βασιλέως πληγῆς.

192. εἰς ἵππους ἅλεται] ψιλωτέον τὸ "ἅλεται" καὶ τὸ συ- A+ στραφῇ ἐκτεκτέον. ℌ. τὸ δὲ "ἅλεται" ἀντὶ τοῦ ἅληται (cf. p. 390, 1).

τότε οἱ κράτος ἐγγυαλίξω] ἵνα μὴ λυπήμεθα, ὡς τοῖς Τρωσὶν

2. οὐδ' ἄρ ἐπίλλαν ‖ 3. τε πιρ φεύγει ‖ 8. post ἀμέλγουσιν add. rec. ὅτε οὐδεὶς μολεῖ (μολέσει A D), ἢ καὶ τὸ μισωνύκτιον ‖ 9. λέων W : λέγει ‖ 13. Ἀριστοφάνης, cf. A ‖ 14. supplevi cf. A : οἱ ⟨δ' ἔγραφεν⟩ W, οἱ ⟨γράφει⟩ La Roche ‖ 26. ἀπονενημένῳ ‖ 26, 27. supplevi ex texta : ⟨ἀναχωρῆσαι⟩ W ‖ 28. ἀξιοπίστῳ

ἡττωμένων τῶν Ἀχαιῶν ἀλλὰ Διί. §. τὸ δὲ σημεῖον, ὅτι τὸ "ἄλεται"
A= ἀντὶ τοῦ ἄληται.

194. δύῃ τ' ἠέλιος] ἵνα εἰδότες τὸν καιρὸν τῆς ἥττης μὴ βαρέως ἀκούοιμεν τῶν λεγομένων κακῶν περὶ τῶν Ἑλλήνων.

κνέφας ἱερόν] ἐπειδὴ "μακάρων τοι νύκτες ἔασι" (Hesiod. Opp. 730), διὰ τοῦτο "ἱερόν" φησὶ τὸ κνέφας.

197. εὖρ' υἱὸν Πριάμοιο—ἑσταότα] ὅρα, τί καταλαμβάνεται πράττων ὁ βάρβαρος· ἕστηκεν ἀργὸς ἐπὶ τῶν ἁρμάτων, μήτε πολεμῶν μήτε ἐγκελευόμενος τοῖς φεύγουσιν· Ἕλλην δὲ οὐκ ἂν ἐποίει τοῦτο.

A+ 201. τεὶν τάδε μυθήσασθαι] τὸ ⟨τ⟩ίν Δωρικὴ ἀντωνυμία κατὰ πλεονασμὸν τοῦ ε̄ γέγονε "τεῖν·" διὸ φυλακτέον τὸν τόνον.

212. πάλλων—ὀξέα δοῦρα] ὑπόνοιαν διδοὺς τοῖς Τρωσίν, ὡς καὶ αὐτὸς μάχεται· οὐ γὰρ ἔδει λάθρα ὑποχωρῆσαι, μὴ ἄρα χαλεπωτέραν ὑποψίαν παράσχῃ τοῖς Τρωσίν.

216. ἐκ δ' Ἀγαμέμνων πρῶτος ὄρουσε] ὡσὰν παροξυνθεὶς ἐπὶ τῷ θράσει τῶν βαρβάρων ἐπιμένει τῇ προθυμίᾳ.

217. ἔθελεν δὲ πολὺ προμάχεσθαι ἁπάντων] ἵνα καὶ τοὺς ἄλλους διὰ τῆς ἰδίας προθυμίας προτρέψηται· κοινὸν δὲ ἀμφοτέρων τὸ "πολύ," τῶν τε Τρώων καὶ τῶν Ἑλλήνων.

B= 218. ἔσπετε νῦν μοι, Μοῦσαι] ἐπὶ τοῖς μεγίστοις ⟨τὰς⟩ Μούσας καλεῖ, ὡς ἐρῶν τι καινότερον· αἱ γὰρ τοιαῦται προπαρασκευαὶ ἀκμαιοτέρας ποιοῦσι τὰς προσοχὰς τοῖς ἀκροαταῖς.

A+ 219. * ἀντίος] Ἀρίσταρχος "ἀντίον" γράφει.

220. ἢ αὐτῶν Τρώων ἠὲ κλητῶν ἐπικούρων. Ἰφιδάμας] ὑπερβολικῶς, ὥσπερ μέγα αἴτημα, ἀπὸ ὅλων τῶν Μουσῶν αἰτεῖ.

221. Ἰφιδάμας—ὃς τράφη] νεώτατος οὗτος· Κόων δὲ "πρεσβυγενὴς Ἀντηνορίδης" (249). §. ἡ δὲ ἐπεξήγησις τῶν ἀναιρουμένων πίστιν ἀληθείας ὑπογράφει καὶ πρὸς ἀξιοπιστίαν βασιλικοὺς ποιεῖ φονευομένους· ἄδηλα δὲ τὰ τῶν πολέμων· διὸ φονεύει τοῦτον Ἀντηνορίδην ὄντα, ἀγνοῶν τίς ἐστιν.

A= 222. ⟨ἐν Θρῄκῃ ἐριβώλακι,⟩ μητέρι μήλων] Ζηνόδοτος "θηρῶν" γράφει· ἀντίκειται δὲ τὸ "ἐριβώλακι."

A+B= 223. Κισσῆς] ἀπὸ τοῦ Κισσέα⟨ς⟩ τὸ "Κισσῆς·" διὸ περι-

7. ἑσταῶτ' ‖ 21. supplevi ex B ‖ 26. ἀπὸ πολλῶν μυριάδων ἅττει, cf. Eust. ‖ 27. schol. praecedenti adhaeret ‖ τράφι pr.: corr. sec. ‖ 34. supplevi ex B

σπαστέον. §. ὡς νεώτατον δὲ εἰς εἰρηνικὰ χωρία διδόασιν αὐτὸν ἐκ- B=
τρέφεσθαι οἱ γονεῖς.

226. δίδου δ' ὅ γε θυγατέρα ἦν] νῦν μὲν ψιλὸν τὸ τῆς ἐκδόσεως, ἐν δὲ τοῖς ἑξῆς καὶ ἐπεξεργασίᾳ τινὶ κέχρηται, "ἧς οὔτι χάριν ἴδε, πολλὰ δ' ἔδωκεν" (243)· καὶ ἔχει δαιμονίως τὰ τοῦ ἐπιμερισμοῦ· ὅπου μὲν γὰρ διηγεῖται, ψιλὸν τὸ τῆς ἐκδόσεως ἔθηκεν· ὅπου δὲ παθαίνεται ἐπὶ τῷ ἀνῃρημένῳ, καὶ περὶ δώρων ὑποβάλλει καὶ παίδων. §. ὅμοιος δὲ ὁ γάμος Διομήδους καὶ Ἰφιδάμαντος· ἄμφω A+
γὰρ μητρὸς ἀδελφὰς ἔγημαν.

227. * γήμας δέ] μετὰ τὸν "δέ" ὀλίγη διαστολὴ διὰ τὸ πάθος. A+
§. ὡς καὶ ἐπὶ Πρωτεσιλάου (Π. 2. 701).

μετὰ κλέος ἵκετ' Ἀχαιῶν] ὡς νέος καὶ νεωτέρων πραγμάτων ἐρῶν· AB−
φιλοπόλεμοι γὰρ οἱ νέοι, ὡς καὶ Πίνδαρος (fr. 76) "γλυκὺς ἀπείρῳ πόλεμος, ἐμπείρων δέ τις ταρβεῖ προσιόντα νιν περισσῶς·" οὕτω Πῖος.

229. ἐν Περκώτῃ] ἀρχαία αὕτη, ἣν νῦν Παλαιπερκώτην καλοῦ- A−
σιν· τῆς Λαμψακηνῶν δὲ ἦν χώρας. §. καλῶς δὲ καὶ τὸ "λίπε·" καὶ A−
γὰρ τότε ὁ Ἑλλήσποντος ὑπὸ τοῖς Ἀχαιοῖς ἦν.

233. Ἀτρείδης μὲν ἄμαρτε] ἀξιοπίστως, ἵνα μὴ πάντα ἐπιτυγ- B=
χάνοντα εἰσάγῃ. ἅμα δὲ καὶ τὸ ἀνθρώπινον ⟨ἐνδείκνυται⟩. §. εἰς δὲ τὴν ἀριστείαν Ἀγαμέμνονος συντελεῖ τὸ μηδὲ τοῦτον φυγεῖν, ἀλλὰ τῇ δευτέρᾳ πληγῇ ἀναιρεθῆναι.

234. κατὰ ζώνην] οὐ τὸν θώρακα δηλοῖ, ἀλλὰ τὴν καλουμένην A+ B=
θωρακοζώνην. §. τὸ δὲ "ἔνερθεν" εἰς τὸ κάτω μέρος τῆς θωρακοζώνης, AB=
ὡς ὅταν λέγῃ "ἀγκῶνος ἔνερθεν" (252), κατὰ τὸ κάτω μέρος τοῦ ἀγκῶνος.

θώρηκος ἔνερθε] τὸ κάτωθεν διττῶς νοεῖται, ἓν μὲν τὸ κατὰ βάθος, ἓν δὲ τὸ κατὰ μῆκος, ὅπερ βούλεται λέγειν καὶ ἐπὶ Μενελάου "ὄθι ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον" (Π. 4. 132) πρὸς τὸ δυσδιακόμιστον τῆς πληγῆς.

239. ἕλκ' ἐπὶ οἱ] ἐφ' ἑαυτῷ, ὥστε μὴ χρήσασθαι ἔτι ἐκεῖνον τῷ B−
δόρατι. ἐφ' ἑαυτῷ δὲ ἕλκει, οὐ δεδιὼς ἔτι τὴν τρῶσιν διὰ τὸ ἀνακεκλάσθαι τὴν αἰχμήν· δῆλον γάρ, ὅτι ἅμα ἕλκων καὶ ὑποχωρεῖ· ἢ τὸ "ἐπὶ οἱ" τοιοῦτόν ἐστιν· εἰς ⟨τὸ⟩ παρ' ἑαυτὸν μέρος, οὐ πάντως

1. διδόασιν B: διδοῦσιν ‖ 4. εἶδε ‖ 13. γλυκὺ δὲ πόλεμος ἀπείροισιν Stob. Fl. 50, 3 ‖ 14. πεπειραμένων Eust. ‖ 16. ἦν νῦν ‖ 20. supplevi ex B ‖ 24. θωρακοζώνην A B: θωρακωζώνην ‖ θωρακοζώνης A: θωρακωζώνης ‖ 32. ὅτι ante τὴν omisi ut B

AB= ἐπὶ τὸ σῶμα ἑαυτοῦ. §. ὀρθοτονητέον δὲ τὴν "οἵ" καὶ εἰς σύνθετον μεταληπτέον.

B= ὥς τε λίς] συντόμως ἅμα καὶ ἀληθῶς τῇ παραβολῇ ἐχρήσατο· καὶ οἱ λέοντες γὰρ ὑφαρπάζουσι τῶν κυνηγετῶν τὰ δόρατα καὶ λανθάνουσιν

A+ ἑαυτοὺς τιτρώσκοντες. §. Ἀρίσταρχος δὲ ὀξύνει τὸ "λίς" ὡς τὸ θίς.

B= 242. οἰκτρός, ἀπὸ μνηστῆς] ἐπεὶ περὶ θαλάμου ἔμπροσθεν διελέγετο καὶ κοίτης τῆς παρὰ γυναικί, περιπαθῶς τῇ ἐπιφωνήσει ἐχρήσατο.

A+B– ἀστοῖσιν ἀρήγων] τοῖς Τρωσίν, ἐπεὶ Ἀντήνορος ἦν παῖς. τινὲς δὲ ἔθνος Θρᾳκικόν.

A+ * διαστολὴ εἰς τὸ "οἰκτρός" καὶ "ἀλόχου," τελεία δὲ εἰς τὸ "ἀρήγων."

243. ἧς οὕτι χάριν ἴδε] τοιαῦτα καὶ ἐπὶ Πρωτεσιλάου "τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο καὶ δόμος ἡμιτελής" (Π. 2. 700).

B= * ἧς οὕτι χάριν ἴδε] "χάριν" τὴν ἐπὶ τοῖς τέκνοις καὶ τῇ συμβιώσει.

B– πολλὰ δ' ἔδωκεν] ὅρα ὅτι παρὰ τὴν τάξιν ἀλλοιοτέρα φαίνεται· εἰπόντος γὰρ "δίδου δ' ὅγε θυγατέρα ἦν" (226) λαμβάνων ἐπ' αὐτῇ δῶρα τοιάδε ἄκαιρος ⟨ἂν⟩ ἦν ἀδολεσχία. ἐκεῖνο μὲν οὖν ψιλῶς διηγήσατο· νῦν δὲ συμπαθῶς φησιν, ὅτι σπουδάσας περὶ τὴν γυναῖκα οὐκ ὤνατο αὐτῆς· οἰκειότατα οὖν ἔχει ἡ τομὴ τοῦ διηγήματος.

A+ 244. * ἑκατὸν βοῦς δῶκεν] πρὸς τὴν ἐπεξήγησιν τοῦ "ἀλφεσίβοιαι" (Π. 18. 593).

B= χίλι' ὑπέστη] ὑπέσχετο, ὥστε ἐκ τῆς ἐπιγονῆς τῶν ποιμνίων καὶ ταῦτα ἀποδοῦναι.

B= 247. βῆ δὲ φέρων—τεύχεα καλά] ἔοικε διαφέροντα εἶναι τὰ ὅπλα ὡς νέου καὶ νυμφίου· διὸ οὐ παρέρχεται αὐτά.

248. τὸν δ' ὡς οὖν ἐνόησε Κόων] εἰκὸς γὰρ ὑπερασπίζειν αὐτοῦ τὸν ἀδελφὸν διὰ τὸ ἄπειρον τῶν πολεμίων καὶ νέον.

B– 251. στῆ δ' εὐράξ] ἠνάγκαστο μὲν διὰ τὸ πάθος τοῦ ἀδελφοῦ παρακινδυνεύειν, οὐ τολμᾷ δέ, ἀλλὰ κλέπτει τὴν μάχην. λεληθότως οὖν ἀτυχίας, οὐκ ἀ⟨να⟩νδρίας ἐγκαλεῖ τῷ Ἀγαμέμνονι· ἀριστεύων γοῦν ὑπό τινος εὐτελοῦς ἐκ πλαγίου τιτρώσκεται, ἔπειτα τῆς οἰκείας

4. post δόρ. add. ἀφαιρούμενοι τῶν κτεινόντων τὰ ὅπλα (τὸ ὅπλον B) ut B: omisi ut Eust. ‖ 13. φυλακῆς ‖ 15. τῇ συμβιώσει B: τῆς συμβιώσεως ‖ 16. ἀλλοιωτέρα ‖ 17. εἶπε: corr. W ‖ 18. suppl. W ‖ ἐκεῖνο Bekker: ἐκεῖνα ‖ 19. περιπαθῶς B, συμπαθῶν ‖ 23. γονῆς B, ἐπιγουνῆς ‖ 26. νυμφιδίου B ‖ 28. κ. ν. τῶν π.: traieci ‖ 29. ἠνάγκαστο B: ἠνάγκασται ‖ 30. καλύπτει B ‖ 31. supplevi ex B ‖ 32. γὰρ ὑ. B

γῆς δυστυχῶς ἐπέβη· Μενέλαος δὲ τοὐναντίον "μαλθακὸς" μὲν "αἰχμητής" (Il. 17. 588), ἄλλως δὲ μακάριος. διδάσκει οὖν ὁ ποιητής, ὡς τέλεια τὰ ῥώμης ἅμα καὶ τύχης ⟨εὐπορούντα⟩.

252. κατὰ χεῖρα μέσην] τὴν ἀριστεράν· καὶ γὰρ ἐν τῷ ἐπιταφίῳ (Il. 23. 887) ἀνίσταται ἄκοντι ἀγωνίσασθαι ⟨ἐθέλων⟩· ἀλλὰ καὶ Ὀδυσσεὺς παλαίει (ib. 709), τὴν πλευρὰν τρωθείς. §. διὰ τὸ αἰφνίδιον καὶ λεληθὸς ⟨τὸ "νύξε"⟩.

255. ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης] πρὸς τὸ μηδὲ τοῦτον ⌈τρωθέντα ἀπα⌋λλάσσεσθαι.

256. ἀνεμοτρεφές] στερεόν, ὑπὸ ἀνέμων γεγυμνασμένον τὰς ἴνας· καὶ ἀλλαχοῦ "οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης—τὸ δέ τε πνοιαὶ δονέουσιν" (Il. 17. 53)· δῆλον δὲ ἐξ ὧν καὶ τὸ κῦμα "ἀνεμοτρεφές" φησίν (Il. 15. 625). A + B—

ἀνεμοτρεφές] τὸ τρεφόμενον ὑπὸ ἀνέμων, ὅ ἐστιν ἰσχυρόν· τὸ ἐναντίον δὲ ἐπὶ τοῦ ἀσθενοῦς φυτοῦ· "ἐλθών τ' ἐξαπίνης ἄνεμος—βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσ⟨σ⟩ε ἐπὶ γαίην" (Il. 17. 57). ἢ "ἀνεμοτρεπές" τὸ ἀντιτασσόμενον καὶ ἀνέμοις ξύλον διὰ στεριφότητα. B—

257. ὄπατρον] ψιλωτέον τὸ "ὄπατρον" τὸ ⟨γὰρ⟩ ὁ̄ πρὸ τοῦ π̄ φιλεῖ A + ψιλοῦσθαι, εἰ μὴ κατὰ ἀναφορὰν εἴη, σεσημειωμένου τοῦ ὁπλή καὶ ὅπλον καὶ τῶν παρ' αὐτά.

259. τὸν δ' ἕλκοντ' ἀν' ὅμιλον ὑπ' ἀσπίδος ὀμφαλοέσσης] ὡς δὴ μὴ πάσης κρατῶν τῆς δυνάμεως ἄλλο τι πράσσοντα τοῦτο⟨ν⟩ ἀναιρεῖ, τῶν δὲ ἄλλων ἀντικρὺς κρατεῖ.

261. τοῖο δ' ἐπ' Ἰφιδάμαντι κάρη ἀπέκοψε] περιπαθῶς· ᾧ ἐπι- B= κουρῶν Κόων ἐβόα τοὺς ἑταίρους καλῶν, ⟨ἐπὶ⟩ τούτῳ αὐτὸν ὁ Ἀγαμέμνων ἔτρωσεν.

262. ἔνθ' Ἀντήνορος υἷες] περιπαθῶς ἀπήγγειλεν. §. διὰ τί δὲ Ἀντηνορίδην φονεύει; ὅτι αὐτὸς ἦρξε σταθεὶς εὐρὰξ καὶ βαλὼν Ἀγαμέμνονα· οὐ γὰρ ῥητέον, ὡς ἠγνόουν ἀλλήλους, ἐπεὶ σαφῶς εὑρίσκομεν ἐν τοῖς Αἴαντος λόγοις "ἀλλὰ κασίγνητος Ἀντήνορος" (Il. 14. 473)· ὁ γὰρ Ἰφιδάμας νέηλυς ἦν.

267. αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα] ἰατρι- B= κῶς· μέχρι γὰρ τούτου ἀφλέγμαντά εἰσι τὰ ἕλκη.

3. suppl. W ex B ‖ 5. supplevi cf. Eust. ‖ 8, 9. supplevi evanida ‖ 10. στερρεὸν ‖ 11. ἐριθηλέος ‖ 15. ἐλθόν ‖ 17. στερριφότητα B, στερρότητα Et. M. ‖ 18. supplevi ex A ‖ 19. post ἀναφορὰν add. sec. ὡς τὸ ὁποῖος ὁπηνίκα ‖ 20. τῶν παρ' αὐτά scripsi cf. A : τὰ παρ' αὐτό ‖ 22. ἀλλ' ὅτι ‖ 25. supplevi ex B ‖ 33. ἐστὶ B

* αὐτὰρ ἐπεί] ἀντὶ τοῦ 'ἐπεὶ δέ.'

AB= 268. ἔξεῖαι δ' ἀδόντε] ὡς γὰρ ὑπὸ πέτρου ἀλγεῖμεν ὑπὸ τῶν τοιούτων φλεγμαίνων. κυριώτατα οὖν κεῖται τὸ "ἔξεῖαι," καὶ ἔστι δυσμετάληπτον τὸ ὄνομα, τοὺς πεπειραμένους μόνους δηλοῦν. ℌ. δὰ

A= δὲ τοῦ "δύνω μένος" τὴν εἰς βάθος χωρήσασαν ἀλγηδόνα ἐσήμανεν.

B= 269. ὡς δ' ὅτου ἀδόντος ἔχει βέλος ἄξυ γυναῖκα. λαιμὸν] πρὸς τοὺς νυγμοὺς τῆς ἀλγηδόνος εἰκότως· τίς γὰρ οὕτω σκληρὸς ἢ εὐγνωμονέστατος τοσαῦτα; ℌ. τάχα δὲ ἀδυνατῶν ἔλαβε τὰ ἐπίπαν, τὸ ἄξαι, τὸ λαιμόν, τὸ

AB– πικρόν, ἐπιτείνων τὰς ἀδύνας· τὸν δὲ τὸ κάτω ἐμπαγῆναι "βέλος" λέγειν.

A+B– 270. μογοστόκοι ⟨Εἰλείθυιαι⟩] αἱ ἐπὶ τῶν μόγις τικτουσῶν τεταγμέναι, ὡς ξένιος Ζεὺς ὁ ἐπὶ τῶν ξένων.

B+ 271. πικρὰς ἀδῖνας ἔχουσαι] ἀμφίβολον· ἢ γὰρ ἐπιμελείας ἀξιοῦσαι, ὡς ⟨τὸ⟩ "καί μοι κῆρ ἔνδον ἔχει" (Od. 4. 732.), ἢ ἐπέχουσαι τὰς πικρὰς ἀδῖνας καὶ εἰργουσαι, ὡς τὸ "ἔνθα δ' ἔπειτ' αὐτοὺ μὲν ἐχώμεθα δημιοεργοί" (Il. 14. 129).

B– 273. ὃς δόφρα δ' ἀείρατε] κρίνων τὸν βασιλέα, ἔπειτα τοὺς ἀρίστους ἐξάγει. Διαμφὶ Ὀδυσῆα Ἐπιφέλιον Μαχάονα, ὅτου ἀναρχίας ἔσεσθαι, καὶ ἀτάκτους ἅπαν τὸν κόσμον ἢ πάντας γενέσθαι. τοὺς δὲ ἰδίους στρατηγοὺς ἑαυτῷ ἐπιτέλλων· ἵνα μὴ κρατιμήσας ἕνα τοὺς λαοὺς ἀπέχθηται· καὶ ὁ Μενέλαος κοινὸν βασιλεὺς ὢν δεύτερος· ἔστι δὲ καὶ ἐναργέστατα ὅτι νῦν φησὶν μείζων διὰ τὴν ἀπειρίαν τῶν ἀρίστων, καὶ ὁ τοῦ Ἀχιλλέως μείζων.

B= 274. ἦχθετο γὰρ σφὶ] ἐναργῶς ἀπολογεῖται, ὅτι οὐκ ἂν ἀπηλλάγη, εἰ μὴ τῆς ψυχῆς αὐτοῦ ἐπήπτετο τὸ λεῖπον.

B= 277. ὑμεῖς μὲν—πρὸς ἄλλοτε] εἰ τοῦ πάντα ἐπέλλεται ἀπίθῳ· εἰ γὰρ μὴ τὴν αἰτίαν τῆς ἀναχωρήσεως ἔσημαινε, καὶ δεύτερα ὑπεσήμαινεν περὶ αὐτοῦ, ὡς ὅτι τοῦτον μεγάλως.

278. ἐπεὶ οὐκ ἐμὲ—Ζεὺς ἔπασεν—ἐπαμύνασθαι τιὶ μᾶζον] εἰ τὸ μὴ τῷ τραύματι ἔχθεσθαι αὐτὸν τῶν ἴσα πάσχειν, ἀλλ' ὅτι πανημέριος τυλεμάζειν ἐπαλύθη.

B= ἐπεὶ οὐκ ἐμὲ—Ζεύς] τὸν ἐπιχειρήσαντα τῷ τοξεύματι, ἀλλ' εὐτρεπῶς ἐπελείξατο, ὅτι τὸν τοῦ ἔσω ἐπιλάθου· ἀγωνιάσασθαι δ' ὅλης ἡμέρας ἐπαχθεῖ.

2. ἀπὸ τ. B | 7. ἵστασι Ƒ | 8. [illegible] Ƒ [illegible] | 9. [illegible] | 12. ὠδύνας | 13. suppl. m Ƒ [illegible] | 24. [illegible] | 25. ἁμάστου | 29. αὐτὸν Bekker [illegible] | 30. ἐπαλύθη: corr. Bekker

282. ἄφρεον δὲ στήθεα, ῥαίνοντο δ' ἔνερθε κονίῃ] ἔστιν ἰδεῖν τὸν ἀφρὸν τῶν ἵππων μέχρι τῶν στηθῶν καταφερόμενον καὶ τὸν κονιορτὸν ἀναφερόμενον κάτωθεν. B=

286. Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί] κατὰ πάντων τὸ "[ἀγ]χιμαχηταί," ἵνα μὴ ἐπονείδιστος ᾖ [ἡ] παράκλησις.

288. οἴχετ' ἀνὴρ ὤριστος] ἢ καθ' ὅλου—"κρατερός τε" γὰρ "αἰχμητής" (Π. 3. 179)—ἢ νῦν ἄριστος.

ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκεν Ζεύς] βαρβαρικῶς ἀλαζονευόμενος τὴν ἐπικουρίαν τοῦ Διός φησι τῆς ἐσομένης ἀριστείας αἰτίαν, αὐτὸν ἀποκρούων τῶν κατορθωμάτων.

289. ἀλλ' ἰθὺς ἐλαύνετε] ἀντὶ τοῦ ἐπ' εὐθείας· εἰ δὲ τέλος χρονικὸν θέλει, "εἶθαρ" φησίν.

290. ἵν' ὑπέρτερον εὖχος ἄρησθε] ἢ ⟨τοῦ⟩ τῶν Ἑλλήνων ὑπέρτερον, ἢ οὗ πρότερον ἐκτήσασθε, ἢ ἐπιφανέστερον οὗ προεξένησεν ἡ προτέρα μάχη· ὃ καὶ ἄμεινον. B–

291. ὤτρυνε μένος καὶ θυμόν] "μένος καὶ θυμόν" ἐκ παραλλήλου· "μένος" δὲ καὶ τὴν ψυχὴν εἴωθε καλεῖν. B=

292. ὡς δ' ὅτε—θηρητὴρ κύνας] διὰ τῆς παραβολῆς ἀσθενεστέρους ⟨τοὺς⟩ Τρῶας καὶ θρασυτέρους ἀπέδειξεν· καὶ ἀλλαχοῦ "ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος ἅπτηται" (Il. 8. 338). B–

ἀργιόδοντας] ὀξεῖς ὀδόντας ἔχοντας.

297. ὑπεραείρας—ἀέλλῃ] ἀντὶ τοῦ τῇ ἄνωθεν ἐκ καθέτου φερομένῃ, ἥτις ἐστὶν ἀπαραφύλακτος καὶ σφοδροτέρα. καὶ ἀλλαχοῦ "πατρὸς Διὸς ἐκ νεφελάων" (Il. 2. 146)· πρὸς τὴν ἀπροσδόκητον οὖν ἐπιφάνειαν Ἕκτορος καὶ τὴν ῥοπὴν καὶ τὴν ἐκ τῆς ἀ⟨έ⟩λλης ταραχήν· ἐμφαντικῶς δὲ τὸ ἅλμα (298) καὶ ἡ ἔμπτωσις τοῦ ἥρωος ταραχὴν παρέστησεν· καὶ τὴν ἄελλαν δὲ ἐξῆρεν, ὑπεραέα αὐτὴν εἰπών, καὶ ἀντὶ τῆς θαλάσσης τὸν πόντον εἶπεν, ὅς ἐστι φύσει δυσχείμερος· εἶτα καὶ ἡ "κατά" (298) ἔμφασιν ποιεῖ τινα τῷ ἅλματι. AB–

ὑπεραείρας] κατὰ διάστασιν, ὡς τὸ εὐσεβέι καὶ εὐαεί· ἢ μᾶλλον ὑφ' ἕν. A+

299. ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν] ἐπὶ λύπῃ τῶν Ἀχαιῶν οὐκ ἔτι τὴν Μοῦσαν, ἀλλὰ ἑαυτὸν ἐρωτᾷ. B=

5. ἐπ. ἕοι ‖ 11. εἰ scripsi: ὁ ‖ τὸ W, τε ‖ 12. εἰπεῖν post θέλει suppl. W ‖ 13. supplevi ex B ‖ 14. προσεξένησεν ‖ 19. suppl. W ex B ‖ scholia 290, 291 bis eadem plane forma scripta sunt, item schol. 292, nisi quod alterum post ἀπέδειξεν finitur ‖ 25. ῥοπὴν scripsi cf. Eust.: ὁρμὴν ut B ‖ suppl. W ‖ ταραχῆς: corr. W ‖ 30. schol. praecedenti adhaeret ‖ 32. οὐκ αἰτεῖ B

B= 300. ἴτε οἱ Ζεὺς κῦδος ἔδωκεν] ὅτι νόθα τὰ κατορθώματα· εἰ δὲ καὶ καταλέγει τοὺς ἀναιρουμένους, ἐπικρύπτει τὸ ὄνειδος τῇ βραχυλογίᾳ.

A+B= 301. Ἀσαῖον] προπερισπαστέον· παρὰ γὰρ τὸ αἶσά ἐστι, καὶ πάντα τὰ ἀπὸ τῶν εἰς ᾱ ληγόντων θηλυκῶν καὶ μακρᾷ παραληγομένων ⟨προπερισπῶνται⟩.

A+ 302. καὶ Δόλοπα Κλυτίδην] ἕτερος οὗτος παρὰ τὸν Τρωικόν· "Δόλοψ αἰχμῆς εὖ εἰδώς, Λαμπετίδης" (Il. 15. 525).

B= 304. τοὺς ἄρα—ἡγεμόνας] ἢ τῶν τάξεων λέγει ἡγεμόνας ⟨ὁ⟩ ποιητής, ἢ τοὺς προμαχίζοντας. ἵνα δὲ μὴ δοκῇ χαρίζεσθαι Ἕλλησι, καὶ τοῦτον ἡγεμόνας φησὶν ἀναιρεῖν, ἀλλ' οὐ σύνδυο, ὡς Ἀγαμέμνων (143).

B– 305. πληθύν, ὡς ὁπότε νέφεα] ἡ ὁμοίωσις πρὸς τὸ συνεχὲς τῶν ἀναιρουμένων. ὡς γὰρ νέφη, φησί, διώκει ζέφυρος ἄνεμος ὑπὸ νότου συστραφέντα, οὕτω διώκων ἀνῄρει τὸ πλῆθος ὁ Ἕκτωρ. καλῶς δὲ τοὺς πυκνωθέντας μὲν ὑπὸ Ἀγαμέμνονος διασκεδασθέντας δὲ ὑπὸ Ἕκτορος νέφεσιν εἴκασεν, ἃ συνάγει μὲν νότος διώκει δὲ ζέφυρος. ηὔξησε δὲ καὶ τὸν ζέφυρον, μέγα κῦμα ὑπ' αὐτοῦ ἀνεγείρεσθαι λέγων. καὶ ἀνέμων δὲ φύσεις οἶδεν ὁ ποιητής, ἐν οἷς εὖρον μὲν καὶ νότον εἶπε συνάγοντας νέφη, ζέφυρον δὲ καὶ βορέαν διασκιδνάντας τὰ συνηγμένα.

νέφεα] τὸ ἑξῆς "νέφεα ἀργεστᾶο νότοιο," τουτέστι τὰ ὑπὸ τοῦ νότου συνηγμένα.

* συντέμνει τὸ διήγημα διὰ τοῦ "αὐτὰρ ἔπειτα πληθύν."

B– 306. ἀργεστᾶο] οἱ μὲν ταχέος, οἱ δὲ τοῦ λευκονότου· οἱ δὲ λείπειν τὸν η, ἵν' ᾖ ἢ ἀργέστου ἢ νότου, ὅ ἐστιν εὔρου· καὶ Ἡσίοδος γὰρ "ἀργέστην ζέφυρον—βορέην τ' αἰψηροκέλευθον καὶ νότον" (Th. 379). ᾗ. εἰς

A+B– τὸ "νότοιο" δὲ ὀλίγη διαστολή, ἵν' ᾖ, ὡς ζέφυρος κινήσῃ νέφη ἃ συνήγαγε νότος, οὕτως Ἕκτωρ ἐσκέδασε τοὺς ὑπὸ Ἀγαμέμνονος συνηγμένους.

B– * ἀργεστᾶο] εἰ μὲν ἐπὶ τοῦ εὔρου κεῖται, ἔστι κύριον προπαροξυνόμενον, ὡς "ἀργέσταο" (Apoll. Rh. II 961)· εἰ δὲ ἐπίθετον τοῦ νότου, προπερισπᾶται.

B= 307. πολλὸν δὲ—κῦμα] οὐκ ἐπὶ ἀριθμοῦ, ἀλλ' ἐπὶ μεγέθους ἡ λέξις, ὡς τὸ "πολλὸς γάρ τις ἔκειτο" (Il. 7. 156).

2. ἐπικρύπτων ‖ 3. προπαρισπαστέον ‖ 5. supplevi ex B ‖ 7. Λαμπετίδης ‖ 8. λέγει scripsi cf. B: ὡς ε̄ δεῦρ (vel δᾶρ) ‖ 8, 9. ποιητής scripsi: ποιήσατο ‖ 12. διώκει B: συνδιώκει ‖ 13. διώκων B: συνδιώκων ‖ 17. ἐφ' οἷς ‖ 18. εἶπε scripsi: οἶδε ‖ 19. post σ. del. ὡς ὁ ποιητής W ‖ 20. schol. praecedenti adhaeret ‖ 26. κινήσει ν. B, κινήσει ἢ ν. ‖ 29. ἀργήταο, cf. Et. M.

*ἄχνη] ἧς οὐ δυνάμεθα ἔχεσθαι διὰ τὸ λεπτόν. B=

308. πολυπλάγκτοιο] ⟨τοῦ⟩ πανταχοῦ περιάγοντος τὰ κύματα ἢ B–
τὰ σώματα. §. "ἰωῆς" δὲ ὁρμῆς παρὰ τὸ ἴω.

309. ὡς ἄρα πυκνὰ καρήατα] κατ' ἐξοχήν· καὶ "τοίην γὰρ
κεφαλήν" (Od. 1. 343).

311. καί νυ κεν ἐν νήεσσι πέσον] πρὸς τὸ "ἐν νηυσὶ μελαίνῃσιν
πεσέονται" (824).

312. εἰ μὴ Τυδείδῃ Διομήδει] ἐσήμανε τὸ "σφῇ ἀρετῇ—κε-
κλόμενοι ἑτάροισι" (90)· φησὶ γοῦν, ὡς ἔπαθον ἄν, εἰ μὴ ὁ λόγος
Ὀδυσσέως ὤνησεν· Διομήδεα δὲ προτρέπεται ὡς κοινωνὸν τῶν κατὰ
νύκτα· ὅπερ δὲ Διομήδης ἐποίησεν ἐν τῇ Θ (92), νῦν Ὀδυσσεύς.

313. Τυδείδη, τί παθόντε] ῥῆμα ἀπολογεῖται περὶ τῆς ἐν τῇ B–
προτέρᾳ μάχῃ φυγῆς (Il. 8. 98). τότε γὰρ εἶξεν Ὀδυσσεύς, ὅτε
τὸ Ἑλληνικὸν κεραυνοῖς ἐφόβει ὁ Ζεύς, ἀλογίστως δὲ ὁ Διομήδης
ἀνθίστατο. καὶ τοῦτο αὐτῷ ὁ Νέστωρ ἐπιπλήττει· ἐνταῦθα δὲ
οὐδενὸς τοιούτου γενομένου ἀνιαρῶς μὲν ὁ Διομήδης ἀφέστηκε
τῆς τύχης, ὁ δὲ Ὀδυσσεὺς εὐλόγως μένει· διὸ καὶ βοᾷ "τί
παθόντε λελάσμεθα," τί τὸ φοβοῦν ἡμᾶς ἐστιν;

*"ἀλκῆς," ἣν πρὸ ὀλίγου ἐπεδειξάμεθα κατὰ Ῥήσου, ἣ ἦν μοι
προετρέπου.

314. παρ' ἔμ' ἵσταso] παρ' ἐμέ· "συμφερτὴ δ' ἀρετή" (Il. 13.
237). §. Κομανὸς δέ φησι καθ' ὑπεροχὴν ἐπαινεῖσθαι Ὀδυσσέα, εἴγε
ὡς ἥττονι Διομήδει ἐπιτάσσει.

δὴ γὰρ ἔλεγχος ἔσσεται] εὖ τὸ μὴ τοῦ θανάτου πεφροντικέναι, B=
τῆς δὲ αἰσχύνης ἣν ἐπέφερε τὸ πρᾶγμα.

315. *τινὲς "εἴ κεν Τρῶες—νῆας ἕλωσιν," ἐπεὶ καὶ "Τρωσὶν δὴ
βόλεται ⟨δοῦναι κράτος⟩."

317. ἦτοι ἐγὼ μενέω—ἀλλὰ μίννυθα] ὡς ἔμφρων ὁ Διομήδης B=
αἰσθάνεται μὲν τὰ θεῶν, οὐ μὴν προφασίζεται.

μενέω καὶ στήσομαι] ἤλλακται διὰ τὸ μέτρον.

*καὶ στήσομαι] καὶ "τλήσομαι" γράφεται.

318. ἡμέων ἔσσεται ἦδος] νοεῖ ἀπὸ τοῦ ἀγχιστρόφου τῆς μάχης· B=

2. supplevi ex B ‖ 6. πέσσον ‖ 7. πεσέεσθαι ‖ 16. γενομένου B: με-
νομένου ‖ ὀλισθηρῶς B ‖ 17. τῆς τύχης om. B ‖ 19. ἀλικῆς ‖ 23. ἥττονα
διομήδει ‖ 24. ἔπεται ‖ 25. ἧς ἐπεφέρετο τὸ B ‖ 27. βέλεται ‖ 28. ἦτοι
‖ 32. lemma sumpsi ex B: καὶ Θυμβραῖον μὲν ἀφ' ἵππων ὧσε χαμᾶζε (320)
‖ νοεῖ B: νόει

καὶ Ὀδυσσεὺς μέν⟨ει⟩, ὅπως βασανίζῃ τὸν καιρόν· ἄλλως τε καὶ εἰς τὰ ἐξῆς πιθανῶς οἰκονομεῖ ὁ ποιητής· ἐπεὶ γὰρ αὐτοὺς βούλεται τρωθῆναι, ὅπως ἀναρχίας ἕνεκεν δοκῇ ἡ καῦσις γενέσθαι τῶν νεῶν, αὐτοὺς ἐπιδίδωσι τοῖς δεινοῖς. διδάσκει δέ, ὅτι χρὴ πράττειν τὰ παρ' ἑαυτοῦ, εἰ καὶ μέλλοι τὰ τῆς τύχης ἐναντιοῦσθαι.

320. * "Θυμβραῖον" ὡς Ἰδαῖον. §. ὅτε δὲ εὐτυχοῦσι, σύνδυο φονεύουσιν.

322. * ἀντὶ τοῦ παρεπομένου. §. ἀντὶ τοῦ 'ἐφόνευσε καὶ Ὀδυσσεύς.'

* τοῖο ἄνακτος] τούτου τοῦ προειρημένου.

324. ὡς ὅτε κάπρῳ] ἐπεὶ καὶ ἔλεγε "σεύῃ ἐπ' ἀγροτέρῳ συΐ" (293).

325. * ἐν κυσί] ἀντὶ τοῦ εἰς κύνας.

326. παλινορμένῳ] προφυγόντες γάρ, ὥς φησι "καί νυ κεν ἐν νήεσσι πέσον" (311), νῦν ἔναντι ὁρμῶσιν. §. Ἀρίσταρχος ὕφ' ἓν ἀναγινώσκει τὸ "παλινορμένῳ," "παλίνορσος" (Il. 3.33), "εὐρυκρείων," "ἐνφρονέων."

A = B − 327. φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον] τὸ ἐξῆς, φεύγοντες Ἕκτορα δῖον ἀσπασίως ἀνέπνεον· καὶ συναπτόντων δὲ ἡμῶν δῆλον τὸ

B − ὑπερβατόν. §. ὅρα τὸ ὄφελος τῶν Ὀδυσσέως λόγων, ὅτι παρορμήσας τὸν Διομήδη αἴτιος γέγονε τοῖς ἄλλοις Ἕλλησι σωτηρίας. τοῦτο δέ ἐστι τὸ "καί τε πολεῖς ἐσάωσε" (Il. 13. 734).

A + 328. ἑλέτην] συλληπτικῶς τὸ ἐπὶ ἑκατέρου· ἄμφω γὰρ ἕνα δίφρον καὶ δύο ἄνδρας εἶλον.

ἑλέτην δίφρον τε καὶ ἀνέρε] "ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε" (Pind. Ol. I 144).

329. υἱε—Μέροπος ⟨Περκωσίου⟩] Ἀμφίος καὶ Ἄδραστος Μέροπος Περκωσίου. τινὲς πατρωνυμικῶς, ἐπεὶ πῶς Περκώτης Ἄσιος ἄρχει, οὗτοι δὲ Ἀδραστείας καὶ Ἀπαισοῦ; ἢ μετανάστης ἦν αὐτοῖς ὁ πατὴρ ἀπὸ Περκώτης μετοικήσας.

B = 331. τὼ δέ οἱ οὔτι πειθέσθην] οὔτε ἀπειθεῖν πατράσιν ἀξιοῖ οὔτε μαντικῆς καταφρονεῖν, θανάτῳ τοὺς τοῦτο δράσαντας κολάζων.

334. * κεκαδών] χωρίσας, παρὰ τὸ χάζω.

AB − 336. ἴσα μάχην ἐτάνυσ⟨σ⟩ε] πρὸς τὸ ἀξιόπιστον· οὐ γὰρ ἂν ἠρίστευον ἀντιτασσομένου Διός. φιλέλλην δὲ ὢν ὁ Ζεὺς τὸ πρόθυμον αὐτῶν αἰδεσθεὶς πρὸς ὀλίγον ἐνδίδωσιν. ἢ τοῦτο θέλει εἰπεῖν, ὡς

1. suppl. W ‖ 3. δοκῇ B: δοκοίη ‖ 4. ἐπιρρίπτει αὐτοὺς B, ἑαυτοῖς ἐπιδιδοῦσιν ‖ 13. πέσσον ‖ 18. τὸν Διομήδην B, τῷ Διομήδει ‖ 20. πρὸς post γὰρ omisi ‖ 22. schol. praecedenti adhaeret ‖ 29. ταῦτα B ‖ κολάσας B

ἰσοβαρὴς γέγονεν αὐτοῖς ἐκείνῃ τῇ ἡμέρᾳ ἡ μάχη· πρῶτα μὲν "ἴσας ὑσμίνῃ κεφαλὰς ἔχον" (72), ὕστερον ἀριστεύει Ἀγαμέμνων, ἔπειτα Ἕκτωρ· εἶτα οὗτοι καὶ τιτρώσκονται· ἀλλὰ καὶ Ἕκτωρ ἐτρώθη. §. τὸ δὲ "ἔνθα" χρονικῶς.

337. * οἳ δέ] ὡς καὶ τῶν Ἀχαιῶν ὑποστρεψάντων.

339. * ἥρωα] ὅτι πάντες ἥρωες ἐκαλοῦντο.

340. * προφυγεῖν] λείπει 'πρὸς τό.'

* ἀάσατο] ἐπικερτομεῖ τὸ θράσος.

345. τὸν δὲ ἰδὼν ἐνόησε] "ἰδὼν ἐνόησε," ὅτι κατ' αὐτῶν ᾔει· ἢ ἐκ παραλλήλου τὸ αὐτό· ἀλλὰ τὸ πρῶτον ἄμεινον.

346. ἐγγὺς ἐόντα] οὐκ ἀφίστανται ἀλλήλων· ἴσασι γὰρ ὡς τὸ κοινωνὸν αἴτιον αὐτοῖς τῶν κατορθωμάτων. B=

347. κυλίνδεται ὄβριμος Ἕκτωρ] ἀντὶ τοῦ κυλίνδει, ὡς ἄνεμος κυλίνδει κῦμα (Od. 5. 296). οἶδε γάρ, ὅτι τὸ δαιμόνιον αὐτῷ συναίρεται. B–

348. ἀλλ' ἄγε δὴ στέωμεν] ἀντιφιλοτιμοῦνται ταῖς προθυμίαις. ὅρα δέ, ὅτι βλέποντες παρόντα κίνδυνον οὐ περὶ φυγῆς διανοοῦνται, ἀλλ' ἀνθίστασθαι ὁμοῦ ἐγνώκασιν. B–

* ⟨"μένοντε"⟩ οὕτω Ζηνόδοτος. A=

353. αὐλῶπις] "αὐλῶπις" εἰς στενὸν ἀναδοθεῖσα· "αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν" (Od. 22. 18).

τήν οἱ πόρε Φοῖβος] ὅτι καὶ χαλεπὰ τὰ ἡφαιστότευκτα· ἀπολογεῖται δέ, ὡς ἀπέθανεν ἄν, εἰ μὴ διὰ τὴν θειότητα τοῦ κράνους.

354. * ἀπέλεθρον] λίαν, ἀμέτρως. A–

355. * γνύξ] ἐπὶ γόνυ ἐνεχθείς. A B+

356. ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν] κακῶς ἐκ τῶν Αἰνείου (Il. 5. 310) μετηνέχθη· σκότωσις δὲ αὐτῷ γέγονεν, ὡς τὸ "ἄμπνυτο" (359) δηλοῖ· καὶ ἐπ' Ἀνδρομάχης "ἣ δ' ἐπεὶ οὖν ἄμπνυτο" (Il. 22. 475). A+

ἀμφὶ δὲ ὄσσε κελαινή] Ζηνόδοτος οὐ γράφει, Ἀρίσταρχος δ' ἀθετεῖ. A+

357. μετὰ δούρατος ὦχετ' ἐρωήν] τὴν ὁρμήν. δηλοῖ ἡ λέξις καὶ τὴν ὑποχώρησιν· "πολέμου δ' οὐ γίνετ' ἐρωή" (Il. 16. 302). B–

358. καταείσατο] ἐφάνη, παρὰ τὸ εἴδω· ἢ κατήχθη, παρὰ τὸ εἴω τὸ δηλοῦν τὸ πορεύομαι, εἴω καὶ κράσει εἶω. §. ψιλωτέον δέ· ἀπὸ γὰρ τοῦ εἴδω ἐστὶ βαρυτόνου. B– A=

5. ἐπιστρεψάντων ‖ 12. κοινὸν B ‖ 14. συνεργεῖ B, συναιρεῖται ‖ 18. supplevi ex A: μένοντες textus ‖ 19. δ' ante ἀνὰ omisi ‖ 28. schol. praecedenti adhaeret ‖ 33. εἶδω A: ἀείδω

B= 362. ἐξ αὖ νῦν ἔφυγες] εἰκότως ἐπικαυχᾶται τῷ Ἕκτορι, ἐπεὶ κἀκεῖνος ἐπεκαυχήσατο κατ᾽ αὐτοῦ "ἔρρε, κακὴ γλήνη" (Il. 8. 164).

363. ἐρύσατο Φοῖβος] στοχαστικώτερον· ἢ ἐπειδὴ καὶ Αἰνείου ὑπερεμάχει ὁ Ἀπόλλων (Il. 5. 439).

B= 366. εἴ που τις καὶ ἐμοί γε θεῶν] οἵδε μὲν ὡς ἐπίκουρον ἔχει τὴν Ἀθηνᾶν, οὐ μὴν ἀλαζονεύεται. 5

ἐπιτάρροθος] πλεονάζει ἡ ταρ, ὡς ἐν τῷ ἀταρτηρός.

A+ 368. ἦ, καὶ Παιονίδην—ἐξενάριζεν] οὕτω διὰ τοῦ ξ. οὐ γὰρ ἐτέλεσεν.

καὶ Παιονίδην ἐξενάριζεν] τὸν λόγον ἐπαναφέρει ἐπὶ τὰ ἔμπροσθεν "ἤτοι Τυδέος υἱὸς Ἀγάστροφον οὔτασε δουρὶ Παιονίδην ἥρωα κατ᾽ 10 ἰσχίον" (338)· εἶτα ⟨τὰ⟩ περὶ τὴν Ἕκτορος ἔφοδον διελθὼν πάλιν περὶ τοῦ Ἀγαστρόφου διηγεῖται, ὅτι τοῦτον σκυλεύοντι αὐτῷ ἐπιτίθεται Ἀλέξανδρος.

B− 369. αὐτὰρ Ἀλέξανδρος, Ἑλένης πόσις] καὶ τὸν Διομήδην λάθρα τιτρωσκόμενον εἰσ[άγ]ει, ⟨ὡς⟩ καὶ τὸν Ἀγαμέμνονα. ἔστι δὲ τὸ πᾶν 15 διατριβή· ὅρα δὲ ὅτι τῷ τοῦ Ἀλεξάνδρου ὀνόματι ὡς ἐπὶ πολὺ τὴν Ἑλένην προστίθησιν, ὥσπερ ἀναμιμνήσκων τῆς ἀσελγείας αὐτοῦ τοὺς ἀκούοντας.

370. Τυδείδῃ ἐπὶ τόξα] ἔοικεν Ὅμηρος ἀπέχθεσθαι τῷ σκυλευμῷ, ὡς ἐπὶ Ἀγαμέμνονος, ὃς σκυλεύων Ἰφιδάμαντα τιτρώσκεται (240), 20 καὶ ἐπὶ Ἐλεφήνορος (Il. 4. 470)· καὶ ὁ Νέστωρ δὲ παραινεῖ "μή

A+ τις νῦν ἐνάρων ἐπιβαλλόμενος" (Il. 6. 68). §. ἀναστρεπτέον δὲ τὴν πρόθεσιν, ὥς φησιν Ἡρωδιανός.

B+ 371. στήλῃ κεκλιμένος] περικεκυλισμένος· οὐδὲ τῷ διαστήματι γὰρ ἀρκεῖται, ὡσεὶ ἔλεγε 'νεκρὸς παρὰ νεκρῷ ἑστηκώς.' 25

A+ B= ἀνδροκμήτῳ ⟨ἐπὶ τύμβῳ⟩] ὑφ᾽ ᾧ ἀνὴρ καμὼν ἔκειτο· ἢ ὑπὸ ἀνδρὸς πονηθέντι.

372. Ἴλου Δαρδανίδαο] προγονικῶς· Τρωὸς γὰρ ἦν Ἶλος· ἐπὶ δὲ τῷ μνήματι τοῦ παλαιοῦ προγόνου ἔστη, μηδὲν ἄξιον ποιῶν.

B= δημογέροντος] οὕτω καὶ τοὺς βασιλεῖς ἐκάλουν παρὰ τοῦ δήμου 30 γέρας ἔχοντας, ὁμοίως δὲ καὶ τοὺς γέροντας καὶ δημότας.

373. ἦ τοι ὃ μὲν θώρηκα] καὶ οὐχ ὁρώμενος τοξεύει λάθρα καὶ τὴν

9. schol. praecedenti adhaeret ‖ 11. suppl. W ‖ περιελθὼν: corr. W ‖ 15. supplevi ex B ‖ 24. γὰρ scripsi: δὲ ‖ 28. προγονικὸς, cf. p. 388, 26 ‖ 29. ἔστη Bekker: ἐστί ‖ ἀνάξιον: corr. W ‖ 31. post γέρ. add. δημηγόρους ἀλλὰ B, cf. Eust. ‖ 32. ἤτοι

ἀσχολιαν τοῦ βαλλομένου παρέλαβεν· ὥστε οὐδὲν μέγα πέπρακται αὐτῷ ἐπὶ τῇ εὐστοχίᾳ.

375. τόξου πῆχυν ἀνεῖλκεν] εἰσὶ τόξα ἐκ δύο κεράτων συμβεβλημένα, ἃ πήχεις καλοῦσιν. §. εὖ δὲ τὸ παρατατικῶς "ἀνεῖλκεν" φάναι, ἵνα δὴ ἐναργῶς ἐπιδείξῃ τὸν τοῦ πολεμίου τυχεῖν στοχαζόμενον. A+ B=

376. οὐδ' ἄρα μιν ἅλιον] "μίν" ἀντὶ τοῦ αὐτοῦ, ὡς τὸ "τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα" (Il. 10. 495) ἀντὶ τοῦ αὐτοῦ.

378. ἐν γαίῃ κατέπηκτο] ἐναργῶς πάνυ· δι' ὅλου δὲ φυλάσσεται περὶ τὰς πληγὰς ποικιλίαν ὁ ποιητής.

μάλα ἡδὺ γελάσ⟨σ⟩ας] κεχυμένως· καὶ ἐπὶ ⟨τῶν⟩ μνηστήρων "γέλῳ ἔκθανον" (Od. 18. 100)· ἐπὶ δὲ Ὀδυσσέως "ἐπιμειδήσας" (Od. 22. 371) καὶ "μειδιόων βλοσυροῖσι προσώπασι" (Il. 7. 212).

379. ἐκ λόχου ἀμπήδησε] εὖ τὸν ἐκ τοῦ ἀφανοῦς τοξεύοντα ἐκ λόχου ἀναπηδῆσαί φησιν. B=

εὐχόμενος ἔπος ηὔδα] ἀσχημονως πάνυ ὡς μέγα τι κατωρθωκὼς βοᾷ· κατακρύψας γὰρ ἑαυτὸν ἕνα ἔτρωσεν, ἀλλ' οὐδὲ τοῦτον ἀνεῖλεν. οἷα καὶ πρόσθεν αὐτοῦ ἔργα· φευγόντων Ἑλλήνων ἵππον ἀναιρεῖ, καὶ τοῦτον πρεσβύτου (Il. 8. 81). B−

382. οὕτω κεν—Τρῶες ἀνέπνευσαν] δι' ὧν ἑαυτοῦ τὴν πληγὴν αὔξει, λανθάνει καταβάλλων τὸ κοινόν.

383. οἵ τε σε πεφρίκασι] ὡς δειλὸς καὶ περὶ τῶν ἄλλων ὑπείληφεν ὡς φοβουμένων. ἔστι δὲ καὶ ἀνοήτου ἐλέγχειν τοὺς οἰκείους ἐπὶ τῶν πολεμίων. §. "μηκάδες" δὲ κατὰ μίμησιν τῆς φθογγῆς. A−B= A+

385. * τοξότα λωβητήρ] δύναται καθ' ἓν στιγμὴ καὶ εἰς δύο. A+

τοξότα λωβητήρ] ἀλλαχοῦ "ποῦ τοι τόξον" (Il. 5. 171). ἢ τοὺς ἀγχιμάχους ⟨μόνους⟩ ἐπῄνει.

τοξότα] ἀλλὰ καὶ οἱ θεοί, φασί, τοξόται, καὶ τῶν ἡρώων οἱ κράτιστοι, Ἀπόλλων, Ἄρτεμις, Ἡρακλῆς, Ἴδας, Εὔρυτος, καὶ ἐν τοῖς εἰς Ἴλιον στρατευομένοις Μηριόνης, Φιλοκτήτης, Τεῦκρος. οὐχ ὅτι τοξότης, ὀνειδίζει, ἀλλ' ὅτι δὴ φαῦλος τοξότης· τοῦτο γὰρ ἐμφαίνει τὸ "λωβητήρ." §. εἶτα πάλιν ὑφ' ἓν τὸ "κέρᾳ ἀγλαὲ παρθενοπῖπα," ὦ τῇ τριχὶ κάλλιστε ἐπὶ ἀπάτῃ παρθένων· οὐ γὰρ καθ' ἑαυτὸ τὸ κομᾶν κακόν ἐστιν. B=

κέρᾳ ἀγλαὲ] "κέρᾳ" σὺν τῷ ι ἡ παράδοσις, δοτικὴν ἐκδεχομένη· A+ B−

4. πῆχυν cf. A Eust. ‖ 7. μελιειδέα ‖ 10. suppl. W ‖ 15. κατορθωκὼς: corr. rec. ‖ 20. λαμβάνει: corr. Bekker ‖ 22. ἀνοήτων τὸ B ‖ 29. δὲ post ὅτι add. B

τινὲς δὲ πληθυντικῶς ἤκουσαν καὶ ἐπὶ τῶν τοξοτῶν ἐξεδέξαντο· καὶ Ἡρωδιανὸς δέ φησιν, ὅτι σπανίως τὸ κέρας ἐπὶ τριχὸς ἀνθρώπου τάσσεται παρὰ ποιηταῖς, ἀλλὰ μᾶλλον ἐπὶ βοὸς ἢ ἄλλων θηρίων· κέρας δέ ἐστιν ἡ ἐμπλοκὴ τῶν τριχῶν, ὡς παρ' Ἀθηναίοις ὁ κρωβύλος.

A+ ἄλλως: κέρᾳ ἀγλαέ] τῇ τριχί· ὅθεν καὶ κείρειν· Ἀριστοτέλης δὲ 'ᾧ τῷ τόξῳ σεμνυνόμενε.'

παρθενοπῖπα] καλῶς οὐ φησι γυναικομανές, ἵνα μὴ ὑπομνήσῃ Ἑλένης· καὶ ἄλλως πικροτέρα ἡ κατηγορία, εἰ καὶ μέχρι τῶν κατακλείστων παρθένων ἡ τοῦ Ἀλεξάνδρου ἀπάτη φθάνει. §. τινὲς δὲ γρά-

A= φουσι "παρθενοπῖα," παρθένοις ἐοικώς.

B= 386. * γενναῖον τὸ πάσχοντα αὐθωρὸν προκαλεῖσθαι τὸν βαλόντα.

388. νῦν δέ μ' ἐπιγράψας] Ἑλληνικὸν τὸ ἐπικρύπτειν πρὸς ἐχθροὺς τὴν συμφοράν. ὃ δὲ καὶ γυμνοῖ τὴν δειλίαν τῶν ἑταίρων (383).

B= * ἄκρως οὐ πληγήν, ἀλλ' ἐπιγραφήν φησιν· ὁ δὲ ποιητὴς τἀληθὲς λέγων ἔφη "διὰ ⟨δ' ἀ⟩μπερὲς ἰὸς ἐν γαίῃ ἐπάγη" (377).

A~B– 390. κωφὸν γὰρ βέλος] μεταφορικῶς αἴσθησιν μὴ ποιοῦν, εἰ δὲ ἄηχον—"κύματι κωφῷ" (Il. 14. 16)—τὸ γὰρ πεμπόμενον μετὰ βίας ἔχει πολὺν ἐφελκόμενον τὸν ἀέρα.

391. * ἄλλως ὑπ' ἐμεῖο] ἄλλως δὴ τὸ ἐμόν, οὐχ ὡς τὸ σόν.

A~ * ἐπαύρῃ] προσθίγῃ.

A+ 392. * αἶψα τίθησιν] Ἀρίσταρχος "ἄνδρα τίθησιν."

393. * τοῦ δὲ γυναικός] ἐπεξεργασία ποιητική.

395. οἰωνοὶ δὲ περιπλέες ἠὲ γυναῖκες] οὐκ ἔστιν ὅμοιον τῷ "γύπεσ⟨σ⟩ιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν" (162)· τὸ γὰρ "ἠὲ γυναῖκες" τὴν ἀκολασίαν ἐλέγχει Πάριδος, ὡς πλείοσι γυναιξὶ χρωμένου. §. οὐκ

AB+ ἔστι δὲ σύνθετον τὸ "περίπλεες," ἀλλὰ κατὰ παράθεσιν ἡ "περί."

B= 396. Ὀδυσεὺς—ἐγγύθεν ἐλθὼν ἔστη] τὸ φιλικὸν πάλιν τοῦ Ὀδυσσέως ὁρᾶται καὶ τὸ ἀξιόπιστον Διομήδους δείκνυται. εὐπρεπῶς γὰρ οὐχ ὁ Διομήδης ἐπὶ τοῦτο παρακαλῶν τινα φαίνεται· διὰ δὲ τὸν καιρὸν οὐχ οἱ δύο καταγίνονται περὶ τὴν τοῦ ἑνὸς θεραπείαν.

401. οἰώθη δ' Ὀδυσεύς] ἀγῶνας πάλιν κινεῖ ἐπὶ τῷ Ὀδυσσεῖ· ὥστε ἐκ παντὸς συνέχει τὸν ἀκροατήν.

B= 403. εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν· ὦ μοι ἐγώ, τί πάθω] ποιη-

4. παρ' Ἀθ. ὁ κρ. Eust.: καὶ Ἀθηναῖοι τὸν κρωβύλον ‖ 5. ὅθειν ‖ 10. παρθενοπία ut A ‖ ὄψιν ante ἐ. supplet Lehrs ‖ 11. τὸ B: τὰ ‖ προκαλεῖσθαι B: προσκαλεῖσθαι ‖ 14. οὐ πληγὴν B: ἡ πληγὴ ‖ 15. πάγη B, κατέπηκτο Eust. ut textus ‖ 16. μὴ ἐμποιοῦν B ‖ 18. τὸ ante πολὺν omisi ‖ 26. περίπλεες A: περὶ πλέες ‖ 27, 31. Ὀδυσσεὺς ‖ 29. τοῦτο B: τοῦτον

τικῶς τὰ ἐνθυμηθέντα ὡς εἰρημένα διατυποῖ. ἅμα δὲ καὶ διδάσκει, ὅτι οὐ μανικῶς ὁρμᾶν δεῖ εἰς τὰ δεινά.

405. αἴ κεν ἀλώω μοῦνος] ζωγρηθῶ καὶ αἰχμαλωτισθῶ παρὰ πάντας· οὐδεὶς γὰρ Ἑλλήνων τοῦτο πέπονθεν. B=

407. ἀλλὰ τίη μοι ταῦτα] χρησίμως πρὸς τὴν οἰκονομίαν ἔχει τὰ τοῦ ἐπιλογισμοῦ τῷ Ὀδυσσεῖ· ἐπειδὴ γὰρ ναυμαχίαν βούλεται εἰσάγειν ὁ ποιητής, προτιτρώσκει τοὺς ἀρίστους· ἄτοπον γὰρ ⟨ἂν⟩ ἦν παρόντων καίεσθαι τὰς ναῦς. B=

408. * ἀποίχονται] ἄπωθεν οἴχονται.

409. μάχῃ ἔνι] τὸ "μάχῃ ἔνι" πρὸς ἄμφω δύναται.

τὸν δὲ μάλα χρεώ] δύο μέρη λόγου τὸ "τὸν δέ," ὥς φησιν Ἀλεξίων· σπανίως γὰρ αὕτη ἡ ἀντωνυμία ἐπεκτείνεται παρὰ τῷ ποιητῇ. A+

§. τελεία δὲ εἰς τὸ "κρατερῶς" (410). A+

413. ἔλσαν δ' ἐν μέσσοισι] δεινὴ ἡ ἀγωνία· οὐδὲ γάρ, εἰ θέλοι ὑποχωρεῖν, ἔξεστιν αὐτῷ. §. ψιλωτέον δέ· Αἰολικὴ γάρ ἐστιν ἡ κλίσις παρὰ τὸ ἐλάω· οὐ γὰρ τοῦ ἔλασάν ἐστι συγκοπή. B= A−

μετά σφισι πῆμα τιθέντες] διὰ τῆς ἀναφωνήσεως ἀνακτᾶται τὸν ἀκροατήν· λίαν γὰρ αὐτὸν ἐξεφόβησεν· φησὶν οὖν, ὅτι ἐπὶ τῷ ἑαυτῶν κακῷ ἐκύκλωσαν τὸν Ὀδυσσέα.

μετά σφισι] Νικάνωρ διαστέλλει τὸ "σφίσι" τῶν ἑξῆς. §. ὀρθοτονητέον δὲ τὸ "σφίσι." A− A+

414. ὡς δ' ὅτε κάπριον] ἐναργὲς τὸ παράδειγμα πρὸς τὸ καθ' ἕνα μὲν ὑπερέχειν τῶν κυκλωσάντων, ὀχλεῖσθαι δὲ τῷ πλήθει. B=

416. θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσιν] συμπαρατρίβει γὰρ τὸ γένειον ἀκονῶν τὸν ὀδόντα· οὐ γὰρ ἐπὶ τὸ δάκνειν ὁ κάπρος ὁρμᾷ, ἵνα ἀναστε⟨ί⟩λῃ τὰς γένυς, τῇ δὲ ἐμβολῇ μόνον ἀμύνεται. B=

θήγων] καὶ τοῦτο ἐμφερές· καὶ οὗτος γὰρ λογισμῷ προπαρεσκεύασται. B=

417. * κόμπος ὀδόντων] εἰκότως· κενοὶ γάρ εἰσιν.

418. * νῦν τὸ "ἄφαρ" ἀντὶ τοῦ ῥᾳδίως.

421. ὦμον ὕπερθεν] στιγμὴ εἰς τὸ "ὕπερθεν." τινὲς "ὕπερθεν ἐπάλμενος," ἐκ τοῦ ἄνωθεν μέρους ἐφαλλόμενος, τοῦ κατὰ τὴν ὑψηλοτάτην ἐπιφάνειαν. A+ B−

422. * Θόωνα] καὶ "Ἀντίλοχος δὲ Θόωνα" (Il. 13. 545).

2. μαντικῶς B ‖ 3. αἴ κεν textus: εἰ καὶ ‖ 11. φ. Τυραννίων A recte ‖ 22. ἐνεργὲς B ‖ 24. γναπτῇσι textus ‖ γένυσσι textus: γένυσι ‖ 26. supplevi ex B ‖ 27. προπαρασκεύασται ‖ 31. μετάλμενος B ‖ ἐφαλλόμενος A, ἀρθεὶς B: ἀφαιρούμενος ‖ 33. Ἀντίλοχος scripsi: Αἰνείας

A+ * Ἔννομον] "Χρόμις ἦρχε καὶ Ἔννομος" (Il. 2. 858).

A+ 424. πρότμησιν] ἅπαξ εἴρηται Ὁμήρῳ· ἔστι δὲ ὁ κατὰ τὸν ὀμφαλὸν τόπος, ὃν λέγομεν ἡμεῖς ἦτρον.

A+ B= πρότμησιν] οἱ μὲν ἀπὸ τῆς ἤβης ἄχρι τοῦ ὀμφαλοῦ, ἐπεὶ καὶ τοῦτο ἱερουργεῖται, οἱ δὲ τὴν ὀσφύν, ἣν οὐδαμοῦ τιτρώσκει ὁ ποιητής, ὅτι τοῖς θεοῖς δίδοται αἴτιον ὂν ζωογονίας καὶ σπερμάτων. §. "κατὰ πρότμησιν" διὰ τοῦ σ. ἔν τισι κεῖται τὸ τ.

AB– 425. ἀγοστῷ] τῇ δρακί, παρὰ τὸ ἄγειν· οἱ δὲ τῇ ἀγκάλῃ, οἱ δὲ ἀγκῶνι τὸ "ἀγοστῷ·" νῦν δὲ οὐ δύναται ἀγκῶνι· τίς γὰρ ἀγκῶνι δράσσεται γῆς;

B= 427. * εὐηγενέος] εὐφυοῦς τῷ σώματι.

B= 430. πολύαινε] πιστὸς ὁ ἐκ πολεμίων ἔπαινος· ἢ εἰρωνεύεται· ἢ παρὰ τὸ αἰνὸν ἡ σύνθεσις.

δόλων ἅτ' ἠδὲ πόνοιο] καὶ ἐν Ὀδυσσείᾳ (3. 121) φησὶν "ἐνίκα δῖος Ὀδυσσεὺς παντοίοισι δόλοισι," ὥστε ἄμφω ἑνὸς τὰ σωμάτια (scil. Il. et Od.)· σωματικὰ δὲ καὶ ψυχικὰ ἐπαινεῖται Ὀδυσσέως.

B= 432. τοιῶδ' ἄνδρε κατακτείνας] βάρβαρος ἡ ἀλαζονεία, ἐν τοιούτῳ καιρῷ προφερομένη. §. ⟨ἔ⟩φαμεν τὴν διὰ τοῦ δε παραγωγήν, εἰ

A= ἔχοι πρὸ τέλους μακράν, προπερισπᾶσθαι, σεσημειωμένου τοῦ "τώδε δὲ νῶι" (Il. 8. 109).

* τοιῶδ' ἄνδρε κατακτείνας καὶ τεύχε' ἀπούρας] ὡς τούτου παρεπομένου τῷ φονεῦσαι.

B= 437. χρόα ἔργαθεν] "χρόα" τὴν ἐπιφάνειαν τοῦ σώματος, οὐ τὴν ἄχρι τῶν ἔσω μερῶν σάρκωσιν. §. "χροός" δὲ καὶ "χρόα," διχῶς·

A+ Ζηνόδοτος δὲ γράφει "χρόα."

438. * ἔγκασι] ὡς τέρασιν.

AB– 439. γνῶ δ' Ὀδυσεύς] ἔγνω, ὅτι οὐκ εἰς καίριον ταύτῃ ἐτελεύτησεν ἡ βολή. φησὶ γὰρ "ὣς εἰπὼν οὔτησεν—οὐδέ τ' ἔασε Παλλάς" (434,7) καὶ ἐπάγει "φθῇ σε τέλος" (451)· ἔστι δὲ θαυμάσαι τὸ ἀτάραχον Ὀδυσσέως· οὐχ ὡς Ἀχιλλεὺς "σάκος μὲν ἀπὸ ἕο—ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος ῥέα διελεύσεσθαι" (Il. 20. 261).

A+ * βέλος] Ζηνόδοτος γράφει "βέλος."

2, 4. πρότμησιν ut textus ‖ 4. τῆς ἤβης etiam A, κύστεως B ‖ 9. ἀγκῶνι τὸ scripsi cf. A D : ἑκατέρῳ ‖ 15, 16. ἑνὸς τὰ σωματικά τε καὶ ψυχικὰ ἐπ. coni. W ‖ 16. σωματικὴ ‖ ψυχικὴ ‖ 18. προφερομένη B: προσφερομένη ‖ supplevi ex A ‖ 19. τ. φύσει μ. A ‖ πώδε ‖ 22. τοῖς φονεύουσιν ‖ 24. ἔσω B: ἐμπαθῶν ‖ 25. γράφει W cf. l. 31 : ἡ ‖ 27. γνῷ δ' Ὀδυσσεὺς ‖ 31. ῥεῖα ‖ 32. γρύφει A : ἡ

441. ἃ δείλ'] ἐκ πλήρους τὸ "δειλέ·" καὶ στικτέον διὰ τὴν κλητικήν. A+

* κιχάνεται] ἀντὶ τοῦ κιχήσεται.

442. * ἐπὶ Τρώεσσι] περισσὴ ἡ "ἐπί."

446. καὶ ὃ μὲν φύγαδ' αὖτις] αἰσχρὰ ἡ φυγὴ ἀπειλῇ μόνῃ ⟨γενομέ- B=
νη⟩ τραυματίου ἀνδρός. οὐκ ἄτοπον δὲ ἀλαζονεύεσθαι Ὀδυσσέα προάρξαν-
τος ἐκείνου, καὶ ὅτι παρ' ὀλίγον ἀνῃρημένος κεκράτηκε τοῦ πολεμίου.

* φύγαδε] ἀπὸ τῆς φύξ.

450. * ὦ Σῶχ'] "ὦ Σῶκε" ἐντελῶς αἱ Ἀριστάρχου. A=

451. φθῇ σε τέλος] εἰ καὶ ἔφυγες, κιχήμενον ἔφθη σε τὸ τέλος B=
τοῦ θανάτου.

453. ὄσσε καθαιρήσουσι] παλαιὸν ἔθος· "χερσὶ κατ' ὀφθαλμοὺς
ἑλέειν" (Od. 11. 426).

454. ὠμησταὶ ἐρύουσι] προπαροξυτόνως τὸ "ἐρύουσιν." ἐνεστὼς A+
γάρ ἐστιν ἀντὶ μέλλοντος.

455. ἐπεί κε θάνω] ἐὰν ἐκ τοῦ τραύματος τηλικοῦτον ἐπακολου- B=
θήσῃ. προενεχυριάζει δὲ τὴν γνώμην τῶν Ἀχαιῶν, ὡς ὑπὲρ αὐτῶν
ἀποθνήσκων. §. αἱ Ἀριστάρχου "εἴ κε θάνω." A=

457. ἔξω τε χροός] τοῦ ἰδίου χροός· καὶ μεῖζον τὸ κατόρθωμα A+B=
Ὀδυσσέως ἐκ τῆς ἐπιφορᾶς, ὅτι ἀκμὴν ἐμπεπηγότος τοῦ δόρατος
ἐφόνευσε τὸν πολέμιον. §. "ἕλκε" δὲ ἄνευ τοῦ ῑ. A+

458. αἷμα δέ οἱ—ἀνέσσυτο] "αἷμα δέ οἱ ἀνέσσυτο," αὐτῷ· AB+
ἐπὶ δὲ τῆς λεπτοτέρας πληγῆς "αἷμα δ' ἀνηκόντιζε" (Il. 5. 113).

459. αἷμ' Ὀδυσῆος] καλῶς ἄρα Λυκοῦργος ἐνομοθέτησε Λακε- B=
δαιμονίοις ἐσθῆτα φοινικῆν ἐν τοῖς πολέμοις φορεῖν, ἵν' εἰ τρωθείη τις
λανθάνοι τοὺς πολεμίους διὰ τὸ ὁμόχρουν.

460. *κεκλόμενοι καθ' ὅμιλον—ἔβησαν] τοῦ πρώτου τὸ "καθ' ὅμιλον." A+

461. ἐξοπίσω ἀνεχάζετο] συγγνωστέον· ἐν ἐσχάτοις γάρ ἐστιν. B=
εἰκότως οὖν ὑποχωρεῖ καὶ βοᾷ τοῖς συμμάχοις.

αὖε δ' ἑταίρους] ψιλωτέον· εἰ δὲ ⟨δασύνεται⟩, ἐπὶ τοῦ ξηραίνω. A+

462. ὅσον κεφαλὴ χάδε φωτός] ἀντὶ τοῦ εἰπεῖν 'αὐτοῦ.' τὸ δὲ B+
σχῆμα πολλαχῇ, ὡς καὶ ἐπὶ τοῦ "ἐκ πυκινῆς ὕλης πτόρθον κλάσε—
ὡς ῥύσαιτο περὶ χροΐ μήδεα φωτός" (Od. 6. 128). μεγαλόφωνος δὲ
παραδίδοται ὁ Ὀδυσσεὺς "ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην" (Il. 3. 221).

1. πλ. ἃ δ. A ‖ 4, 5. supplevi ex B ‖ 8. Ἀρίσταρχος A ‖ 15. ἐπεί κε etiam textus ‖ 16, 17. αὐτοῦ ἀποθνησκόντων B ‖ 17. Ἀρίσταρχος A ‖ κε A: καὶ ‖ 20. ἀνῄρησε B ‖ 23. αἷμα δ' Ὀδυσσῆος textus, αἷμα Ὀδυσσῆος ‖ 28. τοὺς συμμάχους ut B ‖ 29. εἰ scripsi: ἐστὶ ‖ supplevi cf. A ‖ 30. χάδετο ‖ 31. βλάστε

B– 463. τρὶς δ' ἄιεν ἰάχοντος] ὡς αἴτιος τῆς μάχης νῦν προσεκτικὸς διὰ τὴν ἀπουσίαν Ἀγαμέμνονος, ⟨ἢ⟩ ὡς φίλος Ὀδυσσεῖ, "ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι" (Od. 4. 175)· αἰσθόμενος ⟨δὲ⟩ ὡς οὐκ ἔστιν ἀξιόμαχος προσλαβεῖν Αἴαντα ἐνθυμεῖται.

B= 464. αἶψα δ' ἄρ' Αἴαντα] χαρίεν τὸ τῆς περιπετείας, τὸ τὸν ἀλκιμώτατον εὑρεθῆναι πλησίον. §. τὸ δὲ "αἶψα" τῆς ἐπείξεως αὐτοῦ καὶ προθυμίας σημαντικόν.

467. τῷ ἰκέλη, ὡς εἴ ἑ βιήσατο] "ὡς εἰ·" καιρὸν γὰρ οὐκ εἶχε νῦν σαφῶς δηλῶσαι τὸ πρᾶγμα ὁ Ὀδυσσεύς· μόνον δὲ βοᾷ.

B+ βιήσατο] ἀπὸ γὰρ τοῦ πολυτλήμονος στοχάζεται, ὡς, εἰ μὴ ἠνάγκαστο, οὐκ ἂν ἐβόησεν.

B= 469. ἀλεξέμεναι γὰρ ἄμεινον] "ἄμεινον," ἐκείνῳ δηλονότι, βοηθεῖν ἤπερ ὧδε σχολάζειν.

AB= 475. ἀμφ' ἔλαφον] οὐ δειλὸς ὁ Ὀδυσσεύς, ὅτι ἐλάφῳ εἴκασται· οὐ γὰρ ἰσχύος δηλωτικὸν τὸ τῆς παραβολῆς, ἀλλὰ τῶν ὁμοίων παθημάτων. θανούσῃ δὲ αὐτὸν ἐλάφῳ εἰκάζει, ἵνα αὐξήσῃ τὸν κίνδυνον.

B= ἀμφ' ἔλαφον] μερικὴ ἡ παραβολὴ πρὸς τὴν πληγὴν καὶ πρὸς τὸ πλῆθος τῶν βαρβάρων καὶ τὴν ἀπουσίαν τοῦ βαλόντος· καὶ ὥσπερ θῶας ἀπελαύνει λέων ἐπιφανείς, οὕτω καὶ τοὺς Τρῶας ὁ Αἴας.

B= 478. αὐτὰρ ἐπεὶ—τόν γε δαμάσσεται—ὠμοφάγοι μιν θῶες] πρὸς τὸ πιθανὴν γενέσθαι τὴν ἔφοδον τῶν πολλῶν ζῴων. ἄγει δὲ καὶ ἐπ' ἐκεῖνο ἡ ἔννοια, ὅτι οὐδ' ἂν τῷ Ὀδυσσεῖ προσῆλθον οἱ βάρβαροι, εἰ μὴ διὰ τὸ τετρῶσθαι πεπονημένῳ.

A= ὠμοφάγοι—θῶες] Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων (I p. 610ª 13) φησὶ θῶας καὶ λέοντας πολέμια εἶναι, σαρκοφάγα ὄντα καὶ ἀπὸ τῶν αὐτῶν τὴν τροφὴν ποριζόμενα. ἔμπειρος οὖν τούτων καὶ πρὸ Ἀριστοτέλους ὁ ποιητής.

A~ 480. *ἐν νέμεϊ] νέμος σύμφυτος τόπος καὶ εἰς νομὴν πεποιημένος.

481. αὐτὰρ ὃ δάπτει] αὕτη ἡ ἐπεξεργασία τῆς παραβολῆς οὐ πρὸς τὸ προκείμενον.

B= 483. αὐτὰρ ὅ γ' ἥρως Αἰσσων] στιγμὴ εἰς τὸ "Αἰσσων." §. οὐ πρὸς
B= τρῶσιν δὲ ὥρμα—ἄπιστον γὰρ τοῦτο—ἀλλὰ πρὸς τὸ ἐκφοβῆσαι μόνον.

A+ 486. *στῆ δὲ παρέξ] ἀντὶ τοῦ παρά· καὶ ὀξύνεται.

1. ὡς ante νῦν omisi cf. B ‖ 2, 3. supplevi ex B ‖ 4. διανοεῖται B ‖ 8. ἑ βιώατο textus, ἐβιώσατο ‖ εἰς κ.: corr. W ‖ 10, 11. ἠνάγκαστο B: ἠνάγκασται ‖ 23. ὑπείξειν pro πεπ. B ‖ 33. τρωσὶ ut B: corr. W ‖ ἐφορμᾷ B

488. εἶως θεράπων—ἤλασεν ἵππους] ὁ τοῦ Μενελάου· Ὀδυσσεὺς γὰρ οὐκ ἔχει ἵππους ἅτε δὴ νησιώτης. ἀλλὰ νῦν διὰ τὴν χρείαν οὐκ εἶα ὁ καιρὸς Μενέλαον εἰπεῖν "ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο" (Π. 8. 105). AB–

489. *ἔσχατος ἀριστεύει Αἴας ὡς νωθής.

490. Πριαμίδην, νόθον υἱόν] τελεία εἰς τὸ "Πριαμίδην·" καὶ μετ' ἐμφάσεως ἡ ⟨ἐπ⟩ανάληψις τοῦ δηλουμένου. AB+

492. ὡς δ' ὁπότε πλήθων ποταμὸς ⟨πεδίονδε κάτεισιν⟩] καὶ ἐπὶ Διομήδους ἡ παραβολή (Il. 5. 87)· ἀλλὰ μείζων ἐκεῖ διὰ τὴν ἐπικουρίαν Ἀθηνᾶς (ib. 1)· οὐ μὴν οὐδὲ αὕτη εἰκῆ πρόσ⟨κειται· τὸ γὰρ⟩ "κάτεισιν" τὴν ἀκώλυτον ὁρμὴν ὑποφαίνει· καὶ τὸ "ὀπαζόμενος" (492) οἷον ἐπειγόμενος. A– B=

494. πολλὰς δὲ δρῦς ἀζαλέας] ἢ τὰς μὴ παρὰ τὸν ποταμὸν ἀλλ' ἄνω που οὔσας, ἵνα τὸ πλῆθος τοῦ ῥείθρου δηλοῖ, ἢ ἃς οἱ δρυτόμοι τιθέασι πρὸς τὸ ξηρανθῆναι—"ἣ μέν τ' ἀζομένη κεῖται" (Il. 4. 487) —καὶ διὰ τὸ δυσμετακόμιστον τῶν ξύλων ἐῶσι τὸν ποταμὸν ἀγαγεῖν. §. διὰ δὲ τοῦ πολλαπλασιάζειν τὸ "πολλάς" ἐπαίρει τὸν λόγον. A+ B–

498. ἐπεί ῥα μάχης ἐπ' ἀριστερά—ὄχθας παρ ποταμοῖο] ἀριστερὸς τοῦ ναυστάθμου ἐστὶν ὁ Σκάμανδρος.

ἐπεί ῥα μάχης ἐπ' ἀριστερά] μέμνηται ἑαυτοῦ ὁ ποιητὴς εἰπὼν ἔμπροσθεν "ἔνθα σφιν κατὰ ἶσα μάχην ἐτάνυσ⟨σ⟩ε Κρονίων" (336)· οὕτω γὰρ κατὰ ἴσα ἡ μάχη γίνεται, τῶν ἀρίστων ἐφ' ἑκατέρῳ μέρει ἀριστευόντων καὶ μήπω συμβαλλόντων ἀλλήλοις. καταλιμπάνων δὲ Αἴαντα ποικίλλει τὸ ὑποκείμενον.

500. *ἀνδρῶν] τῶν Ἀχαιῶν· φησὶ γὰρ "νέων δ' ἀλάπαζε φάλαγγας" (503).

501. Νέστορά τ' ἀμφὶ μέγαν καὶ—Ἰδομενῆα] κατακωμῳδεῖ τὸ ῥάθυμον Ἕκτορος, καθὸ φυγὼν τοὺς περὶ Ὀδυσσέα καὶ Ἀγαμέμνονα τούτοις ἑαυτὸν ἐπιδίδωσιν.

503. νέων δ' ἀλάπαζε φάλαγγας] τὰς πρὸ τῶν νεῶν τάξεις· τινὲς δὲ "νέων" ἀντὶ τοῦ νεωτέρων. A+

504. οὐδ' ἄν που χάζοντο κελεύθου] τῆς ὡς πρὸς τοὺς πολεμίους ὁρμῆς καὶ ἧς εἶχον κατ' αὐτῶν προθυμίας. B=

6. βραχὺ διαστέλλειν ἀξιοῦσί τινες A, στιγμὴ εἰς B ‖ 7. supplevi ex A B ‖ 10. supplevi ex B ‖ 11. ὑποφαίνει B : ὑποφαίνων ‖ 14. δηλοῖ B : ἢ ‖ 16. καὶ scripsi : ἢ ‖ ἐῶσι τ. B : ἕως πρὸς τὸ τ. ‖ 29. ἐκδίδωσιν : corr. W ex p. 398, 4

506. ἀριστεύοντα Μαχάονα] λεληθότως ἐνέφηνεν, ὡς διετίθετο τι ὁ Μαχάων· τίς δὲ ἡ ἀριστεία, ἐπὶ κεφαλαίου εἰπὼν οὐ διέξεισι κατὰ μέρος ὡς ἐπὶ τῶν ἄλλων.

B– 507. κατὰ δεξιὸν ὦμον] εἰς τὸν ὦμον τέτρωται, ἵνα μηδὲ τοῖς τρωθεῖσιν ἐπαρκῇ· ἡὔξησεν οὖν τὴν ἀγωνίαν.

508. τῷ ῥα περίδδεισαν] τῷ Μαχάονι, ὡς διὰ τῶν ἑξῆς δηλοῖ "ἰητρὸς γὰρ ἀνὴρ πολλῶν" (514).

A~ B= 509. πολέμοιο μετακλινθέντος] ἐπὶ θάτερον μέρος ⟨τῆς⟩ ῥοπῆς γενομένης.

B= 510. αὐτίκα δ' Ἰδομενεὺς προσεφώνεε Νέστορα] οὐχ ὅτι τὸ δέον μᾶλλον ὁρᾷ τοῦ Νέστορος, ἀλλ' ὅτι ἀπίθανον ἦν τοῦτον τὸν λόγον περικεῖσθαι τῷ Νέστορι ⟨ὡς περὶ⟩ ἰδίας ⟨σπεύδοντι⟩ ἀπαλλαγῆς. πιθανὴ δὲ καὶ ἡ ἀναχώρησις τῷ Νέστορι κατὰ πρόφασιν τῆς τοῦ ἰατροῦ ἐπιμελείας, ἵνα μὴ καὶ τούτου ἔρημον γένηται τὸ στράτευμα. ἀπαλλάσσει δὲ δευτέρων κινδύνων τὸν Νέστορα ὁ ποιητής, καὶ ταῦτα στερόμενον τῶν σῳζόντων.

B– 512. ἄγρει, σῶν ὀχέων ἐπιβήσεο] τοῦτον ἐδύνατο ὁ ποιητὴς καὶ πεζὸν ἐπὶ τὰς ναῦς ἀγαγεῖν· τὸν γὰρ ὦμον ἦν τετρωμένος· οἰκονομικῶς δὲ ἐφ' ἅρματος αὐτὸν ἐποίησεν ἀπιόντα, ἵνα ⟨διὰ⟩ τὸ τῶν ἵππων τάχος παραδράμῃ τὴν ὄψιν τοῦ Ἀχιλλέως, καὶ μὴ δυνηθεὶς ἀκριβῶς καταμαθεῖν τίς ἐστι τὸν Πάτροκλον τοῦτο εἰσόμενον ἐκπέμψῃ, καὶ ἡ Πατρόκλεια εἰς τὴν ποίησιν παρέλθῃ.

B= *ἄγρει] παρορμητικόν· "ἄγε" παρακελευστικόν.

514. ἰητρὸς γὰρ ἀνήρ] ἵνα εἴπῃ Ἀχιλλεὺς "ἵπποι γάρ μεπαρήιξαν" (615)· καὶ ὁ Νέστωρ δὲ καθομιλήσας τῷ Πατρόκλῳ δύναται ποικίλως

A+ πεῖσαι. §. Ζηνόδοτος δὲ (515) οὐ γράφει· Ἀριστοφάνης δὲ ἀθετεῖ.

B– 515. ἰούς τ' ἐκτάμνειν] ἐμείωσέ φασι τὸν ἔπαινον, μερικὴν αὐτῷ προσθεὶς τὴν εἴδησιν· καίτοι φησὶν "ὅς ῥα τε πάσης εὖ εἰδῇ σοφίης" (Il. 15. 411). οἱ μὲν οὖν φασὶν ὅτι τὸ χειρουργικὸν καὶ τὸ φαρμακευτικὸν εὕρητο παρὰ τοῖς παλαιοῖς· τοῦ γὰρ διαιτητικοῦ Ἱπποκράτης μὲν ἤρξατο, συνετέλεσε δ' Ἡρόδικος, Πραξαγόρα⟨ς⟩, Χρύσιππος. ὅτι δὲ οὐκ ἴσασι τὸ διαιτητικόν, "νοῦσον δ' οὔπως ἔστι Διὸς μεγάλου ἀλέασθαι" (Od. 9. 411), "ἀσπασίως δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν" (Od. 5. 397). ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς

8. supplevi ex B ‖ ῥιπῆς B ‖ 12. περιθεῖναι B ‖ supplevi ex B ‖ 15. δὲ B: τε ‖ 19. supplevi ex B ‖ 22. παρέλθοι ‖ 27. φασὶ B: φησὶ ‖ 28. τε B: ποτε ‖ εἰδῇ σοφίης B: ἤδει σοφίας ‖ 30. δ. Ἡρόδικος B ‖ 31. Ἡρόδικος *Eust.*: καὶ Ἱπποκράτης B, ἐν ῥοδικοῖς ‖ supplevi ex B

ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλὰ ἐπὶ τὸν Μαχάονα, ὃν μόνον χειρουργεῖν τινες λέγουσι—τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαι νόσους —καὶ τεκμήριον τούτου· Ἀγαμέμνων τρωθέντος Μενελάου οὐκ ἄμφω ἐπὶ τὴν θεραπείαν καλεῖ, ἀλλὰ τὸν Μαχάονα (Il. 4. 193). τοῦτο ἔοικε καὶ Ἀρκτῖνος ἐν Ἰλίου πορθήσει (fr. 3 K.) νομίζειν ἐν οἷς φησιν·

"αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ—Ἐν⟨ν⟩οσίγαιος
ἀμφοτέροις, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκεν·
τῷ μὲν κουφοτέρας χεῖρας πόρεν, ἔκ τε βέλεμνα
σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέσασθαι,
τῷ δ' ἄρ' ἀκριβέα πάντ⟨α⟩ ἐνὶ στήθεσσιν ἔθηκεν,
ἄσκοπά τε γνῶναι καὶ ἀναλθέα ἰάσασθαι·
ὅς ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο
ὄμματά τ' ἀστράπτοντα βαρυνόμενόν τε νόημα."

εἰ δὲ μὴ παράγει τινὰ διαιτώμενον, οὐ θαῦμα· διὰ γὰρ τὸ ἀπρεπὲς παρῆκε τὴν δίαιταν· οἷον γὰρ ἦν πυρέττοντα τὸν ἥρωα παραλαβεῖν ἢ κενούμενον τὴν γαστέρα ἢ προποτιζόμενον· ταῦτα γὰρ κωμικά, ὡς καὶ τῷ Διονυσίῳ πεποίηται ἐν Λιμῷ νοσῶν Ἡρακλῆς, Σειληνὸς δὲ κλύζειν πειρᾶται τὸν Ἡρακλέα· ἢ ⟨μόνων⟩ τῶν ἐπειγόντων πρὸς τὸν πόλεμον μέμνηται· εἰσὶ δὲ φάρμακα καὶ χειρουργίαι. εἰ δὲ ἀπὸ τῶν ἡττόνων ὁ ἔπαινος, καὶ τοῦτο ἰατρικῆς ἐγκώμιον, τὸ καὶ τὰ ἧττω μέρη ταύτης εἶναι πολλῶν ἀντάξια. μήποτε δὲ καὶ τὸ ἑξῆς τοῦ λόγου τοιόνδε· εἰς τὰς ναῦς ἐλαύνει τοὺς ἵππους καὶ τὸν ἰὸν ἐκτέμνει τῷ Μαχάονι καὶ ἐπιπάσσει φάρμακα· καὶ οὐ θαῦμα "ἰούς" τὸν ἰὸν εἰρῆσθαι—καὶ πρόσωπα γάρ φησι καὶ στήθεα—καὶ τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

517. *[ὀχ]έων ἐπεβήσετο] ἄπεισιν ὁμιλήσων Πατρόκλῳ.

518. ἀμύμονος ἰητῆρος] τὸ "ἀμύμονος" τοῦ ἰατῆρός ἐστιν ἐπίθετον. θνητοῖς γὰρ εἴωθεν Ὅμηρος τάσσειν τὸ ἐπίθετον· καὶ ἀμύμονα γοῦν Πήδασόν φησιν (Il. 16. 152).

519. μάστιξεν δ' ἐλάαν] ἐμάστιξεν ἐπὶ τῷ ἐλαύνειν· ἢ Ἀττικῶς λείπει τὸ ὥστε· ἢ τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς, ὡς τὸ "βῆ δ' ἐλάαν" (Il. 13. 27) ἀντὶ τοῦ ἔβη ἐλαύνων. B

6. ⟨κλυτὸς⟩ supplet Heyne, ⟨γέρα⟩ Duebner ‖ πεσεῖν post Ἐν. omisi ut paraphrasis Eust., παισὶν coni. Heyne idque ad ἀμφ. adscriptum censet, πατὴρ νουσήλια παισίν coni. Welcker ‖ 7. κυδίον' Eust.: κύδιον ‖ 10. suppl. Duebner: πάντ' εἰνὶ coni. Welcker ‖ στήθεσσιν Eust.: στήθεσιν ‖ 11. καὶ Eust.: καί κ' ‖ ἀναλθέ' ἰάσασθαι Eust. ‖ 13. ὄμματ' ἀστρ. Eust. ‖ 17. νοσῶν Eust.: τῶν νόσων ‖ 18. supplevi ex B ‖ 21. τοιόνδε Bekker: τοσόνδε ‖ 30. βῆ δὲ θέειν B

520. * τῇ γὰρ φίλον] τοῖς ἵπποις διὰ τὰς φάτνας.

521. * Κεβριόνης—ἐνόησεν] φησὶ γὰρ "Κεβριόνην δ' ἐκέλευσεν—ἵππων ἡνι ἐλεῖν" (Il. 8. 318)· μέχρι δὲ τούτου ἠμέλησε τῶν χωρίων, ὥσ⟨τε⟩ σωφρονισθῆναι ὑπὸ τοῦ ἡνιόχου.

524. ἐσχατιῇ πολέμοιο] εἶπε γὰρ "μάχης ἐπ' ἀριστερὰ μάρναντο πάσης" (498)· ὅπου, φησίν, οὐδὲν ὠφελεῖ ἡ ἡμετέρα παρουσία.

527. εὐρὺ γὰρ—ἔχει σάκος] ἔνθεν καὶ Εὐρυσάκης ὁ τοῦ Αἴαντος υἱός.

B~ 529. ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντε⟨ς⟩] μέσην ἀμφοτέρων ἔχοντες.

B= 531. ὣς ἄρα φωνήσας ἵμασεν] εὖ τὸ μὴ ἀναμεῖναι τοὺς τοῦ Ἕκτορος λόγους· τάχα γὰρ οὐδὲ ἤθελεν ἥκειν ἐκεῖσε διὰ τὸν Αἴαντα.

534. στείβοντες νέκυας] καὶ στιβεὺς ὁ βίᾳ πατῶν. §. φαντασίαν

B= δὲ ποιεῖ ἡ ἔπειξις, ὥστε διὰ τῶν πτωμάτων ἔρχεσθαι. εἴωθε δὲ ἀπὸ τῶν συμβεβηκότων δηλοῦν τὰ πράγματα· νῦν δὲ ἀπὸ τοῦ ἀναφερομένου αἵματος, ὥστε πιμπλάναι τὸν ἄξονα καὶ τὰς ἄντυγας, τὸ πλῆθος ἐνέφηνε τῶν νεκρῶν. βαθὺ δὲ τραῦμα δηλῶσαι θέλων φησὶ "πᾶν δ' ὑπ⟨οθ⟩ερμάνθη ξίφος αἵματι" (Il. 16. 333).

AB+ 536. ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον] ἃς ἔβαλλον ἄντυγας αἱ ἀπὸ τῶν ὁπλῶν καὶ ἐπισ⟨σ⟩ώτρων ῥαθάμιγγες. §. πρὸς τὸ θηλυκὸν δὲ ἀπήντησεν.

A+ 537. *ἀπ' ἐπισσώτρων] οὐ κατὰ συναλ⟨ο⟩ιφήν (scil. "ἀπὸ πισσώτρων").

A~ ὅμιλον ἀνδρόμεον] τὴν τῶν ἀνδρῶν μάχην.

AB– 539. μίννυθα δ' ἐχάζετο δουρός] ἧσσον βολῆς δόρατος—φησὶ γοῦν "ἄορί τε" (541)—τινὲς δέ, οὐδὲ ὅλως ἐχάζετο.

B= 542. Αἴαντος δ' ἀλέεινε μάχην] ἐντεῦθεν τὸ 'γνῶθι σαυτόν·' δῆλον οὖν ὡς τοὺς ἀρίστους περιιστάμενος ἐχώρει, καίτοι Διὸς περὶ μόνου Ἀγαμέμνονος εἰπόντος (187).

544. Ζεὺς δὲ—Αἴαντι—ἐν φόβον ὦρσε] πρὸς τὸ "ἀνδρὶ δέ κ' οὐκ εἴξειε" (Il. 13. 321)· ἄτοπον γὰρ τούτου παρόντος τροπὴν γενέσθαι.

546. τρέσ⟨σ⟩ε δὲ παπτήνας] τρέσας ἐπάπτηνε θηρὶ ἐοικώς. §. ἐξῆς "ὡς δ' αἴθωνα λέοντα" ὡς θῆρα ὑπὸ πολλῶν περιεχόμενον.

A= παπτήνας ἐφ' ὁμίλου] Ἀριστοφάνης "δι' ὁμίλου." §. ἀντίπτωσις δέ ἐστιν, ὡς τὸ "ἀπ' Ὠκεανοῖο ῥοάων" (Il. 19. 1).

6. ἀφελεῖ ‖ 8. μέσον B ‖ 17. supplevi ex B ‖ 27. γὰρ pro οὖν B ‖ ὑπεχώρει B

547. ἐντροπαλιζόμενος] εἰς ἑκάτερον ἐπιστρεφόμενος, καὶ τὸ B=
φεύγειν καὶ τὸ ὁρμᾶν· διὸ καὶ φυλάσσει τὰ ὀπίσω μὲν διὰ τοῦ σάκους, μή πως πληγῇ τὸ μετάφρενον, τὰ δὲ ἔμπροσθεν ὁ θώραξ σκέπει. ἔστι δὲ ἡ φυγὴ Αἴαντος ἄλλων ἀριστεία. ἄτρωτον δὲ αὐτὸν φυλάσσει τῇ ναυμαχίᾳ (Il. 15. 415).

* ἐντροπαλιζόμενος] ἐπὶ ψυχῆς.

ὀλίγον γόνυ γουνὸς ἀμείβων] ὑποποδίζων· καὶ φεύγει ὡς λέων, οὐχ ὡς ἔλαφος.

548. * αἴθωνα] ὅτι ὁ λέων οὐ μύει κοιμώμενος.

ἀπὸ μεσαύλοιο] μέσαυλον Ἀττικοὶ τὴν μέσην θύραν.

549. ἐσσεύοντο κύνες τε] πρὸς τὴν τόλμαν, ὅτι μηδὲ διωκόμενος B–
φεύγει. §. "αἴθωνα" δέ, ⟨ὅτι⟩ μόνος γεννᾶται ὁρῶν. B+

550. βοῶν ἐκ πῖαρ] τὴν κρατίστην τῶν βοῶν· ἐπὶ ταύτην γὰρ B=
φέρεται ὁ αἴθων.

551. πάν⟨ν⟩υχοι ἐγρήσ⟨σ⟩οντες] ηὔξησε τὴν τοῦ λέοντος ἀλκὴν τῇ τοσαύτῃ τῶν βουκόλων φυλακῇ.

* κρειῶν] ἐκ τοῦ κρεῶν. A+

554. καιόμεναί τε δεταί] παρὰ τὸ δεδέσθαι· ἐπειδὴ δὲ πολὺ ἔχει τὸ θερμόν, δέδιε τὸ πῦρ· ὅθεν οὐδὲ μύει κοιμώμενος, οὐδ' ὡς ὁ Δημόκριτός φησι τικτόμενος.

555. ἠῶθεν δ' ἀπονόσφιν ⟨ἔβη τετιηότι θυμῷ⟩] ἐσπέρας ἐπιθέμενος· B–
φησὶ γοῦν "μολὼν ἐν νυκτὸς ἀμολγῷ" (173).

ἠῶθεν δ' ἀπονόσφιν ἔβη] πρὸς τὸ εὐσταθὲς τῆς ὑποχωρήσεως, ὥστε οὐ φεύγει, εἴργεται δέ τι δρᾶσαι.

557. ἦιε, πόλλ' ἀέκων] ῥῆμα ἐξελέξατο ἐμφαῖνον ἀναχώρησιν B=
θορύβου καὶ ταραχῆς ἀπηλλαγμένην.

πόλλ' ἀέκων] ἐνεθυμεῖτο τὸ ⟨τῆς ὑποχωρήσεως⟩ ἄσχημον καὶ τὸν B=
κίνδυνον τῶν νεῶν.

558. ὡς δ' ὅτ' ὄνος] ἡ παραβολὴ πρὸς τὴν καταφρόνησιν τῶν B=
Τρώων, ὅτι οὐκ αὐτοὺς φεύγει, ἀλλὰ Δία. πρὸς δὲ τὴν στάσιν τὴν ἀδηφαγίαν τοῦ ζῴου ἔλαβεν, διὰ δὲ τοῦ κείρειν τὴν ἀφθονίαν τῆς τροφῆς. εἶ δὲ καὶ οὐ φορτηγῷ τῷ ὄνῳ παρέβαλεν, ἀλλὰ βοσκομένῳ· βραδεῖα γὰρ ἡ κίνησις τοῦ νεμομένου. καὶ ἐπιτείνων τὸν ὄνον νωθῆ λέγει καὶ

1. ἑκάτερα μεταστρεφόμενος B ‖ 2. φυλάσσεται B ‖ 3. δὲ B: γὰρ ‖ 5. φ. ἐν τ. B ‖ 12. supplevi ex B ‖ μόνος B: μένος ‖ 17. κρείων textus ‖ τοῦ κρε ‖ 27. supplevi ex B ‖ 30. δὲ B: τε ‖ 31. ἀδδηφαγίαν B ‖ 32. φορταγῷ

πληγῶν ἐθάδα πολλῶν, καὶ περὶ καταξάντων ⟨ἐπ'⟩ αὐτῷ πρότερον ἀνδρῶν ῥόπαλα· καὶ νῦν οὐκ ἄνδρας τύπτειν αὐτόν φησιν, ἀλλὰ παῖδας.

A− 559. * νωθής] κατὰ στέρησιν τοῦ θεῖν, ὡς ⟨νωθρὸς τοῦ⟩ θορεῖν.

A+B= πολλὰ περὶ ῥόπαλ' ἀμφίς] οὐχ ὑπὸ τῶν παίδων, ἀλλὰ πάντοτε ὑπὸ ἄλλων· οὕτω γὰρ ἐθὰς ὢν οὐκ ἀλεγίζει τῶν νηπίων.

* ἀμφίς] περὶ καὶ δίχα.

A− 562. * σπουδῇ] μόλις· ὅθεν καὶ σπουδαῖος ὁ κάμνων ἕως οὗ ⟨ἂν⟩ κατορθώσῃ.

A− 564. Τρῶες ὑπέρθυμοι τηλέκλητοί τε] Ἀρίσταρχος "πολυηγερέες," ἐκ πολλῶν ἀγερθέντες.

B= 566. Αἴας δ' [ἄλλο]τε μέν] καίπερ καταστασιαζόμενος ὑπὸ τοῦ θείου οὐκ ἐξίσταται τῆς φύσεως.

A−B= 568. * ὁτὲ δέ] ἀντὶ τοῦ ἄλλοτε δέ.

569. πάντας δὲ προέεργε] ὡς "ἕρκος Ἀχαιῶν" (Π. 3. 229) εἴργει τοὺς πολεμίους. ὥσπερ δὲ ἐπιλαθόμενος, ὅτι φεύγειν αὐτὸν βούλεται Ζεύς, ἀριστεύει πάλιν· ὁρμῶν γὰρ ἵστατο καὶ ἀπετείχιζε Τρῶας, εὐκαιρίαν ἀκίνδυνον τοῦ φεύγειν ἐμποιῶν τοῖς φίλοις. ἔστιν οὖν ⟨"θῦνε—ἱστάμενος"⟩ (570) θύνων ἵστατο.

* πάντας] τοὺς Τρῶας.

B= 574. χροὸς ἆσαι] ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ πληρωθῆναι.

B= 575. τὸν δ' ὡς οὖν ἐνόησε—Εὐρύπυλος] παθητικῶς Αἴαντα ὑπὸ Εὐρυπύλου εἰσάγει βοηθούμενον· νῦν γὰρ οὐκ ἔχει κρεῖσσονα, τῶν ἄλλων τετρωμένων. εὖ δὲ τὸ μὴ τὸν Αἴαντα βοηθὸν ἐπικαλεῖσθαι, τὸν δὲ Εὐρύπυλον αὐτομάτως ἥκειν.

A−B− 579. ἤπαρ ὑπὸ πραπίδων] ὑποκάτω γάρ εἰσι τῶν φρενῶν, "ὅθι φρένες ἦπαρ ἔχουσιν" (Od. 9. 301). ἔστι δέ τι σπλάγχνον πραπίδες· οὐ γὰρ ⟨ταύτας φησὶν⟩ αἷς νοοῦμεν.

B= 582. αὐτίκα τόξον εἵλκεν] σκοπός ἐστιν αὐτῷ τὸν σκυλεύοντα φονεύειν· πάλιν δὲ χαρακτηρίζει Ἀλεξάνδρου δειλίαν, ὃς οὐδὲ ἐν τροπῇ τῶν Ἀχαιῶν προελθεῖν τεθά⟨ρ⟩ρηκεν, ἀλλ' ἐπιτηρήσας οὐδὲ μαχόμενον τὸν Εὐρύπυλον τοξεύει.

A+B− 584. δόναξ] ἐκ ξύλων γὰρ ἦσαν καὶ καλάμων τὰ βέλη· ὅθεν καὶ "κῆλα θεοῖο" (Π. 1. 383) φησίν, καίτοι ἐξ ἄλλης ἦν ὕλης ἐκεῖνα.

B= 586. ἤυσεν δέ] εἰκότως βοᾷ· μακρὰν γάρ εἰσιν οἱ Ἕλληνες.

3. suppl. Bekker, cf. Et. M. ‖ 5. ἀλ. πληγῶν B, ἀλ. τῶν νησίων: corr. W ‖ 9. ὑπέρθημοι ‖ 12. θεοῦ B ‖ 18. iteratur ad 570 * θύνων ἵστατο ‖ 25. εἰσὶ B: ἦσαν ‖ 27. supplevi ex B ‖ 28. τοῦ σκυλεύοντας ‖ 28, 29. τυὸς ἀναιρουμένους σκυλεύειν B ‖ 30. προσελθεῖν ut B ‖ 31. μὴ μαχ. B

588. καὶ ἀμύνετε—Αἴαντι] φιλικῶς ἅμα καὶ διὰ τοῦ ὑπερ- B=
ἐχοντος θορυβῶν αὐτούς· διὸ καὶ ἐπεξεργάζεται.

589. οὐδέ ἑ φημὶ φεύξεσθ⟨αι⟩] τῆς ἀρετῆς Αἴαντος ἔνδειξις, ὅτι B=
οὐ φεύξεται ἀλλὰ μέχρι θανάτου μενεῖ μαχόμενος. ἢ οὐχ οἷός τε
ἔσται τὸν πόλεμον ἐκφυγεῖν, καὶ γενναῖος ὤν.

590. *οὐκ οἶμαι αὐτόν, ἕως ὅτου ⟨ἂν⟩ ἀποκάμῃ, παραχωρῆσαι τῷ
πολεμίῳ.

591. * "ἵστασθε" ἄντην τῶν ἐχθρῶν.

592. οἳ δὲ παρ' αὐτὸν—ἔστησαν] οὕτω δεῖ ἀρχαίως, οὐ 'παρ'
αὐτῷ.'

593. σάκε' ὤμοισι κλίναντες] δύναται καὶ τοὺς ὤμους τοῖς AB–
σάκεσι σκεπάσαντες, δύναται δὲ καὶ τὸ σχῆμα τῆς ἀσπίδος δηλοῦν,
ὅτι τὸ μὲν ἄνω προσέκλινον τοῖς ὤμοις, τὸ δὲ κάτω προεῖχον.

595. στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετ⟨ο⟩ ἔθνος ἑταίρων] ἐν τῷ B=
πλήθει τῶν ἑταίρων μετεβάλετο καὶ πρὸς αὐτοὺς ἐστράφη.

596. μάρναντο δέμας πυρός] τὴν σφοδρότητα τῆς μάχης παρί- A=B–
στησι, πυρὶ τὴν γενομένην ἐν αὐτῇ φθορὰν εἰκάσας· πῦρ γὰρ καὶ
ῥᾷστα καὶ τάχιστα φθείρει.

πυρὸς αἰθομένοιο] λείπει τὸ ὡς, ἀντὶ τοῦ 'ὡς πῦρ αἰθόμενον.' AB=

597. Νηλήιαι ἵπποι] ἐκ τῆς Νηλέως ἀγέλης, ὡς καὶ ἐπὶ τοῦ B–
"οἷοι Τρώιοι" (Il. 5. 222) ἀπὸ τῆς Τρωὸς ἀγέλης. Τρωὶ γὰρ ὁ
Ζεὺς τοὺς ἵππους ἐδωρήσατο· τοῦτο δὲ ἔνιοι μὴ συνιέντες γράφουσι
"Νηλήιον" ἐπὶ τοῦ Νέστορος· ἄτοπον γάρ φασι τὰς Νηλέως ἵππους
ζῆν μέχρι νῦν.

598. ἱδρῶσαι] ἐν δὲ τῷ ἀγῶνι (Il. 23. 310) ἀρσενικῶς. §. ἰδίως δὲ
"φέρον" (597) καὶ "ἦγον" (598). ἢ διὰ τὸ τῆς πληγῆς βαρύ. B+

ἦγον δὲ Μαχάονα] τοὺς πλείους τῶν ἀριστέων τρώσας πλὴν B=
Αἴαντος τοῦ Τελαμωνίου ἐπὶ τὰς ναῦς ἀπέστειλεν, Ἀγαμέμνονα
Διομήδην Ὀδυσσέα Μαχάονα Εὐρύπυλον καὶ τὸν Τεῦκρον ἐξῆς, ἵνα
εὔλογον τοῖς Ἀχαιοῖς τῆς ἥττης παράσχῃ αἰτίαν. εἶτα τούτους ἐπὶ
τὰς ναῦς ἀπαγαγὼν εἰς ἔπαινον Αἴαντος τὰ λοιπὰ καταναλίσκει ἕως
τῆς Πατρόκλου ἐξόδου· καὶ τὸν Πάτροκλον ἀνελὼν ἐπὶ τὸν Αἴαντα
ἐπανέρχεται μέχρι τῆς ἐξόδου Ἀχιλλέως· καὶ τοῦτον ἐπὶ τὴν μάχην
προαγαγὼν εἰς τὰ ἀνδραγαθήματα αὐτοῦ τὴν Ἰλιάδα τελειοῖ.

1. ἀμύνεται ‖ 3. ἔνδειξις B: ἔδειξεν ‖ 5. ἐστὶ B ‖ καίπερ B ‖ 13. προέσχον ‖ 15. μετεστράφη B ‖ 19. schol. praecedenti adhaeret ‖ 20. Νηλήιοι textus pr., -αι sec. ‖ 23. φασὶ Bekker: φησὶ ‖ 24. ζῆνων ‖ post νῦν add. sec. εἶναι ‖ 31. post Αἴαντος expunxit quod iterum scripserat ἀπαγαγὼν pr.

B– 599. τὸν δὲ ἰδὼν ἐνόησε] τὸν Νέστορα ἰδὼν ἐγνώρισεν, οὐ μὴν τὸν Μαχάονα. ἅμα δὲ καὶ τὸ ὁμοειδὲς ἐκτρέπει, ἀνάπαυσιν τῆς μάχης ποριζόμενος διὰ τῆς τοιαύτης διηγήσεως, καὶ πρὸς τὸ μὴ πάλιν πέμψαι λιτάς, ἢ αὐτὸν ἐξαγαγεῖν Ἀχιλλέα.

B– 600. εἰστήκει γὰρ—εἰσορόων πόνον] τὸ φιλοπόλεμον Ἀχιλλεὺς ἐνδείκνυται τῷ θεωρεῖν τὴν μάχην· ἅμα δὲ καὶ ἀκονόμησε ταύτην ὁ ποιητὴς πρὸς τὴν ἔξοδον Ἀχιλλέως.

A+ 601. * ἰῶκα] ὡς "κροκα" (Hesiod. Opp. 538).

B= 602. * αἶψα δ' ἑταῖρον] παραπεσοῦσαν τὴν εὐκαιρίαν ἁρπάσαι θέλει καὶ παρακληθεὶς ἐξελθεῖν.

604. * ἔκμολεν ἶσος Ἄρηι] ἐπεὶ μέλλει ἀριστεύειν.

B= κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή] ἀναπτεροῖ τὸν ἀκροατὴν ἡ ἀναφώνησις ἐπειγόμενον μαθεῖν τί τὸ κακὸν ἦν. προσοχὴν δὲ ἐργάζεται διὰ βραχείας ἐνδείξεως· εἰ γὰρ πλέον ἐπεξειργάσατο, διέφθειρεν ἂν τὸν ἐξῆς λόγον καὶ ἀπήμβλυνε τὴν ποίησιν.

606. * διὰ βραχέων ἐρωτᾷ καὶ μετὰ τὴν πεῦσιν εὐθέως ὁρμᾷ.

608. * διε Μενοιτιάδη, τῷ ⟨ἑ⟩μῷ κεχαρισμένε θυμῷ] ὡς ἀπόρρητον μέλλων λέγειν.

B– 609. νῦν οἷο περὶ γούνατ' ἐμά] ἔδειξεν ὃ ἐκ πολλοῦ ἤθελεν. νῦν νομίζω, φησί, πάντας τοὺς Ἀχαιοὺς ἱκετεύσειν με. [τί νῦν μοι τὴν ἀρχὴν ἐγχειρεῖς;] ἤδη δὲ προμαλαχθεὶς ἦν ἐκ τῶν Φοίνικος λόγων. βουλόμενος οὖν πολεμῆσαι Πάτροκλον πέμπει πρὸς τὸν βουλόμενον πεῖσαι.

610. χρειὼ γὰρ ἱκάνεται] τῇ ἀπουσίᾳ ἑαυτοῦ τὸ πᾶν περιτίθησιν.

611. ἀλλ' ἴθι νῦν, Πάτροκλε—Νέστορ' ἔρειο] ἄτοπον γάρ ἐστιν εἰς τὴν σκηνὴν τοῦ τρωθέντος ἀποστέλλειν αὐτόν. §. τὸ "Πάτροκλε" δὲ τὴν φιλοστοργίαν ἐμφαίνει· "πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρ⟨α⟩ ἕκαστον" (Il. 10. 68).

A+ 612. ὄντινα τοῦτον ἄγει βεβλημένον] ἀντὶ τοῦ γένους τὸ εἶδος ἔταξεν, ὡς τὸ "ἀλλ' οὐ γάρ σε θέλω βαλέειν τοιοῦτον ἐόντα" (Il. 7. 242).

614. τῷ Ἀσκληπιάδῃ] ἢ ὡς πλησιοχώρου φροντίζει, ἢ ἐπεὶ Ἀσκληπιὸς καὶ Ἀχιλλεὺς συμφοιτηταὶ παρὰ Χείρωνι.

B– 616. Πάτροκλος δὲ φίλῳ ἐπεπείθ[ετο]] σιωπηλὸς ἀεὶ καὶ ἐνηὴς Πάτροκλος. οὐ θαῦμα οὖν, εἴγε τὸν τοιοῦτον ἐκίνησε Νέστωρ καὶ μετὰ δακρύων ἐντυγχάνειν ⟨Ἀχιλλεῖ⟩· διὸ πείθει.

4. ἐξάγειν ‖ 5. Ἀχιλλέως ‖ 8. κρόκα A : κρῶκα ‖ 13. ἦν τὴν πρ. B ‖ 14. τῆς δείξεως B ‖ 20. ἱκετεύειν B ‖ 20, 21. inclusa delet W : om. B ‖ 23. ἱκάνετον ut textus ‖ 26. ὀνόμαζον ‖ 32. sustulit bibliopega ‖ καὶ συνετὸς B ‖ 33. οὐ om. B ‖ 34. ἐντυγχάνει B ‖ supplevi ex B

617. βῆ δὲ θέειν] συνορῶν τὸ ἐνδόσιμον Ἀχιλλέως σπεύδει καὶ B=
δρόμῳ χρῆται, συγχαίρων τοῖς Ἕλλησιν.

618. οἳ δ' ὅτε δὴ κλισίην—ἀφίκοντο] οἱ περὶ Νέστορα εἰς τὴν Νέστο- B–
ρος σκηνήν· "τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην" (Il. 8. 115).

619. αὐτὰρ μέν ῥ' ἀπέβησαν] καιρὸν δίδωσι τοῦ βαδίζειν Πατρό- B=
κλῳ· τὸ διάκενον οὖν τῆς ὁδοῦ πληροῖ.

620. ἵππους δ' Εὐρυμέδων] πεζὸς εἵπετο· σχολαίτερον γὰρ B–
⟨Νέστωρ⟩ ἤλαυνε διὰ Μαχάονα. οὐ γὰρ τρεῖς ἐν τῷ ἅρματι. εἰ δὲ
Ἀχιλλεύς φησιν "ἵπποι γάρ με παρήιξαν" (615), προφασίζεται τὴν
ἔπειξιν τὴν Πατρόκλου.

621. ἴδρῳ ἀπεψύχοντο] οἰκείως τὸ "ἀπεψύχοντο," οὐχ ὡς ἡμεῖς· A+
τὸ δὲ ἐν ἠλίῳ τέρσαι φησίν (Od. 6. 98).

622. *στὰν δέ] "⟨στάν⟩τε" δυϊκῶς· διὰ τοῦ "τε" οὖν ἡ γραφή. A=

624. τεῦχε κυκειῶ] οὐ δεόντως, φασίν, ὁ Μαχάων, καὶ ταῦτα B–
ἰατρὸς ὤν, τὸν κυκεῶ προσφέρεται, συνεστῶτα ἐκ μέλανος οἴνου—
τοιοῦτος γὰρ ὁ Πράμνιος—τυροῦ ἐπικεκνησμένου καὶ ἀλφίτων·
φλεγματώδη δὲ ταῦτα καὶ πολέμια τοῖς τραυματίαις· πρῶτα μέν,
ὡς τὴν δίαιταν ἠγνόουν καὶ ἀνδρειότερα εἶχον τὰ σώματα, ὥσ⟨τε⟩ καὶ
ἀγωνίζεσθαι τοὺς τραυματίας· εἶτα ὅτι καὶ ἀρίστου ἰατροῦ ἐστι τὸ
ἰᾶσθαι μὴ μετακινοῦντα τὴν συνήθη δίαιταν, ἄλλως τε ἐξ ἐπιπολῆς
ἡ πληγή—τινὲς γοῦν ἐπιχειροῦσιν ὅλως μηδὲ πεπλῆχθαι τὸν Μα-
χάονα—εἰ δὲ καὶ κατὰ βάθους γέγονεν, οὐδ' οὕτως ἀδόκιμον τὸ
πόμα· ῥύσις γὰρ αἵματος λειποθυμίαν ἐργάζεται· ὁ οὖν μέλας
οἶνος παχύνων τοὺς χυμοὺς ⟨καὶ⟩ τὴν ἐπίρρυσιν τοῦ αἵματος τὴν
ἐπὶ τὸ τραῦμα παχύνει καὶ ⟨συ⟩στέλλει· ὅθεν καὶ τοῖς κοιλιακοῖς
αὐτὸν ἔνιοι προσάγουσι διὰ τὸ εἴργειν τὸ ὑγρόν. τὸ δὲ γάλα πήγνυσιν
ἀπὸ πρώτης γενέσεως τὸ σῶμα· δῆλον δὲ ὡς τυρὸς βρεχόμενος
γαλακτοῦται· καὶ ἄλφιτα παχύνει τὰ ὑγρὰ ὡς ἐκ πεφρυγμένης
κριθῆς· τὸ δὲ κρόμυόν ἐστι διουρητικόν, καὶ μάχεται τῇ φλεγμονῇ, ὡς
καὶ τοῖς κυνοδήκτοις αὐθωρὸν προσάγεσθαι. τῇ δὲ γ' φλεγμαίνει τὰ ἕλκη.
καὶ Πέτρων δὲ Αἰγινήτης ἰατρός, ἐπεὶ δι' ἔνδειαν ἐπίπτωσις νόσων
γίνοιτο, καὶ οἶνον καὶ κρέα προσέφερεν ἀναπληρῶν τὸ λεῖπον τῆς
φύσεως.

8. supplevi ex B ‖ 12. τέρσεσθαι A ‖ 16. ἐπικεκνησμένου B: ἐπικεκνισμένου ‖ 18. ἀ. ὅμως εἶχον B ‖ 19. ὅτι ἀρ. B ‖ 20. ἐπιπολῆς B: ἐπιπολλῆς ‖ 23. ὁ οὖν B: οὗ ὕλη ‖ 24, 25. supplevi ex B ‖ 25. κοιλιακοῖς B: χολιακοῖς ‖ 28. ἀλλὰ καὶ τὸ ἄλφιτον B ‖ ἕως ἐκπεφρυγμένης ‖ 29. διουρητικὸν B: διουριτικὸν ‖ 32. γίνοιτο scripsi; γρ.

οὐ πρὸς θεραπείαν, ἀλλὰ πρὸς ἀνάψυξιν ἐδίδοτο τὸ πόμα· καὶ Νέστωρ γοῦν λαμβάνει· τοῖς κακοπαθοῦσι γὰρ ἐπιτήδειος ὁ κυκεών, τροφὴν ἅμα καὶ ποτὸν ἔχων.

625. * τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτ' ἔπερσεν Ἀχιλλεύς] ἐν τοῖς δέουσι τόποις ἀποδίδωσι τὰ λείποντα τῆς Ἰλιάδος.

627. ἕξελον, οὕνεκα βουλῇ ἀριστεύεσκεν ἁπάντων] καὶ ταῦτα παιδευτικά, ὅτι ἀριστεῖον λαμβάνει Νέστωρ διὰ τὴν σύνεσιν· καὶ ἐν τῷ ἐπιταφίῳ ἀγῶνι Ἰσοκράτης δὲ ἔλεγε "πῶς Ἕλληνες γυμνικὰ τιμῶντες σοφίας γέρας οὐ πορίζονται" (cf. 4. 1);

A+ 628. * ἐγκλιτέον τὴν "σφωί·" τρίτου γάρ ἐστι προσώπου.

B= * ἐπιπροΐηλε τράπεζαν] "ἐπίηλε" ἐξέτεινε—πτυκτα⟨ὶ⟩ γὰρ ἦσαν —"πρό" δὲ ἔμπροσθεν.

B− 629. κυανόπεζαν] πέζαν εἴωθε τὸ ἄκρον καλεῖν, οὐ τὸν πόδα. "πέζῃ ἐπὶ πρώτῃ" (Π. 24. 272) καὶ "ἀργυρόπεζα·" οὐκ ἔστιν οὖν κυανόποδα, ἀλλὰ τὴν ἀπὸ κυανοῦ ἔχουσαν τὸν κύκλον τὸν ἔξωθεν.

630. * κάνεον] ἴδιος ὁ σχηματισμός· οὐ γὰρ ἀπὸ τοῦ κανοῦν.

AB+ ⟨κρόμυον⟩ ποτῷ ὄψον] θερμόν, ὥστε ποτοῦ δεῖσθαι· "ὄψον" δὲ πᾶν τὸ σὺν σιτίοις ἐσθιόμενον· ὀψὲ γὰρ ταύτην προσήγοντο τὴν τροφήν, ἔωθεν δὲ ἀκράτισμά τι.

A+ 631. * χλωρόν] τρόφιμον ἢ νέον.

ἀλφίτου ἱεροῦ] παρὰ γὰρ θεοῦ εἰλήφαμεν αὐτό· καὶ "ἱερὰς κατ' ἀλωάς" (Π. 5. 499).

B= 633. οὔατα δ' αὐτοῦ τέσσαρ' ἔσαν] συνηρτημένα μὲν ἀλλήλοις τὰ ὦτα, διάστασιν δὲ ἔχοντα, ⟨ὥστε⟩ πρὸς τὸ βαθύτερον τοῦ ποτηρίου τὰς λαβὰς εἶναι. τὸ σχῆμα οὖν τῶν ὤτων γίνεται διπλοῦν ω.

B− 634. δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον] καὶ ⟨τὴν⟩ τορευτικὴν οἶδεν. ὀκτὼ δὲ ἦσαν αἱ πελειάδες, δύο καθ' ἕκαστον οὖς· οἱ δὲ δ' αὐτάς φασιν· λέγοι δ' ἂν μικράς τινας, οἵας εἰκὸς ἐπὶ ἐκπώματος τετορεῦσθαι.

A+B− 635. δύω δ' ὑποπυθμένες ἦσαν] διπλοῦς ἦν ὁ πυθμήν, ἧσσων ὑπὸ μείζονος περιεχόμενος. ἐκτύπωμα δὲ τοῦ πόλου αὐτὸν εἶναι λέγουσιν.

A+B= §. Ἀρίσταρχος δὲ τὴν "ὑπό" πρὸς τὸ "ἦσαν" συντάσσει.

B− δύω δ' ὑποπυθμένες] τινὲς ὑφ' ἕν, ἵν' ᾖ τὸ "ὑποπυθμένες" ἐπίθετον τῶν πελειάδων, ὡς "ἐριαύχενες ἵπποι" (159).

11. supplevi ex B ‖ 19. ἀκρατίσμασι ut B: corr. W ‖ 21. αὐτά ‖ 24. supplevi ex B ‖ βαθὺ B, βαρυτέρας ‖ 25. καὶ τὰς B ‖ 26. supplevi ex B ‖ 27. ἕ. ἰοῦσαι οἱ: corr. Dindorf ‖ 32. δύω textus: δύο

* νεμέθοντο] νέμεσθαι τὰς περιστερὰς εἶπεν, ἐμφαντικῇ χρησάμενος τῇ μεταφορᾷ.

636. ἄλλος μέν]ψιλωτέον τὸ "ἄλλος·" οὐ γάρ, ὥς τινες, κατὰ κρᾶσίν A + B – ἐστι τοῦ ⟨ὁ⟩ ἄλλος, ἵν' ᾖ ἐπὶ τοῦ Μαχάονος· ἐχρῆν γὰρ εἶναι ὥλ⟨λ⟩ος, ὡς τὸ ἄριστος "ὥριστος" (288) ⟨καὶ τὰ⟩ ἄλλα ⟨ἃ⟩ διὰ τῶν ἄρθρων ὁ ποιητής· τινὲς δὲ "ἀλλ' ὃς μέν," δασύνοντες τὴν "ὅς" καὶ πάλιν ἐπὶ τοῦ Μαχάονος ἐκδεχόμενοι· ἀλλ' οὐδέποτε τῷ ὅς ἀντὶ τοῦ ὅ χρῆται, τὸ δὲ ἐναντίον, οὐ⟨δὲ⟩ δεῖται αὐτὸν τραυματίᾳ παρεικάζειν· ἄμεινον οὖν ἀορίστως δέχεσθαι τὸ "ἄλλος" πρὸς ἔπαινον τοῦ γέροντος· θέλει γὰρ εἰπεῖν, ὅτι παντὸς νέου σωφρονέστερον ἐβάσταζε τὸ ποτ⟨ήρι⟩ον ὁ Νέστωρ· ἔνιοι δὲ ἀπὸ κοινοῦ τὸ "γέρων" (637), ἵν' ᾖ, ἄλλος μὲν γέρων μογέων ἐκίνει, ὁ δὲ γέρων Νέστωρ ἀμογητί· καὶ ἀλλαχοῦ περὶ αὐτοῦ φησιν "ἐπεὶ οὐ μὲν ἐπέτραπε γήραϊ λυγρῷ" (Il. 10. 79)· ἢ διὰ τὸ κατὰ διάμετρον αἴρεσθαι τὸ δέπας· οἱ γὰρ περὶ Ἀρίσταρχον ω̄ εἶναι τὸ ποτήριον· διὸ καὶ δ' ⟨τὰ⟩ ὦτα· τὰ γὰρ ἁπλᾶ ἄμφωτα καλεῖ (Od. 22. 10). τινὲς δέ· αἱ "ὑποπυθμένες" (635) ὑποβάσεις αὐτῷ δύο ἦσαν πελειάδες· διὸ καὶ "μογέων." διπλοῦ γὰρ ὄντος κατὰ διάμετρον ἔδει αἴρειν· καὶ ἴσως πρὸς τὸ ἀμερίμνως καὶ ἀθροῦν πίνειν.

637. * ὁ γέρων ἀμογητὶ ἄειρεν] τὰ γὰρ ἄχθη οὐχ οἱ ἰσχυροί, ἀλλ' B + οἱ ἔμπειροι φέρουσιν.

639. οἴνῳ Πραμνείῳ] οἳ μὲν μέλανι, οἳ δὲ [πρ]αΰνοντι τὸ μένος, οἳ A B + δὲ μονίμῳ· οἳ δὲ ἐν Ἰκάρῳ πέτραν Πράμνην, ἐν ᾗ πρῶτον ἔφυ ἄμπελος.

640. * πάλυνεν] ἐπέπασσεν.

642. * πολυκαγκέα] πολλὴν ξηρότητα ἔχουσαν· ὅθεν καὶ κάγκανα B = ξύλα (Il. 21. 364) τὰ ἄγαν ξηρά.

643. μύθοισιν τέρποντο] πρὸς παραμυθίαν τοῦ τραυματίου.

645. τὸν δὲ ἰδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ὦρτο] διὰ τὸν καιρόν— B – διδάσκει οὖν καὶ γέροντας εἴκειν νέοις πρὸς ὄφελος—καὶ ὅτι ἤλπιζεν ἐξ Ἀχιλλέως αὐτὸν ἥκοντα χρηστόν τι ἐρεῖν.

647. ἑτέρωθεν ἀναίνετο] προφασίζεται σπουδήν, ἵνα καὶ μένων B = χαρίζηται καὶ μὴ μένων ἀνέγκλητος ᾖ. §. ἡ δύναμις τούτου τοῦ λόγου ἐποίησεν αὐτὸν μένειν.

6. ἀλλ' ὃς A: ἀλ̣ ὃ ‖ 7. τῷ ὅς et ὅ scripsi cf. Athen. XI 493ª: τὸ ω̄ς et ō ‖ 8. οὐ δεῖ δὲ A ‖ 10. supplevi ex Eust. p. 870, 46 ‖ σὺν τῷ ποτῷ ante ὁ add. Eust. ‖ 14. αἴρεσθαι Eust.: αἱρεῖσθαι ‖ τόδε πᾶς ‖ ω̄ μέγα Eust. ‖ 15. suppl. W ‖ 18. ἄνειν ‖ ἀπεριμερίμνως καὶ ἀθρόως Eust. ‖ 21. τὸ μένος etiam Et. M.: τὰς φρένας A D ‖ 22. Καρία A, Ἰκαρίᾳ D ‖ 24. κάγκανα B: κάνκανα ‖ 31. χαρίζοιτο ‖ εἴη

648. οὐχ ἕδος ἐστίν] ἀντὶ ἕδους, ὡς "τρίπος" (Il. 22. 164).

649. νεμεσητός] Ἀρίσταρχος μεμψίμοιρος· οἱ δὲ ἑκάστῳ τὸ δέον νέμων· ὅθεν καὶ νέμεσις. ἵνα οὖν μὴ δόξωσιν ἀμελεῖν αὐτοῦ, ταῦτά φησιν.

A= 652. πάλιν ἄγγελος] τινὲς ὑφ' ἓν "παλινάγγελος," οὐχ ὑγιῶς.

B= 654. τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο] "ἀναίτιον" πρὸς τὸ "νεμεσητός" (649). ἐπιτείνει δὲ αὐτοῦ τὸ θυμικόν, συγγνώμην ἑαυτῷ ποριζόμενος τοῦ μὴ πεῖσαι αὐτόν.

B= 656. τίπτε τ' ἄρ' ὦδ' Ἀχιλεὺς ὀλοφύρεται] διὰ τί οἰκτίζει τοὺς τετρωμένους, ἀγνοῶν τὴν παντελῆ ἀπώλειαν; διὰ τί τὸ κατ' ἄνδρα ἐλεεῖ μὴ εἰδὼς τὸ πᾶν Ἀχιλλεύς; ὅτι δὲ ἐλεεῖ, δῆλον ἐξ ὧν Πάτροκλον ἔπεμψεν.

B= τίπτε τ' ἄρ' ὦδ' Ἀχιλεύς] πιθανῶς οὐ κωλύει αὐτὸν τῆς σπουδῆς, ἄρχεται δὲ λόγων, εἰδὼς ὡς αἰδούμενος οὐ καταλείψει αὐτοὺς ἡμιτελεῖς.

A+ 657. οὐδέ τι οἶδεν πένθος] ἀρχαία ἡ φράσις.

659. * ἐν νηυσὶν κέαται] πρὸς τὸ ἄπρακτον.

A+ * βεβλημένοι οὐτάμενοί τε] πρὸς τὸ διάφορον.

660. * ὁ Τυδείδης] ἴσως πρῶτον ὡς πολέμιον καταλέγει.

661. ἠδ' Ἀγαμέμνων] οὐκ εἶπεν ἐπίθετον Ἀγαμέμνονος, ὡς ἀπεχθανομένου Ἀχιλλεῖ. τοιοῦτος δέ ἐστιν ὁ λόγος· 'καὶ ὁ ἐχθρὸς αὐτῷ δυστυχεῖ.'

663. τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον] ἦθος ἐμφαίνει ἡ ἀντωνυμία διὰ τῆς δείξεως δηλοῦσα, ὅτι ὁ γέρων τὸν νέον διέσωσεν ἐκ τῆς μάχης.

B= 664. αὐτὰρ Ἀχιλλεὺς ἐσθλὸς ἐών] δυνατός, τουτέστι δυνάμενος οὐκ ἐλεεῖ· εὖ δὲ καὶ τὸ "Δαναῶν" καὶ μὴ Ἀγαμέμνονος φάναι· ἐάσας γὰρ τὸν αἴτιον τῆς ὀργῆς τοὺς ἐλεεινοὺς προβάλλεται.

665. οὐ κήδεται οὐδ' ἐλεαίρει] πικρῶς, οὔτε φιλίᾳ οὔτε ἐλέῳ, φησί, χώραν παρέχει.

666. ἦ μένει, εἰσόκε ⟨δὴ⟩ νῆες—θέρωνται] ἆρα καὶ ταῦτα μένει, ἃ ὑπέσχετο "κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας" (Il. 9. 653); ἐν ἤθει οὖν ὁ λόγος.

B= * τὴν ὁλοσχερῆ ἀπώλειαν τῶν νεῶν ἐμφαίνειν θέλει· εἰ μὴ γὰρ τὰς πρώτας καύσουσιν, οὐκ ἂν ⟨οὐδὲ⟩ τὰς παρὰ θάλασσαν.

667. * Ἀργείων ἀέκητι] ⟨μὴ⟩ δυναμένων ἀμῦναι.

1. schol. cum p. 417, 26 coniunctum ‖ 5, 6. τὸ *νεμεσητός* B : τὸν *νεμεσητὸν* ‖ 8. Ἀχιλλεύς ‖ οἰκτείρει B ‖ 9. τὸ B: τὸν ‖ 28. *νῆες θέρωνται* textus : *νῆας ἕλῃ* ‖ 32. *καύσουσιν* B : *καύσωσιν* ‖ supplevi ex B ‖ 33. suppl. sec.

668. αὐτοί τε κτεινώμεθα] πικρῶς καθάπτεται τῆς ὠμότητος B=
Ἀχιλλέως, εἰ ἀναμενεῖ τοὺς Ἀχαιοὺς ἰδεῖν ἐξῆς φονευομένους. ἐλεεινῶς δὲ καὶ ἑαυτὸν καταλέγει.

οὐ γὰρ ἐμὴ ἵς ἐστι] ἐρεθιστικὸν τοῦτο. εἰ γὰρ ἐγὼ νέος ἦν, οὐκ B–
ἂν ὑμῶν ἐδεόμεθα συμμάχων· ἐντέχνως δὲ πρὸς μὲν τοὺς θυμουμένους ⟨τὴν φρόνησιν⟩ "καὶ μέν μευ βουλέων ξύνιον" (Il. 1. 273)· εὐβουλίας γὰρ ἑώρα δεόμενον τὸν καιρόν· πρὸς δὲ τὸν ἀργοῦντα τὴν ἥβην ⟨φέρει⟩, ζῆλον ἐμποιῶν τῶν ἔργων.

670. εἴθ' ὣς ἡβώοιμι] διδάσκει ὡς οὐ δεῖ ἐπὶ ἀπράκτοις ἀναλί- B=
σκειν τὰς ἡλικίας. ἴδια δὲ διηγεῖται κατορθώματα, εἰς ζῆλον καλῶν τὸν ἀκούοντα. καὶ διὰ τοῦ παρὰ γνώμην τοῦ πατρὸς πολεμῆσαι προτρέπεται αὐτὸν τὸ ὅμοιον ποιῆσαι. §. ἔστι δὲ μείλιχος Πάτροκλος· διὸ ἱστάμενος αἰδεῖται τὸν γέροντα (649).

671. ὡς ὁπότ' Ἠλείοισι] ἐξ ἀναστροφῆς τὸ διήγημα· ἐπὶ γὰρ A+ B=
τοῖς ἐπιμηκεστέροις τῶν διηγημάτων τὸ μὲν ἀπ' ἀρχῆς ἰέναι ἐπὶ τὴν ἀφήγησιν ἀμβλυτέραν τὴν ἀκρόασιν καθίστησι, τὸ δὲ ἐκ τῶν πρακτικῶν ἄρχεσθαι ἡδύ· ἡ δὲ ἀρχὴ τοῦ διηγήματος οὕτως ἔχει. Ἡρακλῆς ἐκάκωσε τὴν Πύλον καὶ τοὺς ιαʹ τῶν Νηλέως παίδων ἀνεῖλεν· διὸ Ἠλεῖοι καταφρονήσαντες τῶν Πυλίων ἔθλιβον αὐτούς· καὶ δὴ Αὐγέας ὁ τῶν Ἠλείων βασιλεὺς ἀφικομένους ἵππους Νηλέως ἐπὶ τὸν Ὀλυμπικὸν ἀγῶνα ἤ τινα τῶν ἐπιταφίων ἀφείλετο. τοῦτο ἐκίνησε Πυλίους. γενομένης δὲ μάχης ἄλλοι τε ἀποθνῄσκουσι καὶ Ἰτυμονεὺς ὑπὸ τοῦ Νέστορος. νικήσαντες δὲ Πύλιοι τὴν λείαν διενείμαντο. ἐπιστρατεύουσι δὲ αὐτοῖς ἡμέρᾳ τρίτῃ ⟨ἐκεῖνοι⟩· πολιορκούντων δὲ αὐτῶν τὸ Θρύον φήμη τις ἦλθεν εἰς Πύλον μηνύουσα τὴν ἔφοδον τῶν πολεμίων. στρατεύσαντες δὲ Πύλιοι πάλιν νικῶσι τοὺς Ἠλείους, καὶ ἀριστεύει ὁ Νέστωρ.

672. ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα] τὸ ἑξῆς, "ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα A=
—ῥύσι' ἐλαυνόμενον."

674. *ῥύσια] τὰ ἀντί τινων ἑλκόμενα, ⟨οἱονεὶ⟩ ἅπερ ἀντὶ τῶν B=
ἡρπασμένων ἁρπάζομεν.

675. *ἔβλητ' ἐν πρώτοισιν] ἢ πρῶτον ἀνῃρῆσθαι αὐτόν φησιν, B=
ἢ ἐν πρώτοις μαχόμενον.

1. κτεινόμεθα ‖ 2. εἰ B: ἢ ‖ ἀναμένει ut B ‖ 3. ἑαυτὸν B: ἑαυτοὺς ‖ 4. εἴγε ἐγὼ B ‖ 6. suppl. W ex B ‖ 7. τοὺς ἀργοῦντας B ‖ 8. supplevi ex B ‖ τῶν ἔργων B: τὸν ἔργον ‖ 13. ἱστάμενον ‖ 19. περιφρονήσαντες B ‖ Αὐγέας etiam AD: Αὐγείας B ‖ 20. Ὀλυμπιακὸν B ‖ 23. οἱ περὶ Πύλον B ‖ διενείμαντο B: διενέμοντο ‖ 24. supplevi ex B ‖ τὸν θ. B ‖ 29. supplevi ex B ‖ 30. ἡρπάζομεν ut B

B= 676. * περίτρεσαν] περὶ πᾶσαν ὁδόν. §. καὶ ὅτι ἀποθανόντος Ἕκτορος φευξοῦνται πάντες.

677. "ληίδα" ὡς "κρηπίδα" (Pind. fr. 196).

B– ληίδα δ' ἐκ πεδίου] αἰδήμων ὁ Πάτροκλος· ἐπειγόμενος ⟨γὰρ⟩ ἀνέχεται τοῦ γέροντος μακρολογοῦντος· οἰκονομικῶς δὲ πέπλασται τῷ ποιητῇ ἡ μακρὰ διήγησις, ἵνα ὁ Εὐρύπυλος ἐκ τῆς μάχης φθάσας ἐλθεῖν περιτύχῃ Πατρόκλῳ, καὶ παρὰ τούτῳ ⟨αὐτοῦ⟩ ἐμβραδύνοντος δεινὴ γένηται ἡ τειχομαχία· εἰ γὰρ ταχέως ἐπανῆλθε πρὸς Ἀχιλλέα καὶ ἐκπεμφθῆναι ἑαυτὸν ἔπεισεν εἰς τὴν μάχην, ἀνῃρέθη ἂν ἡ τειχομαχία, δι' ἣν ἐπλάσθη τὸ τεῖχος.

AB= ἤλιθα] λίαν ἠθροισμένην· καὶ ἠλίθιος ὁ παχὺς τὸν νοῦν καὶ μὴ ἀκριβής. ἢ παρὰ τὸ ἀλίσαι, ὅ ἐστιν ἀθροῖσαι.

678. * ἑκάστῳ τὸ οἰκεῖον ἀπένειμεν· οὐδὲ πεζῷ δὲ λόγῳ τις ⟨ἂν⟩ εἶπεν αὐτὰ ἄλλως.

683. * γεγήθει δὲ φρένα Νηλεύς] ἥσετε οὖν καὶ ὑμεῖς τοὺς γονεῖς.

684. οὕνεκά μοι τύχε πολλά] ἐπετέτευκτο ἢ περιγέγονεν· τὸ γὰρ τῆς τύχης ὄνομα οὐκ οἶδεν ὁ ποιητής, τὰ δὲ ἀπ' αὐτοῦ ῥήματα.

οὕνεκά μοι τύχε πολλά] ταῦτα ἐρεθιστικὰ πρὸς νέον λεγόμενα, ἵνα ἀκούσας Ἀχιλλεὺς ὡς φιλότιμος ζηλωτὴς γένηται.

685. * ἐλίγαινον] ὀξέως ἐβόων.

A+ 686. * χρέως] οὕτω "χρέως."

B= χρέως ὠφείλετο] "χρέως" δάνειον· οἷς γὰρ οἱ ὀφείλοντες καταβάλλουσι, καὶ οἱ ἀδίκως ἁρπάσαντες καταβάλλειν ὀφείλουσιν.

687. * οἳ δὲ συναγρόμενοι] συνηθροισμένων δὲ τῶν Πυλίων οἱ ἡγήτορες ἐμέριζον.

688. πολέσιν γὰρ Ἐπειοί] δεῖ τὸν λόγον οὕτως ἔχειν· πολλοῖς γὰρ Ἐπειοὶ χρεῖος ὤφειλον, ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν. §. εἰς τὸ "ὄφελλον" ὑποστιγμὴν δεῖ γράφειν, εἰς δὲ τὸ

A+ B= "ἦμεν" τελείαν· εἶτα ἐπέζευξεν ὁπόθεν "κεκακωμένοι·" "ἐλθὼν γὰρ ἐκάκωσε" (690)· ἐὰν δὲ εἰς τὸ "ὄφελλον" τελειώσωμεν, ὁ ἑξῆς στίχος κατ' ἰδίαν ἀναπεφώνηται, καὶ τὸ "ὡς" (689) ἀντὶ τοῦ οὕτως δεχόμεθα.

A+ * ὄφειλον] Ἀρίσταρχος "ὄφειλον."

689. * ὡς] ἀντὶ τοῦ οὕτως· καὶ ἔστιν ἀπ' ἄλλης ἀρχῆς.

3. κρηπῖδα ‖ 4. supplevi ex B ‖ 6. μικρὰ cf. B ‖ 7. ἐμβραδύνοντος δεινὴ γένηται ἡ τειχομαχία scripsi, ἐμβραδύνῃ ⟨ἕως γένηται τὰ⟩ περὶ τὴν τειχομαχίαν vel ἐμβραδύνῃ, πρὸς τὴν τειχομαχίαν coni. W ex Eust. p. 887, 12: ἐμβραδύνῃ περὶ τῆς τειχομαχίας ‖ 15. γέγηθε ‖ 22. ὠφείλετε χρ. ‖ οἷς B: καὶ ‖ 23. λαμβάνοντες κ. B ‖ 27. ὄφελον ἕως ‖ 30. ὄφειλον ‖ 32. Ἀ. ὀφεῖλον cf. A

690. ἐλθὼν γὰρ ἐκάκωσε] οὐ διὰ τὰ καθάρσια Ἰφίτου πορθεῖται ἡ Πύλος, ἐπεί τοι ⟨πῶς⟩ Ὀδυσσεὺς μείζων Νέστορος (Od. 21. 16), καὶ παρ' Ὁμήρῳ οὐκ οἶδαμεν φονέα καθαιρόμενον ἀλλ' ἀντιτίνοντα ἢ φυγαδευόμενον· ἢ οὖν διὰ τὴν ὑπερηφανίαν Περικλυμένου, ἢ ὅτι Ὀρχομενίοις κατὰ Θηβαίων ὡς συγγενεῖς συνελάβοντο· ὅτι δὲ συγγενεῖς Ὀρχομένιοι Πυλίων, φησὶν "εἴ που—ἦ ⟨που⟩ ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ" (Od. 11. 458) καὶ "ὅς ποτ' ἐν Ὀρχομενῷ Μινυηίῳ ἴφι ἄνασσεν· ἠδὲ Πύλου βασίλευε" (ib. 284)· Αὐγείας δὲ ἐν α' Ἀργολικῶν φησι τῶν Γηρυον⟨εί⟩ων βοῶν ἀφελέσθαι Νηλέα, ὅθεν Ἡρακλέα Νέστορι παραδοῦναι τὴν ἀρχήν· Τελέσαρχος δὲ ἐν τοῖς Ἀργολικοῖς ἄγοντα τὰ χρύσεα μῆλα καὶ τὸν ζωστῆρα καὶ τὰς Διομήδους ἵππους εἴργεσθαι ἐπιβαίνειν τῇ πόλει, καὶ τοῦ Νέστορος κωλύοντος. B–

βίη Ἡρακληείη] ἐπεὶ τῶν ἀδελφῶν Νέστορος φονεὺς ἐγένετο, αὐτοῦ δὲ ἐφείσατο, πρὸς ἑκατέραν ἁρμοζόμενος τύχην οὔτε βλάσφημόν τι προσήρτησε τῷ "βίη" οὔτε ἐπαίνου ἐχόμενον, ὁποῖον εἰώθαμεν λέγειν "ἱερὴ ἷς Τηλεμάχοιο" καὶ "ἱερὸν μένος Ἀλκινόοιο."

692. δώδεκα γὰρ Νηλῆος] ἐκ Νηλέως τοῦ Τυροῦς καὶ Ποσειδῶνος ⟨καὶ ἐκ Χλώριδος⟩ τῆς Ἀμφίονος καὶ Νιόβης γίνονται παῖδες οἵδε· Περικλύμενος, Πεισίστρατος, Ἄλκιμος, Ὕψηνωρ, Νέστωρ, Πυλαιμένης, Λυσίμαχος, Ἱπποκόων, Πεισήνωρ, Ἱππόλοχος, Ἀγησίλαος, Λύσιππος. γαμεῖ δὲ Νέστωρ Μνησιόχην τὴν Ἀμφιδάμαντος, ἐξ ἧς ἔχει παῖδας ζ'· λόγος δέ ἐστιν ὅτι Χλῶρις ἐπὶ τελευτῇ τῶν παίδων ἀγχόνῃ διεχρήσατο. B–

δώδεκα γὰρ Νηλῆος] πῶς οὖν ἐκεῖ φησι "Νέστορά τε Χρομίον τε Περικλύμενόν τε" (Od. 11. 286); ἢ οὖν τρεῖς ἦσαν ἐκ Χλώριδος, ἢ τοὺς ἀρίστους κατέλεξεν· Χρομίος ὡς πρεσβύτης, Νέστωρ συνετός, Περικλύμενος ἀνδρεῖος. A+

693. * τῶν οἷος λιπόμην] τὸ οὖν "κεκακωμένοι ἐν Πύλῳ ἦμεν" (689) συλληπτικῶς· ἐν Γερηνίοις γὰρ ἀνετρέφετο. A+

697. κρινάμενος τριηκόσια] ἴσως τὰ πρόβατα μόνα· φησὶ γὰρ "καὶ πῶυ μέγ' οἰῶν" (696). A–

699. τέσσαρες—ἵπποι] δύο συνωρίδες, ἵνα, εἰ ἡ ἑτέρα πάθοι ⟨τι⟩, ἡ ἑτέρα ἀγωνίζοιτο· ἢ ἄμφω πρὸς μίαν νίκην· τετρώρῳ γὰρ οὐ A+ B–

2. suppl. W ‖ 3. ἀντιτίνοντα Bekker : ἀντιτείνοντα ‖ 5. συνεβάλοντο ‖ 8. ἐν α' Bekker : ἕνα ‖ 8. Ἀγίος coni. W cf. Philol. Unt. VII 180 ‖ 9. Γηρυόνου coni. Bekker ‖ 14. ἁρμοζόμενον ‖ 18. supplevi ex B ‖ 25. ἢ scripsi : τι ‖ 29. παρὰ τοῖς Γερήνιος A ‖ 30. ἅβατα : corr. W, cf. A ‖ 31. μέγα

χρῶνται ἥρωες. οἱ δὲ ὡς Ποσειδῶνος υἱὸν τετρώρῳ φασὶ χρῆσθαι· ἵππιος γὰρ ὁ θεός.

700. * ἄεθλα] τὰ ἐπάθλια.

B— περὶ τρίποδος γὰρ ἔμελλον] οὐκ οἶδε τὰ Ὀλύμπια, ἀλλὰ περί τινος χρηματικοῦ ἀγῶνός φησιν· πῶς γὰρ Αὐγείας, ἐφ' ᾧ Ἡρακλῆς τὸν ἀγῶνα ποιεῖται, ἀφῄρηται τοὺς ἵππους; στέφανον δὲ ὅλως οὐκ οἶδεν ὁ ποιητής, οὐκ ἐν νίκῃ, οὐκ ἐν θυσίαις, οὐκ ἐν συμποσίῳ· πῶς δὲ οὐκ ἐμνήσθη ἐν τῷ Καταλόγῳ "Ὄγχηστόν θ' ἱερόν, Ποσιδήιον ἀγλαὸν ἄλσος" (Il. 2. 506; cf. hymn. in Apoll. 230); Πισᾶται δὲ ἐπεμέλοντο τοῦ ἀγῶνος· καὶ ἐπεὶ Μεσσηνίοις κατὰ Λακεδαιμονίων συνεμάχησαν, Ἠλεῖοι δὲ ⟨Λακεδαιμονίοις⟩, Λακεδαιμόνιοι καθελόντες αὐτοὺς τούτοις παρέσχον τὴν ἀρχήν.

702. τὸν δ' ἐλατῆρ' ἀφίει] τὸν ἑκατέρας συνωρίδος ἐλατῆρα, ὡς "ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη" (Od. 1. 335).

B+ 703. * ἐπέων κεχολωμένος] ὡς καὶ βλασφημηθέντος αὐτοῦ ἐν τῇ ἀφαιρέσει.

704. τὰ δ' ἄλλ' εἰς δῆμον ἔδωκεν δαιτρεύειν] "εἰς δῆμον" τοῖς δανείσασι μερίζει.

A~ 705. μή τις οἱ ἀτεμβόμενος κίοι ἴσης] "ἴσης" τῶν ὀφειλομένων, οὐ πᾶσιν ἴσης.

A+ * Ζηνόδοτος οὐδὲ γράφει.

706. ἀμφί τε ἄστυ ἔρδομεν—θεοῖς] τοῖς περὶ τὸ ἄστυ θεοῖς.

A+ 708. πάντες ἦλθον] εἰς τὸ "ἦλθον" διαστολή.

A+ 709. Μολίονε] παρὰ τὸν μῶλον, ἢ ὅτι Μόλου ἦν ἡ Μολι⟨ό⟩νη θυγάτηρ.

710. οὔ πω μάλ⟨α⟩ εἰδότε θούριδος ἀλκῆς] καὶ πῶς καυχᾶται παρ' ὀλίγον αὐτοὺς ἑλών; ἢ ὅτι τερατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος (cf. fr. 13 M.), ἄμφω ἐν ἑνὶ σώματι ὄντες· ὡς δέ τινες, ἑκάτεροι δύο σώματα εἶχον.

A+ B= 711. Θρυόεσσα πόλις] ἣν εἶπε καὶ Θρύον "Ἀλφειοῖο πόρον"
B= (Il. 2. 592). §. αἱ περιγραφαὶ δὲ προσεκτικοὺς ποιοῦσι τοὺς ἀκροατάς.

712. τηλοῦ ἐπ' Ἀλφειῷ] ὥσπερ τὸ "Ἀλφειοῖο πόρον" (Il. 2. 592) δι' οὗ περᾷ ὁ Ἀλφειός, οὐχ ὅτι ἐκεῖθεν ἄρχεται ἢ ἐκεῖ περαιB= οῦται. §. τὸ δὲ "νεάτη" ἔσχατον ὅριον συνάπτουσα τῇ Ἠλιδι.

A+ 714. ἄμμι δ' Ἀθήνη] "ἄμμι δέ·" ἢ οὗτος ὁ "δέ" ἢ ὁ πρὸ τοῦ "ἀέκοντα" (716) πλεονάζει· καὶ διχῶς ἡ στιγμή.

2. ἵππιος A: ἵππειος ‖ 3. ἀέθλια textus ‖ 9. Ποσειδήιον ‖ 10. μεσήνιοι ‖ 19. ἀπολομένων: corr. W ex A ‖ 20. π. ἴσα ‖ 24. τ. μόλον ‖ supplevi ex schol. A D 750 ‖ 30. πόρον B: πόρρω ‖ 33. πρὸ τοῦ scripsi: πρὸς τὸ

715. ἄγγελος ἦλθε] οὐ πεμφθεῖσα ὑπό τινος, ἀλλ' ἀφ' ἑαυτῆς, B=
ὡς "Ἶρις δ' αὖθ' Ἑλένῃ" (Il. 3. 121).

τότε μὲν πρὸς ἀγροίκους αἰφνίδιος ἦν ἡ μάχη, νῦν δὲ πρὸς παρα- B=
σκευασθέντας καὶ πολεμιστάς.

717. ἀλλὰ μάλ' ἐσσυμένους] "ἐσσυμένους" τὸν λαόν, πρὸς τὸ σημαινόμενον.

οὐδέ με Νηλεὺς εἴα] τεχνικῶς τῷ παραδείγματι τὸν Πάτροκλον A-B=
διδάσκει, εἰ καὶ Ἀχιλλεὺς αὐτὸν εἴργει, λαθόντα προελθεῖν εἰς τὴν μάχην.

719. οὐ γάρ πω τί μ' ἔφη ἴδμεν πολεμήια ἔργα] πῶς οὖν πρώην B=
ἐνίκησεν; ὅτι πρὸς ἀγροίκους ἦν ἡ μάχη· νῦν δὲ πρὸς ἐμπείρους μάχης ἡ παράταξις ἔμελ⟨λ⟩ε γίνεσθαι.

720. ἀλλὰ καὶ ὡς ἱππεῦσι μετέπρεπον] καίτοι ἄπειρος ὢν ὁπλισμῶν.

721. καὶ πεζός περ ἐών] πρὸς ἔλεγχον Ἀχιλλέως τοῦ θαυμαστὸν B=
ἱππικὸν κεκτημένου.

722. ἔστι δέ τις ποταμὸς Μινυ⟨ή⟩ιος] τὸ πολύαρχον καινίζει B=
τὴν ἀκρόασιν, καὶ τὸ ὁμοειδὲς ἀποκόπτει, καὶ σαφήνειαν προβάλλει, καὶ ἀνάπαυλαν τῇ ἀκοῇ καὶ προσοχὴν ἐμποιεῖ, παραδιδοῦσα μὲν τῇ μνήμῃ τὰ εἰρημένα, τοῖς δὲ ἑξῆς προσέχειν ἀπ' ἄλλης ἀρχῆς ἀναγκάζουσα.

ἔστι δέ τις ποταμός] ἄκρως τὸ σχῆμα τοῦ ποταμοῦ διαγράφει· οὐ γὰρ εἰς ⟦αἰ⟧γιαλὸν ἐκρεῖ, ἀλλὰ κατὰ κρημνοῦ φερόμενος ἐμπίπτει εἰς θάλασσαν ἄνωθεν.

723. ὄθι μείναμεν—ἱππῆες] ἤδη γὰρ ἑαυτὸν εἶπε τοῖς ἱππεῦσι συναριθμεῖσθαι.

726. ἱκόμεσθα—ῥόον Ἀλφειοῖο] δῆλον οὖν, ὅτι τοῦ Ἀρκαδικοῦ Πύλου ἄρχει, ὃς ἀπέχει Ἀλφειοῦ ρλ' σταδίους· διὸ δειλινούς φησιν ἀφικέσθαι.

727. ἱερὰ καλά] θαυμαστὰ καὶ οἰκεῖα αὐτῷ. A-

728. ταῦρόν τ' Ἀλφειῷ] βίαιος γὰρ τοῖς κέρασιν ὁ ταῦρος καὶ A-
τὴν γῆν ἀναβάλλων.

731. καὶ κατεκοιμήθημεν ἐπ' ἔντεσιν] στρατιωτικὸν παράγγελμα B-
ἐν τοῖς ὅπλοις καθεύδειν, ἐπεὶ καὶ Διομήδει ῥινὸς ὑπέστρωτο "βοὸς ἀγραύλοιο" (Il. 10. 155).

10. πρότερον B ‖ 11. ἀπείρους B ‖ 19. πρ. ἐξ ἀρχῆς B ‖ 27. διὰ δειλίαν οὖσ: corr. W ‖ 30. τ' etiam textus ‖ 32. ἐπ' etiam textus

A= 734. προπάροιθε] ἐπὶ χρόνου.

AB= ἀλλά σφιν προπάροιθε φάνη μέγα ἔργον Ἄρηος] πρὶν τὸ ἄστυ ἀπολέσαι, μέγας αὐτοῖς ὁ κίνδυνος ὤφθη.

735. εἴτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης] καὶ τοῦτο τεκμήριον σφαιροειδῆ εἶναι τὸν κόσμον.

A+ ἠέλιος φαέθων ὑπερέσχεθε] ὅτι ἐξ ἰδίου προσώπου φησὶν "ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο" (Il. 7. 422).

736. συμφερόμεσθα μάχῃ] εἰς ταὐτὸν συνερχόμεθα· καὶ Ἡσίοδος "λιμὸς γὰρ—πάμπαν ἀεργῷ σύμφορος ἀνδρί" (Opp. 302).

A= 737. ἀλλ' ὅτε δὴ—ἔπλετο νεῖκος] ὅτι ἐπὶ τῆς διὰ χειρῶν μάχης τὸ "νεῖκος."

B= 738. πρῶτος ἐγὼν ἔλον ἄνδρα] ὅτι πάντα προθυμίᾳ κατορθοῦται, ὅπου, ἃ εἶρξεν ὁ πατήρ, ταῦτα ⟨ἑ⟩αυτῷ πεπόρισται παρὰ πολεμίων.

B= 741. ἦ τόσα φάρμακα ᾔδει] τοῦτο πρὸς αὔξησιν τῆς Νέστορος ἀρετῆς, εἴγ μηδὲ ἡ γυνὴ ἔσωσεν αὐτόν, φάρμακα εἰδυῖα πολλά.

ἦ τόσα φάρμακα ᾔδει] ἐπεξεργάζεται διὰ τῆς ψυχαγωγίας κατέχων αὐτόν.

A+ Μήδεια ἐγένετο Αἰήτου μὲν θυγάτηρ, Ἰάσονος δὲ γυνή· αὕτη μετὰ τὴν ἀπεργασθεῖσαν τεκνοκτονίαν φυγὰς εἰς Ἀθήνας ἀφίκετο· καὶ συνῴκησεν Αἰγεῖ τῷ Πανδίονος. κἀκεῖ Θησέως τοῦ ἐξ Αἴθρας γενομένου τῷ Αἰγεῖ ἐπὶ τὸν τοῦ πατρὸς ἀναγνωρισμὸν ἐκ Τροιζῆνος ἀφικομένου, πείθει τὸν Αἰγέα φάρμακον αὐτῷ δοῦναι θανάσιμον, ἐπίβουλον αὐτοῦ τῆς βασιλείας εἰποῦσα παραγίνεσθαι. πεισθεὶς δὲ Αἰγεὺς φάρμακον ἔδωκε παραγενομένῳ τῷ παιδί· μέλλοντος δὲ καταπίνειν ἐπιγνοὺς τό τε ξίφος καὶ τὰ ὑποδήματα—ταῦτα γὰρ ἐν Τροιζῆνι γνωρίσματα κατέλιπεν—τὸ μὲν φάρμακον ἀφείλετο, τὴν δὲ Μήδειαν ἐξέβαλε τῆς Ἀττικῆς· οἰκήσασα δὲ αὖτη τὴν πλησίον Ἤλιδος Ἔφυραν πολυφάρμακον ἐποίησεν αὐτὴν ἐπονομασθῆναι. ἱστόρηται παρὰ Κράτητι.

744. Ἔπειοὶ ἔτρεσαν] τὸ αὐτὸ τῷ "λαοὶ δὲ περίτρεσαν" (676).

747. αὐτὰρ ἐγὼν ἐνόρουσα] πρὸς ἐρεθισμὸν Πατρόκλου ταῦτά φησιν.

748. πεντήκοντα δ' ἕλον δίφρους] τῷ ἀπαρτίζοντι ἀριθμῷ χρῆται καὶ ἔμπροσθεν (678).

* ἀμφίς] ἀντὶ τοῦ περί.

6. ὅτε || 10. νεῖκος ἔπλετο || 12. δ' post πρῶτος omisi || 13. supplevi ex B || 18. Αἰήτου μὲν Bekker : μὲν Αἰήτου || 20. Θησέα τὸν ut A D || 21. γενόμενον ut A D || 22. ἀφικόμενον A D || 29. ἡ ἱστορία A D

754. δι' ἀσπιδέος] κυκλοτεροῦς—ὅταν γὰρ ἐν ἀναπεπταμένῳ τόπῳ A+ B−
ὦμεν, κυκλοτερῆ αὐτὸν ὁρῶμεν—ἢ ἐπιμήκους καὶ μακροῦ, ἢ πλατέος,
ἢ περιφεροῦς ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος, ἢ ἐν ᾧ τῶν ἀνῃρημένων αἱ
ἀσπίδες ἔκειντο, ἵνα τὸ πλῆθος αὐτῶν δηλώσῃ. δίχα δὲ τοῦ ᾱ ἔνιοι
" σπιδέος."

756. ὄφρ' ἐπὶ Βουπρασίου] ἕως τῶν Ἤλιδος χωρίων· Βουπράσιον A−
γὰρ καὶ Ἀλείσιον πόλεις τῆς Ἤλιδος· ἡ δὲ Ὠλενία πέτρα τῆς
αὐτῆς χώρας μεγίστη.

757. Ἀλεισίου—κολώνη] τινὲς Ἀλεισίου κολώνην τὸν τάφον τοῦ A+
Ἀλεισίου· ἦν δὲ εἷς τῶν μνηστήρων Ἱπποδαμείας. ἀλλ' οὐχ Ὁμηρικόν.

759. αὐτὰρ Ἀχαιοί] "Ἀχαιοί" οἱ Πύλιοι, ὡς Ἠλείων μὴ ὄντων
Ἀχαιῶν· οὐ τοῦ Ἠλείου οὖν Πύλου ἦρχεν ὁ Νέστωρ, ἀλλὰ τοῦ τῆς
Τριφυλίας.

αὐτὰρ Ἀχαιοί] ὅτι τοὺς μὲν Πυλίους Ἀχαιούς, τοὺς δὲ Ἠλείους A B=
Ἐπειούς.

761. Νέστορί τ' ἀνδρῶν] ὀνομαστὶ ἑαυτὸν λέγει, ἀπομιμούμενος B=
τὴν φωνὴν τῶν ἐπαινούντων. ἅμα δὲ καὶ ἐμφαίνει Πατρόκλῳ, ὡς καὶ
αὐτὸς τεύξεται ἰσοθέου τιμῆς σώσας Ἕλληνας.

762. * ὣς ἔον] τοιοῦτος.

εἴ ποτ' ἔην γε] εἴ ποτε ἤμην· νῦν γὰρ οὐκέτι εἰμί.

αὐτὰρ Ἀχιλλεὺς οἷος τῆς ἀρετῆς ἀπονήσεται] καὶ ὁ Πάτροκλος
ὡς ἂν μεγίστῳ διδασκάλῳ ἑπόμενος τῷ Νέστορι πρὸς Ἀχιλλέα φησὶν
"αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται" (Il. 16. 31). §. δυσωπεῖ δὲ ὁ B=
Νέστωρ ταῦτα λέγων, ὅτι ἔχων ἀρετὴν οὐ μεταδίδωσιν, οἷον 'οὐ
καταλείπει τοῖς εἰς ἔπειτα ζῆλον.'

763. * ἀπονήσεται] ὄνησιν ἕξει, ἐν ἀπολαύσει γενήσεται. A+

ἦ τέ μιν οἷω πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται] B=
καὶ αὐτὸν τὸν ἄγριον εἰς ἔλεον ἄξει τὸ γεγονός· οὐ παρακαλεῖ δέ·
νεωστὶ γὰρ ἀπέβαλε τὰς παρακλήσεις.

765. ἦ μὲν σοί γε Μενοίτιος] καὶ Ὀδυσσεὺς μὲν ταῦτα ἔλεγεν ἐν B−
ταῖς Λιταῖς "ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεύς" (Il. 9. 252)· ἀλλ'
ὃ μὲν ἐν κεφαλαίοις, ὃ δὲ καὶ τοῦ καιροῦ καὶ τῶν προσώπων ὑπομιμνήσκει.

ὧδ' ἐπέτελλεν] λείπει τὸ πολεμεῖν.

766. ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν] ὅτι δεῖ μᾶλλον Ἀχιλ-

1. ἀσπιδέος etiam textus ‖ ἐν supra add. pr. ‖ 3. περιφεροῦς D, cf. A : ἐπιφεροῦς ‖ 16. ἀναμιμούμενος ut B ‖ 23. τίς σευ ‖ 25. καταλείπων ‖ 30. ἐν om. B

ὡς τὸ "ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι" (Od. 3. 196)· ἀπὸ κοινοῦ γὰρ τὸ "ἀγαθόν." §. διδάσκει δὲ διαφόρως προσλιπαρεῖν, εἴγε μηδὲν ἀνύσας διὰ πρέσβεων ἑτέρᾳ μεθόδῳ ἐχρήσατο πρεσβείας.

B= 794. εἰ δέ τινα φρεσὶν ᾗσι θεοπροπίην ἀλεείνει] εἰδὼς τὸ φιλόδοξον αὐτοῦ ἐρεθίζει, φιλοψυχίαν καὶ φόβον ὀνειδίζων. δύο δὲ προβέβληται, καὶ ἀμφοτέρων ἐπέτυχεν. ἔστι δὲ ἁπάσης ἀντιλογίας στερητικόν· βοηθείτω γάρ, φησί, μὴ κινδυνεύων αὐτός.

797. αἴ κεν τι φόως Δαναοῖσι] ὡς νῦν αὐτῶν ἐν σκότῳ ὄντων.

B= 798. καί τοι τεύχεα καλὰ δότω] οἶδε τὸ φιλότιμον Ἀχιλλέως, ὅπως ἡ δόξα τῆς μάχης πάλιν εἰς αὐτὸν ἀναδράμῃ. ἅμα δὲ καὶ θεραπείαν ἔχει Ἀχιλλέως, εἰ ⟨διὰ⟩ τὰ ἐκείνου ὅπλα ὀφθέντα καὶ ἄλλος τις δόξας εἶναι Ἀχιλλεὺς ἀριστεύει. §. προπαρασκευάζει τὴν Ὁπλοποιίαν.

A+ 799. τῷ εἴσκοντες] διὰ τῆς ει Ἀρίσταρχος· Ζηνόδοτος διὰ τοῦ ι. ὁ δὲ Ἡρωδιανὸς διὰ τοῦ ι βραχέος φησὶν εἶναι τὴν γραφήν.

B= 800. ἀρήιοι υἱοὶ Ἀχαιῶν] εὖ τὸ ἐπίθετον· πολεμικοὶ μὲν ὄντες, τὸ δὲ νῦν δυστυχοῦντες.

AB– 801. ὀλίγη δέ τ' ἀνάπνευσις] πρὸς τὴν ἀναπνοὴν μόνον, φησί, γένεσθε σύμμαχοι, ὅτι ἐν βραχεῖ καὶ συντόμῳ δύναται αὐτοῖς τὰ τῆς ἐπικουρίας γενέσθαι, καὶ διδάσκει, πῶς "ῥεῖα γὰρ ἀκμῆτες" (802)· ἢ καθολικόν ἐστιν. ἡ ἀνάπνευσις τῶν νικωμένων παρὰ μικρὰν ῥοπὴν γίνεται, καὶ πολλάκις ἑνὸς ἀνδρὸς ἐπιφάνεια ἢ φόβου ὑπόνοια μεταβολὴν τῆς τύχης ἀπειργάσατο.

802. ῥεῖα δέ κ' ἀκμῆτες] διὰ τῶν ἰδίων εἰς ζῆλον, διὰ τῆς θυσίας ὡς παρὰ συνθήκας ποιοῦντας, διὰ τῆς ἀναμνήσεως τῶν πατέρων ὡς παραβαίνοντας τοὺς τῶν πατέρων λόγους. ἐναντιώσεις τῶν μαντείων ἔλυσεν, Ἀχιλλέως τὸ φιλόδοξον ηὔξησεν· εἶτα ὅτι καὶ εὐχερὴς ἔσται ἡ χάρις. τίς οὖν οὐκ ἂν ἕλοιτο καμὼν οὐδὲν πολλῶν ἐγκλημάτων

A~B+ ἀπαλλάσσεσθαι; §. "τὸ δὲ ⟨"κεκμηότας⟩—αὐτῇ" τῇ μάχῃ κεκμηκότας. δύναται τὸ "αὐτῇ" καὶ τῶν προκειμένων χωρισθὲν ἐπὶ τὰ ἑξῆς φέρεσθαι, ἵν' ᾖ, βοῆς μόνον δεῖ καὶ νενικήκαμεν· τοῦτο γὰρ οἰκειότερον εἰπεῖν τῷ ῥᾳδίαν ἀποφαίνοντι τὴν νίκην.

803. * ὄσαισθε προτὶ ἄστυ] ὅτι καὶ πρὸς τὸ μόνον ἀποσοβῆσαι τοὺς πολεμίους ἱκετεύομεν.

2. γὰρ τὸ scripsi cf. Eust. : τοῦτο ‖ 3. ἀνύσει ‖ 4. θ. φρ. ᾗσιν ‖ 8. τοι ‖ 11. supplevi cf. Eust. ‖ μὲν post ἐκ. omisi ut B ‖ 17. ἀνάγκην ut B : corr. Warnkross ex A ‖ 18. ὅτι scripsi, εἰ coni. W cf. B : ἢ ‖ 27. οὐδὲν W cf. Eust. : οὗ δεῖ

805. βῆ δὲ θέειν] τὴν προθυμίαν ἐδήλωσε τὸ "θέειν·" διὰ τοῦτο B–
καὶ πάλιν ἐπανέλαβε τὴν λέξιν "ἶξε θέων" (807). εὖ δὲ καὶ τὸ μὴ
'Ἀχαιῶν χαλκοχιτώνων' φάναι· τὸ μὲν γὰρ τοῦ κύκλου, τὸ δὲ τὴν
ὁρμὴν ἐνέφηνε τὴν ἐπὶ τὸν Ἀχιλλέα.

808. τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί] ἐν δὲ τοῖς πρώτοις
μόνον "ἣ ῥ' ἐν μεσ⟨σ⟩άτῳ ἔσκε" (Π. 8. 223)· εὐσεβὲς δὲ τὸ καὶ
ἐν πολέμῳ βωμοὺς ἔχειν.

809. ἔνθα οἱ Εὐρύπυλος] πιθανῶς τὸ μὴ εὐθὺς ἀπιέναι πρὸς
Ἀχιλλέα. ἀνῄρητο γὰρ ⟨ἂν⟩ ἡ ἐν μέσῳ διάθεσις καὶ ἡ τειχομαχία.

ἔνθα—Εὐρύπυλος] οἰκονομικῶς, ἵνα καὶ τῇ θέᾳ τοῦ τρωθέντος καὶ B=
τοῖς λόγοις αὐτοῦ πλέον ὀρινθῇ καὶ τῷ ἐσομένῳ πτώματι τοῦ τείχους.

810. κατὰ μηρὸν ὀιστῷ, σκάζων] Μαχάων δὲ καίτοι κατὰ τὸν
ὦμον τρωθεὶς ὑφ' ἑτέρου κομίζεται (598), ἢ ὅτι ἰατρός, ἢ καὶ ὅτι
εὐτυχοῦντος τοῦ στρατοῦ, ὃ δὲ παντελῶς ἀπορίας οὔσης· ἄλλως τε
χρησίμως ᾠκονόμηται ἀμφότερα.

811. σκάζων ἐκ πολέμου, κατὰ δὲ νότιος ῥέεν ἰδρώς] διὰ βραχέων B=
πολλὰ δεδήλωκεν· τοῦ μὲν γὰρ καμάτου σημεῖον ὁ ἱδρώς, τραύμα-
τος δὲ αἷμα, ἀλγηδόνος ⟨δὲ⟩ τὸ σκάζειν. §. "νότιος" δὲ "ἱδρώς" A+ B=
ἐκ τοῦ νοσεῖν τὸ σῶμα γινόμενος.

813. αἷμα μέλαν κελάρυζε· νόος γε μὲν ἔμπεδος ἦεν] καίτοι ἐν B–
ἐσχάτοις ὄντος τοῦ σώματος· οἰκονομικῶς δὲ τοῦτο· ἵνα γὰρ εὐσταθῶς
ὁμιλῇ Πατρόκλῳ, τὸν νοῦν Ὅμηρος ἐφύλαξεν αὐτῷ.

814. τὸν δὲ ἰδὼν ὤκτειρε] ἔστι μὲν γὰρ ἐνηής (Π. 23. 252)·
πλέον δὲ ⟨ἢ⟩ τοῖς λόγοις Νέστορος καὶ τῷ καιρῷ ἐπικέκαμπται.

816. ἃ δειλοὶ Δαναῶν ἡγήτορες] εὖ τὸ μὴ πρὸς Εὐρύπυλον ποιή- B=
σασθαι τὸν λόγον, μηδὲ τὴν τούτου συμφορὰν ἀπολοφύρασθαι, ἀλλὰ
τοὺς σύμπαντας ἡγεμόνας ἀνακαλεῖν καὶ τούτων ὀδύρασθαι τὰ
παθήματα, ἐν τῷ Εὐρυπύλῳ θεασάμενον αὐτά.

817. * ἐμέλλετε] ἐφκειτε. A+

820. ἦ ῥ' ἔτι—σχήσουσι] ὅρα οὖν, ὅτι παντελῶς ἀπεγνώκει τὰ B–
Ἑλληνικά, καμφθεὶς ὑπὸ τῶν Νέστορος λόγων· εἰκότως οὖν δακρύων
ἐντυγχάνει.

ἦ ῥ' ἔτι που σχήσουσι] ἐν ἤθει, ⟨ἵνα⟩ φθάνω, φησί, τῷ Ἀχιλλεῖ
ταῦτα μηνῦσαι.

2. ἐπαναλαμβάνεται B ‖ 26. ἀπολοφύρεσθαι B ‖ 28. θεώμενον B ‖ αὐτὰ
B: αὐτῷ ‖ 33. suppl. W

AB– 823. οὐκέτι—ἄλκαρ Ἀχαιῶν—ἀλλ' ἐν νηυσὶ—πεσέονται] οἱ Τρῶες, ὡς Ἐπαφρόδιτος, ὡς τὸ "ἐν δ' ἔπεσ' ὑσμίνῃ" (297) καὶ "ἔμπεσ' ἐπικρατέως" (Il. 16. 81)· δύναται δὲ καὶ ἐπὶ τῶν Ἑλλήνων· εἶπε γὰρ "καί νυ κεν ἐν νήεσ⟨σ⟩ι πέσον φεύγοντες" (311).

826. βεβλημένοι οὐτάμενοί τε] σύμφωνα ταῦτα τοῖς ὑπὸ Νέστορος εἰρημένοις, ἵνα ἀμφοτέρωθεν κινηθῇ ὁ Πάτροκλος· εὖ δὲ καὶ τὸ μὴ ὀνομαστὶ τοὺς τετρωμένους καταλέγειν—ὅπερ ποιεῖ ὁ Νέστωρ—ἅμα μὲν διὰ τὴν ταυτολογίαν, εἶτα ὅτι καὶ τραυματίας ἐστι πολυλογεῖν οὐ δυνάμενος.

βεβλημένοι οὐτάμενοί τε] κεφάλαια τῶν λόγων Νέστορος.

828. σάωσον ἄγων] εὐτελεῖ λέξει τὴν σωτηρίαν προβαλλόμενος προθυμότερον αὐτὸν ἀπειργάσατο.

B+ 829. μηροῦ δ' ἔκταμ' ὀιστόν] ἴδιον τοῖς κάμνουσιν ἐπιτάσσειν τοῖς ἰατροῖς ἃ χρὴ πράττειν.

830. ὕδατι λιαρῷ] θερμῷ· πραΰνει γὰρ τὰς ἀλγηδόνας.

ὕδατι λιαρῷ] εἰκότως· τὸ γὰρ θερμὸν αἵματος ἀγωγόν, τὸ δὲ ψυχρὸν ἐμποιεῖ φρίκην.

B= ἤπια φάρμακα πάσσεν] ὡς ἀλγῶν πραέα φάρμακα βούλεται· ὃ δὲ ὡς εἰδὼς ῥίζαν πικρὰν βάλλει.

831. τά σε προτί φασιν Ἀχιλλῆος δεδιδάχθαι] ἅμα καὶ πρὸς τὸ γνῶναι ἡμᾶς, ὅτι ἰατρὸς ὁ Πάτροκλος, ἅμα δὲ καὶ ⟨ὅτι⟩ οἱ κάμνοντες σωτῆρας καὶ Ἀσκληπιοὺς εἰώθασι καλεῖν τοὺς ἰατρούς.

A= * δεδιδάχθαι] Ζηνόδοτος "δεδάασθαι."

AB– 832. δικαιότατος Κενταύρων] φιλοξενώτατος—οὕτως Ἐπαφρόδιτος· 'ὁ μόνος δίκαιος ἐν Κενταύροις· ὅμοιον δὲ τοῦτο τῷ "μελάντερον ἠύτε πίσσα" (Il. 4. 277)'—δίκαια γὰρ τὰ ξένια. ἐπιμέλεια δὲ ἦν τοῖς παλαιοῖς μουσικῆς καὶ ἰατρικῆς τῆς ῥιζοτομικῆς.

833. * ἰητροί] ὀρθὴ ἀντὶ γενικῆς, ἀντὶ ἰατρῶν.

ἰητροὶ μὲν γάρ] ἀναγκαίως καὶ τοῦτο, ἵνα διὰ τὴν ἐρημίαν τῶν ἰατρῶν παραμείνῃ ὁ Πάτροκλος.

B= 835. χρηίζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος] ἄλλους ἰώμενοι νῦν τῆς ἄλλων ἐπικουρίας δέονται.

A+ χρηίζοντα καὶ αὐτόν] πρὸς τὸ δεύτερον ἀπήντησεν.

838. πῶς τ' ἄρ' ἔοι] διστάζει τίνα δεῖ σῴζειν, αὐτὸν ἢ τὸ πᾶν πλῆθος· πῶς δὲ ἄρα νῦν ἔσπευδεν ὁ καὶ ἀπ' ἀρχῆς λέγων "αἰδοῖος

3. ἐπικρατέως ‖ 22. σωτῆρας Bekker: σωτηρίας ‖ 26. δικαιότατος B ‖ 27. δὲ ἦν B: οὖν

νεμεσητός, ὅ με προέηκε πυθέσθαι" (649). §. ἡ δὲ τοῦ Ζηνοδότου A=
"πῶς τ' ἄρ' ἔην;"

839. ἔρχομ⟨αι,⟩ ὄφρ' Ἀχιλῆι] ὑμῶν ἕνεκα καὶ τὴν ὁδὸν ταύτην στέλλομαι.

842. ᾗ, καὶ ὑπὸ στέρνοιο λαβών] ὑπολαβὼν αὐτὸν τοῦ στήθους. B=
ὅρα ἐν ὅσῃ ἦν ἀνάγκῃ.

καὶ ὑπὸ στέρνοιο λαβὼν ⟨ἄγε⟩] ἄκρως τὴν ἐπικούρησιν ἐσήμανεν.

844. ἐκ μηροῦ τάμνε μαχαίρῃ] φασὶν ὅτι ⟨δεῖ εἶναι⟩ ἐν τῷ βελουλ- B=
κεῖν ἐν οἵῳ ⟨τις⟩ σχήματι τέτρωται· καὶ λέγεται τοιοῦτόν τι· βέλος ἰατρὸς θέλων ἐξελκύσαι, ⟨ὡς⟩ οὐχ ὑπήκουεν αὐτῷ τὰ τῆς βελουλκίας, τὸν τραυματίαν ἤρετο, ἐν ποίῳ σχήματι ὄντι αὐτῷ τὸ βέλος ἐπηνέχθη· ὃ δὲ ἱππεύοντι ἔφη, καὶ οὕτως ἀνακαθίσας αὐτὸν ἐξείλετο τὸ βέλος. ἢ οὖν ἑστάναι οὐκ ἠδύνατο, ἢ ὅτι ἡ χειρουργία οὔπω κατώρθωτο, ἢ ὑπὲρ τοῦ μὴ διατετάσθαι αὐτὸν καὶ αἱμορραγίαν γενέσθαι· καὶ ἄλλως τὸ τοῦ ὑπτίου σχῆμα τῷ ἑστῶτι πλησιάζει.

845. βέλος περιπευκές] ὡς καὶ βέλος "ὁριμύ, τό τε προ⟨ΐεῖσι μογοστόκοι Εἰλείθυιαι"⟩ (270)· οὐ γάρ, ὅτι φαρμάκοις ἐχρίοντο.

846. ἐπὶ δὲ ῥίζαν βάλε πικρήν] τινὲς Ἀχιλλείαν τὴν βοτάνην AB=
καλοῦσιν. καὶ πόθεν αὐτῷ τὸ φάρμακον; ἴσως μὲν συμπεριέφερε τὴν ῥίζαν ὡς χρήσιμον εἰ ἐντύχοι τραυματίᾳ φίλῳ· καὶ μάλιστα εἰκὸς αὐτὸν νῦν εἰληφέναι, εἰδότα ὅτι ἐπὶ τραυματίαν πέμπεται. τάχα δὲ ἐκ τοῦ παρακειμένου λειμῶνος τὴν ῥίζαν ἔσπασεν, ἔχων τὴν περὶ τὰς βοτάνας ἐμπειρίαν. ἴσως δὲ καὶ θεράπων πεμφθεὶς κατὰ τὸ σιωπώμενον ἐκόμισεν. §. λέγουσι δὲ αὐτὴν εἶναι τὴν ἀριστολοχίαν, ἣν A=
καὶ ἴσχαιμον καλοῦσιν.

847. χερσὶ διατρίψας] διὰ τί "χερσί" καὶ οὐ μᾶλλον λειαντικοῖς AB=
ὀργάνοις; ὅτι οὐκ ἔδει πολλῆς λεπτότητος τῷ φαρμάκῳ, τοῦ αἵματος, ὡς φησι, κελαρύζοντος καὶ ἀπιπτύοντος τὸ λεπτὸν καὶ χνοῶδες τοῦ φαρμάκου εἰς τὸ ἐμφράξαι τὸ τραῦμα· τῷ δὲ Μενελάῳ ἐπιπάσσει τὸ φάρμακον βραχείας οὔσης τῆς τοῦ αἵματος φορᾶς. §. οὐκ οἶδε δὲ δίαιταν ἰατρικὴν ὁ ποιητής.

3. Ἀχιλλῆι ‖ 7. ἐπιπόλησιν *ε*. ‖ 8. supplevi ex Eust. : δεῖ Bekker ‖ ἐν τῷ Eust., om. Bekker : οὐ τὸ ‖ 9. supplevi ex Eust. ‖ τοιοῦτόν τι *β*. scripsi, τι τοιοῦτον ὅτι *β*. coni. W, ἱστορεῖται οὖν ὅτι ἰατρὸς βέλος ἐξέλκων Eust. : τίτος οὗτος τί *β*. ‖ 10. supplevi ex Eust. ‖ 16, 17. πρ*ρ*· οὐ γὰρ : suppl. W ‖ 18. πικρὰν ‖ 19. συμπεριφέρει B ‖ 20. ἐντύχοι A B : ἐντύχῃ ‖ 21. ἔρχεται B ‖ 24. ἀριστολοχίαν etiam D : ἀριστολόχειαν A Eust. ‖ 28. ἀποπτύοντος A B : ἀποτύπτοντος ‖ 29. ἐπιπάσσει A B : ἐπιτάσσει ‖ 30. αἵματος Bekker : τραύματος ut A B

ΕΙΣ ΤΗΝ Μ.

AB= 1. ὣς ὃ μὲν ἐν κλισίῃσι] πάλιν μεταβέβηκεν ἐπὶ τὰς μάχας ὁ ποιητής. ἔδει γὰρ τὰ τῆς μάχης ἐπιέναι, ὅπως θεασάμενος Πάτροκλος κινηθείη μᾶλλον εἰς ἔλεον· εἰ δὲ ἐπιμηκεστέρα γέγονεν ἡ ἐπιμέλεια, μὴ θαυμάσῃς· διαφόρους γὰρ πράξεις ἐν ἑνὶ λέγειν καιρῷ ἀδύνατον.

B– ὣς ὃ μὲν ἐν κλισίῃσι] τῆς ἠπιότητος Πατρόκλου τὸ μετὰ τὴν χειρουργίαν μὴ ἀποστῆναι Εὐρυπύλου. τάχα δὲ ἡ ἐπὶ τῷ Εὐρυπύλῳ ταραχὴ λαθέσθαι αὐτὸν ἐποίησεν ὧν ἔλεγεν· "δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον" (Il. 11. 654).

* Μενοιτίου ἄλκιμος υἱός] ἀντωνομασία.

B– 3. ὁμιλαδόν] καθ' ὁμίλους, ὡς "φυλαδόν" (Il. 2. 668) κατὰ φυλάς, οἷον οὐ καθ' ἕνα ἄνδρα ἀλλ' ὅλων τῶν τάξεων ἐγίνετο συμβολή. ἐπειδὴ γὰρ εἰπεῖν τι περὶ τοῦ τείχους βούλεται, διὸ συντέμνει τὴν μάχην.

AB– οὐδ' ἄρ' ἔμελλεν] τετρωμένων τῶν ἀριστέων μένειν ἐν τῇ πεδιάδι Ἕλληνες οὐκ ἐδύναντο. *ἀναγκαίως οὖν τὴν πεδιάδα μάχην ἐπὶ τειχομαχίαν ⟨μεταφέρειν⟩ βούλεται· τούτου γὰρ χάριν καὶ ἀνέπλασε τὴν τειχοποιίαν ὁ ποιητής, ὑπὲρ τοῦ ἀγῶνας κινῆσαι ἐπὶ τῇ τειχομαχίᾳ. τοῦτο μὲν οὖν ἐπὶ τοῦ Τρωικοῦ τείχους ἀμήχανον· θεοποίητον γάρ· ὑπὲρ δὲ τοῦ μηδὲ ταύτην καταλιπεῖν τὴν ἰδέαν ἐπὶ τῷ τῶν Ἑλλήνων τείχει τὴν τειχομαχίαν ποιεῖ. ἐπεὶ ⟨δὲ⟩ καὶ αὐτὸς ἀνήγειρε τὸ τεῖχος, διὰ τοῦτο καὶ ἠφάνισεν αὐτό, τὸν ἔλεγχον συναφανίζων. λάβοι δ' ἄν τις τοῦτο πρὸς τοὺς χρόνους τοῦ ποιητοῦ, διότι οὐ μετὰ πολὺ τῶν Τρωικῶν γέγονεν. εἰ γὰρ ἐνῆν ὑπονοεῖν, ὅτι ἐκ τοῦ χρόνου κατέπεσε καὶ ἠφανίσθη ὡς αὐτοσχεδῶς ᾠκοδομημένον, οὐκ ἂν τῷ λήμματι τούτῳ ἐχρήσατο, ὅτι αὐτὸς Ποσειδῶν ἠφάνισεν· πάντας δὲ τοὺς ἐκ τῆς Ἴδης ποταμοὺς ἐπ' αὐτὸ ἄγει ἐφ' ἡμέρας β', καὶ τοῦ Διὸς συνεχῶς ὄντος καὶ τοῦ Ποσειδῶνος ἀναμοχλεύοντος τὰ θεμέλια· οὐ δυνάμενος δὲ ἴχνος τι ἀποφῆναι τοῦ μὴ γενομένου, διὰ τοῦτο καὶ οὐκ ἠρκέσθη τῇ τῆς δομήσεως ἀναιρέσει, ἀλλὰ καὶ ἀμάθῳ τὸν τόπον ἐκάλυψε, καὶ αἰγιαλὸς γέγονε τὸ πᾶν· τούτου δὲ

1. addidi : Ἰλιάδος τῆς μ̄ textui inscriptum ‖ 3. μ. εἰπεῖν A ‖ 5. καιρῷ θεῖναι A ‖ 8. περὶ Εὐρύπυλον B ‖ 13. συμβάλλοντες post ἄνδρα omisi ut B ‖ 15. οὐτ' ἄρ' ‖ 17. supplevi ex B ‖ 18. ἀνέπλασε B: ἀνέπλησε ‖ 21. supplevi ex B ‖ 26. λήμματι W : αἰτήματι ; οἷον αἰτήματι οὕτως ἐργώδει Eust. ‖ 29. ἀποφῆναι scripsi, ἀποδεικνύναι coni. Bekker : ἀπαιτηθῆναι

αἴτιον ἀποδέδωκε τὸ μηνῖσαι θεούς, θυσιῶν ἐπ' αὐτῷ μὴ τυχόντας· οἷα καὶ ⟨ἐν⟩ τῇ οἰκοδομίᾳ αὐτοῦ εἰσήγαγε Ποσειδῶνα λέγοντα "οὐχ ὁράᾳς, ὅτι δ' αὖτε καρηκομόωντες Ἀχαιοὶ τεῖχος ἐτειχίσ⟨σ⟩αντο —οὐδὲ θεοῖσι δόσαν" (Il. 7. 447).

οὐδ' ἄρ' ἔμελλε τεῖχος ἔτι σχήσειν] οὐκ ἐδύνατο περὶ τὸ θεόκτιστον τεῖχος τοιαύτας περιπετείας ⟨εἰσ⟩αγαγεῖν.

5. * νεῶν ὕπερ] ἡ "ὑπέρ" ἢ τόπον ἢ ἐπικουρίαν δηλοῖ.

ἀμφὶ δὲ τάφρον] "ἀμφί" ἀντὶ τοῦ περί, ὡς φαμεν 'περὶ τοῦτον τὸν τόπον οἰκῶ' τὴν πλησίον σχέσιν σημαίνοντες· οἱ δὲ ἐπὶ παρατάσεως τὸ "ἀμφί," ὡς τὸ "ἵνα μιν περὶ πᾶσαν ἐέργοι" (Hes. Th. 127). B—

6. * ἤλασαν] ἐξέτειναν, ἀπὸ τῶν σιδήρων· ἢ ἔσκαψαν. B—

οὐδὲ θεοῖσι δόσαν] πάντων ἀρχηγοὺς ἡγεῖσθαι δεῖ θεούς· καὶ "οἵῃ δ' οὐκ ἔρ⟨ρ⟩εξε" (Il. 9. 536). B—

7. ὄφρα σφιν νῆάς τε καὶ ληίδ⟨α⟩—ἐντὸς ἔχον ῥύοιτο] ἢ διὰ τοῦτο αὐτὸ ἐποίησαν, ἵν' ᾖ τὸ ἑξῆς "ἤλασαν, ὄφρα σφιν," ἢ οὐκ ἔδοσαν, ἵνα σῴζοι τὸν ναύσταθμον καὶ αὐτούς. διὸ νῦν ἀτυχοῦσιν ἐν αὐτῷ, ὕστερον δὲ φθείρεται. A + B—

9. τό κεν οὔτι πολὺν χρόνον ἔμπεδον] ἐν βραχεῖ τὸ κεφάλαιον τῆς συγγραφῆς ἐξέθετο· ἅμα δὲ δείκνυσιν, ὅτι β' πρόσωπά ἐστι τὰ συνέχοντα τὴν Ἰλιάδα, καὶ παρεδήλωσέ τι τῶν ὕστερον, ὅτι μετὰ τὴν Ἀχιλλέως μῆνιν οὔτε Ἕκτωρ ἐβίω, εὐθέως δὲ καὶ ἡ Ἴλιος ἐλήφθη. §. πλεονάζει ὁ "κέν." §. τὸ δὲ "ἔμπεδον" οὐκ ἔστιν ἀντὶ τοῦ ἀσφαλές—ἐπεπόρθητο γὰρ ὑπὸ Σαρπηδόνος (397), Ἕκτορος (438), Ἀπόλλωνος (Il. 15. 360)—ἀλλ' "ἔμπεδον" ἀντὶ τοῦ ἐν τῷ πεδίῳ κείμενον· ὕστερον γὰρ ἀλίπλοον ἐγένετο σὺν τοῖς θεμελίοις (28). B—

11. ἀπόρθητος πόλις ἔπλεν] Ἀρίσταρχος "ἔπλεν" σὺν τῷ ν̄ ἐκ τοῦ ἔπελεν συγκοπῇ γενόμενον, Ζηνόδοτος "ἔπλε" ἀποκοπῇ ⟨ἐκ⟩ τοῦ ἔπλετο. A—

13. κατὰ μὲν Τρώων θάνον—πέρθετο δὲ Πριάμοιο πόλις] συνέπλεξε τὸν λόγον προσθεὶς τὸν "μέν·" καὶ ἔστι μὲν δύσρητον, ὅμως ἥδιστον· ὁ δὲ ἁπλοῦς λόγος οὕτως ⟨ἂν⟩ ἦν 'πολλοὶ Ἀργείων δάμεν, οἱ δὲ λίποντο. Τρώων ⟨δὲ⟩ θάνον ὅσ⟨σ⟩οι ἄριστοι·' φανερὸν οὖν, ὡς ὑπελείφθησάν τινες, περὶ ὧν φησιν "Αἰνείαο βίη Τρώεσ⟨σ⟩ιν

3. ὅτε ut textus ‖ 5. schol. praecedenti adhaeret ‖ 8. ὥσπερ B ‖ 10. μιῇ : corr. Schneider Call. II p. 774 ‖ πᾶσαν ἐέργοι etiam Cornutus 17 : πάντα καλύπτοι vel καλύπτῃ Hesiodi codd. ‖ 18. κεν etiam textus ‖ 26. ἔπλεν textus : ἔπλευ ‖ 27. γενόμενον scripsi : δεχόμενον ; συγκοπὴν δεχόμενος coni. Bekker ‖ 30. οὕτως pr. ‖ 31. λείποντο

ἀνάξει" (Il. 20. 307). §. "πέρθετο" ἀντὶ ἀορίστου τοῦ ἐπορθήθη. §. ἐπεὶ
B= δὲ εἰς τὸν θάνατον Ἕκτορος μέλλει τελευτᾶν ἡ ποίησις, ὅπως μὴ οἰηθῇ τις ἐπικρατέστερα γεγονέναι τὰ τῶν Τρώων, εἶπεν ὅτι ἐπορθήθη, ἵνα μὴ λυπώμεθα νῦν τὰς τῶν Ἑλλήνων ἀκούοντες συμφοράς.

14. * πολλοὶ δέ] Ἰακὴ διαίρεσις.

16. * Ἀργεῖοι δέ] καὶ τούτων δὲ ὅτε ἀπενόστησαν οἱ περιλειφθέντες· ἅμα δὲ καὶ προανακρούεται τὴν Ὀδύσσειαν.

17. * δὴ τότε] Μιλησίων ἡ ἀναστροφὴ τὸ "δὴ τότε." §. τὸ δὲ "μητιόωντο" δευτέρας συζυγίας τῶν περισπωμένων.

B= 18. * ἀμαλδῦναι] καθ' ἅλμης δῦναι.

19. * Ἰδαίων ὀρέων] ἢ τῶν ἄκρων Λεκτοῦ Φαλακρῶν Γαργάρου, ἢ ἀντὶ ἑνικοῦ τῆς Ἴδης τοῦ ὄρους.

20. Ῥῆσος] Ῥοείτης μετωνόμασται· ῥεῖ δὲ πρὸς ἄρκτον ἀπὸ Καλῆς Πεύκης, ἥτις ἀπέχει ἀπὸ Ἀδραμυττίου στάδια ρπ'.

Κάρησος] Πίδυς καλεῖται· ῥεῖ δὲ ἀπ⟨ὸ Μα⟩λοῦντος· Κυζικηνοὶ
ὀξυτόνως αὐτὸν καλοῦσιν· ἐμβάλλει δὲ εἰς Αἴσηπον. §. "Κάρησος" δὲ ὡς κάμηλος.

Ῥοδίος] Δάρδανος καλεῖτας· ῥεῖ δὲ ἀπὸ Κλεανδρίας διεχούσης Πεύκης σταδίους ξ'. §. "Ῥοδίος" δὲ ὡς "Ὀδίος" (Il. 2. 856).

21. Γρήνικος] ἐπεὶ Ἀλέξανδρος ἐκεῖ τοὺς Δαρείου σατράπας ἐνίκησεν· Γραικοὶ δὲ οἱ Ἕλληνες· ῥεῖ δὲ πρὸς ἀνατολὰς Ἑλλησπόντου.

δῖός τε Σκάμανδρος] "δῖος," ἐπεὶ μόνος υἱός ἐστι Διός. πῶς οὖν περὶ τὴν πόλιν αὐτοῦ εἰσιν αἱ πηγαί (Il. 22. 147); ἢ ἐκεῖναι πιδύματα αὐτοῦ εἰσιν.

22. * Σιμόεις] καὶ ἄλλος ἐν Κρήτῃ· ἔστι δὲ μικρὸς ὁ Σιμοῦς.

A=B− βοάγρια] τὰ ἐκ τῆς βοῆς ἀγρευόμενα, ἢ βόεια γέρρα, ὅ ἐστι δέρρα· ἢ ⟨τὰ⟩ ἐξ ἀγρίων βοῶν γενόμενα.

B= 23. καὶ ἡμιθέων γένος ἀνδρῶν] οὐδέποτε τοὺς σὺν Ἀγαμέμνονι ἡμιθέους ὠνόμασεν· ἆρα οὖν τοὺς σὺν Ἡρακλεῖ φησιν; ἢ πρὸς αὔξησιν τοῦ πάθους.

24. ὁμόσε στόματα] "ὁμόσε" τοὺς ἐκ διαφόρων τόπων μισγομένους.

A+ 25. ἐννῆμαρ] οἱ μὲν "ἐν ἦμαρ," οἱ δὲ "⟨ἐννῆμαρ⟩," ὅτι εὐεπίφορός ἐστιν εἰς τὸ β'· οἱ δὲ πρὸς παντελῆ ἀπώλειαν.

9. δύο συζυγιῶν: corr. Bekker ‖ 13. Ῥοίστης ‖ 14. Ἀδραμυτείου ut Eust. ‖ 15. suppl. Hercher Hom. Aufs. p. 82 ex Strabone XIII p. 603 ‖ 16. ἐ. δὲ scripsi: ἐ. γὰρ ‖ 18. Κλεωνδρίας ἐχούσης: corr. Hercher p. 81 ex Str. ‖ 26. ἐκ βοῆς Apoll. Soph. Et. M. Eust., εἰς τὴν βοὴν ut A B ‖ ἀγρευόμενα Apoll. Soph. Et. M.: ἀγειρόμενα A B Eust. ‖ 27. supplevi ex A B ‖ 29. ἡμιθέους B: ἠιθέους ‖ καὶ τοῦτο post ἢ add. B ‖ 31. ὁμόσσε στ. ‖ 33. τὰ β'

26. ἁλίπλοα] ἐπὶ θαλάσσῃ πλέοντα· τινὲς δὲ τὰ ξύλινα τοῦ τείχους.

27. αὐτὸς δ' Ἐν⟨ν⟩οσίγαιος] τοῦτο ἐπὶ δεσπότου ἢ βασιλέως Β− τίθεται· ἔστιν οὖν πάντων ποταμῶν δεσπότης· διὸ Ἀχελῷος μὲν "κρείων" (Il. 21. 194), αὐτὸς δὲ "εὐρυκρείων" (Il. 11. 751).

ἔχων—τρίαιναν] ἁλμυρὰ γὰρ καὶ γλυκέα καὶ μικτὰ ⟨τὰ⟩ ὕδατα· Β− ἢ ὅτι σεισμῶν εἴδη γ', χασματίαι βρασματίαι ⟨καὶ κλιματίαι⟩.

28. κύμασι πέμπε] εἰς κύματα, ὡς τὸ "ἦλθε δ' ἐπὶ Κρήτε⟨σ⟩σι" (Il. 4. 251).

29. * φιτρῶν καὶ λάων] οὕτως Ἀμαθούσιοι.

φιτρῶν καὶ λάων, τὰ θέσαν] ἐὰν στίξωμεν εἰς τὸ "πέμπε," Α+ συνάγομεν τὸ ἑξῆς ἕως τοῦ "θέσαν·" ἐὰν δὲ εἰς τὸ "λάων," ⟨τὸ⟩ "θέσαν" τῶν ἑξῆς ἐστιν.

λάων] λᾶας λαάων λάων, ὡς Αἰακιδάων.

τὰ θέσαν μογέοντες Ἀχαιοί] τοῦτο ἀνεφώνησεν ὥσπερ συναχθό- Β= μενος τῷ καμάτῳ τῶν Ἑλλήνων ἀναιρουμένων. §. ἃ μετὰ καμάτου, φησίν, εἰργάσαντο, οὕτως ἄρδην ἠφανίσθη· τινὲς δὲ διὰ τὴν Ἀχιλλέως μῆνιν, ὃς ἦν αὐτοῖς τεῖχος ἔμψυχον. §. "μογέοντες" οὖν ἀτυχοῦντες. Β=

30. * λεῖα δέ] "λεῖα" τὰ χωρία τοῦ τείχους. §. τὸ δὲ "ἐποίησεν" διὰ τοῦ ε̄. Α+

33. ᾗ—πρόσθεν ἴεν] ψιλωτέον τὸ "ἴεν" καὶ ἐνικῶς ἐκδεκτέον ἐπὶ Α+ τοῦ ὕδατος, ὡς τὸ "ἆσσον ἴεν πολυκάρπου ἀλωῆς" (Od. 24. 221)· ἐὰν δὲ δασέως "ἶεν," ἀντὶ τοῦ ἴεσαν.

* ᾗ⟨περ⟩ πρόσθεν ἴεν—ὕδωρ] ὅπου πρώην ἐπορεύετο τὸ ὕδωρ.

35. τότε δ' ἀμφὶ μάχῃ] προληπτικῶς—οὔπω γὰρ ἦσαν φθάσαντες εἰς αὐτο—ἢ ὅτι ἐν κεφαλαίοις λέγων οὐ λεπτολογεῖ.

36. * εὐδμητον] εὖ δεδομημένον.

κανάχιζε δὲ δούρατα] ἂν στίξωμεν εἰς τὸ "δούρατα," λείπει Α+Β− ἡ κατά, κατὰ τῶν πύργων. §. ⟨"δούρατα"⟩ ἢ αἱ πύλαι ἢ οἱ φιτροί.

37. Διὸς μάστιγι δαμέντες] τῷ κεραυνῷ· καὶ ἀλλαχοῦ "Διὸς Α+Β− μάστιγι κακῇ" (Il. 13. 812). §. πολιορκοῦνται Ἑλένην θέλοντες, Β− καὶ περὶ ἑαυτῶν κινδυνεύουσιν· Ἕκτωρ ἀντὶ τοῦ συμβουλεῦσαι παρακαλεῖ· προαναφωνεῖ δὲ ὅτι ἐκ Διὸς ἦν ἡ ἧσσα· εἰ μὴ γὰρ ἦν τοῦτο, οὐκ ἂν πάντες ἐδεδίεσαν ἕνα τὸν Ἕκτορα.

1. ἐπὶ W ex D: ὑπὸ ‖ 2. τοιοῦτον ἐπὶ B ‖ δ. καὶ β. B ‖ 6. supplevi ex B², om. etiam Eust.: καὶ σεῖστα supplet sec. ‖ 13. schol. praecedenti adhaeret ‖ λαάων scripsi: λάλων ‖ 14, 15. ὡς συναλγῶν τῷ κόπῳ B ‖ 25. οὐ λ. scripsi, οὐ καταλ. coni. W: καταλ. ‖ 31. Ἕκτωρ W: Νέστωρ

A+ 40. αὐτὰρ ὅ γ', ὡς τὸ πρόσθεν, ἐμάρνατο] ὑποστικτέον εἰς τὸ "πρόσθεν·" τὸ δὲ "ἐμάρνατο" κοινόν.

μάρνατο ἶσος ἀέλλῃ] μέμνηται τῶν ἐπῶν ἐκείνων "ἐν δ' ἔπεσ' ὑσμίνῃ, ὑπεραέι ἶσος ἀέλλῃ" (Π. 11. 297).

B− 41. ὡς δ' ὅταν ἔν τε κύνεσσι] πρὸς ἓν μόνον ἤνεγκε τὴν εἰκόνα, πρὸς τὸν Ἕκτορα τὸν ἐν τοῖς Τρωσὶν εἱλούμενον· τὰ δὲ ἄλλα οὐδὲν αὐτῷ συντείνει πρὸς τὸ εἰκαζόμενον, οὐχ ἡ τοῦ χοίρου τελευτή, οὐχ οἱ ἀκοντίζοντες ἐπὶ τοῦτον κυνηγέται, ἀλλ' ὡς ποιητικὸς κόσμος καλῶς ἔχει.

A− καὶ ἀνδράσι θηρευτῇσι] γράφεται καὶ "θηρητῆρσι·" τὴν γὰρ εὐθεῖαν θηρητήρ λέγει "θηρητὴρ ἐτύχησε" (Π. 15. 581).

42. βλεμεαίνων] ἐντεῦθεν τὸ ἀβλεμής, ἀόργητος καὶ ἀργός.

43. * πυργηδόν] πύργος ἡ κατὰ πλινθία διάταξις.

A= 44. * ἀντίοι] "ἀντίον αἴσσονται," οὕτως Ἀρίσταρχος.

45. * κυδάλιμον] τὸ γαῦρον.

A+ 46. * οὐδὲ φοβεῖται] οὐ φεύγει.

B− ἀγηνορίη δέ μιν ἔκτα] καταχρηστικῶς ἐπὶ λέοντος· καὶ ἀλλαχοῦ "ἑή τε μιν ὤλεσεν ἀλκή" (Π. 16. 753)· διδάσκει οὖν μέτρῳ χρῆσθαι ἐν τοῖς πλεονεκτήμασι, καθὸ ταῦτα ἐνίοτε φονεύει. καὶ πρὸς τὸ ἄλογον θράσος Ἕκτορος.

A+B− 49. ἰὼν ἐλίσσετο] στικτέον εἰς τὸ "εἰλίσσετο," καὶ ἔστιν ἀντὶ τοῦ εἰλεῖτο· οὐδέποτε γὰρ παρεκάλεσεν Ἕκτωρ· καὶ ἔστι σύμφωνον τῷ "ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων" (47)· οἱ δὲ 'παρεκάλει,' ὡσὰν κινδυνώδους καὶ δυσχεροῦς οὔσης τῆς πράξεως ἐφ' ἣν προτρέπεται· διὸ καὶ "ἑταίρους" πρόσκειται, οὐ Τρῶας· ἀπὸ γὰρ τῶν ἑταίρων ἄρχεται, ἵνα ἐκείνους καὶ οἱ λοιποὶ μιμήσωνται· μέμνηται γὰρ καὶ τῶν Σαρπηδόνος λόγων "ἀρχοὺς λι⟨σ⟩σομένῳ τηλεκλητῶν ἐπικούρων" (Π. 5. 491).

50. * τάφρον ἐποτρύνων διαβήμεναι] τὴν γέφυραν· αὐτὸς δὲ ἀδυνατῶν τοὺς ἄλλους προτρέπεται.

οὐδέ οἱ ἵπποι τόλμων] οἱ δ' Ἀχιλλέως "ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι" (Π. 16. 380).

B= 52. ἀπὸ γὰρ δειδίσ⟨σ⟩ετο τάφρος] ἄκρως τὰ περὶ τὴν τάφρον δεινοποιεῖ, ἀγῶνας κινῶν τῷ ἀκροατῇ καὶ ἀνελπιστίαν τῆς διαβάσεως καὶ προσοχὴν τοῦ ἐσομένου τολμήματος.

3. schol. praecedenti adhaeret ‖ 7. τὸν εἰκ. ‖ 8. ἀλλ' ὡς π. κ. καλῶς W: ἀλλὰ π. κ. λαβὼν ut legit Eust. ‖ 11. τὸ scripsi : ὁ ‖ 12. πλινθίων ‖ 17. ἔν τε ‖ 20. τὸ ἐλίσσετο

ἀπὸ γὰρ δειδίσ⟨σ⟩ετο] τὸ ἀνέλπιστον τῆς διαβάσεως θόρυβον κινεῖ καὶ ἀγωνίαν.

53. οὐ γὰρ ὑπερθορέειν] θ τέρᾳ γὰρ τρόπῳ διελθεῖν ἦν ἀναγκαῖον, B=
ἢ ὑπερθορόντας, εἴπερ ἦν σχεδόν, ἢ διαπεράσαντας βαδὴν, εἴπερ ἦν
εὐδιάβατος. ἀμφότερα οὖν παρέλαβε πρὸς τὸ ἀμήχανον· καὶ ἔστι
τὸ μὲν "οὐ γὰρ ὑπερθορέειν" ἐξήγησις τοῦ "εὐρεῖα," τοῦ δὲ "οὔτε
περῆσαι ῥηιδίη" τὸ ἐπιφερόμενον. περιττὴ δὲ ἡ κατασκευὴ τῆς
ἀπαγγελίας· τὸ μὲν γὰρ ⟨ἂν⟩ κοινὸν ἦν 'ἀπὸ γὰρ δειδίσσετο τάφρος,
εὐρεῖά τε οὖσα εἰς τὸ πηδῆσαι καὶ δυσδιόδευτος διὰ τοὺς κρημνοὺς
καὶ τοὺς σκόλοπας·' ὃ δὲ προὔταξε μὲν τὸ "εὐρεῖα," ἐπαγαγὼν δὲ
τὰ δύο, τὸ "ὑπερθορέειν" καὶ "περῆσαι," ἀνταπέδωκε τὴν αἰτίαν
τοῦ μηδὲ περᾶσαι δύνασθαι.

* οὐ γὰρ ὑπερθορέειν] πηδᾶν μὲν γὰρ τὸ πλάτος, διελθεῖν δὲ
εἶργε τὸ βάθος. λείπει δὲ ⟨τὸ⟩ ἦν.

54. κρημνοὶ γὰρ ἐπηρεφέες] τὰ ἀνενεχθέντα χώματα, ἀναχώ-
ματα.

κρημνοὶ γὰρ—περὶ πᾶσαν] Ἀρίσταρχος "διὰ πᾶσαν." §. τὸ δὲ A=
"ἐπηρεφέες" κρεμάμενοι ἢ πυκνοί.

55. ἔστασαν ἀμφοτέρωθεν] τοῦτο μὲν τὸ "ἔστασαν" δασυντέον. A+
τὸ ⟨δὲ⟩ ἑξῆς ψιλωτέον, λέγω δὴ τὸ "τοὺς ἔστασαν υἷες Ἀχαιῶν" (56).

ἔστασαν ἀμφοτέρωθεν] ὥστε μήτε τὴν κατάβασιν ῥᾳδίαν εἶναι B=
μήτε τὴν ἔκβασιν.

* ἔστασαν] συστολὴ ἐκ τοῦ ἔστησαν. A+

57. πυκνοὺς καὶ μεγάλους] "πυκνούς" εἰς τὸ μὴ μεσάζεσθαι, B=
"μεγάλους" δὲ εἰς τὸ μὴ ὑπερβαίνειν.

58. ἔνθ' οὔ κεν ῥέα] ἠθικῶς δεινοποιήσας τὴν "ῥέα" φησὶ
'παρελθεῖν οὐκ ἐνῆν.'

59. ἐσβαίη] αἱ Ζηνοδότου καὶ Ἀριστάρχου "καββαίη," ἐπεί A=
φησι "καταβήμεναι οὐδὲ μάχεσθαι" (65).

μενοίνεον] ὅρα οὖν τὴν ἀποπληξίαν τοῦ Ἕκτορος.

60. θρασὺν Ἕκτορα] εὔκαιρον τὸ ἐπίθετον.

*Ἕκτορα εἶπε παραστάς] δύναται 'παρ' Ἕκτορα στὰς εἶπεν.' A+

3. οὐ γὰρ etiam textus : οὔτ' ἄρ' B ‖ 6. οὔτ' ἄρ' B ‖ τοῦ δὲ B: τὸ δὲ ‖ 11, 12. περάσαι ‖ 14. δὲ ἡ εἰς: suppl. et corr. W ‖ 17. schol. prae denti adhaeret ‖ Ἀριστοφάνης A ‖ 20. schol. praecedenti adhaer 24. μεσάζεσθαι ‖ 26. ῥέαν ‖ 28. ἡ Ζηνοδότειος καὶ Ἀριστοφάνειο 31. εὔκαιρον scripsi, εὔκαιρον ⟨παρέλαβεν⟩ coni. W: εὐκαίρως

61. Τρώων ἀγοὶ ἢ ἐπικούρων] Τρώων Δαρδανίων καὶ Ζελειτῶν. §. "ἀγοί" δὲ κυρίως οἱ συμμαχίαν ἄγοντες.

B= 62. ἀφραδέως διὰ τάφρον] οὐκ εἶπε 'θρασέως' δι' Ἕκτορα. §. καὶ

B= τὸ "ἐλαύνομεν" δὲ τεχνικόν· καὶ ἑαυτὸν γὰρ συμπεριλαμβάνει ὡς πρόθυμος μὲν ὢν ὑπακούειν Ἕκτορι, διὰ δὲ τὸ ἀσύμφορον ἀποτρέπων τῆς ἐπιχειρήσεως.

διὰ τάφρον ἐλαύνομεν] ἢ διὰ τάφρου ἐλαύνομεν, ἢ ἐπὶ τάφρον, ἵν' ᾖ ἡ "διά" ἀντὶ τῆς ἐπί.

* ἐλαύνομεν] θέλομεν ἐλάσαι.

B– 64. ὀξέες ἑστᾶσιν, ποτὶ δ' αὐτοὺς τείχος] ἀπὸ κοινοῦ τὸ "ἑστᾶσιν·" ἀλλ' ἐπὶ τοῦ τείχους μεταβάλλεται ὁ ἀριθμός, ἀντὶ τοῦ ἕστηκεν· ἐκ δὲ τοῦ ἐναντίου "ἑσταότ'· ἀμφὶ δ' Ἀθηναῖοι, μήστωρες ἀυτῆς" (Π. 4. 328) ἀπὸ κοινοῦ τὸ 'ἵσταντο,' καὶ μεταβάλλεται πάλιν ὁ ἀριθμός.

περὶ δ' αὐτεύς] "προτὶ δ' αὐτούς," ἐγγὺς αὐτῶν· πλέον γὰρ ἀπέχει τοῦ τείχους.

B= 65. οὔπως ἐστὶν—ἱππεῦσιν] ἀλλ' οὐδὲ πεζοῖς· ἀλλ', ἵνα μὴ περὶ πάντων λέγων παροξύνῃ Ἕκτορα, περὶ μὲν τῶν πεζῶν οὐδὲν λέγει, περὶ δὲ μόνων τῶν ἱππέων προβάλλεται. ἐξῆς δέ φησιν, αὐτοὶ δὲ πρυλέες Ἕκτορι ἐπώμεθ', οἱονεὶ ἂν οὗτος ἀγάγῃ ἡμᾶς, ὡς οὐκ αὐτὸς ἀρεσκόμενος τῇ διόδῳ.

A+ 66. * ἱππεῦσιν] Ζηνόδοτος "ἱππῆας."

B= στεῖνος γάρ] τὸ δυσχερὲς τῶν τόπων οὕτως ὀνομάζει. §. οὐδέ-

A+ B– τερον δέ ἐστι τὸ "στεῖνος," καὶ προπερισπαστέον.

B= ὄθι τρώσεσθαι οἰῶ] ἐλαττωθήσεσθαι καὶ τραπήσεσθαι· τρώματα ⟨γὰρ⟩ τὰς τροπὰς Ἴωνες καλοῦσιν· καὶ "οἶνός σε τρώει" (Od. 21. 293).

A= 67. * εἰ μὲν γὰρ δή] Ἀρίσταρχος "εἰ μὲν γὰρ τούς."

B– εἰ μὲν γὰρ δὴ πάγχυ] ὡς ἔμφρων—οἶδε γὰρ ὅτι πρόσκαιρός ἐστιν ἡ εὐτυχία—καὶ τοῦ μέλλοντος προνοεῖ. εὔχομαι μὲν γάρ, φησί, τοῦτο εἶναι· ἐννοεῖν δὲ χρὴ καὶ τὸ ἕτερον, ὅτι ἐν τῇ ὑποστροφῇ τὰ δεινότερα πεισόμεθα. ἴσως οὖν καὶ καθόλου τῆς διαβάσεως ἀποτρέπει, ἀλλ' οὐ τολμᾷ τοῦτο πρὸς τὸν Ἕκτορα λέγειν. ἄλλως τε καὶ ἐκ παντὸς τὴν διάβασιν πραγματεύεται ὁ ποιητής, κινῆσαι τὸν ἐπὶ ταῖς ναυσὶν ἀγῶνα σπουδάζων.

1. Ζηλειτῶν ‖ 4. ἐμπεριλαμβάνει ut B ‖ 12. ἵσταται ἐκ B ‖ ἑσταῶτες ‖ 23. τὸν δυσχερῆ τόπον B ‖ 26. supplevi ex B ‖ 27. Ἀριστοφάνης A

70. νωνύμους] κατὰ πρόληψιν τῶν ἐσομένων· ἢ ἄνευ ὑμῶν, ὃ ἐστιν εὐφημίας τῆς διὰ θρήνων. B+

72. ἐνιπλήξωμεν] ἀκουσίως ἐμπέσωμεν· "ἔρκει ἐνιπλήξωσιν" (Od. 22. 469). B−

73. οὐδ' ἄγγελον ἀπονέεσθαι] ἐπίσταται τὸ μέγεθος τοῦ κινδύνου· ἐμφαντικῶς δὲ αὐτὸν παρέστησε διὰ τοῦ περὶ τὸν ἄγγελον διανοήματος. B=

74. ἑλιχθέντων ὑπ' Ἀχαιῶν] ἡμῶν κυκλωθέντων ὑπὸ τῶν Ἀχαιῶν, ὥστε σκοπὸς αὐτῷ μὴ διαβαίνειν τὴν τάφρον. B=

75. * ὡς ἂν ἐγώ] Ζηνόδοτος "πῶς ἂν ἐγώ." A=

77. πρυλέες σὺν τεύχεσι] ἡ "σύν" ἀντὶ τῆς ἐν, ὡς τὸ "τὴν μὲν ἐγὼ σὺν νηί τ' ἐμῇ" (Il. 1. 183)· ἢ στικτέον εἰς τὸ "σὺν τεύχεσι." A+

πρυλέες] οὕτω Γορτύνιοι.

σὺν τεύχεσι θωρηχθέντες] ὡς ἐσμεν θωρηχθέντες.

"Εκτορι πάντες ἑπώμεθα] προσαγωγῶς πάνυ ἐπαίρει τὸν στρατηγόν· ἠρέμα δὲ καὶ δείκνυσι τὸν κίνδυνον, ὡς οὐκ αὐτὸς ἀρεσκόμενος τῇ εἰσόδῳ. §. καὶ τὸ "ἀολλέες" δὲ εἰς ἐπίτασιν, ὅτι στῖφος δεῖ τῶν ἀρίστων γενέσθαι, εἰ πρὸς τὸ ἔρυμα τῶν πολεμίων χωρήσειν μέλλομεν. B=

* δυσαρεστεῖ τῇ εἰσόδῳ Πολυδάμας.

80. ἄδ⟨ε δ'⟩ "Εκτορι μῦθος] ἐπειδὴ οὐδὲν ἔχει ἄλλο ποιῆσαι, πείθεται νῦν αὐτῷ ὁ "Εκτωρ· ἀλλαχοῦ δὲ "οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις" (230).

81. αὐτίκα δ' ἐξ ὀχέων] εἰκότως οὐδὲ ἀποκρίνεται διὰ τὴν ἔπειξιν. B=

§. τὸ δὲ "αὐτίκα" τῆς ἐπείξεως σημαντικόν. B=

83. πάντες ὄρουσαν] ἑωρακότες "Εκτορα σύμψηφον τῇ βουλῇ Πολυδάμαντος.

85. αὖτ' ἐπὶ τάφρῳ] τινὲς "αὖθι." §. τὸ δὲ "ἀρτύναντες" (86) καταρτίσαντες Ἀρίσταρχος. B−

86. * "διαστάντες" τῶν ἵππων ἢ ἑαυτῶν. B=

* "ἀρτύναντες," οὕτως ἡ γραφή.

87. πέντε χα] τοσαῦται γὰρ ἡγεμονίαι Τρώων· οἱ δέ, ἐπεὶ πέντε ἦσαν πύλαι. ἢ ἵνα ἀνὰ δύο μέσον δορυφοροῖεν "Εκτορα, ὃ καὶ ἄμεινόν μοι εἶναι δοκεῖ. B=

10. Z. διὰ τοῦ τ τὼς A ‖ 13. schol. praecedenti adhaeret ‖ 16. ἡ. δὲ ὑποδείκνυσι B ‖ 21. ἐπεὶ μηδὲν ‖ ἔχει W: ἔστι ‖ 33. δορυφοροῖεν B: δορυφορεῖεν

ἅμ᾽ ἡγεμόνες⟨σ⟩ιν ἕποντο] τὸ οὖν "Ἕκτορι πάντες ἑπώμεθα" (78) περὶ τῶν ὑφ᾽ Ἕκτορι τεταγμένων φησίν.

88. οἳ μὲν ἅμ᾽ Ἕκτορι] ὡς ἐπὶ νεαρῷ ἐγχειρήματι κατάλογον ποιεῖται· εἴωθε γὰρ προανακρούσεις ποιούμενος καὶ τὴν Μοῦσαν καλεῖν ἔσθ᾽ ὅτε· τὸ δὲ ὅμοιον εὑρήσομεν ἐπὶ τῇ τοῦ Πατρόκλου ἐξόδῳ (Il. 16. 306).

89. οἳ πλεῖστοι καὶ ἄριστοι] οἱ Ἰλιεῖς· οὗτοι γὰρ καὶ τὸ τεῖχος ἔρρηξαν.

B= 91. καί σφιν Κεβριόνης] ἄκρως ἐπεξειργάσατο τὴν προθυμίαν Ἕκτορος τὸ μηδὲ τοῦ ἡνιόχου ἀποσχέσθαι ἀλλὰ καὶ τοῦτον παραλαβεῖν ὡς ἐπὶ ἀναγκαίαν πρᾶξιν.

92. ἄλλον Κεβριόναο χερείονα] οὐχ ὡς συγκρίσεως οὔσης χείρονα, ἀλλ᾽ ἁπλῶς λέγει ἥττονα ἐκείνου· αἱ δὲ τοιαῦται διατάξεις καὶ ἐπὶ Πατρόκλου καὶ Αὐτομέδοντος (Il. 16. 219).

93. τῶν δ᾽ ἑτέρων Πάρις ἦρχε ⟨καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ⟩] τῶν ὑπὸ τοὺς Μεροπίδας ἄρχουσιν (Il. 2. 831).

τῶν δ᾽ ἑτέρων] Τρώων δηλονότι· λέγει δὲ ἴσως τῶν Ζελειτῶν.

94. καὶ Δηίφοβος θεοειδής] διὸ Ἑλένη μετὰ τὸν Ἀλέξανδρον αὐτὸν ἐξελέξατο.

95. τρίτος δ᾽ ἦν Ἄσιος ἥρως] οὗτος καὶ τῶν ἰδίων καὶ τῶν ὑπὸ Ἄδραστον καὶ Ἀμφιον ἄρχει (Il. 2. 831).

B= 96. Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι] μέλλων αὐτοῦ θρασεῖαν διηγεῖσθαι πρᾶξιν, εἰκότως ἐπεσημειώσατο αὐτὸν διὰ τῶν ἵππων καὶ τοῦ πατρός. §. Ἀρίσβη δὲ πόλις Ἑλλησπόντου· φησὶν δέ, ὅτι θαρρῶν αὐτοῖς πεζὸς ἦκεν εἰς Ἴλιον. §. "αἴθωνες" δὲ μέλανες ἢ εὐκίνητοι ἢ πυρροί.

99. Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε] ὡς φύλακες διὰ τὸ ὑπονοεῖσθαι αὐτὸν ἐπανιστάμενον τοῖς Πριάμου πράγμασιν· "ἀεὶ γὰρ Πριάμῳ ἐπεμήνιε" (Il. 13. 460).

101. Σαρπηδὼν δ᾽ ἡγήσατο—ἐπικούρων] διὰ τί οὐ Γλαῦκος ἦρχεν, ἀλλὰ Σαρπηδών; καίτοι Γλαῦκος ἐξ ἀρσένων ἦν. ἢ ἐπεὶ ἀμφισβητούντων περὶ βασιλείας πρόκλησις ἦν διατοξεῦσαι δακτύλιον ἐπικείμενον στήθει παιδὸς ὑπτίου· καὶ ἡ μὲν ἀδελφὴ τὸν ἑαυτῆς δέδωκεν, ἡ γυνὴ δὲ οὔ· ἢ ἐπεὶ ἀδελφῆς καὶ μοιχευομένης οὐ νοθεύεται τὸ γένος, ἀλλὰ γυναικός.

1. τὸ scripsi: τῷ ‖ 12. λέγειν ‖ 16. schol. praecedenti adhaeret ‖ 18. ἐπελέξατο ‖ 22. ἀπεσημειώσατο B ‖ 26. φύλακας ‖ 29. τί μὴ

102. Ἀστεροπαῖον] νεήλυδα ὄντα, ἀπὸ τῆς ὄψεως τὸ εὐγενὲς στοχασάμενος.

104. * ἄλλων] ἐπικούρων δηλονότι.

ὃ δ' ἔπρεπε καὶ διὰ πάντων] ὑπὲρ πάντων· περισσὸς δὲ ὁ "καί."

105. ἀλλήλους ἄραρον] ἔφραξαν, ἐπύκνωσαν. §. τὸ δὲ "βύεσ- B+
⟨σ⟩ιν" ἀπὸ τοῦ πλεονάζοντος· τινὲς γὰρ χρυσᾶς καὶ χαλκᾶς εἶχον B=
ἀσπίδας. §. "ἀλλήλους" ἀντὶ τοῦ ἑαυτούς.

106. * Δαναῶν] ἐξ ἐναντίας.

107. ἀλλ' ἐν νηυσὶ—πεσέεσθαι] ⟨ἐμ⟩πεσεῖσθαι ἔλεγον τοὺς B=
Ἕλληνας ταῖς αὐτῶν νηυσίν· πᾶν γὰρ τὸ βουλῇ καὶ δυνάμει προφέρον ἦν τῶν Τρώων.

108. ἔνθ' ἄλλοι Τρῶες] πάντων ἅμα καὶ πολιτῶν καὶ ξένων B−
πεισθέντων Πολυδάμαντι Ἄσιος ἀποβῆναι τοῦ ἅρματος οὐκ ἠθέλησεν.
διαφέρουσι δὲ ἐπίκουροι καὶ σύμμαχοι· ἐπίκουροι οἱ πολεμουμένοις ἥκοντες βοηθοί, σύμμαχοι δὲ οἱ σὺν αὐτοῖς ἐξελθόντες. διὸ ἐπὶ Ἑλλήνων οὔ φησιν ὁ ποιητὴς 'ἐπίκουροι.'

110. ἀλλ' οὐχ Ὑρτακίδης ἔθελε] βαρβαρικὴ ἡ ἀπείθεια. ἕτερος B−
μὲν ἂν ποιητὴς τῷ Πολυδάμαντι ἐποίησε πάντας πειθομένους, ὁ δὲ Ὅμηρος μιμούμενος τὴν ἀλήθειαν ἕνα γοῦν τὸν ἀπειθοῦντα εἰσάγει. διὰ τί δὲ ἕνα τοῦτον; ὅτι μάλιστα τοῖς ἵπποις ἠγάλλετο· μεγάλοι γὰρ ἦσαν· οἷς καὶ θαρρῶν ἀπόλλυται.

113. νήπιος, οὐδ' ἄρ' ἔμελλε] σημαντικωτάτῳ ὀνόματι χρῆται B−
τῷ "νήπιος" ἐν ταῖς ἀναφωνήσεσιν· "νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος" (Od. 1. 8), "νήπιος, οὐδὲ τὰ ἤδη" (Il. 2. 38) καὶ ἐπὶ τοῦ κεκοσμημένου τῷ χρυσῷ "νήπιος, οὐδέ τι οἱ τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον" (ib. 873). §. τὸ δὲ "ἔμελλε" ἀντὶ τοῦ ἐᾠκει.

114. ἵπποισ⟨ιν⟩—ἀγαλλόμενος] τὸ παιδαριῶδες αὐτοῦ ἐσήμανεν ἐν B=
τοιούτῳ καιρῷ καὶ τόπῳ καλλωπιζομένου ἵπποις· παρὰ τὸν καιρὸν οὖν καὶ αἱ χρήσεις τινῶν ἢ βλαβεραὶ ἢ ὠφέλιμοι καθεστᾶσιν.

παρὰ νηῶν] ἔδει ἀπὸ νηῶν· ἡ γὰρ "παρά" ἐμψύχων ἐστίν. "παρὰ νηῶν" οὖν ἀντὶ τοῦ ἀπὸ νηῶν. §. στικτέον δὲ εἰς τὸ "ἀγαλλόμενος." A+

116. μοῖρα δυσώνυμος ἀμφεκάλυψεν ἔγχει Ἰδομενῆος] τεχνικὸν B=

7. φασὶν ὅτι post γὰρ add. B ‖ περιχρύσους B ‖ καὶ χαλκᾶς om. B ‖ 10. supplevi ex B ‖ 13. ἅμα B: ὅλως ‖ 23. κέχρηται B ‖ 26. τῷ γ' ‖ 29. γὰρ pro οὖν B ‖ 30. ἢ ὠ. scripsi, ἤπερ Eust. : καὶ

τὸ καὶ τὴν ἀναίρεσιν προειπεῖν, καὶ ὑφ' ὅτου γενήσεται· οὕτω γὰρ ⟨ἂν⟩ ὁ ἀκροατὴς πολυπραγμονοίη καὶ τοῖς ἔμπροσθεν ἐντυχεῖν. §. "δυσώνυμος" δὲ ἡ κακὸν ὄνομα ἔχουσα τὸν θάνατον.

A+B= 118. εἵσατο γὰρ νηῶν] ὥρμησεν· ἢ ἐφάνη, "εἵσατο δ' ὡς ὅτε ῥινόν" (Od. 5. 281)· "εἵσατο" ἔγνω, "εἴσομαι αἴ κ' ἔμ' ὁ Τυδεί- 5
δης" (Π. 8. 532)· "εἵσατο" ὥρμησεν, ἀπὸ τοῦ εἶμι· διὸ καὶ ψιλοῦμεν τὴν λέξιν.

B− εἵσατο—νηῶν ἐπ' ἀριστερά] αἰτίαν ἐπάγει τῆς ὑπὸ τοῦ Ἰδομενέως ἀναιρέσεως Ἀσίου, ὅτι κατὰ τὸ ἀριστερὸν τῶν νεῶν ὥρμησεν· ὁ γὰρ Ἰδομενεὺς ἐν τοῖς ἀριστεροῖς μέρεσι τοῦ ναυ- 10
στάθμου ἐστίν, ὅπου καὶ Αἴας ἐνεώλκει παρὰ τὸ Ῥοίτειον, ὡς δῆλον ἐξ ἐκείνων τῶν στίχων· "ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν, ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα· τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω" (Π. 10. 111). εἰ τοίνυν εὑρίσκομεν ὑπὸ Ἰδομενέως ἀναιρούμενον ὡσὰν τῶν Κρητικῶν νεῶν προμαχομένου, δῆλον ὡς 15
ἀκόλουθόν ἐστιν ἐνθάδε τὸ "νηῶν ἐπ' ἀριστερά."

τῇ περ Ἀχαιοὶ ἐκ πεδίου νίσσοντο] ἐκεῖ γὰρ ἦν ἡ ἱππήλατος πύλη, δι' ἧς ἐλαύνειν ἐπεχείρει ὁ Ἄσιος· ἔδει δὲ εἰπεῖν 'εἰς πεδίον νίσσοντο.' "ἐκ πεδίου" οὖν ἀντὶ τοῦ εἰς πεδίον.

121. *ἐπικεκλιμένας] ἀντὶ τοῦ κεκλεισμένας. 20

A+B− μικρὸν ὀχῆα] τὸν ἐξ ἑκατέρου μέρους ἐπιβαλλόμενον μοχλὸν φησι—"δοιοὶ δ' ἔντοσθεν ὀχῆες εἶχον ἐπημοιβοί" (455)—ὡς τὸ "τὸν δ' ἐλατῆρ' ἀφίει" (Π. 11. 702).

122. ἀναπεπταμένας ἔχον] πρὸς τὸ φιλάλληλον τῶν Ἀχαιῶν· τῷ δὲ Πριάμῳ ἐδέησε τοῦ καὶ παραγγεῖλαι· "πεπταμένας ἐν χερσὶ 25
πύλας ἔχετ', εἰσόκε λαοί" (Π. 21. 531).

ἄλλως: τοῦτο ἀλλαχοῦ δεδήλωκεν εἰπών "πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσόκε λαοὶ ἔλθωσι προτὶ ἄστυ" (ib.). κατεῖχόν φησιν αὐτὰς ἀναπεπταμένας, ὥστε εἰσελθόντων κλεῖσαι.

B= 124. ἰθὺς φρονέων] κατ' εὐθὺ τῶν πυλῶν. §. "φρονέων" δὲ πε- 30
AB~ φρονηματισμένος.

B= οἱ δ' ἅμ' ἕποντο] ὅμοιοι τούτῳ ⟨καὶ οἱ ἑπόμενοι⟩· διὸ ἐπ' αὐτῶν τῷ ἐπιφθέγματι ἐχρήσατο "νήπιοι," τὴν εὐήθη αὐτῶν ἐπιβολὴν ἐξελέγχων.

1. καὶ τὸ τ. B ‖ οὕτως B: ὅπως ‖ 9. ἐπὶ τὰ ἀριστερὰ B ‖ 15. νηῶν ‖ 16. τὸ scripsi: τῶν ‖ 17, 19. νείσοντο ut textus ‖ 30, 31. πεφρονηματισμένος W: ἐπὶ φρονήματι ἐπαιρόμενος B, ἐπιφρονηματισμός ‖ 32. τοὶ δ' textus ‖ supplevi ex B ‖ 33. εἰσβολὴν B ‖ ἐλέγχων B

125. κεκλήγο⟨ν⟩τες] ἀπὸ τοῦ κεκλήγω Συρακουσίου ἐνεστῶτος Α+
ἀκόλουθος μετοχὴ κεκλήγων βαρυνομένη.

127. δύ' ἀνέρας εὗρον ἀρίστους] ὑπερβάλλων ὁ ἔπαινος, ὅτι τὴν Β−
τοσούτων ἐπιφορὰν δύο ἀπεκρούσαντο. ἐνίους μὲν γὰρ δι' ὅλου ἐξέχον-
τας προάγει, ἐνίους δὲ ἐν τοῖς κατὰ μέρος συνίστησιν. ἄριστοι οὖν οἱ ἐν
τῷ ἐπισφαλεστάτῳ κινδύνῳ ἀνδρισάμενοι, ἐν ᾧ καὶ τοὺς λοιποὺς Ἕλλη-
νας φεύγειν συνέβαινεν. ἔστι δὲ καὶ ἀξιόπιστον στενὴν δίοδον ὑπὸ δυεῖν
γενναίων φυλαχθῆναι συλλαμβανόντων ἄνωθεν ἀπὸ τοῦ τείχους (145).
§. Ζηνόδοτος δὲ "ἀνέρε—ἄριστω" γράφει ⟨καὶ⟩ "υἷε ὑπερθύμω." Α+

128. Λαπιθάων] Ἀρίσταρχος ἐκ τούτων φησίν, ὅτι Λαπίθαι
κατὰ Ἰδομενέα ⟨νε⟩νεωλκήκασιν.

129. τὸν μὲν Πειριθόου υἷα, κρατερὸν Πολυποίτην] παρατήρει τὸ
ποικίλον τῆς ἀπαγγελίας· ἑκατέρου γὰρ τὸ ὄνομα λέγει, καὶ τὸν
πατέρα μετὰ ἐπιθέτου· ἀλλ' ὅρα τὴν ἐξαλλαγήν· τὸν μὲν τοῦδε υἷα τὸν
Πολυποίτην, τὸν δὲ οὐκέτι ἔφη Κορωνοῦ υἷα, ἀλλὰ τὸ κύριον προσέ-
θηκεν· εἶτα ἐπαινέσας "βροτολοιγῷ ἶσον Ἄρηι" (130) καὶ περὶ τοῦ
πατρὸς ἀποδίδωσιν "υἱὸν ὑπερθύμοιο Κορωνοῦ Καινείδαο," εἰπών τε
"υἷας" (128) πάλιν ἐπήγαγεν υἷα, "τὸν μὲν—υἷα" καὶ "υἱὸν
ὑπερθύμοιο Κορωνοῦ."

132. ὡς ὅτε ⟨τε⟩ δρύες] μάλιστα γὰρ βαθύρριζοι, καὶ οὐχ ὑπεί- Β+
κουσαι ἀνέμοις οὐδὲ τοῖς τῶν ὄμβρων κατακλυσμοῖς.

ὡς ὅτε—δρύες] ἡ προκειμένη ἀπὸ τῶν δρυῶν εἰκὼν πρὸς τὴν
στάσιν, ἡ δὲ τῶν συῶν πρὸς τὴν καρτερίαν τῶν βελῶν· καὶ τὸ δύο
ὄντας ἀνθίστασθαι πολλοῖς ἀτάκτως βάλλουσιν εἴκασε συσὶ πρὸς
πολλῶν κυνηγετῶν ἔφοδον ἀνθισταμένοις.

134. ῥίζῃσιν—διηνεκέ⟨εσ⟩σι] εἰς πλάτος καὶ μῆκος διηκούσαις. Β=
τῷ δὲ ψόφῳ τῶν ὀνομάτων τὸ μέγεθος ἐμφαίνει.

136. μίμνον ἐπερχόμενον μέγαν Ἄσιον] "μέγα⟨ν⟩·" τὸ ἐγκώμιον
Ἀσίου φθάνει καὶ ἐπὶ τοὺς ὑπομένοντας αὐτόν.

137. βόας αὔας] μονῆρες τὸ αὖος· οὐδὲν γάρ ἐστι δισύλλαβον Α+
εἰς ος καθαρὸν λῆγον, τῇ αὖ παραληγόμενον, κοινὸν ἢ μόνον τὸ αὖος.
§. "βόας αὔας·" τινὲς δὲ "βόας" ἀντὶ τοῦ βοέας.

140. ⟨Ἄσιον—⟩ Ἀσιάδην τ' Ἀκάμαντα—] οὗτοι τῶν περὶ τὸν

1. κεκληγότες ut textus ‖ 5. προσάγει ut B ‖ 7. δίοδον quod post δυεῖν repetierat expunxit pr. ‖ 11. κατὰ W: μετὰ ‖ 17. ἀποδώσει ‖ 17, 19. ὑπερθύμου ‖ 19. repetitur * * τινὲς ἐπάγουσι τὸ "ἶσον Ἄρηι υἱὸν ὑπερθύμου Καινείδαο ‖ 20. τε post ὅτε om. etiam textus ‖ 29. Ἀσίου Bekker: ἀεὶ οὐ

Ἄσιόν εἰσιν ἄριστοι· ἐν δὲ τῇ προκειμένῃ διατάξει οὐκ ἀναγκαῖον ἦν καὶ τούτους καταλέγειν—εἰσὶ γὰρ κατὰ τὸ ἴδιον τάγμα τοῦ Ἀσίου —ἐκεῖ δὲ τοὺς ἀρίστους ἐξ ἁπάντων κατέλεγεν (Il. 13. 771).

A+ 142. * ἐόντας] "ἐόντες" αἱ πλείους.

B= 144. ἀτὰρ Δαναῶν γένετ⟨ο⟩ ἰαχή τε φόβος τε] ἐν τῷ περὶ Λαπιθῶν λόγῳ κατέθηκε καὶ τὰ ὑπὸ τῶν ἄλλων πραττόμενα, ὅτι πρότερον μὲν ἔβαλλον ἄνωθεν, ὕστερον δὲ ἐφόδου γενομένης σφοδροτέρας τῶν πολεμίων ἐξέλιπον τὸ τεῖχος.

A+ 145. ἐκ δὲ τὼ αἴξαντε] περισσὸς ὁ "δέ." §. εἰς δὲ τὸ "αἴξαντε"

A+ ὑποστιγμὴν θετέον.

A+ 147. δέχαται κολοσυρτόν] οὕτω "δέχαται," δεδέχαται. §. "δέχαται" ὡς "νέαται" (Il. 9. 153) "δεδαίαται" (Od. 1. 23) δέαται (cf. Od. 6. 242). §. κολοσυρτὸς παρὰ τὸ τὰ κῶλα ἐπισύρειν,

A= ἢ τὸν κολῳὸν ⟨καὶ⟩ συριγμόν.

A+B= 148. δοχμώ ⟨τ' αἴσσοντε περὶ σφίσιν ἄγνυτον ὕλην⟩] ὀξυτονητέον

A= τὸ "δοχμώ·" δυϊκὸν γάρ ἐστιν. §. ὀρθοτονητέον δὲ τὴν ἀντωνυμίαν εἰς σύνθετον μεταλαμβανομένην.

B= δοχμώ τ' αἴσ⟨σ⟩οντε] δόχμιοι· παρ' ἑκάτερα γὰρ αὐτοῖς πεφύκασιν οἱ ὀδόντες.

B= ἄγνυτον ὕλην] διὰ τὸ παραθήγειν τοὺς ὀδόντας.

B+ 149. * πρυμνήν] ἄκραν.

B= ὑπαὶ δέ τε κόμπος ὀδόντων] τὸ ἑξῆς, ὑπαὶ ὀδόντων.

151. ὣς τῶν κόμπει χαλκός] ὥσπερ ἀπὸ τῶν συῶν κόμπος γίνεται· ἴσως οὖν πρὸς τοῦτο ἡ εἰκών. §. τὸ δὲ "ἄντην" ἀμεταστρέπτως μαχομένων.

A− 153. λαοῖσιν καθύπερθε] οὕτω τινὲς οὐ δεόντως· Ζηνόδοτος "λάεσσιν." §. τὸ δὲ "βίηφι" χωρὶς τοῦ ι ἐστίν.

λαοῖσιν—πεποιθότες] δῆλον ὡς ὑποστρεψάντων εἶπε τὸ "λαοῖσιν·" προέφη γάρ, Δαναῶν δὲ "γένετ⟨ο⟩ ἰαχή τε φόβος τε" (144).

154. χερμαδίοισιν—βάλλον] περιπαθῶς πάνυ· οἷοι γὰρ ἦσαν οἱ ἄνωθεν μόνον τολμῶντες βάλλειν, προελθεῖν δὲ ἀδυνατοῦντες· ἐν δὲ τῇ ἐπεξεργασίᾳ καὶ αὔξεται τὸ πάθος, 'ἀμυνόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τῶν σκηνῶν' (155).

B= 157. ἅς τ' ἄνεμος ζαής] πρὸς τὸ σύντονον καὶ πληκτικὸν τῶν λίθων.

7. ἔβαλον B ‖ 11. δεδάχαται ‖ 12. ὡς μένεται: correxi ex Et. M. p. 599, 27 ‖ 13. κῶλα Et. M. p. 525, 29 ‖ 14. supplevi ex A Et. M.: ἤγουν τὸν add. D ‖ συριγμὸν A Et. M.: συριλμὸν ‖ 15. αἴσσονται π. δὲ σφίσιν ‖ 16. τὸ B: τὼ

εἰς ἐπίτασιν οὖν τὸν ἄνεμον παρέλαβε πρὸς τὸ σφοδροτέραν τὴν καταφορὰν γενέσθαι. §. "νιφάδες" δὲ χιόνες. §. "ζαής" ὡς ἀσεβής. τὸ δὲ "ταρφειάς" Ἀρίσταρχος ὀξύνει· καὶ οὕτως ἔχει ἡ παράδοσις. A+

159. βέλεα ῥέον] ἐπέμεινε τῇ τροπῇ, τὸ συνεχὲς καὶ ἀδιαλείπτως δηλῶν.

160. ἀμφ' αὖον ἀύτευν] δύο μέρη λόγου, "ἀμφί" καὶ "αὖον," ἵν' ᾖ A+B− ἀμφ' αὐτοὺς αὖον ἀύτευν. κατεχρήσατο δὲ ἐπὶ ἀψύχων θεὶς τὸ "ἀύτευν" τινὲς δὲ περίξηρον, ἓν μέρος λόγου. §. τὸ δὲ "ἀύτευν" ἐπὶ ἀψύχων.

161. βαλλόμεναι μυλάκεσσι] οὕτω Ζηνόδοτος· αἱ δὲ πᾶσαι A+ "βαλλομένων." §. "ὀμφαλόεσσαι" δὲ ἀσπίδες αἱ περιφερεῖς, ἢ πολλοὺς ὀμφαλοὺς ἔχουσαι.

162. καὶ ᾧ πεπλήγετο μηρώ] ἀδύνατον τοῦτο ἐπὶ ὡπλισμένου· B+ ἔστιν οὖν τὸ ἡμιστίχ⟨ι⟩ον τοῦ ποιητοῦ.

164. φιλοψευδής] φιλῶν ἀπατᾶν· ψεύδειν γὰρ τὸ ἀπατᾶν. ἴσως B= δὲ διὰ τὰς βροντὰς ⟨τοῦτό φησιν⟩, ὡς δῆθεν ταύτας σημεῖα τῆς νίκης εἰληφώς. §. ὀξύνεται δέ· τὰ γὰρ εἰς ης ὑπὲρ μίαν συλ- A+B= λαβὴν ὀξυνόμενα ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον, σεσημειωμένου τοῦ ἀληθής. καὶ τὸ κριτής δὲ ἔσθ' ὅτε μεταβολὴν τόνου ποιεῖται.

167. ὥς τε σφῆκες μέσον αἰόλοι] παμφάγοι γάρ εἰσιν· αἱ δὲ μέ⟨λισ⟩σαι ἁπλῆν ἔχουσι τὴν χρόαν, ἐπεὶ ἓν ἐσθίουσιν. §. ἀξιό- πιστος δὲ ὁ παρὰ τῶν πολεμίων ἔπαινος. εὐτελεῖ δὲ ζῴῳ καὶ θυμικῷ B= παρέβαλε, τὴν μὲν ἀλκὴν ὁμολογεῖν ἀναγκαζόμενος, ἀφαιρούμενος δέ τι τοῦ τῶν ἀνδρῶν ἀξιώματος διὰ τὴν τοῦ ζῴου σμικρότητα.

μέσον αἰόλοι] τὸ μέσον εὐκίνητοι διὰ τὴν ἐντομήν. A=

σφῆκες—ἠὲ μέλισσαι] δι' ἀμφοῖν ἓν δηλοῦται. A=

170. ἀμύνονται περὶ τέκνων] συλληπτικῶς· τοῦτο γὰρ σφηκῶν, B= μελισσῶν δὲ τὸ ὑπὲρ τοῦ μέλιτος. §. τὸ δὲ "ἄνδρας θηρητῆρας" A= ἀμφοῖν δύναται εἶναι.

171. * ὣς οἵ γε] Ἀρίσταρχος "ὣς οἵδε."

καὶ δύ' ἐόντες χάσ⟨σ⟩ασθαι] ἐν ὑπερβολῇ· οἱ μὲν γὰρ προϊ- B+ στάμενοι σφῆκες ὑπὲρ τῶν τέκνων πλείους εἰσίν.

172. ἠὲ ἁλῶναι] καὶ οἱ ῥήτορες "ἁλῶναι" διχῇ φασι, ⟨ληφθῆναι⟩ καὶ κρ θῆναι θανάτου.

173. οὐδὲ Διὸς πεῖθε φρένα] ἠθικῶς πάνυ τῇ ἀναφωνήσει ⟨χρῆται⟩, B=

1. δὲ pro οὖν B ‖ 4. ἐνέμεινε coni. W ‖ 12. an τ. ἡ. λύπης δηλωτικόν ut B? ‖ 13. ψεύδεσθαι B ‖ 14. supplevi ex B ‖ 17. κατὰ μεταβολὴν τονοῦται B ‖ 19. suppl. Bekker ‖ 21. παρέβαλε B: παρέβαλλε ‖ 22. τὴν B: τῆς ‖ σμικρότητα B: σμικρότητος ‖ 31. καὶ scripsi: τὸ ‖ 33. supplevi ex B

ἅμα δὲ καὶ προλαμβάνει τι τῶν ἑξῆς θεραπεύων τὸν ἀκροατήν, ὅτι οὐ τῆς Ἕκτορος ἀρετῆς ἧττους ἐφάνησαν Ἕλληνες, τὸ κατόρθωμα Διὸς εἶναι λέγων.

B– 175. ἄλλοι δ' ἀμφ' ἄλλῃσι] Πῶς ἀπολογούμενος πρὸς τὰς ἀθετήσεις Ἀριστάρχου ταῦτά φησιν, ὅτι Ἄσιος μὲν περὶ τὴν μίαν πύλην τὴν ἱππήλατον ἐμάχετο, οἱ δὲ περὶ τὸν Ἄσιον περὶ τὰς μικρὰς πύλας· τῷ γὰρ ἄλλας μικρὰς εἶναι πύλας οὐδ' αὐτὸς Ἀρίσταρχος ἀντιλέγει· τὸ δ⟨ὲ⟩ "ἀργαλέον δέ με ταῦτα" (176) πάνυ μετρίως φησὶν εἰρῆσθαι· ἀνδρῶν γὰρ ἀναιρουμένων κατάλογον διεξιὼν καὶ τρόπους τῶν ἀναιρέσεων καὶ λόγους τῶν τε ἀναιρούντων καὶ πιπτόντων καὶ συμπτώματα τῆς τύχης καὶ πολυμερῆ μάχην εἰκότως ἐνδείκνυται δυσχερῆ τὴν τῶν τοιούτων διήγησιν. τὸ δὲ "Λαπίθαι" (181) γενναιότατον· πῶς γὰρ ἄλλως ἦν ὀνομάσαι τοὺς τῶν Λαπιθῶν υἱοὺς ἢ τῷ τῶν πατέρων ὀνόματι; ἄλλως τε καὶ Ὁμηρικὴν ἐνάργειαν ἔχουσιν οἱ στίχοι.

A+B= ἄλλοι δ' ἀμφ' ἄλλῃσι] ἀθετεῖ Ἀρίσταρχος (175–181), πρῶτον μὲν διὰ τὸ πύλας ἄλλας ὀνομάζεσθαι· ἀρέσκει γὰρ αὐτῷ μίαν εἶναι τὴν ἐν τῷ τείχει πύλην· εἶτα διὰ τὸ "ἀργαλέον δέ με ταῦτα" (176)· φησὶ γάρ, ὅτι καὶ μὴν ἔφρασε τὴν τειχομαχίαν· εἰπὼν δὲ "πληθὺν δ' οὐκ ἂν ἐγώ" (Il. 2. 488) ἐσιώπα τὸ πλῆθος· εἶτα καὶ διὰ τὸ "Λαπίθαι" (181)· εἰ μὴ γὰρ τοὺς πατέρας αὐτῶν (128) οὐ καλεῖ Λαπίθας ὁ ποιητής.

A= 176. *Ζηνόδοτος οὐδὲ γράφει, Ἀριστοφάνης δὲ ἀθετεῖ (175–181).

AB= 177. πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ λάινον] λιθίνου τοῦ τείχους ὄντος καὶ τῶν Τρώων βαλλόντων, ἐκ τῆς συγκρούσεως τῶν βαλλομένων πῦρ ἅπτεσθαί φησι πανταχόθεν τοῦ τείχους. ἔχει δὲ ἔμφασιν ὁ λόγος.

B– θεσπιδαὲς πῦρ] τὸ θερμὸν τῆς μάχης "πῦρ" φησίν· δύναται δὲ καὶ κυρίως πῦρ λέγειν, ἵνα καὶ τὸ τεῖχος αὐτὸ ἐμπρῆσαι ἐπιχειροῦντας εἰσάγῃ τοὺς βαρβάρους. καὶ τὸ "λάινον" ἐπήγαγεν ὥσπερ ἐπιμωκώμενος αὐτούς, ἐπιχειροῦντας ἐμπρῆσαι λίθους. λέγουσι δὲ πάντας ἐπελθεῖν πλὴν Ἕκτορος διὰ τὸ σημεῖον (200). §. "θεσ-

A= πιδαές" δὲ τὸ ὑπὸ θεῶν ἀναπτόμενον, ἢ τὸ ὑπὸ θείου δαιόμενον.

A+B= §. ὑποστικτέον δὲ εἰς τὸ "πῦρ·" ἔστι γὰρ τεῖχος λάινον· οἱ δὲ τὸ

A–B= πῦρ. §. "θεσπιδαές" δὲ τὸ καυστικὸν ἢ τὸ ἐκ θεοῦ σταλέν.

7. τῷ B: τὸ ‖ 12. τὴν τούτων B ‖ γελοιότατον ut B ‖ 13, 14. τῷ πατρικῷ B ‖ 14. ἐνέργειαν ‖ 16. τὸ B: τὰς ‖ 20. μὴ scripsi: μὲν ‖ post ποιητής lacuna 33 fere litt. indicata ‖ 27. αὐτῶκ B ‖ 28. εἰσάγῃ B: εἰσάγει ‖ 30. εἰσελθεῖν: corr. W ‖ 32. ἐπὶ τὸ π. A

178. * ἀχνύμενοί περ] εἰς τὸ "πέρ" ὑποστικτέον. B+

179. θεοὶ δ' ἀκαχείατο] ἐλπίδα ὑποβάλλει τοῖς ἀκροαταῖς ὅτι B=
οὐκ ἦν ταῦτα ἀρεστὰ θεοῖς, ἀλλὰ διενοοῦντο μὲν καὶ αὐτοὶ βοηθεῖν,
ᾐδοῦντο δὲ Δία.

180. ἐπιτάρροθοι] ἡ ταρ πλεονάζει, ὡς ἐν τῷ ἀταρτηρός. ἡ δὲ A=
μεταφορὰ ἀπὸ τῶν τοῖς κυσὶ βοῇ κελευόντων.

181. σὺν δ' ἔβαλον Λαπίθαι] ἐπεὶ προεῖπεν "Ἕκτορι γάρ [οἱ] B=
θυμός" (174), τὸ μὲν εἰς ὕστερον ταμιεύεται, ἐπὶ δὲ τοῦ παρόντος
πλεονεκτοῦντας ποιεῖ τοὺς Ἕλληνας, ἕως ἂν ἡ ἀπὸ τοῦ Διὸς βοήθεια
μεταγάγῃ τὴν εὐημερίαν ἐπὶ τὸν Ἕκτορα.

183. διὰ χαλκοπαρῄου] παραγωγῶς· οὐ πρόκειται γὰρ τὸ
παρήιον.

189. κατὰ ζωστῆρα τυχήσας] ἐκεῖ τὸ τυφλόν ἐστιν ἕντερον.
§. τὸ δὲ "αὐτοσχεδίην" (192) ἐπί⟨ρ⟩ρημα.

195. ὄφρ' οἳ τοὺς ἐνάριζον ἀπ' ἔντεα μαρμαίροντα] καὶ τοῦτο B=
ὑπὲρ παραμυθίας, ὅτι τὸ ἀκμαιότατον τῶν βαρβάρων ἦν τὸ πλεονεκ-
τῆσαν ἐν τῇ μάχῃ.

198. καὶ ἐμπρῆσαι πυρὶ νῆας] καὶ μὴν ἔδει διώκειν μᾶλλον·
ἀπογνόντες γὰρ τῆς ἀνακομιδῆς δεινότεροι ἂν εἶεν. ἀλλ' ἐναγώνιός
τε γίνεται ἡ ποίησις, καὶ αἱ ἀπειλαὶ αὐτοῦ "ὡς πυρὶ νῆας ἐνι-
πρήσω, κτείνω δὲ καὶ αὐτούς" (Il. 8 183).

199. οἵ ῥ' ἔτι μερμήριζον] ἅμα τῇ ἐφόδῳ Ἀσίου ταῦτα γράφει·
ἀλλ' ἅμα πάντα λέγειν ἀδύνατον.

200. ὄρνις—ἐπῆλθε] "ὄρνις—ἦλθε" χωρὶς τῆς "ἐπί" αἱ Ἀρι-
στάρχου· καὶ Ἀττικῶς ἐξέτεινε τὸ "ὄρνις."

201. αἰετὸς ὑψιπετὴς ἐπ' ἀριστερά] μέσος διῆλθεν, ἐπὶ τὰ B=
ἑαυτοῦ ἀριστερὰ τὸν Τρωικὸν "λαὸν ἐέργων," ἐν δεξιᾷ δὲ δηλονότι
τὸ Ἑλληνικὸν στρατόπεδον ἔχων.

ἐπ' ἀριστερὰ λαὸν ἐέργων] οἱ μὲν εἰς τὸ "ἀριστερά" στίζουσι A+
καὶ τὸ "ἐέργων" ἀντὶ τοῦ κωλύων ⟨λαμβάνουσιν⟩, οἱ δὲ ὑφ' ἓν
"ἐπ' ἀριστερὰ ἐέργων" ἀφορίζων ἐπὶ τὰ ἀριστερὰ μέρη τὸν λαόν.
* ἐπ' ἀριστερά] τὰ δυτικά.

202. φοινήεντα ⟨δράκοντα⟩] ᾑματωμένον· αὐτὸν γὰρ ἐσθίει. B=

203. καὶ οὔπω λήθετο χάρμης] ὁ δράκων. πιθανῶς δὲ τὸ "οὔπω," B=

2. ἀκαχείατο etiam textus ‖ 11. χαλκοπαρείου ‖ 13. τηφαὼν: corr. Bekker ‖ 15. ὄφρα ‖ 33. ᾑμαγμένον B ‖ ᾖσθιεν B

B= οἷον ‘καίτοι ἤδη λελωβημένος.’ §. καὶ τὸ “ἔτι ἀσπαίροντα” τὸν ἤδη κεκακωμένον παρίστησι καὶ τὸ “φοινήεντα” (202) πεφοινιγμένον
B= ὑπὸ τοῦ ἰδίου αἵματος. §. τὸ δὲ “κόψε” (204) τὸ ταχὺ τῆς πληγῆς
A– B= ἐσήμανεν. §. τὸ δὲ “ἰδνωθείς” (205) τὸ ὑγρὸν τοῦ δράκοντος ἐσήμανεν· ‘ἐπικαμφθείς, ὥσ⟨τε⟩ τὸ ἰνίον αὐτοῦ δονηθῆναι.’
A+ 205. *ψιλωτέον τὸ “ἰδνωθείς.”
B= 206. μέσῳ δ᾽ ἐγκάββαλ᾽ ὁμίλῳ] τῷ μεταιχμίῳ πρὸς τὸ μὴ διαβῆναι· ὡς γὰρ ὁ ἀετὸς εἰς τὸ φανερὸν τοῦ τέλους ἠστόχησεν, οὕτω καὶ οἱ Τρῶες.
B– 207. πνοιῇς ἀνέμοιο] τῷ πνέοντι ἀνέμῳ δοὺς ἑαυτὸν διὰ τὸ ὀδυνηθῆναι· καὶ ἡμεῖς οὖν “οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθα” (225) τῇ πνοῇ τῆς εὐχῆς ἑπόμενοι.

208. Τρῶες δ᾽ ἐρρίγησαν] πῶς, φασί, βοηθῶν τοῖς βαρβάροις ἐπιπέμπει νῦν οἰωνὸν ἀποτρέποντα τὰ τῆς διαβάσεως; ἄριστα δὲ ἔχει καὶ τοῦτο τῷ Ὁμήρῳ· τὴν μὲν γὰρ διάβασιν ἤθελε γενέσθαι ὁ θεὸς πρὸς τὸ ἀναστῆσαι Ἀχιλλέα· ἤδει δὲ μὴ πεισόμενον Ἕκτορα τῷ σημείῳ, πρὸς ⟨δὲ⟩ τὸ μὴ δόξαι ἀπατᾶν τοὺς Τρῶας τοῦτο ποιεῖ· οὐ κρίνει δὲ Ἕλενος πρὸς τὸ μὴ πεισθῆναι Ἕκτορα· ἀπίθανον γὰρ ἦν ἀπειθῆσαι τῷ μάντει.

Τρῶες δ᾽ ἐρρίγησαν] εἰκότως ἐκστῆναί φησι τοὺς Τρῶας· ἐν γὰρ τοιούτῳ καιρῷ φανὲν πρὸ τῆς μελλούσης ἐγχειρήσεως ἐναργὲς ἐδόκει σημεῖον εἶναι κρίσεως δεόμενον.

A– ὅπως ἴδον αἰόλον ὄφιν] μείουρος ὁ στίχος· ἀκέφαλος “ἐπειδὴ νῆάς τε” (Il. 23. 2)· λαγαρός “τῶν αὖθ᾽ ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδε” (Il. 2. 731). οἱ δὲ “ὄ⟨π⟩φιν” φασίν· ἐμφαντικώτερον δὲ ἐχρήσατο τῇ τοῦ στίχου συνθέσει, καίτοι γε ἐγχωροῦν εἰπεῖν ‘ὅπως ὄφιν αἰόλον εἶδον·’ τὴν γὰρ κατάπληξιν τῶν Τρώων καὶ τὸν φόβον παρίστησι τῷ τάχει τοῦ στίχου εἰς βραχείας τελευτῶντος συλλαβάς.

211. ἀεὶ—μοὶ ἐπιπλήσσεις—ἐσθλὰ φραζομένῳ] προδιορθώσει χρῆται, εἰδὼς ἀπειθήσοντα· πρώην δὲ οὐχ οὕτω, διὰ τὸ κεχαρισμένα λέγειν. §. “ἐπιπλήσσει⟨ς⟩” δὲ ἡ γραφὴ διὰ τοῦ π̄, οὐχὶ διὰ τοῦ ν̄. §. φασὶ δὲ τὸν πατέρα τοῦ Πολυδάμαντος Πάνθουν Δελφὸν εἶναι τὸ γένος· Τρῶας δέ ποτε θεοπρόπους ἐλθόντας αὐτόσε ἀγαγεῖν αὐτὸν πρὸς τὸν

1. τὸν ἕ. ‖ 8. εἰς τὸ φανερὸν τοῦ τέλους scripsi: ἐπὶ τὰ ξένα ἑαυτοῦ τέλος ‖ 14. ἐπιτρέποντα ‖ 17. ὅτε ante οὐ omisi ‖ 19. διερρίγησαν ‖ ἐπιστῆσαι ‖ φασὶ: corr. Bekker ‖ 20. ἐναργῶς: corr. W ‖ 22. μείουρος A, μιουρος pr. ‖ 23. λυγρὸς: corr. Bekker, cf. Ath. XIV 632 e ‖ 24. παῖδε δύω ‖ supplevi ex Eust. ‖ 30. suppl. Ludwich ex A ‖ π A: ψ

Πρίαμον ἐπὶ τῷ διηγήσασθαι τὸν χρησμὸν καὶ οὕτως αὐτὸν ἐκεῖ μεῖναι.

212. οὐδὲ μὲν οὐδὲ ἔοικε] "μέν" ἀντὶ τοῦ μήν. §. περισσὴ δὲ ἡ μία ἀπόφασις.

οὐδὲ ἔοικε δῆμον ἐόντα] προλαμβάνει τὴν ἐπίπληξιν τοῦ βασιλέως, B− ὑπομαλάσσων αὐτόν· φησὶ γοῦν ὅτι οὐκ ἔστιν ἰσηγορία τοῖς δημόταις πρὸς τοὺς βασιλέας. αὔξεται δὲ ἀρχὴ ὑπὸ χρηστῆς παραινέσεως.

213. παρὲξ ἀγορευέμεν] παρὰ τὸ δέον, παρὰ τὸ κελευόμενον πράσσειν. A~B=

215. νῦν δ' αὖτ' ἐξερέω] σοί· "νῦν" ἀντὶ τοῦ 'οὐκ ἐν ἅπασιν' B−
Ἕκτωρ γὰρ οὐ τὴν παραίνεσιν ἀποστρέφεται, ἀλλὰ τὴν ἐν ἅπασιν ἰσηγορίαν. τὰ δὲ Ἑλληνικὰ πλησίον δημοκρατίας, καὶ παρρησία πολλὴ τοῖς ἡγεμόσιν. πρὸς γοῦν τὸν Ἀγαμέμνονα Διομήδης φησὶν "Ἀτρεΐδη, σοὶ πρῶτα μαχήσομαι" (Il. 9. 32), ὁ δὲ Ὀδυσσεὺς "οὐλόμεν', αἴθ' ὄφελλες ἀεικελίου στρατοῦ" (Il. 14. 84).

217. ἐκτελέεσθαι ὀίομαι] ἄμεινον τελειοῦν εἰς τὸ "ὀίομαι." B+

218. Τρωσὶν δ' ὄρνις ἦλθε] καὶ μὴ Ἕλλησιν.

223. ὣς ἡμεῖς] ὥσπερ γὰρ κατ' ἀρχὰς κρατήσας ὁ ἀετὸς διὰ B+ τῆς ἁρπαγῆς ὕστερον κακόν τι παθὼν ἀφῆκε τὴν ἄγραν.

ὣς ἡμεῖς] τοὺς συνεχομένους Ἕλληνας εἴκασε τῷ δράκοντι.

228. ὧδέ χ' ὑποκρίναιτο] οὕτως ἂν ὑποκρίναιτο θεοπρόπος καὶ A+ B= πειθοίατο αὐτῷ οἱ λαοί· ἦ, ὃς καὶ οἶδε καὶ ἀξιόπιστός ἐστιν· αὐτὸς δὲ ἔοικεν ἀπέχεσθαι τῆς ἐπιλύσεως ὁ Πολυδάμας. §. τὸ δὲ σημεῖον, ὅτι καὶ Ἕκτωρ τὸ στῆθος βληθήσεται (Il. 14. 412), καὶ ὅπως θαρσαλεώτεροι γένοιντο Ἕλληνες.

* ὑποκρίναιτο] ἀποκρίναιτο. A+

ὃς σάφα—εἰδείη τεράων]οἷον οὕτως ἂν μαντικὸς ἀνὴρ συμβάλοι, οἷον οὐκ ἐκ στοχασμοῦ ἀλλ' ἐξ ἐφόδου τεχνικῆς τὴν ἐξήγησιν ποιούμενος.

231. οὐκέτ' ἐμοὶ φίλα] φίλως. τυραννικῶς δέ· τί γάρ, εἰ τὰ συμφέροντα λέγει τῷ πλήθει; §. περισσὸν δὲ τὸ "ἔτι."

232. οἶσθα] οὐκ ἄλλος, ἀλλὰ σύ· τὸ μὲν γὰρ ἀνοίας, τὸ δὲ μοχθηρίας ἐστίν.

235. Ζηνὸς μὲν—λαθέσθαι] ἀμελῆσαι. εἰς ἄτοπον δὲ ἡ ἀπαγωγή. B−

7. βασιλεῖς B ‖ αὔξεται W: ἄρξεται ‖ 14. ὄφελες ‖ 16. ἐπῆλθε textus ‖ 18. δὲ post ὕ. add. B ‖ παθὼν scripsi: προσλαβὼν ut B ‖ 20. ἂν ἀπεκρίνετο B ‖ 21. αὐτὸς scripsi: ἑαυτὸν ut B ‖ 22. ἀποδέχεσθαι ut B ‖ ὁ ποιητής ut B ‖ 23. ἐβλήθη ‖ 26. οὕτως scripsi: οὗ ‖ 32. ἡ εἰς ἄ. δ. ἀ.

μέμνηται δὲ τῶν Ἴριδος λόγων (Il. 11. 200). οὐ μαντικὴν δὲ ἀναιρεῖ, ἀλλὰ Διὸς γνώμην προτιμᾷ.

B+ 237. τύνη δ' οἰωνοῖσι] ὁ φρόνιμος καὶ θεοὺς τιμήσει καὶ οἰωνοῖς πείσεται, ὡς ὁ Ὀδυσσεύς (Il. 10. 274). §. τὸ δὲ "πείθεσθαι" (238) ἀντὶ τοῦ πιστεύειν.

B= 238. * τῶν] οὐ πάντων, ἀλλὰ τῶν φανέντων νῦν.

239. εἴτ' ἐπὶ δεξιὰ—εἴτ' ἐπ' ἀριστερά] τινὲς "δεξιά" τὰ νότια, "ἀριστερά" τὰ βόρεια.

B= 243. εἷς οἰωνὸς ἄριστος] ἐκεῖνος μόνος ἄριστος οἰωνὸς ὁ ὑπὲρ πάτρης κελεύων ἀγωνίζεσθαι. κελεύει δὲ ἡμᾶς φιλοπάτριδας εἶναι.

ἀμύνεσθαι περὶ πάτρης] ἀμύνεσθαι τοὺς ἐχθροὺς ὑπὲρ πάτρης μαχομένους.

B= 245. εἴ περ γάρ τ' ἄλλοι ⟨γε⟩ περὶ κτεινώμεθα—σοὶ δ' οὐ δέος] ἀποτρέπει τοὺς ἄλλους πείθεσθαι αὐτῷ, τὸ τῆς συμβουλῆς εἰς δειλίαν τρέπων. §. τὸ δὲ "νηυσὶν ἐπ' Ἀργείων" (246) Ζηνόδοτος

A= "νηυσὶν ὑπ' Ἀργείων" γράφει.

247. οὐ γάρ τοι κραδίη μενεδήιος] ἐντεῦθεν ἐκινήθησαν οἱ περὶ καρδίαν τὸ ἡγεμονικὸν λέγοντες εἶναι.

B= 249. παρφάμενος ἐπέεσσιν] ἀναγκαίως καὶ τοῦτο. ὁ γὰρ τοῦ συμβουλεύσαντος μὴ ἀποσχόμενος δῆλον ὡς οὐδὲ τοῦ πεισθέντος.

250. ὑπὸ δουρὶ τυπείς] εἰ οὕτως ὁ συμβουλεύων, πῶς ὁ πεισθείς; τὸν λόγον οὖν ἐπὶ τοῦ Πολυδάμαντος ἐνστησάμενος καὶ τοῖς ἄλλοις τεχνικῶς ἀπειλεῖ.

B= 253. ὦρσεν—ἀνέμοιο θύελλαν] ποιητικῶς τοῦτο· συνδραμόντος γὰρ τοῦ πλήθους εἰκὸς τοῦτο γεγενῆσθαι.

A+B− 258. κρόσσας μὲν πύργων ἔρυον] "κρόσσας" τὰς πολεμικὰς κλίμακας· φησὶ γοῦν "κροσσάων ἐπέβαινον" (444)· λείπει δὲ ἡ κατά, κατὰ τῶν πύργων ἔρυον, ὡς "ὥρμήθη δ' Ἀκάμαντος" (Il. 14. 488).

A+ §. Ἀρίσταρχος δὲ τὰς κλίμακας· Πορφύριος τοὺς προβεβλημένους τοῦ τείχους λίθους· πρὸς ὃ τὰ τῆς στιγμῆς.

B= καὶ ἔρ⟨ε⟩ιπον ἐπάλξεις] καὶ κατέβαλον τὰς ἐπάλξεις πρὸς τὸ γυμνῶσαι τὸ τεῖχος τῶν κρυπτομένων ὑπ' αὐτὰς Ἑλλήνων.

A+B= 259. στήλας] τοὺς θεμελίους, παρὰ τὸ ἐπ' αὐτῶν ἵστασθαι τὸ τεῖχος. οἱ δὲ τὰς ἀντηρίδας.

3, 4. πείσεται W: πείθεται ‖ 10. διδάσκει B ‖ 13. περικτεινόμεθα ‖ 17. ἐνικήθησαν: corr. Bekker ‖ 20. μὴ ἀποσχ. W: μὴ ἀνασχ. B, ὡς ἀποσχ. ‖ 21. οὕτως scripsi: σὺ ‖ 22. ἐνσπεισάμενος: corr. W ‖ 25. αὐτὴν γενέσθαι B ‖ 28. δ' post ὡς omisi ‖ 31. πρὸς B: ἐπὶ ‖ 33. αὐτῶν B: αὐτοῖς

262. οὐδέ νυ πω Δαναοί] οὐχ ὑπεχώρουν αὐτοῖς εἰσελθεῖν. πιθανῶς δὲ "νύ πω" ἔδει γὰρ πρὸ τῆς ἁλώσεως τοῦ τείχους ἀγῶνας τινὰς διαθέσθαι. B=

χάζοντο κελεύθου] τῆς ἐπὶ τὰς ναῦς φερούσης. B=

263. φράξαντες ἐπάλξεις] τὰ διάκενα τῶν ἐπάλξεων φράξαντες τοῖς ὅπλοις. αἱ μὲν γὰρ ἐπάλξεις πρόβολοι γίνονται τοῖς λοιποῖς στρατιώταις, τὸ διάκενον δὲ αὐτῶν ταῖς ἀσπίσι προσαναπληροῦται. B=

265. * κελευτιόωντο] τί; "ὦ φίλοι" (269).

267. ἄλλον μειλιχίοις] κατ' ἀξίαν πρὸς ἕκαστον, ὅπερ καὶ ἐν ἄλλοις· "ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη" (Il. 2. 188)· "ὃν δ' αὖ δήμου ἄνδρα" (ib. 198). B=

στερεοῖς ἐπέεσσιν] ἔοικε τῷ "μειλιχίοις" ὑπακούεσθαι τὸ ἐκλάκευον, ὡς ⟨ἐν τῷ⟩ "ἔδουσί τε πίονα μῆλα οἶνόν τ' ἔξαιτον" (319) λείπει 'πίνουσιν·' "δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος—ὀιστῷ" (Od. 8. 229)· "ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήια, ποῦ δέ οἱ ἵπποι" (Il. 10. 407); "Κυκλώπων δ' ἐς γαῖαν ἐλεύ⟨σ⟩σομεν—αὐτῶν τε φθογγήν" (Od. 9. 166). B—

269. ὦ φίλοι] πρὸς πάντας τοῦτό φησιν· "πάντας κυδαίνων" (Il. 10. 69).

270. ὅς τε χερειότερος] πάντες γὰρ νῦν χρήσιμοι ἀπὸ τοῦ τείχους ἀμυνόμενοι, ὅπερ καὶ γυναῖκες ποιοῦσιν. B=

271. νῦν ἔπλετο ἔργον ἅπασιν] "ἔργον" ὁ κίνδυνος.

272. καὶ δ' αὐτοὶ τόδε—γινώσκετε] διὰ τοῦ ἰδίου συνειδότος ἕκαστον δυσωπεῖ, ἰδίᾳ δὲ ἕκαστον εἰς ἔννοιαν τῶν κινδύνων ἄγει. B=

274. πρόσω ἴεσθε] τῇ ψυχῇ αὐτοῖς σώμασιν.

276. νῖκος ἀπωσαμένους] Ἀρίσταρχος διὰ μόνου τοῦ ῑ, οἷον τὸ νίκημα, τὴν ἧτταν. AB=

δίεσθαι] προπαροξυτονητέον· παρατατικοῦ γάρ ἐστιν, ἀπὸ τοῦ δίω καὶ δίημι. περιουσία δὲ δυνάμεως τὸ καὶ διῶξαι προσδοκᾶν τοὺς πολεμίους. A+ B=

277. προβοῶντε] τινὲς "προβάοντε," προβαίνοντε. A+

278. τῶν δ', ὥστε νιφάδες] μικρῷ πρόσθεν ἐχρήσατο τῇ εἰκόνι, "νιφάδες δ' ὡς πῖπτον ἔραζε, ἅς τ' ἄνεμος ζαής" (156). ἐκεῖ μὲν AB=

2. νῦν πάνυ: corr. W ‖ 3. θέσθαι B ‖ 12. ὑπακουόμενον ‖ 23. γινώσκεται ‖ 24. ἴδια ‖ 26. νῖκος etiam textus ‖ Ἡρωδιανὸς διὰ B ‖ 26, 27. τῆς νίκης τὴν A(?) ‖ 27. iteratur * νῖκος] τὸ νίκημα ‖ 28. προπαροξυντέον B

οὖν πρὸς τὴν πλῆξιν τὸν ἄνεμον ἔλαβε, πρὸς δὲ τὴν συνεχῆ φορὰν νῦν ⟨καὶ⟩ πρὸς τὸ μὴ ἀποκρυσταλλοῦσθαι τὴν χιόνα.

τῶν δ', ὥστε νιφάδες] ἔοικεν ἐρίσαι αὐτῷ ὁ ποιητὴς ἐπὶ τῇ παραβολῇ· εἶπε γὰρ "νιφάδες δ' ὡς πῖπτον ἔραζε" (156), νῦν δὲ ἐπεξεργάζεται τὴν εἰκόνα μεγαλοπρεπέστερον. §. εὐθὺς χειμέριον παρέλαβε τὴν
B− ἡμέραν· γίνονται μὲν γὰρ καὶ ἐν ἔαρι νιφάδες, ἀλλ' οὐ πυκναί. εἶτα "ὅτε τ' ὤρετο μητίετα Ζεὺς νιφέμεν, ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα·" εἰ μὲν γὰρ ἐνδείξασθαι τὴν αὐτοῦ δύναμιν ἐπιτηδεύων ὁ θεὸς τοῦτο πράττει, τίς ὑπερβολὴ καταλείπεται τοῦ νιφετοῦ; εἶτα καὶ νηνεμίαν παρέλαβε πρὸς τὸ μὴ ἀποκρυσταλλοῦσθαι τὴν χιόνα· εἶτα καὶ τῇ τάξει καλῶς ἐχρήσατο—πρῶτον γὰρ τὰ ὄρη νίφεται, ἔπειτα σφοδροῦ τοῦ χειμῶνος γενομένου κάτεισι καὶ ἐπὶ τὰ χθαμαλώτερα—ἐναργῶς δὲ καὶ ἀνακοπτομέν⟨ν⟩ῃ χιόνι τὴν τοῦ κύματος ἐπιφορὰν δείκνυσι, τῇ δὲ συνεχεῖ ἐπαγωγῇ καὶ αὔξει τὰ λεγόμενα.

A= 281. χέει ἔμπεδον] "χέει ἔμπεδον," οὕτως αἱ Ἀριστάρχου· ἡ ⟨δὲ⟩ Μασσαλιωτικὴ "χέει ἄσπετον."

283. λωτεῦντα] ποτέ, οὐκ ἐν τῇ χιόνι.

A− λωτεῦντα] ⟨"λωτοῦντα"⟩ οὕτως αἱ Ἀριστάρχου. ⟨"λωτεῦντα" δὲ⟩ καὶ ἡ Μασσαλιωτική.

A− B= 285. προσπλάζον ἐρύκεται] ἐρύκει τῆς ὁρμῆς τὴν χιόνα· ἢ διὰ τὸ γεφυρωθῆναι τῇ χιόνι τὸν αἰγιαλὸν τὸ κῦμα ἐρύκεται.

* προσπλάζον] προσκροτοῦν.

A+ 286. εἰλύαται] οἱ μὲν προπερισπῶσιν ⟨"εἰλῦται"⟩ τοῦ εἰλύαται συναλ⟨ο⟩ιφὴν ἐκδεχόμενοι, οἱ δὲ προπαροξύνουσιν ὡς ἀπὸ τοῦ
A+ εἴλυμι, τινὲς δὲ διῃρημένως "εἰλύαται." §. τὸ δὲ "καθύπερθε" πρὸς ἄμφω δύναται συντάσσεσθαι. §. 'Διὸς ὄμβρου' δὲ τὸν χιονισμόν
A~ φησιν· ἄμφω γὰρ ἀπὸ Διὸς γίνεται.

287. λίθοι πωτῶντο] ἐμφαντικῶς. καὶ "βέλεα ῥέον" (159) ἀλλαχοῦ φησιν· ἢ βελῶν μὲν ῥύσιν ἔφη—ἐπιμήκης γὰρ ἡ φορὰ τῶν βελῶν—πωτᾶσθαι δὲ τοὺς λίθους· περιγεγραμμένον γὰρ πώ⟨τη⟩μα καὶ οὐκ ἐπίμηκες ⟨ἔχει⟩ ὁ λίθος.

B= 289. τὸ δὲ τεῖχος ὑπὲρ πᾶν] ἀπὸ γῆς ἕως ἄνω. τὸ δὲ ἑξῆς, ὑπὲρ δὲ πᾶν τὸ τεῖχος. οὐκ ἀναγκαῖον οὖν ἀναστρέφειν τὴν πρόθεσιν. §. τὸ δὲ "βαλλομένων" ἀντὶ τοῦ βαλλόντων· τὸ δὲ ἑξῆς, ὡς τῶν βαλλομένων.

2. supplevi ex A B ‖ πρὸς om. B ‖ 7. ὦρετο ‖ 13. suppl. Bekker ‖ 15. ἔ. χέει ἔ. A: χεῖ ‖ 16. suppl. Villoison ‖ 18. ⟨λωτοῦντα⟩ supplevi ex A Eust. ‖ Ἀρίσταρχος A Eust. ‖ 18, 19. supplevi ex Eust. ‖ 20. ἐρύκεται τ. B ‖ 22. προσπελάζον ‖ 23. εἰλύαται etiam textus ‖ 30. πτῶμα coni. W

292. εἰ μὴ—νίὸν ἐὸν—Ζεὺς ὦρσεν] οὐ γνήσιος οὖν ἡ ἀρετή. δοκεῖ Β= δέ μοι τὸ τοῦ Σαρπηδόνος οὐ μάτην παρειλῆφθαι, ἀλλ' ἵνα καὶ μέγα χαρίσηται Πατρόκλῳ. §. Ἡσίοδος δὲ Εὐρώπης καὶ Διὸς αὐτόν φησιν.

293. λέονθ' ὡς βουσίν] ἔνθα μὲν ψιλὰ τὰ ὀνόματα 'ὡς ἐπὶ βουσὶ λέοντα,' ἑξῆς δὲ ἐπεξεργάζεται τὰ πραττόμενα ὑπὸ τοῦ λέοντος "βῆ ῥ' ἴμεν, ὥστε λέων ὀρεσίτροφος" (299).

295. ἑξήλατον] δασυντέον τὸ "ἑξήλατον·" ἓξ ἀριθμόν. §. τὸ δὲ Α+ ἑξῆς, "ἑξήλατον χρυσε⟨ί⟩οις ῥάβδοισι," εἶτα "ἔντοσθεν δέ·" ἄτοπον γὰρ τὸν χρυσὸν ἔσωθεν εἶναι.

ἐξήλατον] ἐξελασθεῖσαν, ⟨ἢ⟩ ἀντὶ τοῦ χαλκῆν· οὐ γὰρ ἓξ ἔχει, ἐπεὶ Β– ἡ Ἀχιλλέως πέντε (Il. 18. 481). ψιλοῖ οὖν ὁ Νικάνωρ καὶ τὴν ἔξωθεν ἔχουσαν ἔλασμα χαλκοῦ ἐξηγεῖται.

297. περὶ κύκλον] ἀπὸ τοῦ ἴτυος εἰς ἴτυν. §. προπαρασκευάζει δὲ Β= ἀεὶ τοὺς ἀριστεύοντας, ἐξαίρων ἡμᾶς εἰς προσοχήν. Β=

298. δύο δοῦρε] ἕτερον ἐν τῇ ἀσπίδι, τὸ δὲ ἐν τῇ δεξιᾷ. κινου- Β= μένου δὲ αὐτοῦ ἄμφω τινάσσεται.

299. ὅς τ' ἐπιδευής—κρειῶν] ἐπεξειργάσατο τὴν προκειμένην Β– εἰκόνα "ὦρσεν ἐπ' Ἀργείοισι, λέονθ' ὥς" (293)· ἐνταῦθα γὰρ καὶ λιμώττει ὁ λέων, καὶ οὐ νεμομένῳ ζῴῳ ἐπιτυγχάνει, εἰς ἔπαυλιν δὲ αὐτὸν ὁ λιμὸς ἄγει.

301. μήλων πειρήσοντα] ἐνεδρεύσοντα· ὅθεν καὶ πειρατής. Α+

καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν] οὐ μόνον τοῖς ἐν νομαῖς, ἀλλὰ καὶ τοῖς κατακεκλεισμένοις.

302. βώτορας] ⟨βῶν⟩ βόσω βότωρ βότωρος, ὑπερβιβασμὸς Α= χρόνου βώτορος.

303. σὺν κυσὶ—⟨φυλάσσοντας⟩] οἷον προπαρεσκευασμένους πρὸς Β= τὴν ἔφοδον αὐτοῦ.

304. *ἀπείρητος] μὴ πεῖραν ἑαυτοῦ δοὺς ἢ λαβών. Α ~ Β=

305. ἢ ἧρπαξε—ἠ⟨ὲ καὶ αὐτὸς⟩ ἔβλητο] πρὸς τὸν θανατῶντα Β= λέοντα τὸ πρόθυμον Σαρπηδόνος παρέβαλεν, τὴν ἐκ μεθόδου δὲ προσβολὴν δηλοῖ τὸ "ἧρπαξε."

308. ῥήξασθαι ἐπάλξεις] τοὺς μέσους τῶν ἐπάλξεων. προεῖπε γὰρ "ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις" (263).

3. τι χ. B ‖ 7. ἓξ scripsi: videtur ε̄, at fere evanuit ‖ 10. ἤτοι χ. B ‖ 20. ἄγει B: ἄγεται ‖ 21. ἐνεδρεύσοντα A: ἐνεδρευθέντα ‖ πειρατάς ‖ 24. suppl. sec. ‖ βότορος ὑ. ‖ 26. προπαρασκευασμένους ‖ 29. θανατοῦντα B

διά τε ῥήξασθαι] ἔμφασιν ἔχει τὸ ὑπερβατόν.

B= 310. τίη δὴ νῶι τετιμήμεσθα] αἰδήμονος οἱ λόγοι καὶ μεγαλοψύχου καὶ εὐγνώμονος· αἰδεῖται γὰρ ταῖς τιμαῖς πλεονεκτεῖν καὶ μὴ ταῖς ἀνδραγαθίαις· μεγαλόψυχος δὲ ὢν καταφρονεῖ θανάτου· εὐγνωμοσύνης δὲ τὸ ὁμολογεῖν τὴν τιμήν. §. Ἀττικῶς δὲ 'τί δή·' διὰ δὲ τὸ ἐργῶδες τῆς ἐγχειρήσεως ἑταιροποιεῖται.

311. ἕδρῃ τε κρέασίν τε] καὶ "σὸν δὲ πλεῖον δέπας ἀεί" (Il. 4. 262) καὶ "νώτοισιν δ' Αἴαντα" (Il. 7. 321).

B= 312. θεοὺς ὣς εἰσορόωσιν] αἰσχρὸν δὲ τοὺς ἐν θεῶν μοίρᾳ τεταγμένους μηδὲ ἄνδρας ἀξιολόγους φαίνεσθαι.

B= 313. καὶ τέμενος νεμόμεσθα] ἐν δὲ Λυκίᾳ ⟨ἡμᾶς⟩ ὡς θεοὺς ⟨εἰσ⟩ορῶσιν· διδάσκει δὲ ὡς οὐ δεῖ μὴ προκινδυνεύοντα βασιλέα τιμᾶσθαι.

καὶ τέμενος νεμόμεσθα—καλόν] ἐκ τῶν ἀλόγων ζῴων. §. "τέμενος" δὲ "καλόν" τὸ μὲν πεφυτευμένον, τὸ δὲ ἀρούμενον. §. ὁ δὲ Ξάνθος Σίρβις νῦν καλεῖται.

317. ὄφρα τις ὧδ' εἴπῃ] ἀξιοῖ καὶ σκοπεῖν καὶ τί περὶ ἡμῶν οἱ πλησίον λέγουσιν.

A+ 318. ἀκλειεῖς] οὕτως· "ἀκλέες" δὲ Ἀρίσταρχος κατὰ συγκοπήν, ὡς τὸ "δυσκλέα" (Il. 2. 115). §. "καυστείρης" δὲ "μάχης" (316) τῆς πυρούσης τὰ σώματα.

319. ἔδουσι δὲ πίονα μῆλα] ὅτι οὐ χρυσῷ ἐτιμῶντο οἱ βασιλεῖς.

320. * οἶνόν τε] λείπει πίνουσιν.

B= 322. εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε] εὐγενὴς ἡ γνώμη. τὸ μὲν γὰρ ἀποθανεῖν κοινὸν ἀποφαίνει πάντων, τὸ δὲ μετ' εὐκλείας τῶν ἀγαθῶν μόνων· καὶ τὴν παραυτίκα σωτηρίαν οὐκ ἀπαλλαγὴν θανάτου, ἀλλ' ἀναβολὴν χρόνου μικρὰν μετ' ἀδοξίας γινομένην φησὶν εἶναι. διδάσκει οὖν μὴ προ⟨σ⟩ίεσθαι διὰ τοῦτο ἀναβολήν—"τί γὰρ παρ' ἦμαρ ἡμέρα" (Soph. Ai. 475);—οὐ γὰρ ὁ τόπος ⟨τὴν⟩ εἱμαρμένην παρεγχωρεῖ. τὸ δὲ ἑξῆς, "εἰ μὲν γὰρ—μέλλοιμεν ἀγήρω τε ⟨—ἔσσεσθαι⟩."

324. ἐνὶ πρώτοισι μαχοίμην] τίς ἂν πιθανὸς εἴη λέγων μὴ τοιαῦτα αἱρούμενος;

325. * στέλλοιμι] ὁπλίζοιμι.

1. schol. praecedenti adhaeret ‖ 6. ἑταιροποιεῖται B: ἑτεροποεῖται ‖ 11. οἱ Λύκιοι B ‖ supplevi ex B ‖ 15. Σίρβις etiam Strabo XIV p. 665: Σίρμις Eust. ‖ 18. ἀκληεῖς textus ‖ ἀκλῆες δ. coni. Spitzner et Lobeck, ἀκλεὲς οἱ Ludwich: ἀκλεὲς ut A ‖ 21. δὲ etiam textus ‖ 27. πρ. δύο κατὰ ἀνατολήν ‖ 28. suppl. W ‖ 28, 29. παρεγχειρεῖ: corr. W ‖ 30. μὴ W: ἢ ὁ ‖ 32. ὁπλίζομαι

326. νῦν ⟨δ'⟩, ἔμπης] τὸ ἐξῆς, νῦν δὲ ἴομεν. §. τὸ σχῆμα δὲ τοῦ A+ B=
λόγου μετρία συγχώρησις καλεῖται· διδοὺς γὰρ τὸ δεῖν τῶν κινδύνων B=
ἀφίστασθαι, εἰ ἐνῆν ἀθάνατον εἶναι, τῷ ἀδύνατον ὑπάρχειν τὸ
προτεινόμενον τὴν παρρησίαν τοῦ δεῖν κινδυνεύειν ⟨εἰσηγήσατο⟩.

5 νῦν δ', ἔμπης] "ἔμπης" ὁμοίως πᾶσιν. ἔμφασιν καὶ τὸ "ἐφεσ- B=
τᾶσιν" δηλοῖ· μυρίας, φησί, προφάσεις ἔχει ἡ μοῖρα, ⟨ὥστε⟩ καὶ
ἀργοῦντας δύνασθαι φονεύειν.

328. * κῦδος] καὶ ἄφορτον καὶ ἀνεμέσητον.

329. οὐδὲ Γλαῦκος ἀπετράπετο] ὀρθῶς οὐδὲν ἀποκρινόμενος ἔπεται· B=
10 ὁ γὰρ καιρὸς αὐτὸν ἤπειγεν.

330. Λυκίων μέγα ἔθνος ἄγοντε] πάλιν ἄλλῃ παρασκευῇ χρῆται, B=
ὥστε νεώτερον τὸν ἀγῶνα φαίνεσθαι, προσεκτικοὺς ἡμᾶς ποιῶν. §. τὸ
δὲ "ἄγοντε" δυϊκῶς. A+

332. τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν] ὅπου ἐτέτακτο. §. δῆλον οὖν ὡς B=
15 ἐπὶ ἐννέα πλέθρα διαβάντες ἦσαν πρῶτος Αἴας, Ἰδομενεύς, Βοιωτός, Φι-
λοκτήτης, Πρωτεσίλαος, ⟨ὁ⟩ Ὀιλιάδης, Διώρης, Μέγης, Μενεσθεύς.

333. * πάπταινεν] ὡς συνετὸς προασφαλίζεται. B=

εἴ τιν' ἴδοιτο ἡγεμόνων] τὸ "ἡγεμόνων" ἄκρως προσέθηκεν, B=
οἷς δι' αἰδῶ ἀπαραίτητος ἡ συμμαχία. διδάσκει οὖν Ὅμηρος οἵους
20 δεῖ εἶναι τοὺς ἄρχοντας, ὡς ἀμείνους τῶν ὑποτεταγμένων. ἄλλως τε
τοῖς ἡγεμόσιν εἰκὸς καὶ πλῆθος ἕπεσθαι.

336. Τεῦκρόν τε νέον κλισίηθεν ἰόντα] οὐκ εἰκῇ τὸ "νέον·" χθὲς A− B=
γὰρ ἐτρώθη ὑπὸ Ἕκτορος· νεωστὶ οὖν προῆλθε τῆς σκηνῆς, ὁρῶν τὸν
κίνδυνον. §. τὸ δὲ "ἑτάροισιν ἀμύναι" (334) πρὸς τὸ φιλόστοργον τοῦ B+
25 βασιλέως· οὐ γὰρ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῶν μαχομένων δέδοικεν.

337. ἀλλ' οὔ πως οἱ ἔην βώσαντι γεγωνεῖν] ἀλλ' οὐκ ἦν αὐτῷ B=
ἐγγύθεν βοήσαντι ἀκουσθῆναι· ἐντεῦθεν οὖν ἐδέησεν ἀγγέλου.

γεγωνεῖν] πιθανὸν μὲν τὸ περισπᾶν τὸ "γεγωνεῖν" παρὰ τῷ ποιητῇ·
διχῶς δὲ εὕρηται, καὶ βαρυτόνως καὶ περισπωμένως.

30 339. βαλλομένων σακέων τε καὶ—τρυφαλειῶν καὶ πυλέων] ἔμ-
φασιν ἔχει ἡ ⟨ὁ⟩μοιοκαταληξία τῶν λέξεων καὶ ἡ ἐπέκτασις τοῦ
στοιχείου τοῦ "πυλέων."

340. πάσας γὰρ ἐπῴχετο] πᾶσαι κεκλιμέναι ἦσαν παρὰ τὸν B=
ὀχῆα, ἀντὶ τοῦ πᾶσα ἡ πύλη· οἱ δέ, ἐπὶ πάσας ἤρχοντο οἱ πολέμιοι.

4. supplevi ex B ‖ 6. ἡ μοῖρα B: ἡ ἡμέρα ‖ supplevi ex B ‖ 12. an δεινότερον τ.? ‖ προσεκτικωτέρους B ‖ 17. προασφαλίζεται B: προσασφαλίζεται ‖ 23. γὰρ ante οὖν quod scripserat expunxit pr. ‖ 27. ἐγγύθεν B: ἐγγύθι

ἐπῴχατο] ἐπικεκλιμέναι ἦσαν, ἐπέκειντο.

B= 342. αἶψα δ' ⟨ἐπ'⟩ Αἴαντα] φίλος γὰρ ὡς Σαλαμίνιος· εἶτα ἐπάγει "ἀμφοτέρω μὲν μᾶλλον" (344). ἔστι δὲ ἠθικὰ ταῦτα καὶ ἐγγὺς ἀληθείας, ἅπερ ἄκρως ἀπομιμεῖται ὁ ποιητής.

A+ * Αἴαντα] Ζηνόδοτος "Αἴαντε."

A− κήρυκα Θοώτην] οἰκεῖον ὄνομα κήρυκος, παρὰ τὸ θεῖν.

345. * ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος] ἵν' ὡς περὶ κοινοῦ ἀγωνίσωνται.

A+ 346. * ὧδε] ἀντὶ τοῦ οὕτως, ὅ ἐστι λίαν.

347. * ζαχρηεῖς] παρὰ τὸ χρεώ καὶ τὸ ζα, ζαχρεεῖς.

348. εἰ δέ σφιν καὶ κεῖθι] σαφὲς ἐνθάδε γέγονε πότερον τῶν Αἰάντων

A= ἔλεγε "θέων Αἴαντε κάλε⟨σ⟩σον" (343). §. γράφεται καὶ "κἀκεῖθι."

A= 350. καί οἱ Τεῦκρος] ἀθετεῖται· εἴπετο γὰρ πάντως διὰ τὴν σκέπην Αἴαντος. εἰ μὴ χωρὶς ὢν οὐκ ἤκουσε τῶν λεγομένων ὁ Τεῦκρος.

352. βῆ δὲ θέειν] ταῦτα καὶ ταχέως προφέρεσθαι δεῖ· ἔφη γὰρ "εἶθαρ δὲ προσηύδα" (353).

B= 356. μίννυθά περ ἀντιάσητον] "μίννυθα" δεξιότητος ἀγγέλου σημεῖον· προσάγεται γὰρ φάσκων ἐπ' ὀλίγον ἔσεσθαι τὴν βοήθειαν.

A+ 359. * ὧδε γάρ] Ζηνόδοτος "κεῖσε γάρ" γράφει.

B+ 366. σὺ καὶ κρατερὸς Λυκομήδης] θαυμαστῶς ἐφ' ἑτέραν μάχην ἀπιὼν καὶ τῶν ἐνθάδε προνοεῖ.

B= 367. Δαναοὺς ὀτρύνετον] οὐ γὰρ εὔσχημον τοῖς ἡγεμόσι καὶ ὁμοτίμοις ἐντέλ⟨λ⟩εσθαι. §. τὸ δὲ "κρατερός" (366) πρὸς κολακείαν τοῦ Λυκομήδους εἶπεν.

369. αἶψα δ' ἐλεύσομαι] μέμνηται τοῦ "μίννυθά περ" (356).

A− 371. κασίγνητος καὶ ὄπατρος] οὐ νόθος οὖν καθ' Ὅμηρον ὁ Τεῦκρος· καὶ γὰρ "ὃ Ἰφιδάμαντα κασίγνητον καὶ ὄπατρον" (Π. 11. 257)· φησὶ δὲ "ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν" (Π. 15. 439)· οὐκ ἄρχει δὲ ὡς μικρότερος· ἀθετεῖται οὖν τὸ "καί σε νόθον περ ἐόντα" (Π. 8. 284).

372. Παιδίων—φέρε—τόξα] ἀθετεῖται· διὰ τί γὰρ μὴ ἑαυτῷ βαστάζει; §. τινὲς δὲ "τόξα" τὰ βέλη.

378. * πρῶτος] πρότερος τοῦ Τεύκρου.

A+ 379. * Σαρπήδοντος] ὡς Χαλκώδοντος.

1. ἐπῴχατο etiam textus ‖ 5. Αἴαντα Z. pr.: Αἴαντε supra add. sec. ‖ 11. πρότερον ‖ 20. ὁ ante κρ. ut textus: omisi ‖ 22. τὸ τοῖς B ‖ 23. supplevi ex B ‖ 24. Διομήδους ‖ 27. γὰρ ὅτι φῆμαντα κ. ‖ 32. πρότερος scripsi: πρῶτος

381. * ὅλος δακτυλικός. B=

382. χείρεσσ' ἀμφοτέρῃσιν ἔχοι] " χειρί γε τῇ ἑτέρῃ ἔχοι·" "ἢ ὑπέλυσεν·" ἀλλ' οὐκ εἶπε 'βάλοι,' ἀλλ' "ἔχοι."

χείρεσσ' ἀμφοτέρῃσι] οὕτως αἱ Ἀριστάρχου· ἐν δὲ ταῖς κοιναῖς A +
" χειρί γε τῇ ἑτέρῃ." §. ἄκρως δὲ τὸ "ἔχοι·" οὐ γὰρ ἔφη 'βάλοι B=
ἀνήρ,' καίτοι ἐγχωροῦντος τοῦ μέτρου. ἔστιν οὖν ἐπίτασις—ὃν οὐδὲ κατέχειν ἀμφοτέραις ἐδύνατό τις, τοῦτον ῥηιδίως τῇ ἑτέρᾳ ἠφίει ὁ Αἴας—καὶ τὸ "οὐδὲ μάλ' ἠβῶν" πρὸς ἐπίτασιν πλείονα ἔγκειται.

383. ὃ δ' ἄρ' ὑψόθεν] οὐ δοκεῖ μοι νῦν λέγειν, ὅτι ἀπὸ ὕψους B–
βάλλει ἐν τῷ τείχει ὤν, ἀλλὰ μετεωρίσας τὴν χεῖρα πρὸς τὸ βιαιοτέραν γενέσθαι τὴν πληγήν.

385. πάντ' ἄμυδις] ἐμφαντικῶς ἅμα τῇ κυνῇ φησι συνέθλασε πάντα τὰ ὀστᾶ.

ἀρνευτῆρι] κυβιστῆρι, παρὰ τοὺς ἄρνας· οὗτοι γὰρ κυβιστῶσιν, A=
ὥσπερ τὸν ἀέρα κυρίττοντες· τινὲς δὲ τῷ δελφῖνι· οἱ γὰρ ἄρσενες ἐπὶ κεφαλὴν ἴενται, ὅταν γαλήνη γένηται.

386. κάππεσ' ἀφ' ὑψηλοῦ πύργου] ὡς ἤδη ἐπιβεβηκώς· οἱ δέ, τοῦ B–
ἀναχώματος.

λίπε δ' ὀστέα θυμός] ἀντὶ τοῦ τὸ σῶμα. B+

λίπε δ' ὀστέα θυμός] δοκεῖ αὐτῷ καὶ τοῖς ὀστοῖς τὸ ψυχικὸν παρεσπάρθαι, ὡς καὶ Ποσειδωνίῳ ἐν γ' περὶ ψυχῆς· ὁ μὲν γὰρ Πλάτων (Tim. p. 73^{b}) καὶ τοὺς δεσμοὺς αὐτῆς ἐν ταῖς τοῦ ὀστοῦ ῥίζαις φησὶν εἶναι.

387. Τεῦκρος δὲ Γλαῦκον] πολὺ ὤνησαν ἐλθόντες βοηθοὶ Αἴας B=
καὶ Τεῦκρος· τὰ γὰρ ἄκρα τῆς Σαρπηδόνος στρατιᾶς παρείλοντο.

389. ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα] ἀρίστου τοξότου τὸ τὰ μὴ B–
σκεπασθέντα βαλεῖν, ὡς Ἀλέξανδρος. τὸ δὲ ἑξῆς, ᾗ ἐπεσσύμενον βάλε βραχίονα. §. τὸ δὲ "χάρμης" ἐξ ἀντιφράσεως.

390. ἆψ δ' ἀπὸ τείχεος] προσηρεικὼς τῷ τείχει ὁ Γλαῦκος πάλιν B=
ἀναχωρεῖ.

ἵνα μή τις Ἀχαιῶν] ὅπως μὴ θράσους αἴτιος εἴη τοῖς πολεμίοις. B=
§. τὸ δὲ "ἀθρήσειε" ψιλωτέον· πᾶν γὰρ φωνῆεν πρὸ δασέως καὶ A+

2. χείρεσσ' etiam textus ‖ 6. τοῦ μέτρου quod post ἐπίτασις repetierat expunxit pr. ‖ 7, 8. ἀφίησιν Αἴας B ‖ 12. τὴν τρῶσιν B ‖ 16. κυρίττοντες Eust.: ταράττοντες A, κηρύττοντες ‖ 23. ὁμοῦ, cf. Plat. l. c. ‖ 27. μὴ τὰ ‖ 28. βάλλειν B ‖ 30. προσηρεικὼς B: προσειρηκὼς

τοῦ ρ̄ ψιλοῦται, σεσημειωμένου τοῦ ἄθρους πρὸς διάφορον σημαινομενον.

B= 392. ἄχος γένετο] ἐδηλώθη ἡ διάθεσις τοῦ φίλου· διὰ γὰρ τὴν
A+B= περίστασιν οὐκ ἐξάγειν, οὐ⟨δὲ⟩ παραμυθεῖσθαι ἐδύνατο. §. τὸ δὲ ἑξῆς, ἐπεὶ αὐτίκα ἐνόησε, παρέλκοντος τοῦ τέ συνδέσμου.

393. ὅμως δ' οὐ λήθετο] ὁμοίως τῷ πρώτῳ (378) ἦν· ἢ "ὁμῶς," ὡς ἔχει τὸ "ἔνθα χ' ὁμῶς προσέφη" (Od. 11. 565).

A= 394. ἀλλ' ὅ γε Θεστορίδην] ἄδηλον, εἰ Κάλχαντός ἐστιν ἀδελφός· εἰ δὲ ἦν, κἂν διεσάφησεν ὁ ποιητής.

395. νύξε] ἄδηλον ποῦ· ὁ δὲ Ἀριστοφάνης, ὡς ὑπερκύπτοντα κατὰ τὸ γένειον αὐτὸν ἔβαλεν.

B- ἐκ δ' ἔσπασεν ἔγχος] δῆλον ὅτι πλησίον ὢν καὶ τρῶσαι ἐκ χειρὸς δυνάμενος, ὡσὰν ἤδη ἐπιβεβηκὼς τῷ τείχει. εἰ δὲ μὴ κατὰ τὸ ῥητὸν λέγει πῶς προσῆσαν, οὐ θαῦμα· εἶπε γὰρ ἤδη "κρόσσας μὲν πύργων ἔρυον" (258). ἄλλως γὰρ ἀναβαίνειν ἀδύνατον.

B= 397. ἔπαλξιν ἑλών] ⟨καθέλκει τὴν ἔπαλξιν⟩ πρὸς τὸ ⟨εἰσ⟩πηδῆσαι· σαθρὰ δὲ οὖσα κατηνέχθη. τινὲς δέ φασι κάτωθεν λαβεῖν ⟨αὐτὸν⟩ τὴν ἔπαλξιν· ἔστι γὰρ ταπεινὸν τὸ τεῖχος.

398. ἣ δ' ἔσπετο] ὡς ἐπὶ ἐμψύχου, ἵνα δηλώσῃ, ὅτι ὥσπερ ἐπιταχθεῖσα ἠκολούθησεν. §. τὸ δὲ "διαμπερές" διηνεκῶς, δι' ὅλου.

399. τεῖχος ἐγυμνώθη] ἔμφασις μεγέθους λίθου· τὸ δὲ "ἐγυμνώθη" ἀπεκοσμήθη.

400. τὸν δ' Αἴας καὶ Τεῦκρος] πιθανῶς ὡς ἀρίστου ἄμφω στοχάζονται.

τὸν δ' Αἴας καὶ Τεῦκρος] ὑπὲρ τὴν ἔπαλξιν σκέπτεται Τεῦκρος.

402. * ἀμφιβρότης] τινές, βροτὸν ⟨περι⟩εχούσης.

B= ἀλλὰ Ζεὺς κῆρας ἄμυνεν] ἄκρως κἀνταῦθα τῇ προσθήκῃ τὴν ἀποτυχίαν τοῦ Τεύκρου ἰάσατο. καὶ τοῖς βάλλουσι γὰρ χαρίζεται καὶ Πατρόκλῳ σῴζει αὐτόν (Il. 16. 480).

A+ 404. * οὐδὲ διαπρό] οὕτως ἡ γραφή.

B= 405. * μεμαῶτα] μετὰ προθυμίας ἐφαλλόμενον.

B= 406. χώρησεν δ' ἄρα τυτθόν] ἐν τῇ ἀναβάσει δηλονότι.

407. * ἐβούλετο] γράφεται καὶ "ἐέλδετο," καὶ κάλλιον.

14. προσίεσαν ‖ 16. supplevi ex B ‖ 18. ἔστι B: ἔστει ‖ 25. ὑπὸ ‖ 26. βρότον ‖ suppl. W, cf. Et. M. ‖ 28. βάλλουσι B: καλοῦσι ‖ 33. κάλλιον scripsi: μᾶλλον

410. ἀργαλέον δέ μοι—ῥηξαμένῳ] ἀργαλέον καὶ ῥῆξαι καὶ ὁδοποιῆσαι.

412. * ἐφομαρτεῖτον] καὶ "ἐφομαρτεῖτε" καὶ "ἐφαμαρτεῖτε·" οὕτως Ἀρίσταρχος. A=

413. ὑποδδείσαντες ὁμοκλήν] ἐπὶ δὲ τῶν Ἑλλήνων ἅμα τῷ δέει καὶ αἰδῶ παραλαμβάνει· οὐ γὰρ ὡς τυράννοις ἐξ ἐπιτάγματος ὑπακούουσιν οἱ Ἕλληνες. B=

414. * ἐπέβρισαν] μετὰ βάρους ὥρμησαν.

416. μέγα δέ σφισι φαίνετο ἔργον] ἀνεφαίνετο αὐτοῖς μέγα ἔργον, οἷον ἡ μάχη μείζων καθίστατο. A+ B=

417. οὔτε γὰρ—Λύκιοι] ἀντίθεσις τὸ σχῆμα· ἀκριβῶς γὰρ ἴσα πρὸς ἴσα ἀντιτίθησιν. B=

421. ἀλλ' ὥστ' ἀμφ' οὔροισι] περὶ ὅρων ἀμιλλῶνται· οὐδὲν γὰρ τούτου σχετλιώτερον δοκεῖ τοῖς κτήτορσιν εἶναι. §. "μέτρα" δὲ τὰς ἀκαίνας, ὡς καὶ οὗτοι τὰ δόρατα. §. "ἐπιξύνῳ" δὲ κοινοὺς ὅρους ἐχούσῃ. A—B= B~ B=

423. ὀλίγῳ ἐνὶ χώρῳ] εἰς ἐπίτασιν· οἱ γὰρ πλείονα κεκτημένοι ἴσως καταφρονοῦσιν. §. Ζηνόδοτος δὲ "ὀλίγῃ ἐνὶ χώρῃ" γράφει. A=

424. διέεργον ἐπάλξεις] τὰ γὰρ ὅρια ⟨ἔ⟩θεσαν διὰ λίθων· "ἔμ⟨μ⟩εναι οὖρον ἀρούρης" (Il. 21. 405).

426. λαισήια] ἐξ ἀκατεργάστων βυρσῶν, ἢ τῇ λαιᾷ παλλόμενα Ἀμαζονικά. A+ B—

428. ὅτῳ στρεφθεντι] οὐκ ἐπὶ φυγήν, ἀλλὰ δι' ἄλλο τι. §. Ζηνόδοτος δὲ "ὅτεῳ·" καὶ ἔστιν Ὁμηρικόν. A+

430. πάντῃ δὴ πύργοι] συνελὼν τὸν περὶ πάντων λόγον ηὔξησε τὴν ἔμφασιν καὶ ἐναργῶς τὸ τεῖχος ἠμαγμένον δείκνυσιν. §. τὸ δὲ "ἐρράδατο" ἀπὸ τοῦ ῥάζω. B= A=

433. ἀλλ' ἔχον ὥστε τάλαντα] πάλιν τὸ ἰσοπαλὲς τῶν μαχομένων παρέβαλε ζυγῷ· οὐδὲν γὰρ οὕτως ἀκριβὲς πρὸς ἰσότητα. καὶ ἡ ταλαντεύουσα οὐκ ἔστι δέσποινα οἰκίας—ταύτην γὰρ οὐ λυπεῖ πολλάκις τὸ παρὰ βραχὺ ἴσον—ἀλλ' οὐδὲ θεραπαινίς—οὐ γὰρ αὗται ζητοῦσι τὸ ἀκριβές, ατε δὴ ὑπὸ τοῦ δεσπότου τρεφόμεναι καὶ οὐκ ἐν τῷ διαμαρτεῖν περὶ τὸν σταθμὸν κινδυνεύουσαι περὶ τροφήν—"χερνῆτις" δέ, ἡ χειρὶ τὰ πρὸς τὸ ζῆν πορίζουσα, "ἵνα παισὶν A B—

3. textus ἐφομαρτεῖτο//ν pr., -τε sec. ‖ 6. ἐπιταγῆς B ‖ 14. ἰσορροπώτερον δ, B ‖ 22. ἀμαζονικὰ Eust.: ἀσπίδια B, ἀμαζονίκια ‖ 25. δὲ ut textus ‖ 31. αὐταὶ B ‖ 34. χερσὶ B ‖ ποριζομένη B

ἀεικέα" (435) φησίν. §. τὸ δὲ "ἀληθής" ταῖς ἀληθείαις χερνῆτις.

A= §. τάλαντον δὲ παρὰ τὸ ταλαὸν καὶ ὑπομονητικὸν τοῦ βάρους.

B= 434. εἴριον ἀμφίς] οὐ δύναται ὧδε στιγμή· οὐδέποτε γὰρ ὁ ἐννεακαιδέκατος χρόνος τοῦ ἔπους διαστολὴν δέχεται. §. τὸ δὲ "ἀμφὶς

A-B= ἀνέλκει" ἑκατέρωθεν, μήποτε παριδοῦσα ἀποστερηθῇ τῆς τιμῆς τοῦ μισθοῦ ὀλίγον.

B— 437. κῦδος ὑπέρτερον] "ὑπέρτερον" τῶν Ἑλλήνων, ὃ οὐκ εἶχε πρώην. ἀεὶ δὲ Δ⟨ι⟩ὶ ἀναφέρει πᾶν εὐτύχημα Ἕκτορος.

438. Πριαμίδῃ, ὃς πρῶτος ⟨ἐσήλατο⟩] καὶ πῶς φησι "κεῖται ἀνήρ, ὃς πρῶτος" (Il. 16. 558)· ἢ ἴσως ἑκάτερος τῆς ἰδίας τάξεως πρῶτος· ἢ ἀντὶ τοῦ ἐσάλευσε τὸ "ἐσήλατο."

A+ 439. * διαπρύσιον] Ἀρίσταρχος ἐπὶ Διός φησιν.

B+ 441. καὶ νηυσὶν ἐνίετε—πῦρ] πρὶν παρελθεῖν τὸ τεῖχος, βαρβαρικῶς ἀλαζονεύεται περὶ τῶν νεῶν.

B= 442. οἱ δ' οὔασι πάντες ἄκουον] οὐ παρ' ἑτέρων. ἢ ἀναπεπταμένοις τοῖς ὠσὶ καὶ προθύμοις.

445. ὅς ῥα πυλάων εἱστήκει πρόσθεν—αὐτὰρ ὕπερθεν ὀξὺς ἔην] "ὕπερθεν" τὸ εἰς ἀέρα νεῦον πρὸς τὸ εὐσύλληπτος εἶναι καὶ ὡς πέλεκυς δημιουργηθεὶς πρὸς τὸ ταχὺ σχίσαι τὰς πύλας. §. τῷ δὲ "ἁρ-

B= πάξας" τὸ σύντομον καὶ ἰσχυρὸν ἐδήλωσεν.

A+ 446. πρυμνὸς παχύς] ἓν ἐκ τῶν δύο· διὸ συναφὴ τίθεται.

447. δύο ἀνέρε] διὰ τὸν Δία· ἐπὶ δὲ Αἴαντος "χειρί γε τῇ ἑτέρῃ" (382).

B= 449. ὃ δέ μιν ῥέα πάλλε] διττὴ ἡ ἐπίτασις, καὶ τῶν δύο μὴ κινούντων τὸν λίθον, καὶ τοῦ ἑνὸς πάλλοντος ἐλαφρῶς.

451. φέρει πόκον ἄρσενος] "φέρεν," οὐ φέρει. §. "ἄρσενος" δέ,

A— B= ὅτι τραχύτερος, ἢ ὅτι ῥυπωδέστερος ἐμφερής τε τῇ τραχύτητι καὶ τῷ χρώματι τοῦ λίθου ἐστίν. μέγας δὲ ὁ τοῦ ἄρσενος πόκος· θέλει οὖν μέγαν παραστῆσαι τὸν λίθον.

454. * στιβαρῶς] πυκνῶς καὶ ἰσχυρῶς.

AB= 456. ἐπημοιβοί] εἰς μέσον συνάπτοντες· οἱ δέ, εἷς ἐφ' ἕνα. μία δὲ ἐπ' αὐτῶν κλεὶς ἥρμοστο. §. ὀχῆας (455) δέ τινες τὰ κάτω κλεῖθρα.

2. ὑπομενητικὸν B ‖ 5. παριδοῦσα B: παραδοῦσα ‖ 11. εἰσήλατο ‖ 12. ἐπὶ A: ἐπεὶ ‖ φησίν A, ἀκούει coni. W: ἔκητι ‖ 13. παρελθεῖν W: παρέλθῃ ut B ‖ 19. τῷ scripsi, διὰ τοῦ B: τὸ ‖ 21. συναφὴ W ex A: συναλιφὴ ‖ 22, 23. χείρεσσ' ἀμφοτέρῃσι textus ‖ 26. φέρει π. pr. ‖ φέρεν A: φέρην ‖ 27. τραχύτερος A B: τραχυτέρα ‖ ῥυπωδέστερος A B: ῥυπωδεστέρα ‖ 32. αὐτῷ B

§. "δικλίδας" δέ, δὶς κλειομένας δυσὶ κλεισίν. §. "θαιρούς" (459) δὲ τὸν ἄνω καὶ κάτω στρόφιγγά φησι διὰ τὸ δι' αὐτῶν θεῖν τὰς πύλας. AB=

458. εὖ διαβάς] συνεργεῖ γὰρ ἡ διάβασις πρὸς βιαιοτέραν τοῦ βαλλομένου φοράν. B=

461. σανίδες δὲ διέτμαγεν] πανταχόθεν ἐκίνησε τὴν ἐνέργειαν, ἐκ τοῦ βάλλοντος, ἐκ τῶν δια⟨ρ⟩ριπτουμένων σανίδων, ἐκ τοῦ εἰσπηδῶντος καὶ φοβερὸν βλέποντος, ἐκ τῆς τῶν ὅπλων λαμπηδόνος, ἐκ τῶν κατεχομένων δοράτων, ἐκ τῶν ὑπερβαινόντων τὸ τεῖχος καθ' ὃ μέρος ἔρρηξε Σαρπηδών, ἐκ τῶν εἰστρεχόντων εἰς τὰς πύλας καθ' ὃ μέρος ἔρρηξεν αὐτὰς ὁ Ἕκτωρ. B=

462. ὃ δ' ἄρ' ἔσθορε] οὐδέν τι τῶν ἔνδον δεινῶν ὑπολογισάμενος. πάντα οὖν τοῦ θράσους σημαντικὰ καὶ τὰ ἑξῆς ὀνόματα. B=

463. *νυκτὶ θοῇ ἀτάλαντος] νυκτὶ τὰ φοβερὰ ὁμοιοῦσιν· ἐκ δὲ τῶν ἐναντίων τὸν εὔεκτον ⟨λέγουσιν⟩ ἦμερον. A+ B=

λάμπε δὲ χαλκῷ—δοιὰ δὲ ⟨χερσὶν⟩ δοῦρα] ὥσπερ ἐπὶ γραφῆς δείκνυσιν ὁποῖος ἦν ὁ Ἕκτωρ εἰσδραμὼν εἰς τὸ τεῖχος. §. τὸ δὲ "ὑπώπια" ἀπὸ μέρους ὅλον δηλοῖ. B=

465. οὐκ ἄν τις μιν ἐρυκάκοι—νόσφι θεῶν] ἅμα μὲν ἐπαίρει τὰ τοῦ Ἕκτορος, ἅμα δὲ καὶ τεχνικῶς ὑπὲρ Ἑλλήνων ἀπολογεῖται, μὴ δυνηθέντων ἀντισχεῖν πρὸς τὴν εἰσδρομὴν τοῦ Ἕκτορος. B=

468. *τοί] ἀντὶ τοῦ οὗτοι.

470. *ποιητάς] εὖ πεποιημένας.

ἐσέχυντο] ἐμφαντικῶς τῷ ὀνόματι ⟨ἐχρήσατο⟩· διὰ στενῆς γὰρ γινομένης τῆς εἰσόδου καὶ ὠστιζομένων τῶν εἰσιόντων καὶ τῶν ἤδη εἰσεληλυθότων ἔπειτα καὶ ἔπειτα φορὰ ὁμοία φαίνεται τοῖς ἀπὸ βραχέος εἰς μείζονα χεομένοις ὑγροῖς. B—

471. *ἀλίαστος] ἀδιάλειπτος.

1. δικλεῖδας ‖ 2. στρόφιγγα B cf. A : θαιρούς ‖ 6. βάλλοντος W : βαλόντος ut B ‖ 11. δεινῶν B : δεινὸν ‖ 14. supplevi ex B ‖ 20. ἐκδρομὴν ut B ‖ 21. οὗτοι W : οὕτως ‖ 24. γενομένης B ‖ καὶ τ. W : ἢ τ. ut B

Clarendon Press Publications.

HOMER AND HOMERIC LITERATURE.

SCHOLIA GRAECA IN ILIADEM. Edited by Prof. W. DINDORF, after a new collation of the Venetian MSS. by D. B. MONRO, M.A. Provost of Oriel College. 4 vols. 8vo., *cloth*, 2*l.* 10*s.*

SCHOLIA GRAECA IN ODYSSEAM. Edidit GUIL. DINDORFIUS. Tomi II. 8vo. *cloth*, 15*s.* 6*d.*

HOMERI ILIAS, ex rec. GUIL. DINDORFII. 8vo. *cloth*, 5*s.* 6*d.*

HOMERI ODYSSEA, ex rec. GUIL. DINDORFII. 8vo. *cloth*, 5*s.* 6*d.*

A COMPLETE CONCORDANCE TO THE ODYSSEY AND HYMNS; to which is added a Concordance to the Parallel Passages in the Iliad, Odyssey, and Hymns. By H. DUNBAR, M.D. 4to. *cloth*, 1*l.* 1*s.*

ODYSSEY, BOOKS I–XII. Edited with English Notes, Appendices, etc. By W. W. MERRY, M.A., and the late JAMES RIDDELL, M.A. *Second Edition.* 8vo. *cloth*, 16*s.*

A GRAMMAR OF THE HOMERIC DIALECT. By D. B. MONRO, M.A. 8vo. *cloth*, 10*s.* 6*d.*

WORKS EDITED BY W. AND L. DINDORF.

SCHOLIA GRAECA IN AESCHINEM ET ISOCRATEM. 8vo. 4*s.*

AESCHYLI TRAGOEDIAE ET FRAGMENTA, ex recensione GUIL. DINDORFII. *Second Edition.* 8vo. 5*s.* 6*d.*

ANNOTATIONES GUIL. DINDORFII IN AESCHYLUM. Partes II. 8vo. 10*s.*

SCHOLIA GRAECA IN AESCHYLUM, ex Codicibus aucta et emendata a GUIL. DINDORFIO. 8vo. 5*s.*

ARISTOPHANIS COMOEDIAE ET FRAGMENTA, ex recensione GUIL. DINDORFII. Tomi II. 8vo. 11*s.*

ANNOTATIONES GUIL. DINDORFII IN ARISTOPHANEM. Partes II. 8vo. 11*s.*

SCHOLIA GRAECA IN ARISTOPHANEM, ex Codicibus aucta et emendata a GUIL. DINDORFIO. Partes III. 8vo. 1*l.*

DEMOSTHENES: ex recensione GUIL. DINDORFII. Tomi I—IV. 8vo. 1*l.* 1*s.*

Clarendon Press Publications.

DEMOSTHENES: Tomi V. VI. VII. Annotationes Interpretum. 8vo. 15*s.*

DEMOSTHENES: Tomi VIII. IX. Scholia. 8vo. 10*s.*

EURIPIDIS TRAGOEDIAE ET FRAGMENTA, ex recensione GUIL. DINDORFII. Tomi II. 8vo. 10*s.*

ANNOTATIONES GUIL. DINDORFII IN EURIPIDEM. Partes II. 8vo. 10*s.*

SCHOLIA GRAECA IN EURIPIDEM, ex Codicibus aucta et emendata a GUIL. DINDORFIO. Tomi IV. 8vo. 1*l.* 16*s.*

EURIPIDIS ALCESTIS, ex recensione GUIL. DINDORFII. 8vo. *sewed*, 2*s.* 6*d.*

HARPOCRATIONIS LEXICON, ex recensione GUIL. DINDORFII. Tomi II. 8vo. 10*s.* 6*d.*

METRA AESCHYLI SOPHOCLIS EURIPIDIS ET ARISTOPHANIS. Descripta a GUIL. DINDORFIO. Accedit Chronologia Scenica. 8vo. 5*s.*

SOPHOCLIS TRAGOEDIAE ET FRAGMENTA, ex recensione et cum commentariis GUIL. DINDORFII. *Third Edition.* 2 vols. fcap. 8vo. 1*l.* 1*s.*

SOPHOCLIS TRAGOEDIAE ET FRAGMENTA, cum annotatt. GUIL. DINDORFII. Tomi II. 8vo. 10*s.*

SCHOLIA GRAECA IN SOPHOCLEM.
Vol. I. ed. P. ELMSLEY, A.M. 8vo. 4*s.* 6*d.*
Vol. II. ed. GUIL. DINDORFIUS. 8vo. 4*s.* 6*d.*

XENOPHONTIS HISTORIA GRAECA, ex recensione et cum annotationibus L. DINDORFII. *Second Edition.* 8vo. 10*s.* 6*d.*

XENOPHONTIS EXPEDITIO CYRI, ex rec. et cum annotatt. L. DINDORFII. *Second Edition.* 8vo. 10*s.* 6*d.*

XENOPHONTIS INSTITUTIO CYRI, ex rec. et cum annotatt. L. DINDORFII. 8vo. 10*s.* 6*d.*

XENOPHONTIS MEMORABILIA SOCRATIS, ex rec. et cum annotatt. L. DINDORFII. 8vo. 7*s.* 6*d.*

XENOPHONTIS OPUSCULA POLITICA EQUESTRIA ET VENATICA CUM ARRIANI LIBELLO DE VENATIONE, ex rec. et cum annotatt. L. DINDORFII. 8vo. 10*s.* 6*d.*

Oxford

AT THE CLARENDON PRESS

LONDON: HENRY FROWDE

OXFORD UNIVERSITY PRESS WAREHOUSE, AMEN CORNER, E.C.

Stanford University Libraries
3 6105 013 382 689

CECIL H. GREEN LIBRARY
STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA 94305-6004
(650) 723-1493
grncirc@sulmail.stanford.edu
All books are subject to recall.

DATE DUE

DEC 3 1 2002
FEB 1 3 2001